# C O M M E N T A R I A

# I N  A R I S T O T E L E M

# G R A E C A

Edita Consilio et Auctoritate

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

VOLUMEN I

Pars II: Alexandri In Metaphysica

---

BEROLINI
Typsis et Impensis Georgii Reimeri
MDCCCLXXXXI

# ALEXANDRI APHRODISIENSIS

# IN ARISTOTELIS METAPHYSICA

# C O M M E N T A R I A

Consilio et Auctoritate

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

Digitized by the Internet Archive
in 2011 with funding from
University of Toronto

Edidit

MICHAEL HAYDUCK

BEROLINI
Typis et Impensis Georgii Reimeri
MDCCCLXXXXI

https://archive.org/details/p2commentariainari01bero

THE INSTITUTE OF MEDIAEVAL STUDIES
ST. MICHAEL'S
COLLEGE
LIBRARY

OCT 14 1950

15622

στερεῷ. ὥστε εἷς μὲν ἂν εἴη τρόπος ποιότητος ὁ κατὰ τὰς διαφορὰς τῶν οὐσιῶν τῶν τε ἐν κινήσει καὶ τῶν ἀκινήτων· οὐσίας γὰρ τὰ μαθηματικὰ λέγειν αὐτῷ ἔθος. δύναται κοινῶς μὲν πάντων τῶν κινουμένων, οὐ τῶν οὐσιῶν μόνων, τὰς διαφορὰς λαμβάνειν κατὰ τὸ πρῶτον σημαινόμενον, μέρη δέ πως ἐκείνων λέγειν τὰς τῶν μαθηματικῶν τε καὶ ἀκινήτων, καθ' ὅσον καὶ ἡ τούτων πρὸς ἄλληλα διαφορὰ ἐν τούτοις ἐστίν. δεύτερος δὲ τρόπος ποιότητος τὰ πάθη τῶν ἐν κινήσει οὐσιῶν καθ' ἃ κινούμεναί τέ εἰσι καὶ φυσικαί. προστίθησι δὲ τοῖς πάθεσι τούτοις, καθ' ἃ αἱ ἀλλοιώσεις γίγνονται, καὶ τὰς τῶν κινήσεων διαφοράς, κινήσεων λέγων διαφορὰς ἤτοι ἀλλοίωσιν αὔξησιν μείωσιν φοράν, ὡς καὶ τούτων οὐσῶν ποιοτήτων, ἢ τὰς δυνάμεις καθ' ἃς τῆς κατὰ τόπον κινήσεως ἡ διαφορὰ τοῖς φυσικοῖς σώμασιν (αὗται δέ εἰσι βαρύτης καὶ κουφότης), ἢ καὶ πάσης κινήσεως. οὕτω δ' ἂν καὶ αἱ ἕξεις εἶεν ποιότητες· ἀπὸ γὰρ τῆς ἐν ταύταις διαφορᾶς αἱ τῶν κινήσεων διαφοραί. ὅτι δὲ οὕτως λέγει, ἐδήλωσεν ἐπὶ τῶν ἀρετῶν εἰπὼν ἀρετὴ δὲ καὶ κακία τῶν παθημάτων μέρος τι· διαφορὰς γὰρ δηλοῦσι τῆς κινήσεως καὶ τῆς ἐνεργείας, διὰ τούτων δεικνὺς ὅτι καὶ αἱ ἕξεις ὑπὸ τὰς ποιότητας τὰς ὡς πάθη λεγομένας. διαφορὰς δὲ λέγει κινήσεων καὶ ἐνεργειῶν τὴν ἀρετὴν καὶ τὴν κακίαν δηλοῦν· κατὰ γὰρ τὰς οἰκείας ἀρετάς τε καὶ κακίας τὰ ἐν κινήσει ὄντα ποιεῖ τε καὶ πάσχει· ἢ γὰρ καλῶς ἢ φαύλως. ἀγαθὸν μὲν γὰρ τὸ οὕτω κινεῖσθαι δυνάμενον, κακὸν δὲ οὐ τὸ οὕτως· τῆς γὰρ κινήσεως τῆς κατὰ τὸ καλῶς τε καὶ μὴ τοῖς ἔχουσι τὰς ἕξεις ταύτας αἱ ἕξεις αἰτίαι. μάλιστα δέ φησι ποιότητα σημαίνειν ἐπὶ τῶν ἐμψύχων τὸ ἀγαθόν τε καὶ κακόν· οὐ γὰρ πᾶν ἀγαθὸν ποιότης, εἴ γε τὸ ἀγαθὸν ἐν τοῖς δέκα γένεσι. καὶ τούτων μάλιστα, τῶν ἐμψύχων λέγων, ἐν τοῖς προαίρεσιν ἔχουσι, τουτέστιν ἐν ἀνθρώποις· ἔστι δὲ τὸ ἀγαθὸν καὶ κακὸν ὡς ἐμψύχων τε καὶ προαίρεσιν ἐχόντων ἀρετή τε καὶ κακία, ἣ μάλιστα τῶν ἀγαθῶν ἐν ποιότητι. ἔοικε δὲ πάντα τὰ εἴδη τῆς ποιότητος, ἃ ἔθετο ἐν ταῖς Κατηγορίαις, ὑπὸ τὰ πάθη κατὰ τὸ σημαινόμενον τοῦτο τῆς ποιότητος τάσσειν, χωρὶς τοῦ κατ' ἐπιτηδειότητά τε καὶ δύναμιν λεγομένου· τούτου γὰρ οὐκ ἐμνημόνευσεν, ἐκτὸς εἰ μὴ κἀκεῖνό τις ὑποτάσσοι ταῖς τῶν κινήσεων διαφοραῖς, τουτέστιν ἀφ' ὧν καὶ αἱ διαφοραὶ τῶν κινήσεων. ὡς γὰρ κατὰ τὰς ἕξεις διάφοροι γίνονται κινήσεις, οὕτω καὶ κατὰ τὰς δυνάμεις τε καὶ ἐπιτηδειότητας καὶ τὰς ἐν ταύταις διαφοράς. ὥστε εἶναι τάς τε ἕξεις καὶ τὰς δυνάμεις, ἔτι δὲ τὰς παθητικὰς ποιότητας καὶ τὰ σχήματα ὑπὸ τὴν ποιότητα τὴν κατὰ τὰ πάθη τῶν οὐσιῶν τῶν ἐν κινήσει. ἢ τὰ σχήματα ὑπὸ | τὸ πρότερον· οὐ γὰρ κίνησιν οἷον ἐνέργειαν ποιὰν τοῦ ἰσοπλεύρου 366
τριγώνου δηλοῖ τοῦτ' αὐτό, ἀλλὰ διαφορὰν πρὸς τὸ σκαληνὸν καὶ ἰσοσκελές, καὶ ὡς αὐτὸς ὑπέδειξεν ἐπὶ τοῦ ἀνθρώπου, ἂν ἐπερωτηθῶμεν ὁποῖον

---

5 λέγειν LS: λέγει A 6 δὲ LF: om. A 13 αἱ ἕξεις — ποιότητες L: αἱ om. F: ἕξεις εἶπε ποιότητας A 22 αἰτίαι LFS: αὗται A 25 ἐν τοῖς LFS: ἐν om. A 37 ποιὰν L: ἢ ποιεῖν AS 39 καὶ — ὑπέδειξεν L: ὡς καὶ αὐτὸς ἔδειξεν A

ζῷόν ἐστιν, εἰπεῖν ὅτι πεζόν, οὕτω καὶ ἐπὶ τοῦδε τοῦ τριγώνου, ἂν ἐπερωτηθῶμεν ὁποῖον τρίγωνόν ἐστιν, εἰπεῖν ὅτι ἰσόπλευρον.

Διαιρεῖ δὲ καὶ τὰ πρός τι. λέγει γὰρ τῶν πρός τι τὰ μὲν ὡς διπλάσιον πρὸς ἥμισυ λέγεσθαι, καὶ ὅλως πολλαπλάσιον πρὸς πολλοστημόριον. καὶ τοῦτο μὲν τοῦ πρός τι τὸ σημαινόμενον καθ' ὑπεροχὴν καὶ ἔλλειψίν ἐστιν, ὃ καὶ κατ' ἀριθμὸν λέγει· ἄλλως δὲ λέγεται πρός τι τὸ θερμαντικὸν πρὸς τὸ θερμαντὸν καὶ τὸ τμητικὸν πρὸς τὸ τμητόν, ὃ σημαινόμενον τοῦ πρός τι κατὰ τὸ ποιητικὸν καὶ παθητικόν ἐστιν. τρίτον σημαινόμενον ἐκτίθεται, ὡς τὸ μετρητὸν πρὸς τὸ μέτρον καὶ ἐπιστητὸν πρὸς ἐπιστήμην καὶ αἰσθητὸν πρὸς αἴσθησιν· καὶ εἴη ἂν τὸ σημαινόμενον τοῦτο τοῦ πρός τι ὑπὸ τὸ κριτικόν τε καὶ κρινόμενον· τό τε γὰρ μέτρον τὸ μετρούμενον κρίνει, ᾗ τε αἴσθησις καὶ ἐπιστήμη κριτήρια καὶ κρίσεις, ἡ μὲν τῶν αἰσθητῶν, ἡ δὲ τῶν ἐπιστητῶν. διελὼν δὲ τὰ πρός τι εἰς ταῦτα, ἀναλαβὼν περὶ ἑκάστου αὐτῶν τὸν λόγον ποιεῖται, καὶ δείκνυσι πῶς τε αὐτῶν ἕκαστον λέγεται καὶ τίνες αὐτῶν αἱ πρὸς ἄλληλα διαφοραί. τὰ μὲν οὖν πρῶτα (ἦν δὲ ταῦτα καθ' ὑπεροχὴν καὶ ἔλλειψιν) φησὶ κατ' ἀριθμὸν λέγεσθαι, ἢ ἁπλῶς, τουτέστιν ἀορίστως, ὃ ἐδήλωσεν ἐπενεγκὼν τὸ ἢ ὡρισμένως. ἢ γὰρ ἀορίστως ἢ ὡρισμένως τὰ κατ' ἀριθμὸν λεγόμενα πρός τι πρὸς ἄλληλα λέγεται, οὐδετέρου οὔτε τοῦ ὑπερέχοντος ὡρισμένην ὑπεροχὴν σημαίνοντος οὔτε τοῦ ὑπερεχομένου ὡρισμένην ἔλλειψιν, ἢ ὡρισμένων πρὸς ἀλλήλους ἀμφοτέρων, ἢ καὶ κατὰ ἕν τι τῷ ἀριθμῷ ὡρισμένον λεγομένων αὐτῶν πρὸς ἀλλήλους. τί δὲ ἕκαστον τούτων σημαίνει, διὰ τῶν παραδειγμάτων ποιεῖ γνώριμον. τὸ μὲν γὰρ διπλάσιον πρὸς ἥμισυ λεγόμενον, καὶ ἔχον τὴν ἀντίθεσιν κατ' ἀριθμόν, πρὸς ἕν τι ὡρισμένον τὸ διπλάσιον λέγεται· πᾶν γὰρ διπλάσιον πρὸς ἥμισυ, ὥστε καὶ πρὸς ἕν τι, καὶ τοῦτο ὡρισμένον, τὸ διπλάσιον λέγεται (ἀεὶ γὰρ πρὸς τὸ ἥμισυ), καὶ ὥρισται αὐτοῦ ἡ ὑπεροχή. ὁμοίως καὶ τὸ ἥμισυ· καὶ γὰρ αὐτὸ πρὸς ὡρισμένον τε καὶ ἕν· τὸ γὰρ διπλάσιον ὡρισμένην τε ὑπεροχὴν καὶ μίαν σημαίνει. καὶ τοιοῦτον μὲν τὸ πρῶτον ὂν τῶν κατ' ἀριθμὸν ἐν τοῖς καθ' ὑπεροχὴν λεγομένοις πρός τι, τὸ πρὸς ἓν ὡρισμένον κατὰ τὸ ἓν λεγόμενον. τὸ δὲ πολλαπλάσιον λέγεται μὲν καὶ αὐτὸ κατ' ἀριθμὸν καθ' ὑπεροχὴν ὡρισμένην (πρὸς γὰρ ἓν τὸ πολλοστημόριον λέγεται), οὐ μὴν πρὸς ὡρισμένον τι | ἕν, ὡς ἐπὶ τοῦ διπλασίου τε καὶ ἡμίσεος, ἀλλὰ πρὸς 367 ἄλληλα μὲν ὡρισμένην τὴν ἀντίθεσιν ἔχει (ἑνός τε γὰρ καὶ πρὸς ἓν τὸ πολλαπλάσιόν τε καὶ πολλοστημόριον ἑνὸς καὶ πρὸς ἕν), οὐ μὴν τὸ ἓν τοῦτο ὥρισται· καὶ γὰρ τρίτον τι ὂν καὶ τέταρτον καὶ πέμπτον καὶ τὰ ἐφεξῆς πολλοστημόρια εἶναι ταῦτα δύναται τοῦ πολλαπλασίου. ὁμοίως καὶ πολλαπλάσιον, ἄν τε τριπλάσιον ἄν τε τετραπλάσιον, ἄν τε ὅλως πλεονάκις ἐν αὐτῷ ἔχῃ πρὸς ὃν λέγεται καὶ καθ' ὃν δὴ ἀριθμόν. διὸ τὸ ὡρισμένον οὗτοι οὐ κατὰ τὸ ἓν ἔχουσιν ἀλλὰ πρὸς ἀλλήλους. τὸ δέ γε ἡμιόλιον

---

5 τὸ σημαινόμενον LF: τὸ om. A 10 πρὸς ἐπιστήμην LF: πρὸς τὸ ἐπιστήμην A
21. 22 ἕν τι — ὡρισμένον LF: ἕνα τινὰ ἀριθμὸν ὡρισμένων A 31. 32 μὲν — λέγεται LS: om. A 40 οὗτοι οὐ] οὐ τοιοῦτον LF

πρὸς τὸ ὑφημιόλιον, λεγόμενον καὶ αὐτό, ὥσπερ τὸ διπλάσιον πρὸς τὸ ἥμισυ, κατὰ τὴν ἐν ἀριθμοῖς ὑπεροχήν τε καὶ ἔλλειψιν, ἑκάτερον τῶν ἀριθμῶν ὡρισμένον ἔχει. ὅ τε γὰρ ἡμιόλιος ὡρισμένος· ὁ γὰρ ἔχων ὅλον τινὰ ἀριθμὸν ἐν αὐτῷ καὶ τὸ ἥμισυ αὐτοῦ· ὁμοίως καὶ ὁ ὑφημιόλιος· ὃς γὰρ ὅλος μετὰ τοῦ ἡμίσεος αὐτοῦ ἐστιν ὁ ὑφημιόλιος. ἐκείνως τε γὰρ ἀμφότεροι ὡρισμένοι οἱ κατὰ τὴν τοιαύτην ὑπεροχήν (καὶ γὰρ πρὸς ἓν καὶ ὡρισμένον), καὶ τὸ πρῶτον δὲ παράδειγμα, τὸ διπλάσιον καὶ ἥμισυ, ὁμοίως τοῖς νῦν εἰρημένοις ἀμφοτέρους ἔχει τοὺς ἀριθμοὺς ὡρισμένους· καὶ ὅλως ἐν οἷς ἀριθμοῖς πρὸς ἕν τι ὡρισμένον ἡ κατὰ τὸ πρός τι ἀπόδοσις, ἀνάγκη ἀμφοτέρους ὡρίσθαι κατ' ἄμφω. ὡς γὰρ ἓν πᾶν ἥμισυ, οὕτω καὶ τὸ διπλάσιον καθὸ διπλάσιον ἕν, ὡς ἔχει καὶ ἐπὶ τοῦ ἡμιολίου τε καὶ ὑφημιολίου· ὥστε οὐκ ἄλλης τινὸς ἀντιθέσεως τὸ παράδειγμα τοῦτο δηλωτικὸν ἂν εἴη, ἀλλ' ἧς καὶ τὸ πρῶτον ῥηθὲν τὸ διπλάσιον. εἰπὼν δὲ τὸ πολλαπλάσιον πρὸς ἓν μὲν οὐ μὴν ὡρισμένον λέγεσθαι, τὴν διαφορὰν ταύτης τῆς ἀντιθέσεως πρὸς τὴν πρώτην εἰρημένην βουληθεὶς δεῖξαι πάλιν παρέθετο τοῦ αὐτοῦ τρόπου τῆς ἀντιθέσεως παραδείγματα, τὸ ἡμιόλιον καὶ τὸ ὑφημιόλιον, καὶ εἶπε ταῦτα κατ' ἀριθμὸν πρὸς ἀριθμὸν ὡρισμένον ἀντικεῖσθαι, ἴσον λέγων τῷ πρὸς ἓν ἀριθμὸς ὡρισμένος· ἑκάτερον γὰρ αὐτῶν πρὸς ἓν ὡρισμένον λέγεται, ᾧ ἴσον ἐστὶ τὸ κατ' ἀριθμὸν πρὸς ἀριθμὸν ὡρισμένον. οὐχ οὕτω λέγεται τὸ πολλαπλάσιον πρὸς τὸ πολλοστημόριον· λέγεται μὲν γὰρ καὶ τούτων ἑκάτερον πρὸς ἕν, ἀλλ' οὐχ ὡρισμένον. λέγει δὲ ὅτι καὶ ὁ ἐπιμόριος πρὸς τὸν ὑπεπιμόριον πρὸς ἓν μὲν ἑκάτερος αὐτῶν λέγεται, ἀόριστον δὲ ἔχει τὴν ὑπεροχήν· ἓν μὲν γὰρ σημαίνει καὶ ἑνός τινος, οὐκέτι μέντοι καὶ τὸν λόγον τῆς ὑπεροχῆς δηλοῖ ὡς τὸ διπλάσιον καὶ τὸ ἡμιόλιον· οὕτως δὲ εἶχε καὶ τὸ πολλαπλάσιον πρὸς τὸ πολλοστημόριον, ὃ πρὸς ἓν μὲν ἐλέγετο, οὐ μὴν ὡρισμένον. εἰπὼν δὲ ἐπιμόριον πρὸς τὸ ὑπεπιμόριον κατ' ἀριθμὸν ἀόριστον, ὅτι οὕτως ὡς πρὸς ἓν | μὲν λέγεται οὐχ ὡρισμένον δέ, ἐδήλωσεν ἐν τῇ τοῦ πολλα- 368
πλασίου παραθέσει· τινὸς γὰρ καὶ ἑνὸς τὸ πολλαπλάσιον πολλαπλάσιον, οὐ μὴν ὥρισται τὸ ἓν τοῦτο πόσον ἐστὶ μόριον τοῦ πολλαπλασίου. διὸ τὸ πολλαπλάσιον πρὸς ἓν ὁμοίως λέγεται ὡς λέγεται καὶ τὸ ἐπιμόριον, ὥσπερ πάλιν ὁμοίως ἀλλήλοις ἐλέγετο τὸ διπλάσιον καὶ τὸ ἡμιόλιον. οὐχ οὕτως δὲ ἔχει τὸ ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον (πρὸς ὡρισμένον γάρ τι λέγεται καὶ τὸ πολλαπλάσιον καὶ τὸ ἐπιμόριον)· ὅλως γὰρ ἡ τοιαύτη σχέσις ἐν ἀορίστῳ ἀντιθέσει. τὸ μὲν γὰρ πολλαπλάσιον ἔχει τι ὡρισμένον, τὸ πολλάκις ἔχειν ἐκεῖνο, καὶ τὸ ἐπιμόριον· αὐτὸ γὰρ αὐτό τε ἔχει καὶ πλείω μέρη αὐτοῦ. τὸ δὲ ὑπερέχον οὐδένα ὅρον τῆς ὑπεροχῆς σημαίνει· διὸ κατὰ ἀόριστον ὑπερ-

3 ὅλον LF: om. A 7 ἥμισυ Bonitz: ἡμιόλιον ALS 13 τὸ πρῶτον L: τὸ om. A 14 πρὸς ἓν Bonitz: πρὸς ἕνα AL 18 πρὸς ἕνα ἀριθμὸν ὡρισμένον L 23 ἔχει τὴν LF: om. A μὲν LF: om. A 26 ὅ πρὸς LFS: ὅπερ A ἐλέγετο οὐ μὴν LF: ἐπί γε τὸ A 30 διὸ LFS: διὰ A 33 δὲ LFS: om. A 33. 34 ὡρισμένον τί ὡς λέγεται πρὸς τὸ πολλαπλάσιον LF 36 αὐτὸ γὰρ — ἔχει LF: αὐτὸ γὰρ αὐτὸ τὸ ἔχον A: fort. legendum αὐτό τε γὰρ ἔχει 37 σημαίνει LF: τι σημαίνει A: ἔτι σημ. coni. Bonitz



B
404
.54

οχὴν λέγεται. εἰπὼν δὲ τὸ μὴ ὁρίζον τὴν ὑπεροχὴν κατ' ἀριθμὸν ἀόρι- 10
στον τὴν ὑπεροχὴν ἔχειν, προσέθηκεν ὁ γὰρ ἀριθμὸς σύμμετρος, ἴσον
λέγων τῷ πάντες οἱ ὡρισμένοι ἀριθμοὶ σύμμετροι, κατὰ μὴ σύμμε-
τρον δὲ ἀριθμὸν λέγεται, ὃ ἐξηγητικόν ἐστι τοῦ πῶς λέγεται ἀόριστον
5 κατ' ἀριθμόν· παντὸς γὰρ ἀριθμοῦ ὡρισμένου συμμέτρου ὄντος (σύμμετροι
μὲν γὰρ οἱ τῷ αὐτῷ μέτρῳ μετρούμενοι, πάντων δὲ ἀριθμῶν μέτρον 15
κοινὸν ἡ μονάς), οἱ κατὰ τὴν τοιαύτην ὑπεροχὴν ὑπερέχειν λεγόμενοι τῷ
μὴ ὁρίζειν τὴν ὑπεροχὴν κατὰ τοῦτο λέγονται κατὰ μὴ σύμμετρον ἀριθμὸν
λέγεσθαι πρὸς ἀλλήλους, οὐχ ὅτι μὴ καὶ οὕτως ἔχειν ληφθέντες πρὸς
10 ἀλλήλους, ἂν ληφθῶσιν, εἰσὶ σύμμετροι, ἀλλ' ὅταν μὴ ὁρίζωσιν ἐν τῇ
πρὸς ἀλλήλους ἀντιθέσει τὴν ὑπεροχήν. ἐξηγούμενος δὲ αὐτὸς τὸ κατὰ
μὴ σύμμετρον δὲ ἀριθμὸν λέγεται, προσέθηκε πῶς κατὰ μὴ σύμ- 20
μετρον· τὸ γὰρ ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον τοσοῦτόν ἐστι
καὶ ἔτι· τοῦτο δέ ἐστιν ἀόριστον· καὶ γὰρ πλεῖον καὶ ἔλαττον γι-
15 νόμενον τὴν αὐτὴν σχέσιν σώζει· τοῦτο γάρ ἐστι τὸ ἢ ἴσον ἢ οὐκ ἴσον.
ἢ γὰρ ἴσον τῷ φθάνοντι εἰλῆφθαι δύναται τὸ πάλιν λαμβανόμενον ὑπερ-
έχον μὲν εἶναι, ἴσον δὲ κατὰ λόγον, ὡς εἶναι ἐν ἀμφοτέροις τριπλάσιον
τὸ ὑπερέχον, ἢ οὐκ ἴσον· τοῦτο δέ ἐστιν ἀόριστον. δύναται τὸ ὅλως 25
ἀόριστον κατ' ἀριθμὸν εἰρηκέναι ὡς δηλῶν δι' αὐτοῦ ὅτι οὐ καθὸ
20 κατ' ἀριθμόν τι ὅλως ἐστίν, ὥρισται, οὗ δεικτικὸν τὸ πο μὲν ἀρι-
θμὸν ἢ ἀντι σύμμετρον· ἐπὶ δὲ τῆς τοιαύτης ὑπεροχῆς τὸ ἀορίστως
λέγεσθαι τῷ μὴ εἶναι | σύμμετρόν τινα τῶν οὕτως ἐχόντων πρὸς ἀλλή- 369
λους ἀριθμῶν. ἢ τὸ ὁ γὰρ ἀριθμὸς σύμμετρος δηλωτικόν ἐστι τοῦ
ὅτι ὁ μὲν ὡρισμένῳ τινὶ ὑπερέχων ἀριθμὸς ἀριθμῷ συμμέτρῳ ὑπερέχει
25 (καὶ γὰρ ὁ ἐπιμόριος τοῦ ὑπεπιμορίου· μέρει γάρ), ἐπὶ δὲ τοῦ ὑπερέχοντος
οὐχ ὥρισται. ἔστι μὲν γὰρ τὸ ὑπερέχον τοσοῦτόν τε ὅσον τὸ ὑπερεχόμενον καὶ 5
ἔτι, ἀόριστον δὲ τὸ καὶ ἔτι· δύναται γὰρ τὸ ἔτι τοῦτο, ᾧ ὑπερέχει τὸ
ὑπερέχον, καὶ ἴσον εἶναι τῷ ὑπερεχομένῳ (καὶ γὰρ τὸ διπλάσιον ὑπερέχει·
τοσοῦτον γάρ ἐστι καὶ ἔτι ὃ ἴσον ἐστὶ τῷ ὑπερεχομένῳ)· δύναται καὶ
30 ἔλαττον· ὥστε οὐκ ἔστιν εἰπεῖν ὁρίσαντα τίνι ὑπερέχει, πότερον ἴσῳ ἢ
ἐλάττονι, ὥσπερ ἐπὶ τοῦ ἐπιμορίου· ἐλάττονι γὰρ καὶ μέρει.

Δείξας δὲ πῶς λέγεται κατ' ἀριθμὸν τὰ καθ' ὑπεροχὴν καὶ ἔλλειψιν 10
λεγόμενα, ταῦτα δέ φησι τὰ πρός τι κατ' ἀριθμὸν λέγεσθαι πάντα καὶ κατὰ
πάθη τινὰ ἀριθμοῦ· τὸ γὰρ διπλάσιον καὶ ἥμισυ καὶ πολλαπλάσιον καὶ πολλο-
35 στημόριον καὶ τὰ τοιαῦτα τῶν ἀριθμῶν πάθη, καὶ ταύτῃ ποσά, ὡς εἶπε

---

7 τοιαύτην] αὐτὴν LF 16. 17 ὑπερέχον μὲν LF: ὑπερέχεσθαι A 18 ὑπερέχον LF: ὑπερεχόμενον AS ἐστιν LF: ὃ A 19 οὐ] fort. οὐδὲν ὑπερέχον c. S καθὸ LFS: om. A 20 τι LFS: τε A οὗ S Bonitz: οὐ A 20. 21 οὗ δεικτικὸν — σύμμετρον A: om. LF: *quod demonstratur illis verbis (per non commensurabilem autem numerum dicuntur)* S 21 δὲ] γὰρ L τὸ AS: τῷ LF 22 τῷ e S add. Bonitz 25 ὑπεπιμορίου LS: ἐπιμορίου A μέρει LS: μέρος A 27 ᾧ LS: ὃ A 31 ἐπιμορίου LS: μορίου A 35 ταύτῃ LS: ταύτης A

πρὸ ὀλίγου ἐν τῇ τοῦ ποσοῦ διαιρέσει. καὶ ἔτι φησὶ κατ' ἄλλον τρόπον κατ' ἀριθμὸν πρός τι λέγεσθαι καὶ οὐκέτι καθ' ὑπεροχὴν καὶ ἔλλειψιν, ἀλλὰ κατὰ ὁμοιότητα καὶ ἰσότητα. ὅτι δὲ καὶ τὰ οὕτως πρὸς ἄλληλα λεγόμενα κατ' ἀριθμὸν λέγεται, δείκνυσι λαβὼν ὅτι κατὰ τὸ ἓν λέγεται. καὶ γὰρ τὸ ἴσον καὶ τὸ ὅμοιον καὶ τὸ ταὐτὸν κατὰ ἓν λέγεται· τῷ γὰρ ἓν ἀλλήλοις εἶναι. κατὰ γὰρ τὸ ἓν λέγεται πάντα εἶπεν, ὅτι τῷ ἄμφω τὰ οὕτως ἀντιτιθέμενα ἓν εἶναι ἀλλήλοις ἡ τοιαύτη ἀντίθεσίς τε καὶ σχέσις. καὶ πῶς γε ἓν λέγει ἄμφω; ταὐτὰ μὲν γὰρ ὧν μία οὐσία· ταῦτα γὰρ κατ' οὐσίαν ὅμοια. καὶ γὰρ ὅταν τι αὐτὸ αὐτῷ ταὐτὸν λέγεται, ὡς δύο λαμβάνεται τὸ ἕν· ὥστε ἡ ταυτότης ἑνότης τις κατ' οὐσίαν. ὅμοια δὲ ὧν ἡ ποιότης μία· ὅμοια γὰρ ἐν μόνῃ ποιότητι, ὡς εἶπεν ἐν Κατηγορίαις· ὥστε καὶ ἡ ὁμοιότης ἑνότης ἐν ποιότητι. ἴσα δὲ ὧν ἓν τὸ ποσόν. πάντα δὲ κατὰ τὸ ἕν τι εἶναι τὰ οὕτως ἀντιτιθέμενα ἀντίκειται. ὃ λαβὼν δείκνυσιν ὅτι καὶ ἡ τοιαύτη σχέσις τε καὶ ἀντίθεσις κατ' ἀριθμόν ἐστι, προλαβὼν ὅτι τὸ ἓν ἀρχὴ ἀριθμοῦ καὶ μέτρον· ὥστε καὶ τὰ κατὰ τὸ ἓν ἀντικείμενα, κατὰ ἀρχὴν ἀριθμοῦ καὶ μέτρον ἀριθμοῦ ἀντικείμενα, εἴη ἂν κατ' ἀριθμὸν ἀντικείμενα, οὐ μὴν ὁμοίως κατ' ἀριθμὸν τοῖς ῥηθεῖσι πρώτοις. ἐκεῖνα μὲν γὰρ κατὰ τὴν ἐν ἀριθμῷ ὑπεροχήν, ταῦτα δὲ κατὰ τὴν ἰσότητά τε καὶ ἑνότητα. |

Εἰπὼν δὲ περὶ τῶν κατ' ἀριθμὸν ἀντικειμένων πρός τι, ἐφεξῆς λέγει περὶ τῶν κατὰ τὸ ποιητικόν τε καὶ παθητικὸν καὶ τὸ ποιεῖν τε καὶ πάσχειν ἀντικειμένων. ποιητικὰ μὲν οὖν καὶ παθητικὰ κατὰ δύναμιν λέγεται, κατὰ δὲ τὰς ἀπὸ τῶν δυνάμεων ἐνεργείας ποιοῦντα καὶ πάσχοντα. δείξας δὲ διὰ τῶν παραδειγμάτων τίνα μέν ἐστι κατὰ δύναμιν λεγόμενα πρός τι, τίνα δὲ κατ' ἐνέργειαν, προστίθησιν ὅτι μηκέτι τὴν κατὰ τοῦτο διαίρεσιν ἡ κατὰ τοὺς ἀριθμοὺς ἀντίθεσις ἔχει τῷ μηδὲ εἶναί τινας ἀριθμῶν ἐνεργείας· ἀκίνητα γὰρ τὰ μαθηματικὰ πάντα. τὸ δὲ ἀλλ' ἢ ὃν τρόπον ἐν ἑτέροις εἴρηται λέγοι ἄν, ὅτι καθὸ νοοῦνται ἐνέργειαι αὐτῶν λέγοιντο εἶναι, αἵ τινες ἐνέργειαι οὐ κατὰ κίνησίν εἰσιν, ἐπεὶ μήτε τὸ νοοῦν καθὸ νοεῖ κινεῖται μήτε τὸ νοούμενον· καὶ ἔστιν ἐνέργεια ἡ τοῦ νοουμένου, οὐ μὴν κατὰ κίνησιν, ὡς ἔστιν ἐν τοῖς κατὰ κίνησιν ἐνέργειά τις τοῦ πάσχοντος, οὐ τοῦ ποιοῦντος μόνου. ἢ ὅτι αὐτῶν μὲν οὐκ εἰσι τῶν ἀριθμῶν ἐνέργειαι· οὔτε γὰρ ποιεῖ οὔτε πάσχει ὁ ἀριθμὸς καθὸ ἀριθμός, ὥσπερ ᾤοντο οἱ Πυθαγορικοί· τὰ μέντοι ποιοῦντα καὶ πάσχοντα κατὰ τὴν κατὰ τὸν ἀριθμὸν ἣν ἔχουσιν ὑπεροχὴν πρὸς ἄλληλα ἢ ἰσότητα ἀναλογίᾳ ποιεῖ τε καὶ πάσχει. οὐ γὰρ ὁπωσοῦν ἔχον τὸ ποιητικὸν ἢ ὁποσονοῦν ὂν ποιεῖ, ἀλλὰ δεῖ αὐτῷ καὶ συμμετρίας τῆς πρὸς τὸ πάσχον, ἥτις κατ' ἀριθμόν τινα γίνεται· ἐν γὰρ ποιᾷ ὑπεροχῇ καὶ ποσῇ τά τε ἰατρικὰ φάρμακα τὸ

---

5 κατὰ τὸ ἓν coni. Bonitz 9 αὐτῷ S: αὐτῷ ALF 10 τὸ ἕν LFS: τὸ ὄν A 12 ἐν Κατηγορίαις] 8 p. 11a15 14 καὶ (ante ἡ) LF: om. A 15 προλαβὼν ALFS: προσλαβὼν suprascr. A[1] μέτρον LFS corr. A: μέτρων A 18 πρώτοις ALF: πρώτως corr. A 30 ἐνέργεια ἡ] ἐνέργεια μὲν coni. Bonitz 35 ἣν LF: καὶ ἣν AS ἀναλογίαν LF 36 ἢ ὁπωσωνοῦν A

ποιεῖν ἔχει· οὐ γὰρ τὰ τυχόντα διὰ τὴν ποιότητα μόνην ποιεῖ, ἀλλὰ δεῖ αὐτοῖς καὶ ποσότητος εἰς τοῦτο. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων σωμάτων τῶν ποιούντων ἢ πασχόντων. τῶν δὲ κατὰ δύναμιν, φησί, λεγο- 20
μένων πρὸς ἄλληλα τὴν ποιητικήν τε καὶ παθητικήν, τουτέστι τῶν κατὰ
5 τὸ δύνασθαι ποιεῖν τε καὶ πάσχειν, καὶ κατὰ χρόνον φησὶ λέγεσθαί τινα πρός τι· τὸ γὰρ πεποιηκὸς πρὸς τὸ πεποιημένον λέγεται (τὸ γὰρ θερμῆναν πρὸς τὸ θερμανθέν, καὶ τὸ οἰκοδομηθὲν ὁμοίως) καὶ τὸ ποιῆσον πρὸς τὸ ποιηθησόμενον· καὶ γὰρ πατὴρ υἱοῦ κατὰ χρόνον, φησί, λέγεται· τῷ γὰρ τὸ μὲν γεγεννηκὸς εἶναι τὸ δὲ γεγεννημένον, τὸ δὲ γεγεννηκέναι καὶ γεγεν- 25
10 νῆσθαι τὸ μὲν πεποιηκέναι τὸ δὲ πεπονθέναι ἐστίν. κατὰ δύναμιν δὲ λέγει καὶ τὰ γεγονότα, ὅτι μηδὲ ταῦτα ὡς ἐνεργοῦντα ἔτι λαμβάνεται. ἢ κατὰ δύναμιν κοινῶς λέγει ἀντικεῖσθαι τὰ κατὰ τὸ ποιεῖν τε καὶ πάσχειν ἀντικείμενα, καθ' ὃν ἂν χρόνον ἡ ἀντίθεσις αὐτῶν λαμβάνηται. λέγεσθαί φησιν ἔνια πρός τι καὶ κατὰ στέρησιν δυνάμεως, ὥσπερ καὶ κατὰ δύναμιν. 30
15 τὸ μὲν γὰρ θερμαντικὸν πρὸς τὸ θερμαντὸν κατὰ δύναμιν, τὸ δὲ ἀόρατον καὶ ἄτομον κατὰ στέρησιν· τὸ γὰρ ἀδύνατον ὁραθῆναι πρὸς τὸ ἀδύνατον ἰδεῖν, καὶ τὸ ἀδύνατον διαιρεθῆναι πρὸς τὸ ἀδύνατον διελεῖν· ἀόρατον | γάρ, οὗ οὐκ ἔστιν ὅρασις, καὶ ὅρασις οὐκ ἔστι τοῦ ἀοράτου. ὥστε τὰ 371
οὕτως λεγόμενα πρὸς ἄλληλα πάντα κατὰ στέρησιν ἂν δυνάμεως λέγοιτο·
20 τὸ γὰρ ἀδύνατον ἀδυναμίᾳ ἀδύνατον, καὶ ἀδυναμία ἀδυνάτου ἀδυναμία.

Εἰπὼν δὲ ταῦτα, προστίθησι τοῖς εἰρημένοις ὅτι τὰ μὲν κατ' ἀριθμὸν λεγόμενα πρός τι, ὁποῖα ἦν περὶ ὧν πρῶτον εἶπε, καὶ κατὰ δύναμιν 5
(ταῦτα δ' ἦν κατὰ τὸ ποιητικὰ καὶ παθητικὰ ἀλλήλων εἶναι ἀντικείμενα), ταῦτα δὴ πάντα οὕτως πρός τι λέγεσθαί φησι τῷ ἕκαστον αὐτῶν ὅπερ
25 ἐστὶν ἄλλου λέγεσθαι, ἀλλὰ μὴ τῷ ἄλλο πρὸς αὐτό. βούλεται δὲ ἡμῖν διαφοράν τινα δεῖξαι τῶν κατὰ τοὺς προειρημένους δύο τρόπους πρός τι λεγο- 10
μένων πρὸς τὸν ῥηθέντα λόγον τῶν πρός τι κατὰ τὸ κρῖνόν τε καὶ κρινό-
μενον, ὡς ἐλέγετο ἡ ἐπιστήμη τε καὶ ἡ αἴσθησις καὶ τὸ μέτρον καὶ ἡ διάνοια καὶ ἡ δόξα καὶ ὑπόληψις. ἔστι δὲ ἥδε ἣν λέγοι ἂν διαφοράν, ὅτι
30 ἐπὶ μὲν ἐκείνων ἑκάτερον τῶν ἀντικειμένων αὐτὸ ὅπερ ἦν ἐκείνου ἐλέγετο εἶναι πρὸς ὃ εἶχε τὴν ἀντίθεσιν. οὐ κατὰ τὴν πτῶσιν δὲ τὸ ἐκείνου λαμβάνοι, ἐπεὶ καὶ τὸ ὅμοιον κατ' ἀριθμὸν λεγόμενον καὶ τὸ ἴσον καὶ τὸ ταὐτὸν οὐχ ὁμοίου οὐδὲ ἴσου οὐδὲ ταὐτοῦ λέγεται, ἀλλὰ ὁμοίῳ καὶ ἴσῳ 15
καὶ ταὐτῷ. ἀλλ' ἔστιν ὃ λέγει, ὅτι αὐτὸ ὅ ἐστιν ἢ ἄλλου λέγεται ἢ
35 ἄλλῳ ἢ ἄλλως πρὸς ἄλλο· τὰ δὲ κρινόμενα καὶ τὰ κρίνοντα οὐκέθ' οὕτως. τὰ μὲν γὰρ κρίνοντα ταῦτα ἅ ἐστιν ἄλλων λέγεται· τῶν γὰρ κρινομένων· ἥ τε γὰρ αἴσθησις αἰσθητῶν, ἥ τε ἐπιστήμη ἐπιστητῶν, καὶ τὸ μέτρον μετρουμένων, καὶ ἡ διάνοια διανοητῶν, καὶ ὁ νοῦς νοητῶν. τὰ δὲ κρινόμενα οὐκέτι αὐτὰ ἅ ἐστι τῶν κρινόντων λέγεται, οὐδὲ κατὰ τοῦτο πρός 20

---

1 μόνην LF: μόνα A  6 θερμῆναν LFS: θερμαῖνον A  9 γεγεννηκὼς A  12 κοινῶς LFS: τινὸς A  15 τὸ δὲ—ἰδεῖν (17) MS eademque LF, praeterquam quod τὸ δὲ ὁρατὸν καὶ ἀόρατον κατὰ κτλ. habent: om. A  23 ἦν τὰ κατὰ e S coni. Bonitz  29 καὶ ὑπόληψις LF: καὶ ἡ ὑπ. A  38 διανοητῶν LF: διανοητοῦ A

τι, καθὸ αὐτὰ ἄλλων ἐστίν, ἀλλὰ καθὸ τούτων ἄλλα. αἰσθητὰ γάρ ἐστιν οὐχ ὅτι αὐτὰ ἄλλων ἐστίν, ἀλλ' ὅτι ἄλλο τι τούτων ἐστίν (ὅτι γὰρ αἴσθησίς ἐστιν αὐτῶν, ταύτῃ αἰσθητά), καὶ ἐπιστητά, ὅτι αὐτῶν ἔστιν ἄλλο· ὅτι γὰρ ἐπιστήμη. τὸ γὰρ ὅμοιον, εἰ καὶ ὁμοίῳ ὅμοιον λέγεται κατὰ τὴν πτῶσιν ὁμοίως ὡς καὶ τὸ ἐπιστητὸν ἐπιστήμῃ καὶ τὸ αἰσθητὸν αἰσθήσει (πρὸς γὰρ δοτικὴν πτῶσιν ὁμοίως καὶ ταῦτα καὶ ἐκεῖνα), ἀλλ' οὐχ ὡσαύτως λέγεται· τῷ γὰρ αὐτὸ ἐκείνῳ ὅμοιον εἶναι ὅμοιον αὐτῷ λέγεται, ἀλλ' οὐ τῷ ἐκεῖνο τούτῳ, εἰ καὶ ὅτι μάλιστα κἀκεῖνο πρὸς τοῦτο ὁμοίως λέγεται· ὁμοίως καὶ τὸ ἴσον καὶ τὸ ταὐτόν. τὸ δὲ αἰσθητὸν αἰσθήσει αἰσθητὸν λέγεται, οὐ τῷ αὐτὸ ὅ ἐστι τῆς αἰσθήσεως εἶναι, ἀλλὰ τῷ ἐκεῖνο, πρὸς ὃ λέγεται, τούτου εἶναι. τῷ γὰρ αἴσθησιν αὐτοῦ εἶναι λέγεται τὸ αἰσθητὸν αἰσθήσει αἰσθητόν· τὸ γὰρ ὁρατὸν σημαίνει ὅτι ἔστιν αὐτοῦ ὄψις. ὁμοίως τούτοις λέγοιτ' ἂν καὶ ἡ ἁρμονία πρὸς τὰ ἡρμοσμένα· ἡ γὰρ ἁρμονία τῶν ἡρμοσμένων, τὰ δὲ ἡρμοσμένα τῇ ἁρμονίᾳ ἡρμοσμένα, ὅτι ἡ ἁρμονία τούτων ἐστίν, ὡς ἐπὶ τῶν ἐπιστητῶν ἐπιστήμη. |

p. 1021a31 Οὐκ ἔστι δὲ ἡ διάνοια πρὸς τοῦτο οὗ ἐστι διάνοια. 372

Εἰπὼν ἐν τοῖς πρὸς ἄλληλα λεγομένοις ὡς τὸ κρῖνόν τε καὶ κρινόμενον τὸ κρινόμενον πρὸς τὸ κρῖνον οὕτως λέγεσθαι, ὅτι ἐκεῖνο τούτου, τουτέστι τὸ κρῖνον τοῦ κρινομένου, δυναμένου πρὸς τὸ κρῖνον οὕτω λέγεσθαι ὡς τὸ κρῖνόν γε πρὸς τὸ κρινόμενον, νυνὶ δείκνυσιν ὅτι οὕτω λέγεται ταῦτα πρός τι, ἥ τε ἐπιστήμη καὶ ἡ αἴσθησις καὶ τὸ μέτρον καὶ ὅσα τούτοις ὅμοια, ὡς πρὸς τὰ ὧν ἐστιν, ἡ μὲν ἐπιστήμη πρὸς τὰ ἐπιστητά, ἡ δὲ αἴσθησις πρὸς τὰ αἰσθητά, ἡ δὲ δόξα πρὸς τὰ δοξαστά, ἀλλ' οὐ πρὸς ἐκεῖνα ἐν οἷς ἐστιν, ἡ μὲν ἐπιστήμη πρὸς τὸ ἔχον τὴν ἐπιστήμην, ἡ δὲ αἴσθησις πρὸς τὸ τὴν αἴσθησιν, καὶ τὰ ἄλλα ὁμοίως, διὰ τοῦ τοῦτο δεικνύναι πιστὸν ποιῶν τὸ εἰρημένον, τὸ ἐν τοῖς πρός τι εἶναί τινα καὶ οὕτως πρός τι λεγόμενα τῷ πρὸς ἃ λέγεται τούτων εἶναι τῶν πρὸς αὐτὰ λεγομένων· τοιαῦτα γὰρ τὰ κρινόμενα καὶ οὕτως λεγόμενα πρὸς τὰ κρίνοντα. ὅτι δὲ ἡ ἐπιστήμη πρὸς τὰ ἐπιστητὰ λέγεται ἀλλ' οὐ πρὸς τὸν ἔχοντα τὴν ἐπιστήμην, δείκνυσι διὰ τοῦ δεῖξαι ὅτι δὶς ἔσται τὸ αὐτὸ λεγόμενον. πῶς δὲ γίνεται δὶς τὸ αὐτὸ λεγόμενον, ὀλίγον προελθὼν δείκνυσιν αὐτὸς εἰπὼν ὁμοίως δὲ καί τινός ἐστιν ἡ ὄψις ὄψις, οὐχ οὗ ἐστιν ἡ ὄψις (καίτοι ἀληθὲς τοῦτο εἰπεῖν), ἀλλὰ πρὸς χρῶμα ἢ πρὸς ἄλλο τι τοιοῦτον· ἐκείνως δὲ δὶς τὸ αὐτὸ λεχθήσεται, ὅτι ἔστιν ὄψις οὗ ἐστιν ὄψις. ἔστι δὲ τὸ διὰ τούτων λεγόμενον ὑπ' αὐτοῦ, ὅτι ἂν μὲν τὴν ὄψιν καὶ τὴν ἐπιστήμην καὶ τὰ τοιαῦτα ἄλλων τινῶν λέγωμεν

---

1 ἀλλὰ καθὸ—ἄλλων ἐστίν (2) LF: om. A 4. 5 πτῶσιν ὡς ἔχει τὸ ἐπιστητὸν LF 13 πρὸς—γὰρ ἁρμονία LF: om. A 19 δυναμένου] exspectes οὐ δυναμένου 27 τῷ MS: τὸ A: om. LF αὐτὰ LFS: αὐτὸ A 32 ὄψις ὄψις LFS: semel habet A 32. 33 ἐστιν ὄψις LF et Metaph. vulg. 33 πρὸς χρῶμα LF: πρὸς τὸ χρῶμα A

εἶναι, οἷον ἐπιστήμην τῶν ἐπιστητῶν, τὴν ὄψιν τῶν ὁρατῶν, οὐδὲν ἄτοπον ἀπαντήσεται (πρὸς γὰρ τὸν ἐρόμενον, τί ἐστιν οὗ ἐστιν ἐπιστήμη, ἀπόκρισις εὔλογος ὅτι τὸ ἐπιστητόν)· εἰ δέ τις τὴν ἐπιστήμην οὐ πρὸς τὸ ἐπιστητὸν λέγεσθαι λαμβάνοι, ἀλλὰ πρὸς τὸν οὗ ἐστι καὶ ἐν ᾧ ἐστι, τουτέστιν πρὸς τὸν ἐπιστήμην ἔχοντα, ἔσται ἡ ἀπόκρισις πρὸς τὸν ἐρόμενον. τί ἐστιν οὗ ἐπιστήμη, 'οὗ ἐστιν ἐπιστήμη', ἐπεὶ ἐτέθη, οὗ ἐστι, πρὸς ἐκεῖνο λέγεσθαι. οὕτω δὲ ἔσται ἄτοπος ἡ ἀπόκρισις καὶ δὶς τὸ αὐτὸ λεγόμενον. πρὸς δὲ τοῦτο ἀπορήσαι τις ἄν, ὅτι εἰ διὰ τοῦτο τὰ τοιαῦτα οὐ λέγεται πρὸς τὰ ἐν οἷς ἐστι, διότι συμβαίνει δὶς ταὐτὸν λέγεσθαι, οὐδὲ ἄλλο τι ἔδει τῶν ἔν τινι ὄντων πρὸς ἐκεῖνο λέγεσθαι ἐν ᾧ ἐστιν. δοκεῖ δὲ πολλὰ τῶν πρός τι λέγεσθαι πρὸς τὰ ἐν οἷς ἐστιν· ἥ τε γὰρ ἁρμονία λέγεται ἡρμοσμένων εἶναι, καὶ οὐκ ἐν ἄλλοις τισίν ἐστιν ἡ ἁρμονία ἢ ἐν τοῖς συγκειμένοις ὧν ἐστι, καὶ πρὸς ἐκεῖνα λέγεται. ἀλλὰ καὶ ἡ ἕξις ἔχοντος ἕξις λέγεται εἶναι, ἐν ᾧ καὶ ἔστιν. ἐφ' ὧν εἴ τις βούλοιτο ὁμοίως ἐρωτᾶν, ἔσται δὶς ταὐτὸν λεγόμενον· πρὸς γὰρ τὸν ἐρόμενον, τί ἐστιν οὗ ἐστιν ἁρμονία, ἀπόκρισις ὑγιὴς ἡ λέγουσα 'οὗ ἐστιν ἁρμονία', εἴ γε ἡ ἁρ|μονία πρὸς τὸ 373 οὗ ἐστιν ἁρμονία λέγεται. πρὸς γὰρ τὰ ἡρμοσμένα λέγεται, ὧν ἐστιν ἁρμονία. ὅτι δὲ λέγεται πρὸς ταῦτα ἐν οἷς ἐστιν, ὑπὸ μὲν Θεοφράστου ἐν τῷ Β τῶν Τοπικῶν οὕτως εἴρηται· "ὧν μὲν γὰρ ἕκαστα λέγεται, καὶ ὑπάρχει τούτοις, ὥσπερ ἡ συμμετρία καὶ ἡ ἕξις καὶ ἡ σύνθεσις· μνήμη δὲ καὶ ὕπνος καὶ ὑπόληψις οὐδενὶ τῶν ἀψύχων, οὐδὲ ἡ ἑτέρου κίνησις ἄλλῳ. διὸ δὴ καθ' ἕκαστα διοριστέον." καὶ αὐτὸς δὲ ὁ Ἀριστοτέλης περὶ τῶν αὐτῶν τούτων οὕτως εἴρηκεν ἐν τῷ Δ τῶν Τοπικῶν· "ἐπεὶ δὲ τῶν πρός τι λεγομένων τὰ μὲν ἐξ ἀνάγκης ἐν ἐκείνοις ἢ περὶ ἐκεῖνά ἐστι πρὸς ἅ ποτε τυγχάνει λεγόμενα, οἷον αἱ διαθέσεις καὶ αἱ ἕξεις καὶ ἡ συμμετρία (ἐν ἄλλῳ γὰρ οὐδενὶ δυνατὸν ὑπάρχειν τὰ εἰρημένα ἢ ἐν ἐκείνοις πρὸς ἃ λέγεται), τὰ δὲ οὐκ ἀνάγκη μὲν ἐν ἐκείνοις ὑπάρχειν πρὸς ἅ ποτε λέγεται, ἐνδέχεται δέ (οἷον εἰ ἐπιστητὸν εἴη ἡ ψυχή· οὐδὲν γὰρ κωλύει τὴν αὐτῆς ἐπιστήμην ἔχειν τὴν ψυχήν, οὐκ ἀναγκαῖον δέ· δυνατὸν γὰρ καὶ ἐν ἄλλῳ ὑπάρχειν τὴν αὐτὴν ταύτην), τὰ δὲ ἁπλῶς οὐκ ἐνδέχεται ἐν ἐκείνοις ὑπάρχειν πρὸς ἅ ποτε τυγχάνει λεγόμενα. οἷον τὸ ἐναντίον ἐν τῷ ἐναντίῳ, οὐδὲ τὴν ἐπιστήμην ἐν τῷ ἐπιστητῷ, ἂν μὴ τυγχάνῃ τὸ ἐπιστητὸν ψυχὴ ἢ ἄνθρωπος." διὰ γὰρ τούτων καὶ ἀναγκαῖον εἶναί φησιν ἔνια τῶν πρός τι πρὸς ἐκεῖνα λέγεσθαι ἐν οἷς ἐστιν· ὧν εἶπεν εἶναι τήν τε διάθεσιν (διακειμένου γὰρ καὶ τοῦ ἐν ᾧ ἐστιν ἡ διάθεσις) καὶ τὴν ἕξιν· τοῦ γὰρ τὴν ἕξιν ἔχοντος ἡ ἕξις ἕξις. ἀλλὰ καὶ ἡ συμμετρία ἐστὶν ἐν τούτοις. ἀλλ' εἰ πρὸς ταῦτα λέγεται, ἐν οἷς ἐστιν ἕκαστον τούτων, δὶς ταὐτὸν

---

4 καὶ ἐν LFS: καὶ τὸν A 13 ὧν Brandis Bonitz: om. libri 16 εἴ γε LFS: ἥ τε A 22 ἄλλῳ LS: ἄλλων A ὁ Ἀριστοτέλης F: ὁ om. AL 23 εἴρηκεν LFS: εἰρήκαμεν A ἐν τῷ Δ τῶν Τοπικῶν] 4 p. 125ᵃ33 25 ἡ διάθεσις καὶ ἡ ἕξις S et Arist. l. l. 29 αὐτῆς S: αὐτῆς LF: αὐτοῦ A 36 συμμετρία ἐστὶν Brandis Bonitz: ante ἐστὶν add. καὶ libri 37 ἕκαστον τούτων om. LF δὶς ταὐτὸν S: δὶς τοῦτο LF: om. A

λεχθήσεται ἐφ' ἑκάστου αὐτῶν. τί ἐστιν οὗ ἡ διάθεσις; οὗ ἐστιν ἡ διάθεσις. τί ἐστιν οὗ ἐστιν ἕξις; οὗ ἐστιν ἕξις. ὁμοίως καὶ ἐπὶ συμμετρίας. εἰ δὴ ἐπὶ τούτων δὶς μὲν ταὐτὸν λέγεται, ἐξ ἀνάγκης δὲ δεῖ αὐτὰ πρὸς ταῦτα λέγεσθαι ἐν οἷς ἐστιν, οὐχὶ πρὸς διαβολὴν τοῦ λέγεσθαί τι πρὸς τὸ ἐν ᾧ ἐστιν εἴη ἂν εἰρημένον τὸ δὶς ταὐτὸ λέγεσθαι. καὶ γὰρ εἰ μὲν ἦν οὕτω δὶς λεγόμενον ὡς αὐτὸ πρὸς αὐτὸ λέγεται, ἄτοπον ἄν τι εἴπετο· ἦν γὰρ ἂν αὐτὸ αὐτῷ τι ἀντικείμενον, εἴ γε τὰ πρός τι πρὸς ἀντικείμενα λέγεται. εἰ δὲ ἀποκρινόμενος πρὸς τὸν ἐρόμενον, τί ἐστι τὸ οὗ ἐστιν ἐπιστήμη, λέγει μὲν εἶναι τὴν ἐπιστήμην τοῦ οὗ ἐστιν ἐπιστήμη, ὃν ἀληθές, οὐ μὴν καὶ πρὸς τοῦτο λέγεσθαι (οὐκέτι γὰρ ἐρωτηθείς, πρὸς τί λέγεται ἐπιστήμη, ἀποκρίνεται οὗ ἐστιν ἐπιστήμη, ἀλλὰ πρὸς τὸν ἔχοντα τὴν ἐπιστήμην), καὶ πάλιν πρὸς τί λέγεται ὁ ἔχων τὴν ἐπιστήμην, ἐρωτηθεὶς ἀποκρίνεται πρὸς ἐπιστήμην. οὐκ ἂν εἴη αὐτό τι πρὸς αὐτὸ λεγόμενον, εἴ γε ἄλλο ἐπιστήμη καὶ ἄλλο τὸ ἐπιστήμην ἔχον. ἔοικε δὲ καὶ | αὐτὸς 374 οὐχ ὡς ἀναιρετικὸν τοῦ λέγεσθαί τι πρὸς τὸ ἐν ᾧ ἐστι τιθέναι αὐτό, ἀλλὰ πρὸς σύστασιν μᾶλλον αὐτῷ χρῆσθαι τοῦ, ἐν οἷς ἐνδέχεται τὰ ὄντα ἔν τισι πρὸς ἄλλα τινὰ λέγεσθαι παρὰ τὰ ἐν οἷς ἐστι, πρὸς ἐκεῖνα αὐτῶν ποιεῖσθαι τὴν ἀπόδοσιν. ἐπιζητήσαι δ' ἄν τις, εἰ μὴ ὁμοίως καὶ τῶν κατὰ δύναμιν λεγομένων πρὸς ἄλληλα τὸ ἕτερον τὸ ὡς πάσχον ἀντικείμενον ὂν τῷ ποιοῦντι ἢ ποιητικῷ οὕτω λέγεται πρὸς αὐτὸ τῷ ἐκεῖνο τούτου εἶναι, ἀλλ' οὐ τῷ τοῦτο ἐκείνου. τὸ γὰρ καυστὸν καυστὸν τῷ εἶναι αὐτοῦ καυστικόν τι, καὶ τὸ θερμαντὸν τῷ εἶναι αὐτοῦ θερμαντικόν τι, καὶ τούτων ἕκαστον αὐτὸ ὅπερ ἐστὶν ἄλλου λέγεται· τὸ γὰρ καυστὸν καυστὸν τῷ καυστικῷ, καὶ τὸ αἰσθητὸν τοιοῦτόν ἐστιν, ὅτι ἐστὶν αὐτοῦ τὸ αἰσθανόμενον. ἢ βουλόμενος δεῖξαι πρὸς τί τὰ οὕτω λεγόμενα λέγεται, ταῦτα λέγει. τὰ μὲν γὰρ κατὰ δύναμιν πρὸς ταῦτα προδήλως λέγεται, καὶ οὐκ ἔστι ζητούμενον πρὸς τί ἡ τούτων ἀπόδοσις· ἐπὶ δὲ τῶν ὡς κριτικῶν πρός τι λεγομένων ἐζητεῖτο πρὸς τί ταῦτα, οἷον τὸ αἰσθάνεσθαι πότερον πρὸς τὸ ἔχον αἴσθησιν ἢ πρὸς τὸ αἰσθητόν. ὅτι οὖν πάντα τὰ τοιαῦτα οὐ πρὸς τὰ ἔχοντα ἀλλὰ πρὸς τὰ ὧν εἰσι λέγεται, ἔδειξε διὰ τοῦ δεῖξαι τὰ ἀντικείμενα τούτοις οὕτω δεῖν λέγεσθαι πρὸς αὐτὰ τῷ ἐκεῖνα τούτων εἶναι· εἰ γὰρ καὶ ἐπὶ τούτων ἀληθὲς τὸ αὐτὰ ἅπερ ἐστὶν ἑτέρων λέγεσθαι ἢ ὁπωσοῦν πρὸς ἕτερον (πάντα γὰρ οὕτω τὰ πρός τι ἔχει), ἀλλὰ δεῖ οὕτω τὰ πρὸς τὰ κρίνοντα λεγόμενα λέγεσθαι τῷ ἐκεῖνα τούτων εἶναι· ὃ οὐκ ἂν οὕτως ἔχοι, εἰ ἡ ἐπιστήμη καὶ ἕκαστον τῶν τοιούτων πρὸς τὰ ἔχοντα αὐτὰ ἐλέγετο.

Τῶν δὲ καθ' αὑτὰ πρός τι λεγομένων τὰ μὲν οὕτω φησὶ λέγεσθαι, δηλονότι ἢ τῷ αὐτὰ ἅπερ ἐστὶν ἑτέρων λέγεσθαι ἢ τῷ ἄλλα αὐτῶν εἶναι,

---

4 ἐν οἷς—ταὐτὸ λέγεσθαι (5) LF: om. A 6 αὐτὸ S: αὐτὸ ALF 7 ἂν LF: om. A αὐτῷ S: αὐτῷ ALF 8 ἀποκρινόμενος LFS: ἀποκρινόμενα A 13 αὐτὸ Brandis Bonitz: αὐτὸ ALF 22 θερμαντὸν LS: θερμὸν ἀντὶ A 23 ἄλλου LS: ἀλλὰ A 24 ὅτι ἐστὶν LS: om. A 32 ἐπὶ τούτων LS: ἐπὶ τούτου A 34 post λέγεσθαι add. ὡς ἔχειν A: om. LS τῷ LS: τὸ A 38 ἑτέρων LS: ἕτερα A

τὰ δέ, φησίν, ἂν τὰ γένη αὐτῶν πρός τι ᾖ· ἡ γὰρ ἰατρικὴ πρός τι τῷ τὴν ἐπιστήμην γένος οὖσαν αὐτῆς πρός τι εἶναι. τοῦτο δὲ καὶ ἐν Κατηγορίαις εἴρηκεν· οὐ γὰρ τὸ γένος πρός τι, τοῦτο οὐ κατὰ συμβεβηκὸς ἂν ἔτι πρός τι λέγοιτο, ἀλλὰ καὶ αὐτὸ καθ' αὑτό, εἰ καὶ μὴ ὁμοίως τῷ γένει· τῷ γὰρ τὸ γένος ἐν τῷ εἴδει εἶναι γίνεται καὶ τὸ εἶδος ἐν τῇ οὐσίᾳ ἔχον τὸ πρός τι, εἴ γε μέρος αὐτοῦ τῆς οὐσίας τὸ γένος. ἔτι λέγει, ὡς τὰ ἔχοντά τινα πρός τι ἐστίν, οὕτω καὶ τὰ ἐχόμενα καὶ κατὰ τοῦτο· ἡ γὰρ ἰσότης πρός τι, ὅτι τὸ ἴσον τὸ ἔχον τὴν ἰσότητα πρός τι, καὶ ἡ ὁμοιότης τῷ τὸ ὅμοιον. κατὰ γὰρ τοῦτο κἀκεῖνα πρός τι· τῷ γὰρ ταῦτα ἔχειν. τὰ δὲ κατὰ συμβεβηκὸς πρός τι λέγεται, ὅσοις συμβέβηκέ τι τῶν πρός τι οὐκ οὖσιν αὐτοῖς πρός τι· ἄνθρωπος γὰρ λέγεται πρός τι, ὅταν ᾖ τὸ συμβεβηκὸς αὐτῷ τὸ διπλά|σιον τῶν πρός τι ὄν. πάλιν εἴη ἂν τὸ λευκὸν λεγόμενον κατὰ 375 συμβεβηκὸς καὶ αὐτὸ πρός τι, ἂν ᾧ συμβέβηκε διπλασίῳ εἶναι, τούτῳ καὶ τὸ λευκὸν εἴη συμβεβηκός. διαφέρει δὲ οὗτος ὁ τῶν πρός τι τρόπος τοῦ προρρηθέντος· ἐκεῖ μὲν γὰρ τὸ ὑποκείμενον πρός τι λέγεται διὰ τὸ συμβεβηκὸς αὐτῷ, ἐνταῦθα δὲ τῶν συμβεβηκότων αὐτῷ τὸ ἕτερον διὰ τὸ ἕτερον.

Λέγει δὲ καὶ περὶ τοῦ τελείου, διαιρῶν αὐτό, ὅτι ἓν μὲν αὐτοῦ σημαινόμενόν ἐστιν οὗ μηδὲν μόριον ἄπεστι· τέλειον γάρ ἐστιν ἕκαστον, ὃ λέγεται, ὅταν αὐτοῦ μηδὲν τῶν εἰς τὴν τελείωσιν ἀπῇ μορίων. οὕτω χρόνος τέλειος ἑκάστου οὗτος, οὗ χρόνου, ὃς τοῦδε λέγεται εἶναι, μηδὲν μόριον ἄπεστι μηδὲ ἔξω τις αὐτοῦ. παντὸς μὲν γὰρ τοῦ λαμβανομένου χρόνου ἔστι τις ἔξω χρόνος· ἀλλ' ὅταν ὁ τοῦδέ τινος ἀφωρισμένος χρόνος λαμβάνηται, τότε ὁ τέλειος ἔσται τούτου χρόνος, ὅταν ἀπῇ μηδὲν μόριον τοῦ χρόνου αὐτοῦ ἐν ᾧ ἐκεῖνό ἐστιν· οἷον εἴ τινος εἴη χρόνος τῆς ὑπάρξεως ἑκατὸν ἔτη, εἰ ἄνθρωπος φέρε εἰπεῖν ἔχοι τοῦτον ὅρον τῆς ζωῆς ὅλον, τέλειος ἂν ἦν ἀνθρώπου χρόνος, εἰ μηδὲν ἀπῆν τῶν ἑκατὸν ἐτῶν. οὕτω καὶ τέλειος ἄνθρωπος καὶ τέλειος ἵππος, οὗ μηδὲν μόριον ἄπεστιν, καὶ τέλειος ἀνδριὰς καὶ τῶν ἄλλων ἕκαστον, ὧν μηδὲν μόριον ἄπεστιν. ὁμοίως δὲ λέγεται τέλεια καὶ ὧν κατ' ἀρετὴν τὴν οἰκείαν καὶ τὸ εὖ τὸ οἰκεῖον καὶ ἐν τῷ γένει τούτῳ μὴ ἔστιν ὑπερβολή. κοινότερον δὲ τῷ τῆς ἀρετῆς ὀνόματι χρῆται. ἕκαστον γὰρ τέλειον λέγεται, ὅταν ἔχῃ τὴν οἰκείαν ἀρετήν, οἷον τέλειος ἄνθρωπος, ᾧ μηδὲν ἐνδεῖ τῶν κατὰ τὰς ἀνθρώπου ἀρετάς, μηδὲ ἔστιν ὑπερβολὴ αὐτοῦ κατὰ τὸ εὖ τὸ ἐν τῷ ἀνθρώπῳ. οὕτω καὶ ἰατρὸν τέλειον, οὗ κατὰ τὸ εὖ τῆς ἐν ἀνθρώπῳ ἰατρικῆς μὴ ἔστιν ὑπερβολή. τὸ δὲ πρὸς τὸ γένος αὐτὸς ἐξηγήσατο διὰ τοῦ εἰπεῖν ὅταν κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς μηδὲν ἐλλείπωσι. τῷ γὰρ τὰς ἀρετὰς πλείους καὶ διαφόρους εἶναι, οὗτος τέλειος καθ' ἣν ἔχει ἀρετήν ἐστιν, ὅταν μηδὲν κατ' αὐτὴν τὴν ἀρετὴν ἐλλείπῃ· τῷ γὰρ γένει ἀντὶ τοῦ εἴδους ἐχρήσατο. καὶ αὐλητὴς τέλειος ὁ κατὰ αὐλητικὴν τοιοῦτος, καὶ ἁπλῶς ὁ κατά τινα τέχνην ἢ ἐπιστήμην ἢ ἀρετὴν μὴ ἐλαττούμενος τέλειος κατ' αὐτήν. ἀπὸ δὲ τῶν οὕτως

---

2 ἐν Κατηγορίαις] c. 7 11 αὐτῷ LF: αὐτοῦ A 13 πρός τι LF: τὸ πρός τι A 25 ἔχοι F: ἔχει A: ἔχων L 32 μηδὲ LF: μηδὲν A 34 τῆς—ἰατρικῆς LF: τὸ ἐν ἀνθρώπου ἰατρικῇ A: ἀνθρώπου del. Bonitz 39 αὐλητικὴν LF: αὐλητικὰ A 40 δὲ LF: om. A

τελείων καὶ κατὰ τὸ εὖ τὸ οἰκεῖον μὴ ὑπερεχομένων καὶ ἐπὶ τὰ κακὰ μεταφέρομεν τὸ τέλειον· συκοφάντην γὰρ λέγομεν καὶ κλέπτην τέλειον ὡς οὐκ ἔχοντα ἐν τούτοις ὑπεροχήν. τοῦτο δὲ ποιοῦμεν, ἐπεὶ καὶ ἀγαθοὺς λέγομεν αὐτούς, κλέπτας ἀγαθοὺς καὶ τελείους· ὡς γὰρ τὴν κατὰ ταύτα ἀρετὴν ἔχοντας καὶ τελείους κατ' αὐτά· τελειότης γὰρ ἑκάστου ἡ οἰκεία ἀρετή. ὅταν γάρ, φησί, κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς μηδὲν 376 ἐλλείπῃ μόριον τοῦ μεγέθους ὃ κατὰ φύσιν ἐστὶν αὐτῷ, τότε ἐστὶ τέλειον ἕκαστον, κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς εἰπὼν ἀντὶ τοῦ ὅταν ταύτης τῆς τοῦ εἴδους ἐν ᾧ ἐστιν οἰκείας ἀρετῆς μηδὲν ἐλλείπῃ μόριον τοῦ κατὰ φύσιν μεγέθους· ἄνθρωπος γὰρ τέλειος, ἂν τῆς τοῦ ἀνθρώπου ἀρετῆς μηδὲν αὐτῷ ἐνδέῃ. οὗτος γὰρ ἄνθρωπος τέλειος, οὐχ ὁ τὰ μέρη ἄρτιος, ἀλλ' ὅταν τῆς ἀνθρώπου ἀρετῆς καὶ τοῦ ταύτης μεγέθους τοῦ κατὰ φύσιν μηδὲν μόριον ἐνδέῃ αὐτῷ. ὁμοίως καὶ ἵππος καὶ κύων καὶ τῶν ὄντων ἕκαστον. καὶ εἴη ἂν τοῦ οὕτως τελείου ὁρισμὸν ἀποδεδωκώς, ὡς εἶναι τέλειον οὗ κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς μηδὲν ἐλλείπῃ μόριον τοῦ κατὰ φύσιν μεγέθους· πρὸς γὰρ τὸ κατὰ φύσιν μέγεθος δεῖ μηδὲν μόριον ἐλλείπειν τοῦ τελείου. ἔστι δὲ τὰ μὲν πρῶτα εἰρημένα τέλεια κατὰ τὸ ποσόν, τὰ δὲ δεύτερα κατὰ τὸ εὖ τε καὶ τὸ ποιόν. ἔτι τέλειά φησιν εἶναι ἃ τὸ οἰκεῖον τέλος σπουδαῖον ἔχει· τέλειον γὰρ τὸ τέλος ἔχον, τὸ δὲ κυρίως τέλος ἀγαθόν τι. οὕτως ἄνθρωπος ἀγαθὸς τέλειος, ὅτι τὸ οἰκεῖον τέλος ἀγαθὸν ὂν ἔχει. καὶ εἴη ἂν ἡ διαφορὰ τοῖς οὕτω λεγομένοις τελείοις πρὸς τὰ πρὸ τούτων εἰρημένα, ὅτι ἐκεῖνα μὲν ἐλέγετο τέλεια τῷ ἐν τελείῳ εἶναι (τοιοῦτον γὰρ ἡ ἀρετή) ἀλλὰ οὐ τῷ ἐν τέλει, τὰ δὲ νῦν λεγόμενα τῷ ἐν τέλει. ἢ οὐχ ὡς ἄλλο τι σημαίνων εἶδος τελείου τοῦτο προσέθηκεν· ἀναλαμβάνων οὖν τὸν περὶ αὐτῶν λόγον οὐκέτι τούτου ὡς ὄντος παρ' ἐκεῖνο μνημονεύει. ἐπεὶ δὲ τέλειον τὸ τέλος ἔχον, τὸ δὲ τέλος ἔσχατον, ἤδη καὶ τὰ ἐν τῷ ἐσχάτῳ ὄντα ἐν τῷ τέλει φαμὲν εἶναι· διὸ καὶ ἐπὶ τὰ φαῦλα χρώμεθα τῷ σημαινομένῳ τούτῳ τοῦ τελείου, λέγοντες τελείως τινὰ ἀπολωλέναι καὶ τελείως ἐφθάρθαι, ὅταν ἐπὶ τῷ ἐσχάτῳ ᾖ τοῦ κακοῦ καὶ μηδὲν αὐτῷ ἐλλείπῃ τῆς φθορᾶς. οὕτως καὶ ἡ τελευτὴ τέλος λέγεται, ἐπεὶ καὶ τὸ τέλος ἔσχατον (τοῦτο δέ ἐστι τὸ ἀγαθὸν καὶ τὸ οὗ χάριν), τὸ ἔσχατον τέλος λεγόντων ἡμῶν. διὸ καὶ τὸ "ἔχει τελευτήν, ἧσπερ οὕνεκ' ἐγένετο." οὐ μὴν ἀλλὰ παρὰ τὸ ἑπόμενον ἡ ἀπάτη, ἐπεὶ κυρίως γε τέλος τὸ οὕτως ἔσχατον ὡς οὗ ἕνεκεν. τὸ δὲ τέλος δὲ καὶ τὸ οὗ ἕνεκα ἔσχατον ὡς ἴσον εἶπε τῷ κυρίως δὲ τέλος τὸ ὡς οὗ ἕνεκα ἔσχατον. ἢ εἰπὼν ἄμφω ἔσχατα εἶναι (καὶ γὰρ ἡ τελευτὴ ἔσχατον) προσέθηκεν ὅτι καὶ τὸ τέλος δὲ καὶ οὗ ἕνεκα καὶ αὐτὸ ἔσχατον. πάντα δὲ τὰ προειρημένα τε καὶ καθ' αὑτὰ λεγόμενα τέλεια εἰς δύο φησὶν ἀνά-

---

3 ὑπεροχήν LF: ὑπεροχή A 5 αὐτά A: αὐτάς LF: fort. αὐτήν 14 οὕτως LS: ὄντως A 17 τελείου LS: τέλους A 30 αὐτῷ LF: αὐτοῦ A 32. 33 ἔχει—ἐγένετο] cf. Phys. B 2 p. 194a31 Bonitz Ind. Arist. p. 607b26 34 ὡς LFS: τὸ ὡς A 35 ὡς ἴσον εἶπε τῷ καὶ τὸ τέλος δὲ καὶ τὸ οὗ ἕνεκα ἔσχατον· ἢ τὸ τέλος δὲ καὶ τὸ οὗ ἕνεκα ἔσχατον εἶπεν ὡς ἴσον ὂν τῷ κυρίως δὲ τέλος L; cf. l. 37

γεσθαι σημαινόμενα, εἴς τε τὰ κατὰ τὸ εὖ μηδὲν ἐλλείποντα μηδὲ ἔχοντα 30
ὑπερβολήν, ὡς δύνασθαι ἔξω τι αὐτῶν ληφθῆναι, ὃ παρὸν ηὔξησεν ἂν τὸ
ἐν αὐτοῖς εὖ· καὶ γὰρ οἷς ὑπάρχει τὸ τέλος ὂν σπουδαῖον, καὶ | ταῦτα 377
ὑπὸ τοῦτο τὸ σημαινόμενον τοῦ τελείου. καὶ τοῦτο μὲν τὸ σημαινόμενον
5 τοῦ τελείου κατὰ τὴν ἀρετὴν καὶ τὴν τοῦ ἀγαθοῦ ὁλόκληρον παρουσίαν
λέγεται, τὸ δὲ τῷ ἁπλῶς μὴ ἔχειν ὑπερβολὴν ἐν τῷ οἰκείῳ γένει μηδὲ
εἶναί τι ἔξω αὐτοῦ μηδὲ ἀπεῖναι, ὃ σημαινόμενον πρῶτον ἐξέθετο, οὗ εἰς
δήλωσιν παρέθετο τὸν τέλειον χρόνον. οὕτω τέλειος ἄνθρωπος οὗ μηδὲν 5
ἄπεστι μέρος, καὶ ἵππος ὁμοίως καὶ οἰκία καὶ βάθρον καὶ θρόνος, ὡς
10 προεῖπε. ταῦτα μὲν οὖν τὰ σημαινόμενα καθ' αὑτὰ τοῦ τελείου, τὰ δὲ
ἄλλα τέλεια λεγόμενα ἀπ' αὐτῶν φησι καὶ ταῦτα λέγεσθαι· ἢ γὰρ τῷ
ποιεῖν τι τοιοῦτον· ἡ γὰρ παιδεία τέλειον, ὅτι ποιητικὸν τελείου τινός· τοῦ
γὰρ τὴν ἀρετὴν ἔχοντος· καὶ τὰ γυμνάσια, ὅτι εὐεξίας καὶ αὐτὰ ποιητικὰ
τελειότητος οὔσης. λέγεταί τινα τέλεια καὶ τῷ ἔχειν τι τοιοῦτον, ὡς βι- 10
15 βλίον λέγομεν τέλειον, ᾧ μηδὲν ἐνδεῖ τῶν ὀφειλόντων γραφῆναι, καὶ πρα-
γματείαν τελείαν, ᾗ μηδὲν ἐνδεῖ. λέγεταί τινα τέλεια καὶ τῷ ἁρμόττειν
τοῖς τελείοις· οὕτως ἐσθὴς λέγεται τελεία καὶ ὑπόδημα καὶ πανοπλία, καὶ
ἡ Πηλιὰς τέλειον δόρυ ὅτι ὁ Ἀχιλλεὺς αὐτῇ μόνος ἠδύνατο χρῆσθαι τέ-
λειος ὤν. καὶ τὰ ἁρμόττοντα δὲ τοῖς κατὰ τὸ εὖ τελείοις τέλεια· οὕτω 15
20 πρᾶξις τελεία ἡ τῷ σπουδαίῳ ἁρμόζουσα, οἵα ἡ τοῦ φιλοσόφου. ἢ ὁπωσοῦν
φησι λέγεσθαι πρὸς τὰ πρώτως λεγόμενα τέλεια· οὕτως γυμνάσιον λέγεται
τέλειον, ᾧ ὁ τέλειος ἀθλητὴς γυμνάσαιτ' ἄν.

Καὶ πέρας δὲ λέγει τὸ μὲν ὡς ἔσχατον ἑκάστου λέγεσθαι, καθ' ὃ
σημαινόμενον εἴη ἂν καὶ ὁ θάνατος πέρας λεγόμενος· τὸ γὰρ ἑκάστῳ ἐπι- 20
25 γινόμενον ἔσχατον πέρας ἐκείνου. οὕτως καὶ κινήσεώς τι καὶ πράξεως
πέρας λέγεται· τοιοῦτον γὰρ οὗ ἔξω μηδὲν ἔστι λαβεῖν πρώτου· εἰ γάρ
τινος ληφθέντος ὡς ἐσχάτου ἔτι ἔστι τι τὸ τούτου ἐκτός, τοῦτο οὐ πέρας.
τὸ δὲ πρώτου προσέθηκεν ἐνδεικνύμενος τὸ κυρίως πέρας, ὃ οὐχ ὡς
μέρος ἐστὶ πέρας ἀλλ' ὡς τὸ κυρίως ἔσχατον, ὁποῖόν ἐστιν ἐπὶ τῶν σω- 25
30 μάτων ἡ ἐπιφάνεια. δύναται μὲν γὰρ καὶ μέρους τινὸς ληφθέντος μηδὲν
εἶναι ἔξω, ἀλλ' οὐ πρώτου· πρὸ τούτου γὰρ τοῦ μέρους αὐτό. δόξειε δ'
ἂν τὸ αὐτὸ σημαίνειν καὶ διὰ τούτου τοῦ λόγου πέρας ὃ καὶ διὰ τοῦ
πρότερον, ὃ εἶπεν ἔσχατον ἑκάστου, ὡς εἶναι τοῦ αὐτοῦ σημαινομένου
διαφόρους λόγους· οὐ μὴν οὕτως ἔχει. τὸ μὲν γὰρ πρῶτον ῥηθὲν οὐ μόνον
35 οὐκ αὐτοῦ τοῦ πράγματος ὄν τι ἔσχατον ἦν αὐτοῦ, ἀλλὰ καὶ τὸ τελευ- 30
ταῖον ἐπιγινόμενον ἑκάστῳ, τὸ δὲ νῦν αὐτοῦ τι τοῦ πράγματος ὂν πέρας
λέγεται. ἔτι τὸ μὲν ἔσχατον δύναται καὶ ἐπὶ μέρους λέγεσθαι, | τὸ δὲ 378

---

3 ὑπάρχει c. S Bonitz: ὑπερέχει ALF 4 τοῦ — σημαινόμενον LF: om. AS 5 κατὰ τὴν τῆς ἀρετῆς καὶ LF 6 τῷ ἁπλῶς L: τῷ om. A 7 αὐτοῦ LF: αὐτῶν A 17 τελεία LF: τέλειος A 21 πρώτως LF: πρῶτος A οὕτως] ὡς LF 22 τέλειον ὄν, ᾧ LF 26 πρώτου· οὗ γὰρ ληφθέντος ἔσχατόν τε καὶ ἐκτὸς ἔτι ἔστι τί τοῦτο οὐ πέρας· τὸ δὲ (28) LF 27 ὡς MS: om. A 32 αὐτὸ bis A 35 οὐκ — ἦν] ὃ ἂν — ᾗ e S coni. Bonitz

οὕτω λεγόμενον, ὡς ἀπέδωκε δεύτερον, οὐκ ἐπὶ μέρους ἁρμόζειν δύναται ἀλλ' ἐπὶ τοῦ κυρίως πέρατος, ὡς ἤδη εἶπον. καὶ τὸ μὲν ἔσχατον καὶ ἐπὶ μὴ μεγεθῶν ἁρμόζοι ἄν· καὶ γὰρ λόγου τι ἔσχατον καὶ πράξεως εἴη ἂν καὶ διανοίας· οὕτως γάρ, ὡς εἶπον, πέρας καὶ ὁ θάνατος λέγεται· ἔσχατον γὰρ τῆς τοῦ ζῴου ζωῆς. τοῦτο δὲ τὸ οὗ μηδὲν ἔστιν ἔξω λαβεῖν πρώτου δοκεῖ ἐπὶ μεγεθῶν μόνον ἁρμόζειν· τοῦ γὰρ μεγέθους ἔστι τι λαβεῖν οὗ πρώτου οὐδέν ἐστιν ἔξω· τοιοῦτον γὰρ ἐν μὲν σώματι ἡ ἐπιφάνεια. ἐν δ' ἐπιφανείᾳ ἡ γραμμή, ἐν δὲ γραμμῇ ἡ στιγμή. ἄλλως δὲ ἐλέγετο ἐπὶ τοῦ τελείου τὸ οὗ μηδὲν ἔστιν ἔξω λαβεῖν καὶ ἄλλως ἐπὶ τοῦ πέρατος. ἐπὶ μὲν γὰρ τοῦ τελείου ἐσήμαινε τὸ ᾧ μηδὲν ἐλλείπει τῶν μορίων (τὸ γὰρ πᾶν λαμβανόμενον ἦν τέλειον), ἐπὶ δὲ τοῦ πέρατος τὸ οὗ μηδέν ἐστιν ἐξωτέρω περατοῦν τοῦτο οὗ ἐστι πέρας· καὶ τέλειον μὲν τὸ ὡς ὅλον μηδὲν ἐκτὸς ἔχον. ἢ διαφορὰν σημαίνει τὸ πρῶτον τῷ πέρατι προσκείμενον, ὅτι πέρας ἔχει καὶ τὸ μὴ τέλειον. πέρας δέ φησιν εἶναι καὶ οὗ ἔσω πάντα πρώτου, τὸ αὐτὸ σημαίνων ὃ φθάσας εἶπε, κατ' ἄλλον δὲ τρόπον καὶ ἀντεστραμμένως (τότε μὲν γάρ, οὗ μηδὲν ἐκτὸς πρώτου, νῦν δέ, οὗ ἐντὸς πάντα πρώτου), τὸ πρώτου πάλιν προσθείς, ἵνα τοῦ μέρους τὸ κυρίως πέρας χωρίσῃ· ἐντὸς μὲν γὰρ καὶ ἐν τοῖς ἄλλοις καὶ τῶν μερῶν τῶν πρὸς τοῖς ἐσχάτοις τὰ ἄλλα μέρη, ἀλλ' οὐ πρώτων· ἐπὶ γὰρ τοῦ σώματος καὶ αὐτὸ τὸ ληφθὲν μέρος ἔσχατον ἐντός ἐστι τῆς ἐπιφανείας, ἐκείνη δὲ οὐκέτ' οὐδενὸς ἐντός. ταὐτὸν δέ, ὡς εἶπον, οὗ τε πρώτου οὐδὲν ἔστι λαβεῖν ἔξω, καὶ οὗ ἔσω πάντα πρώτου. ἔτι πέρας φησὶ καὶ ὃ ἂν ᾖ εἶδος μεγέθους ἢ ἔχοντος μέγεθος, εἶδος μὲν τὸ σχῆμα λέγων καὶ τὴν μορφήν· κατὰ γὰρ ταῦτα τὰ σώματα εἰδοποιεῖται. τὸ γὰρ μεγέθους ἀντὶ τοῦ σώματος εἶπε· πᾶν γὰρ σχῆμα ἐν σώματι. τὸ δὲ ἢ ἔχοντος μέγεθος προσέθηκε διὰ τὰ ζῷα, ἃ οὐκ ἔστι μὲν ἁπλῶς σώματα καὶ μεγέθη, ἔχει μέντοι σῶμα καὶ μέγεθος, καὶ ἔστι τούτων μὲν οὕτως εἶδος καὶ πέρας ἡ οἰκεία ἑκάστου μορφή, τῶν δὲ σωμάτων τὰ σχήματα. καὶ εἴη ἂν διὰ μὲν τοῦ πρώτου τὴν ἐπιφάνειαν εἰρηκὼς πέρας τοῦ σώματος, διὰ δὲ τοῦ νῦν τὸ σχῆμα. λέγει πέρας καὶ τὸ ἑκάστου τέλος τὸ οὗ χάριν· τοῦτο γὰρ ἐφ' ὃ ἡ κίνησις καὶ ἡ πρᾶξις· οὗ γὰρ ἕνεκεν ἡ κίνησίς τε καὶ ἡ πρᾶξις καὶ εἰς ὃ ἐπαύσατο, τοῦτο πέρας. οὐκέτι οὕτως ὁ θάνατος πέρας, ἐπεὶ μὴ τούτου χάριν γίγνεται τὰ γινόμενα· καίτοι ἔσχατός ἐστιν. εἰπὼν δὲ ἐφ' ὃ ἡ κίνησις καὶ ἡ πρᾶξις πέρας, προσέθηκεν ἀλλ' οὐκ ἀφ' οὗ· ἀφ' οὗ γὰρ ἡ κίνησις, ἀρχὴ | τοῦτο. ὁτὲ δέ, φησί, πέρατα ἄμφω 379
λέγεται, καὶ τὸ ἀφ' οὗ καὶ τὸ ἐφ' ὅ· καὶ γὰρ ἡ τοιαύτη ἀρχὴ λέγεταί ποτε πέρας καὶ αὐτή. καὶ εἴη ἂν τοῦ διαλογισμοῦ τοῦ περὶ τοῦ πραχθησομένου τοῦτο πέρας· ἀπὸ γὰρ τοῦ τέλους ἀρξάμενοι ἐπὶ ἔσχατον παυόμεθα τοῦτο ὃ ἀρχὴ τῆς πράξεως γίνεται· ὥστε ἔστιν ἥ τινος ἀρχὴ τῆς

---

10 ἐσήμαινε τὸ c. S Bonitz: ἐσημαίνετο AL 13 ἔχον LS: ἔχει A σημαίνει τὸ LS: ante τὸ add. εἰ καὶ A 14 ὅτι LS: τι A φησιν LFS: φασὶν A 15 σημαίνων LFS: σημαῖνον A 18 καὶ ἐν τοῖς ἄλλοις om. S, fort. recte 21 οὗ τε S corr. L: οὔτε A pr. L 30 τὸ ἑκάστου LF: τοῦ ἑκάστου A

πράξεως πέρας τοῦ διαλογισμοῦ. καὶ εἴη ἂν διὰ τούτων καὶ τὸ τέλος ἀρχήν τε καὶ πέρας δεδειχὼς καὶ τὸ ποιητικόν· τοῦ μὲν γὰρ διαλογισμοῦ πέρας, ἀρχὴ δὲ τῆς πράξεως. εἰπὼν δὲ ἐκεῖ τὴν ἀρχὴν πέρας λέγεσθαι, ὃ ἐδήλωσε διὰ τοῦ εἰπεῖν καὶ ἀφ' οὗ, ᾧ προσθεὶς καὶ τὸ ἐφ' ὅ (ἔκειτο γὰρ καὶ τοῦτο), ἐξηγησάμενος τὸ ἐφ' ὃ διὰ τοῦ προσθεῖναι καὶ τὸ οὗ ἕνεκα (τοῦτο γάρ ἐστι τὸ ἐφ' ὅ), ἐφεξῆς δείκνυσι κατὰ πάντα τὰ τῆς ἀρχῆς σημαινόμενα τὸ πέρας λεγόμενον. λέγει γὰρ πέρας εἶναι καὶ τὸ εἶδος, καθ' ὅ ἐστιν οὐ κατὰ τὸ σχῆμα καὶ τὴν μορφήν. καὶ πῶς τοῦτο πέρας, προστίθησιν· οὐ γὰρ ἁπλῶς ἀνθρώπου πέρας τὸ ζῷον λογικὸν θνητὸν αὐτὸν εἶναι, ἀλλὰ τῆς γνώσεως τοῦ ἀνθρώπου. ὁμοίως δὲ καὶ τῆς ἑκάστου πράγματος γνώσεως τοῦτο πέρας· ὅταν γὰρ τοῦτο γνῶμεν, παυόμεθα τοῦ ζητεῖν τί ἐστι τὸ πρᾶγμα. εἰ δὲ τῆς γνώσεως, καὶ τοῦ πράγματος αὐτοῦ· ὡς γὰρ ἔχει τὸ πρᾶγμα, οὕτως αὐτοῦ ἡ γνῶσις γίγνεται. φανερὸν δέ, φησίν, ὅτι ὁσαχῶς ἡ ἀρχὴ λέγεται, τοσαυταχῶς καὶ τὸ πέρας. ὃ εἰπὼν ἐπήνεγκε καὶ ἔτι πλεοναχῶς. ὅτι μὲν οὖν καὶ τὸ ὡς τέλος ἀρχὴ λεγόμενον καὶ τὸ εἶδος καὶ τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως πέρας λέγεται, εἴρηκεν· εἴη δ' ἂν καὶ ἡ ὡς ὕλη ἀρχὴ λεγομένη πέρας τῷ ἔσχατον ὑποκείμενον εἶναι, τὸ δὲ ἔσχατον καὶ πέρας λέγεσθαι. ὅτι δὲ μὴ τετραχῶς μόνον τὸ πέρας, ἀλλ' ἔστι καὶ ἄλλα σημαινόμενα πέρατος, ἃ οὐχ οἷόν τε ἐφαρμόσαι τῇ ἀρχῇ, ἐξ ὧν προείρηκε λέγων περὶ τοῦ πέρατος δῆλον· καὶ γὰρ τὸ ἔσχατον ἑκάστου, ὡς ὁ θάνατος, καὶ οὗ πρώτου μηδὲν ἔστιν ἔξω λαβεῖν, ὡς τοῦ σώματος ἡ ἐπιφάνεια, ἀλλὰ καὶ τὸ σχῆμα, ὧν οὐδέτερον ταὐτόν τινι τῶν ὡς αἰτίων περάτων λεγομένων. διὸ καὶ εὐλόγως εἶπεν ὅτι ἡ μὲν γὰρ ἀρχὴ πέρας τι, τὸ δὲ πέρας οὐ πᾶν ἀρχή, τὴν αἰτίαν λέγων.

Εκτίθεται δὲ καὶ τὰ τοῦ καθ' ὅ σημαινόμενα [οὗ λεγόμενά ἐστι τὸ καθ' ὃ λέγεται εἶναι, καὶ δι' ὃ τῶν ὑπαρχόντων τινὶ τὸ καθ' ὃ κατηγορούμενόν ἐστι, καὶ δι' ὃ καθ' ὃ τὸ εἶναι ἑκάστῳ. λέγομεν γὰρ τόδε τι εἶναι, ὅ ἐστι κατὰ τόδε] καὶ λέγει ἕνα μὲν τρόπον λέγεσθαι καθ' ὅ τὴν οὐσίαν καὶ τὸ εἶδος· ἕκαστον γὰρ λέγεται κατὰ τὸ εἶδος τοῦτο ὅ ἐστιν, ὃ καὶ οὐσίαν εἶπεν· ὅ τε γὰρ ἀνδριὰς κατὰ τὸ εἶδος ἀνδριάς, ὁμοίως καὶ ὁ ἄνθρωπος ἄνθρωπος κατὰ τὸ εἶδός ἐστι, καὶ ὁ ἵππος ἵππος. καὶ οὐ ἐν τῇ οὐσίᾳ τὸ ἀγαθόν, τούτου εἶδος τὸ κυρίως ἀγαθόν· ἀγαθὸν δὲ καθ' ὃ ὁ ἀγαθὸς ἀγαθός. τὸ δὲ αὐτὸ ἀγαθὸν εἶπεν ἀντὶ τοῦ, καθ' ὃ ὁ ἀγαθὸς ἀγαθός ἐστιν, ἀγαθὸν αὐτό· οὐ γὰρ κατ' ἄλλο τι ἀγαθὸς ὁ ἀγαθὸς ἢ κατὰ τὸ ἀγαθὸν καὶ τὴν τοῦ ἀγαθοῦ οὐσίαν. ἄλλον δὲ τρόπον τὸ καθ' ὅ λέγεσθαί φησιν, ἐν ᾧ πρώτῳ πέφυκέ τι γίγνεσθαι· κατὰ γὰρ ἐκεῖνο λέγεται ὑπάρχειν. οἷον τὸ σῶμα λέγεται κεχρῶσθαι κατὰ τὴν ἐπιφάνειαν, ὅτι πρώτη ἡ ἐπιφάνεια χρώματός ἐστι δεκτική. εἰπὼν δὲ καθ' ὅ τὸ κατὰ τὸ εἶδος καὶ τὴν οὐσίαν λέγεσθαι, προσθεὶς δὲ

---

2 γὰρ LF: om. A 9 τὸ ζῷον λογικὸν $A^2$LF: ζῷον τὸ λογικὸν $A^1$ 13 οὕτως καὶ ἡ γνῶσις αὐτοῦ L 19 πέρατος LFS: πέρατα A 23 οὐδέτερον L: οὐδέτερα A 26 οὗ λεγόμενα — τόδε (29) om. LFS 29 καὶ λέγει F: καὶ λέγων L: λέγει δὲ A 32 alterum ἵππος e S add. Bonitz

καὶ τὸ πρῶτον δεκτικόν, τὸ μὲν κυρίως καὶ πρώτως λεγόμενον καθ' ὅ τὸ εἶδος λέγει εἶναι· ἑκάστῳ γὰρ τῶν ὄντων κατὰ τοῦτο τὸ εἶναί ἐστιν· δευτέρως δὲ καὶ κατὰ τὴν ὕλην καὶ τὸ πρῶτον ὑποκείμενον, ὃ εἶπε πρῶτον δεκτικόν· ὡς γὰρ ἐν ὕλῃ πρώτῃ τῇ ἐπιφανείᾳ τὸ χρῶμα. ἕκαστον γὰρ τῶν φύσει ὄντων, ἀλλὰ καὶ τῶν τέχνῃ, οὐ κατὰ τὸ εἶδος μόνον ἔστι τε καὶ εἶναι λέγεται, ἀλλὰ καὶ κατὰ τὴν ὕλην· ὅ τε γὰρ ἄνθρωπος οὐ κατὰ τὸ εἶδος μόνον ἀλλὰ καὶ κατὰ τὴν ὑποκειμένην αὐτῷ ὕλην εἶναι λέγεται ἄνθρωπος, ὅ τε ἀνδριὰς οὐ κατὰ τὸ εἶδος μόνον ἀλλὰ καὶ κατὰ τὸν χαλκόν ἐστιν ἀνδριάς. ὁμοίως καὶ πᾶσα συναμφότερος οὐσία. ἔοικε δὲ καὶ τὸ πρῶτον δεκτικὸν τῇ ὕλῃ ὑπάγειν· καθόλου γὰρ ὕλην εἶπεν, ᾧ πρώτως τι ὑπάρχει ὡς ὑποκειμένῳ. καὶ τῇ ἐπιφανείᾳ δὲ πρώτῃ τὸ χρῶμα ὑπάρχει, καὶ εἴη ἂν ὕλη μὲν ἀνάλογον ἡ ἐπιφάνεια, εἶδει δὲ τὸ χρῶμα. ταῦτα εἰπὼν ὅτι τὸ καθ' ὅ καὶ κατὰ τὸ εἶδος καὶ κατὰ τὴν ὕλην λέγεται, καθόλου δέ, φησίν, ἰσαχῶς τό τε καθ' ὅ καὶ τὸ αἴτιον ὑπάρχει τε καὶ λέγεται· καθ' ἕκαστον γὰρ λέγεται αἴτιον τὸ καθ' ὅ τι ὑπάρχει. καὶ πρῶτον μὲν ὅτι τῷ τελικῷ αἰτίῳ ὁμοίως λέγεται ταῦτα δείκνυσι· λέγεται γὰρ τὸ κατὰ τί ἐλήλυθεν ἀντὶ τοῦ τίνος χάριν ἐλήλυθε· πρὸς γὰρ τὸν ἐρόμενον περί τινος κατὰ τί ἐλήλυθεν ὁ εἰπὼν οὗ ἕνεκεν ἐλήλυθεν, οἷον ὅτι διὰ τὴν εἴσπραξιν τῶν χρημάτων, δεόντως ἀποκρίνεται. ὁ δὲ εἰπὼν τὸ κατὰ τί ἐλήλυθε, τὸ καθ' ὅ ἐζήτει. ἀλλὰ καὶ ὁ ἐρόμενος κατὰ τί ὁ Ἰλιακὸς πόλεμος συνέστη, πόθεν ἡ ἀρχὴ τοῦ πολέμου τοῦ Ἰλιακοῦ ἐξετάζει, ὅ ἐστι πάλιν αἴτιον τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως· ὅτε γὰρ διὰ τὴν τῆς Ἑλένης ἁρπαγὴν εἶπε, τὸ καθ' ὅ δεδήλωκεν. ὅτι δὲ καὶ κατὰ τῆς κατὰ τὸ εἶδος αἰτίας καὶ τῆς κατὰ τὴν ὕλην λέγεται τὸ καθ' ὅ, εἴρηκεν. ἀλλὰ καὶ ὃ αὐτὸς παρατίθεται παράδειγμα τοῦ ποιητικοῦ αἰτίου δεικτικόν ἐστιν· ὁ γὰρ ἐξετάζων κατὰ τί παραλελόγισται, τὴν ποιητικὴν αἰτίαν μαθεῖν βούλεται· τί γὰρ τὸ ποιῆσαν τὸν παραλογισμὸν ἢ τί τὸν συλλογισμὸν μαθεῖν ἀξιοῖ. ἔτι πρὸς τοῖς εἰρημένοις | τρόποις τὸ καθ' ὅ σημαίνειν φησὶ θέσιν τινὰ καὶ 381
τόπον, τουτέστι τὸ ποῦ· ὁ γὰρ ἐξετάζων καθ' ὃ ἕστηκεν Ἀθήνησιν ὅδε ὁ ἀνδριάς, οἷον ὁ Ἀριστοτέλης, ποῦ κεῖται καὶ ἐν ποίῳ μέρει τῆς πόλεως μαθεῖν βούλεται. ὁμοίως καὶ ὁ ἐξετάζων καθ' ὃ περιπατεῖς ἐν ποίῳ μέρει τῆς πόλεως καὶ ἐν ποίῳ χωρίῳ περιπατεῖς μανθάνειν ἀξιοῖ· ὅτι γὰρ ἢ ἐν Λυκείῳ ἢ ἐν τῷ Κεραμεικῷ.

Εἰπὼν δὲ καὶ δείξας τὸ καθ' ὅ πολλαχῶς λεγόμενον, λέγοι ἂν ὅτι ἀνάγκη διὰ τοῦτο καὶ τὸ καθ' αὑτό πολλαχῶς λέγεσθαι· καθ' ὃ γὰρ τὸ καθ' αὑτὸ ὑπάρχει, καὶ ᾧ πρώτῳ ὑπάρχει τι, τούτῳ καὶ καθ' αὑτὸ ὑπάρχει· κατὰ γάρ τι τῶν καθ' αὑτὰ ὑπαρχόντων τὸ καθ' ὅ κατηγορεῖται. ἔσται δὴ

---

1 πρῶτον $A^1$LF: πρώτως $A^2$ 10 ὑπάγειν LF: ἐπάγειν A 11 ὑποκειμένῳ LFS: ὑποκείμενον A 15 τὸ καθ' ὅ τι LF: τῷ αἰτίῳ καθ' ὅτι A: ᾧ ἤτοι καθ' ὅ τι e S Bonitz 22 ὅτε Brandis Bonitz: ὅτι ALF 30 καὶ LFS: om. A 31 μαθεῖν—πόλεως (32) LFS: om. A 34 δείξας LFS: δόξας A καθὸ LFS: καθὼς A 35 καθὸ F: καθὰ AL 35. 36 καθ' ὅ—ὑπάρχει] *per quod enim quodque adest, per se adest* S: inde καθὸ γάρ τι, καθ' αὑτὸ ὑπάρχει coni. Bonitz τὰ καθ' αὑτὰ L 37 τὸ LFS: τὰ A δὴ LS: om. A

καὶ τοῦ καθ' αὑτό ἓν μὲν σημαινόμενον τὸ τί ἦν εἶναι ἑκάστου καὶ τὸ εἶδος· καθ' αὑτὸ γὰρ ἑκάστῳ τὸ οἰκεῖον εἶδος καὶ ὁ τῆς οὐσίας αὐτοῦ δηλωτικὸς λόγος ὑπάρχει· ὁ γὰρ Καλλίας καθ' αὑτὸ Καλλίας. καὶ ὅσα ἐν τῷ τί ἦν εἶναι εἴληπται, καθ' αὑτὸ ὑπάρχει ἐκείνῳ οὗ ἐστιν ὁ ὁρισμός. ἔστι δὲ ταῦτα τὸ γένος καὶ αἱ διαφοραί· καὶ τούτων οὖν ἕκαστον καθ' αὑτὸ ὑπάρχει Καλλίᾳ ὄντα τοῦ εἴδους μέρη. ἔτι δέ φησι τοῦ καθ' αὑτό σημαινόμενον εἶναι τὸ ἐν αὑτῷ δέχεσθαι πρώτῳ ἢ τῶν αὐτοῦ τινι· καθ' αὑτὴν γὰρ ἡ ἐπιφάνεια κέχρωσται, ὅτι πρώτη τὸ χρῶμα δέδεκται, ὡς εἶπε λέγων καὶ περὶ τοῦ καθ' ὅ· καὶ εἴη ἂν τὸ οὕτως καθ' ὅ κατὰ τὴν ὕλην. καὶ τὸ σῶμα δὲ αὐτὸ μὲν κατὰ τὴν ἐπιφάνειάν ἐστι κεχρωσμένον, ἡ δὲ ἐπιφάνεια καθ' αὑτήν· τῷ δὲ τὴν ἐπιφάνειαν τὴν πρώτην τε καὶ καθ' αὑτὴν τὸ χρῶμα δεδεγμένην εἶναί τι τοῦ σώματος, τούτῳ καὶ τὸ σῶμα καθ' αὑτό ἐστι κεχρωσμένον· ἦν γὰρ οὐ μόνον τὸ ἐν αὑτῷ τι δεδεγμένον πρώτῳ καθ' αὑτὸ τοιοῦτον, ἀλλὰ κἂν τῶν αὐτοῦ τι εἴη πρῶτόν τι δεδεγμένον· πέρας δὲ τοῦ σώματος ἡ ἐπιφάνεια. διὰ γὰρ τοῦτο καθ' αὑτὸ ζῇ τὸ ζῷον, ὅτι ἡ ψυχὴ οὖσά τι τοῦ ζῴου πρώτη τὸ ζῆν ἔχει· ζῇ γὰρ ὁ ἄνθρωπος καθ' αὑτόν, ὅτι ἐν μέρει ἐστὶν ἡ ζωὴ πρώτῳ· ἐν γὰρ τῇ ψυχῇ πρώτῃ τὸ ζῆν, ἥτις μέρος ἐστὶ τοῦ ἀνθρώπου. εἴη δ' ἂν τὸ σημαινόμενον τοῦτο καὶ ἐπὶ τῆς ὕλης ἁρμόζον· τὸ γὰρ μέρος ὂν ἕν τινι ὕλης λόγον ἐπέχει, [καὶ ἐν ὕλῃ τὸ ἓν ἔχει τι τὸ ἐν μέρει αὐτοῦ]. ἐν ἄλλοις μέντοι τὸ μὲν πρώτως τι δεχόμενον καθ' αὑτὸ λέγει, τὸ δὲ κατὰ μόριον κατὰ συμβεβηκός. ἔτι φησὶ καθ' αὑτὸ λέγεσθαι καὶ οὗ μή ἐστιν ἄλλο αἴτιον. ὃ τί ποτέ ἐστιν, ἐδήλωσε τῇ τοῦ παραδείγματος παραθέσει· | τοῦ μὲν γὰρ 382 τὸν ἄνθρωπον εἶναι πολλὰ αἴτια (καὶ γὰρ τὸ εἶδος καὶ ἡ ὕλη καὶ ἕκαστον τῶν ἐν τῷ ὁρισμῷ ἐνυπαρχόντων, ἀλλὰ καὶ τὸ ποιῆσαν), τοῦ μέντοι τὸν ἄνθρωπον ἄνθρωπον εἶναι οὐδὲν ἔξωθέν ἐστιν αἴτιον· ὁ γὰρ ἐρωτηθεὶς διὰ τί ὁ ἄνθρωπος ἄνθρωπός ἐστιν, οὐδὲν ἄλλο εἰπεῖν ἔχει ἢ ὅτι ἔστιν ἄνθρωπος. ἔτι, φησί, καθ' αὑτὸ ὑπάρχει καὶ ὅσα μόνῳ ὑπάρχει τινὶ καὶ ᾗ μόνον. λέγοι δ' ἂν διὰ τούτων καὶ τὰ ἴδιά τινων καθ' αὑτὰ ὑπάρχοντα ἐκείνοις. ἐδήλωσε δὲ τὸν λόγον τῶν ἰδίων διὰ τοῦ εἰπεῖν μόνῳ ὑπάρχειν καὶ ᾗ μόνον· τὸ γὰρ ᾗ μόνον δηλωτικόν ἐστι τοῦ παντὶ ὑπάρχειν, οὐ τῷδε μὲν τῶν ἐν αὐτῷ ὑπάρχειν τῷδε δὲ οὔ· ὃ δὴ μόνῳ καὶ παντὶ ὑπάρχει, τοῦτο ἴδιον αὐτοῦ, εἰ καὶ μὴ τί ἦν εἶναι αὐτοῦ ἐστιν. διότι γὰρ ὥρισται καὶ ὡρισμένως ὑπάρχει, καὶ οὐ τῷδε μὲν τῷδε δὲ οὔ, οὐδὲ ποτὲ μὲν ποτὲ δὲ μή, οὐδὲ πρὸς τούτῳ καὶ ἄλλῳ τινὶ ὑπάρχει, κατὰ τοῦτο τὸ οὕτως ὑπάρχον καθ' αὑτό. οὕτως καὶ ἡ μονότης τοῦ καθ' αὑτὸ ὑπάρχοντος δηλωτική· ὃ γὰρ μόνῳ ὑπάρχει, καὶ καθ' αὑτὸ ὑπάρχειν ἐκείνῳ δοκεῖ. τὸ δὲ διὸ τὸ κε-

---

1 ἑκάστου LFS: ἕκαστον A 7 σημαινόμενον Bonitz: σημαινομένου ALF ἐν αὐτῷ libri 8 δέδεκται LFS: δέδεικται A 11 αὑτήν (ante τῷ) LFS: αὑτά A 13 ἐν αὐτῷ libri 14 εἴη] ᾗ coni. Bonitz 19 καὶ LFS: om. A 20 καὶ ἐν — αὐτοῦ om. LF: τι τὸ — αὐτοῦ om. S: τὸ ἓν ἔχει τι iterat A 22 οὗ μή LFS: οὐ μὴν A 28. 29 et 30 ᾗ μόνω L (μόνῳ etiam Ascl. habet) 30 εἰπεῖν ὅσα μόνω LF ὑπάρχει F 31 παντὶ ὑπάρχειν LF: πᾶν ὅ τινι ὑπάρχει A 32 αὐτοῦ LFS: καὶ ἡ αὐτὴ A: καὶ ᾗ αὐτό Brandis Bonitz

χωρισμένον καθ' αὑτό δηλωτικὸν ἂν εἴη τοῦ διὰ τοῦτο γὰρ τὰ τοιαῦτα καθ' αὑτά, ὅτι ὡρισμένως τούτοις μόνοις ὑπάρχει. γράφεται καὶ διὸ τὸ κεχρωσμένον καθ' αὑτό, καὶ εἴη ἂν λεῖπον τὸ τῇ ἐπιφανείᾳ· καθ' αὑτὸ γὰρ λέγεται τῇ ἐπιφανείᾳ.

Λέγει δὲ καὶ τὴν διάθεσιν πολλαχῶς λέγεσθαι· τοῦ γὰρ ἔχοντος μέρη ἡ διάθεσις τάξιν τινὰ σημαίνει τῶν μερῶν, ἤτοι τὴν κατὰ τόπον καὶ θέσιν, ἥτις ἐπὶ τῶν συνηγμένων ἂν εἴη, ὡς τῶν ὄντων ἐν τόπῳ, ὅταν λέγωμεν τὸ στρατόπεδον διακεῖσθαι καλῶς τῷ κατὰ μὲν τόνδε τὸν τόπον τὸ ἱππικὸν μέρος αὐτοῦ τετάχθαι κατὰ δὲ τόνδε τὸ πεζόν, καὶ διάθεσιν οἰκίας τὴν τεταγμένην κατὰ τόπον τὴν τῶν μερῶν θέσιν· ἢ κατὰ δύναμιν, ὡς ἔχει ἐπὶ τῶν τῆς ψυχῆς μερῶν· ἔστι γὰρ ἡ μὲν πρώτη δύναμις αὐτῶν ἡ δὲ δευτέρα, πρώτη μὲν ἡ θρεπτική, δευτέρα δὲ ἡ αἰσθητική· ἢ τὴν κατὰ τὸ εἶδός τε καὶ τὴν μορφήν, ὡς ὅταν λέγωμεν τὴν τοῦ ἀνδριάντος διάθεσιν ἢ τῆς εἰκόνος. ὃ δὲ ἐπιλέγει. θέσιν γὰρ δεῖ τινα εἶναι. ὥσπερ καὶ τοὔνομα δηλοῖ ἡ διάθεσις. ἐπὶ μὲν τῆς κατὰ τόπον τάξεως τῶν μερῶν καὶ τῆς κατὰ τὸ εἶδος κυρίως δόξει λέγεσθαι. οὐκέτι δὲ ἐπὶ τῆς κατὰ τὰς δυνάμεις τάξεως. ἀλλὰ καὶ κοινῶς ἂν λέγοιτο ἐπὶ τῶν δυνάμεων ἡ θέσις, ἢ κατὰ συμβεβηκός· τῷ γὰρ τὰ ὧν αἱ δυνάμεις θέσιν ἔχειν, διὰ τοῦτο κατὰ συμβεβηκὸς καὶ ἡ κατ' εἶδος διάθεσις ἐν θέσει ἦν. θέσις δέ ἐστιν, ὡς εἰρήκαμεν | ἐν Κατηγορίαις, ἐν τοῖς ὑπομένουσιν ἄλληλα μορίοις. 383 οὕτω δὲ ἔχει καὶ ἐπὶ τῆς διαθέσεως τῆς κατὰ τὰς δυνάμεις τε καὶ τὰ εἴδη.

Καὶ τῆς ἕξεως δὲ τὴν μέν τινα εἶναί φησιν ἐνέργειαν τοῦ ἔχοντός τε καὶ ἐχομένου· ἡ γὰρ ἀμφοῖν ἐνέργεια τοῦ τε ἔχοντος καὶ τοῦ ἐχομένου, ὅταν τό τε ἔχον ἐνεργείᾳ ἔχῃ ὃ ἔχει καὶ μὴ δυνάμει, καὶ τὸ ἐχόμενον ὁμοίως ἐνεργείᾳ ἔχηται, ἕξις ἐστίν, ἔχοντος καὶ ἐχομένου οὖσα ἐνέργεια. οὕτως ἕξις ἱματίου καὶ ἕξις χιτῶνος ἀπὸ τοῦ ἔχειν ὠνομασμένη, οἷον ἔχησίς τις οὖσα· ὡς γὰρ τοῦ ποιοῦντος καὶ τοῦ ποιουμένου μεταξὺ ἡ ἐνέργεια ποίησις, οὕτω καὶ ἡ τοῦ ἔχοντός τε καὶ ἐχομένου ἕξις μεταξὺ οὖσα καὶ ἐν τῇ ἀμφοτέρων ἐνεργείᾳ τὸ εἶναι ἔχουσα. εἰπὼν δὲ τῆς τε ἐχομένης ἐσθῆτος καὶ τοῦ ἔχοντος αὐτὴν μεταξὺ τὴν ἕξιν εἶναι, οὐχ ὥσπερ τῆς ἐσθῆτος ἕξις ἐστίν. οὕτως ἐστί. φησί, καὶ τῆς ἐσθῆτος ἕξεως ἕξις. προσέθηκε δὲ τὸ ταύτην, ὅτι τῆς τοιαύτης καὶ οὕτω λεγομένης ἕξεως ἕξις οὐκ ἔστιν, οὐδὲ ἔστι πάλιν ταύτην τὴν ἕξιν ἔχειν ὡς τὸ ἱμάτιον· εἰς ἄπειρον γὰρ ἂν προΐοι, εἰ εἴη καὶ τῆς ἕξεως τῆς τοιαύτης ἕξις πάλιν, ὡς ἦν ἡ τοῦ ἱματίου· τῆς γὰρ κατ' ἄλλο σημαινόμενον ἕξεως ἔστιν ἕξις, ὡς τῆς ἀρετῆς καὶ τῆς ἐπιστήμης τε καὶ τέχνης. τὸ δὲ εἰ τοῦ ἐχομένου ἔσται ἔχειν

---

1 τὰ τοιαῦτα LF: τοιαῦτα τὰ A 7 συνημμένων LF 8 τῷ LFS: τὸ A τόπον LMS: τρόπον A 10 τόπον c. S Bonitz: τρόπον ALM 15 μὲν LF: om. A 19 κατὰ συμβεβηκὸς καὶ LS: ante καὶ add. δὲ A 20 ἐν Κατηγορίαις] c. 6 p. 5a27 23 φησιν LFS: φασιν A 27 ὠνομασμένη LM: ὠνομασμένην A ἔχησις] ἔχεια LF 31 τὴν LFS: καὶ τὴν A 32 οὕτως ἐστί LF: οὕτω δὲ A 34 τὴν ἕξιν L: τὴν om. A 35 προΐοι LF: προίη A 37 καὶ τῆς L: om. A

τὴν ἕξιν δηλωτικόν ἐστι τοῦ εἰ ἐπὶ τῆς ἕξεως τῆς τοῦ ἐχομένου λεγομένης ἕξις πάλιν εἴη, ὡς εἶναι πάλιν ἐκείνην τὴν ἕξιν ἔχειν· ὡς γὰρ τῆς πρώτης τε καὶ τῆς δευτέρας καὶ τρίτης, εἴη ἂν καὶ τῆς εἰς ἄπειρον· αὐτὴ γὰρ ἡ ἕξις ἄλλου λέγεταί τινος καὶ ἐχομένου ἐστίν, ἀλλ' οὐχ ἕξεως. ἄλλο δὲ σημαινόμενον ἕξεως ἐκτίθεται τὸ κατὰ τῶν διαθέσεων λεγόμενον· ἕξις γὰρ καὶ ἡ διάθεσις, ὡς λέγεται ὑγιεινὴ ἕξις ἢ νοσώδης. ἡ μὲν οὖν ὑγιεινὴ καὶ νοσώδης διάθεσίς τε καὶ ἕξις κατ' αὐτὸν τὸν ἔχοντά εἰσιν, αἱ δὲ κατὰ τὰς ἀρετάς τε καὶ κακίας καὶ πρὸς ἄλλους· ἡ γὰρ δικαιοσύνη ἕξις ἐστὶ καθ' ἣν τὸ διακείμενον εὖ διάκειται καὶ πρὸς αὐτὸ καὶ ἄλλο. οὕτως ἕξεις καὶ αἱ τέχναι πᾶσαι λέγοιντο ἂν καὶ αἱ κακοτεχνίαι, καὶ εἴη ἂν ὁ λόγος τῆς τοιαύτης ἕξεως ποιότης ἔμμονος, καθ' ἣν αἱ κατὰ μέρος ἐνέργειαι ἐνεργοῦνται ἢ εὖ ἢ κακῶς. τῶν τοιούτων ἕξεων ἕξιν λέγει. ἔτι ἕξιν λέγει καὶ τὸ μόριον τῆς τοιαύτης διαθέσεως, οἷον εἴ τις ὑγιεινῶς ἔχει τοῦ σώματος ἢ πάλιν ἐπινόσως· καὶ γὰρ τὰ μόρια τὰ οὕτως ἔχοντα ἕξεις ἔχειν λέγεται, καὶ τῶν φυσικῶν δὲ ἀρετῶν γίνονταί τινες καθ' αὑτάς τε καὶ περὶ μόρια, καὶ τῆς τέχνης τὸ μόριον ἕξις καὶ αὐτό. |

Τὸ πάθος τὸ μέν τι λέγει ποιότητα λέγεσθαι, καθ' ἣν ἀλλοιοῦνται τὰ σώματα· ταῦτα δέ ἐστιν ἅτινα παθητικὰς ποιότητας καὶ πάθη εἶπεν ἐν Κατηγορίαις. καὶ κατὰ βαρύτητα δὲ καὶ κουφότητα. ἃς καὶ αὐτὰς ποιότητας πάλιν λέγει, ἀλλοίωσις ἂν γίνοιτο τότε, ὅταν μένοντα τὰ σώματα ἐν τῷ οἰκείῳ εἴδει ἐπίτασιν ἢ ἄνεσιν κατά τι τούτων λαμβάνῃ· εἰ γὰρ μὴ οὕτως, γενέσεις γίνονται καὶ φθοραὶ αἱ κατὰ ταῦτα μεταβολαί. πάθος φησὶ καὶ τὰς κατὰ τὰ προειρημένα πάθη κινήσεις τε καὶ ἀλλοιώσεις ἤδη γιγνομένας· τὰ γὰρ πρῶτα ἦν καθ' ἃ ἐνεδέχετο ἀλλοιοῦσθαι, τὰ δὲ κατὰ ταῦτα ἀλλοιώσεις, οἷον τὸ λευκαίνεσθαι ἢ μελαίνεσθαι ἢ ψύχεσθαι ἢ θερμαίνεσθαι. καὶ ἔστιν τοῦτο τὸ οὕτω λεγόμενον πάθος κίνησίς τις ἢ κατὰ σῶμα ἢ κατὰ ψυχὴν πρόσκαιρος. ἔτι δὲ μᾶλλον τῶν προειρημένων παθῶν πάθη φησὶ λέγεσθαι τὰς βλαβερὰς ἀλλοιώσεις, εἴτε κατὰ ψυχὴν εἶεν εἴτε κατὰ σῶμα, καὶ μάλιστα τὰς πρὸς τῷ βλαβερῷ καὶ τὸ λυπηρὸν ἐχούσας, ὡς τὰς νοσώδεις ἐνοχλήσεις καὶ τὰς λυπηρὰς τὰς ἡμαρτημένας. ἔτι καὶ τὰ μεγέθη τῶν συμφορῶν πάθη λέγεται, ὡς τοῦ πάθους ὄντος ἐν μεγέθει λυπηροῦ κακοῦ. οὕτως ἐν πάθει λέγεται ὁ τέκνων στερηθεὶς ἢ πατρίδος ἤ τι ἐξαίσιον λυπηρὸν παθών.

Καὶ τὴν στέρησιν δὲ πλεοναχῶς φησι λέγεσθαι· λέγεται γὰρ ἐν στερήσει εἶναι τά τε μὴ ἔχοντά τι τῶν πεφυκότων ἔχεσθαι, κἂν αὐτὰ μὴ ᾖ πεφυκότα ἔχειν αὐτά. οὕτως ὁ τοῖχος ὄψεως ἐστερῆσθαι λέγεται καὶ τὰ φυτά. καὶ εἴη ἂν ἡ τοιαύτη στέρησις ἀποφάσει ἴση, ὅταν τῶν ὑπάρχειν ὅλως τισὶ πεφυκότων λέγηται τούτων τὰ οἷς οὐ πέφυκεν ὑπάρχειν ἐστερῆ-

---

1 τῆς τοῦ LF: τῆς om. A 12 ἔτι ἕξιν λέγει L: om. A 15 ἀρετῶν LF: ἀρεταὶ A 16. 17 καὶ αὐτό. τὸ πάθος τὸ LS: καὶ αὐτὸ τὸ πάθος. τὸ A 17 μέν τι LF: μέντοι A 18. 19 ἐν Κατηγορίαις] 8 p. 9a28 21 λαμβάνῃ LF: λαμβάνοι A 26 τοῦτο τὸ οὕτω LF: οὕτω τοῦτο A 30 λύπας LF 37 ὅταν περὶ τῶν LF 38 λέγηται ἐπὶ τούτων· οἷς LF

σθαι. λέγεται ἐστερῆσθαι καὶ τὸ πεφυκός τι ἔχειν ἢ αὐτὸ ἢ τὸ γένος ἐν
ᾧ ἐστιν, ὅταν μὴ ἔχῃ, οἷον ἄνθρωπος μὲν ἐστερῆσθαι ὄψεως λέγοιτ' ἂν
τῷ αὐτὸς πεφυκὼς ἔχειν μὴ ἔχειν, ἀσπάλαξ δὲ ἐστερῆσθαι λέγεται ὄψεως
οὐ τῷ αὐτὸς ἔχειν πεφυκέναι, ἀλλὰ τῷ τὸ γένος ἐν ᾧ καὶ αὐτός ἐστι πε- 25
5 φυκέναι ὄψιν ἔχειν· τοιοῦτον γὰρ τὸ πεζὸν καὶ τὸ τετράπουν. οὕτω καὶ
τὰ σκυλάκια λέγοιτ' ἂν ἐστερῆσθαι ὄψεως ὡς πεφυκότα αὐτὰ ἔχειν καὶ
μήπω ἔχοντα. ἄλλως ἐστερῆσθαι λέγεται τὸ μὴ ἔχον τι τότε ὅτε πέφυκεν
ἔχειν· οὐ γὰρ κατὰ πᾶσαν ἡλικίαν τυφλὸν λέγεται, ἀλλ' ὅτε πεφυκὸς ἔχειν
μὴ ἔχει. εἰ δὲ ἡ τυφλότης στέρησις ὄψεώς ἐστιν, ὅτε τυφλόν ἐστι, τότε
10 ἐστέρηται. τὰ δὲ προσκείμενα ἐν ᾧ ἂν ᾖ καὶ καθ' ὃ καὶ πρὸς ὃ καὶ 30
ὡς ἂν | τὸ μὲν καθ' ὃ δηλωτικόν ἐστι τοῦ μὴ ἔχειν ὃ πέφυκεν ἔχειν 385
ἐν ᾧ· τὸ γὰρ καθ' ὃ τοῦ μορίου δηλωτικόν ἐστιν. καθ' ὃ γὰρ μόριον
πέφυκεν ἔχειν, ἂν μὴ ἔχῃ, ἐστέρηται· οὐ γὰρ ὁ μὴ βλέπων τοῖς ὠσὶν
ἐστέρηται, ἀλλ' ὁ τοῖς ὀφθαλμοῖς. πρὸς ὃ δέ, ἂν ὅπερ πέφυκεν ἡ ὄψις
15 ὁρᾶν μὴ βλέπῃ· οὐ γὰρ ὁ τὴν φωνὴν μὴ βλέπων τυφλός. τὸ δὲ καὶ ὡς 5
δηλωτικόν ἐστι τοῦ τυφλὸν τότε καὶ ἐστερημένον εἶναι, ἂν ὡς πέφυκέ τι
ὁρᾶν μὴ βλέπῃ· οὐδεὶς γὰρ τὸν ἄνθρωπον τυφλὸν ἐρεῖ, ὅτι τὰ ὄπισθεν οὐ
βλέπει ἢ τὰ ἐκ πολλοῦ διαστήματος. καὶ τὸ ἐν ᾧ δὲ ἂν ᾖ προσκείμενον
εἴη ἂν τοῦ δι' οὗ δηλωτικόν· οὐ γὰρ τυφλὸς ὁ ἐν νυκτὶ μὴ ὁρῶν ἀλλ' ὁ
20 ἐν φωτί. λέγεσθαί φησι στέρησιν καὶ τὴν βίαιόν τινος ἀφαίρεσιν, οἷον ἱματίου 10
ἐστέρηται ὃ μετὰ βίας ὑπό τινος ἀφῃρέθη, καὶ τῶν ἰδίων ἐστερῆσθαί τις λέ-
γεται, ὅτι ὁ τύραννος αὐτὰ μετὰ βίας ἀφείλετο. καὶ ὁσαχῶς δέ, φησίν, αἱ
ἀποφάσεις αἱ ἀπὸ τοῦ ἄλφα λέγονται, τοσαυταχῶς καὶ αἱ στερή-
σεις. ἀποφάσεις δὲ ἀπὸ τοῦ ἄλφα λέγει τὰς στερητικὰς ἀναιρέσεις· κυρίως
25 γὰρ ἀπόφασις ἡ διὰ τοῦ οὔ. ὁσαχῶς δή, φησίν, αἱ διὰ τοῦ α ἀναιρέσεις τε
καὶ ἀποφάσεις τινῶν γίνονται, τοσαυταχῶς λέγεσθαι καὶ τὰς στερήσεις· 15
στερήσεως γὰρ ἡ διὰ τοῦ α ἀπόφασις δηλωτική. καὶ παρατίθεται καὶ διὰ
τῶν παραδειγμάτων δείκνυσιν αὐτῶν τὴν διαφοράν. ἄνισον μὲν γὰρ τὸ
πεφυκὸς ἰσότητα ἔχειν καὶ μὴ ἔχον λέγεται, ὥστε ἡ στέρησις καὶ τοῦτο
30 σημαίνει· ἀόρατον δὲ λέγεται μὲν καὶ τὸ πεφυκὸς ὁρᾶσθαι καὶ μὴ ὁρώ-
μενον, ὃ ἐδήλωσε διὰ τοῦ ὡς προειρημένου τοῦ ἐπὶ τοῦ ἀνίσου προσθεῖναι
καὶ τῷ ὅλως μὴ ἔχειν χρῶμα· λέγεται γὰρ καὶ τὸ τὴν ἀρχὴν μήτε 20
πεφυκὸς ὁρᾶσθαι μήτε ἔχον χρῶμα, ὡς ὅταν λέγωμεν τὴν φωνὴν ἀόρατον
εἶναι· ὥστε καὶ κατὰ τούτου ἡ στέρησις τοῦ σημαινομένου, ὅ ἐστι τὸ ἀδύ-

---

8 ἡλικίαν τυφλὸν τὸ πεφυκὸς ἔχειν LF 9 εἰ LF: ἡ A ἡ τυφλότης—τυφλόν ἐστι LF: τυφλότης στέρησίς ἐστι, καὶ τὸ τυφλὸν A 10 τὰ δὲ προσκείμενα LF: om. A, qui post ὡς ἂν (11) add. προσκείμενον 10. 11 ἐν ᾧ—ὡς ἂν om. LF 11. 12 δηλωτικόν ἐστι τοῦ τὸν μὴ ἔχοντα ὅτε πέφυκεν ἔχειν· τὸ δὲ ἐν ᾧ τοῦ καθὸ τοῦ μορίου LF 12 ἐν—ἔχειν (13) M: om. A ἐν ᾧ] *qua parte habere debet* S; inde ἐν ᾧ μορίῳ πέφυκεν ἔχειν coni. Bonitz 21 ἀφῃρέθη FS: ἀφαιρέθη A: ἀφαιρεθῆ L 23 λέγονται LF: λέγωνται A 31 post ὁρώμενον addendum καὶ τὸ ὅλως μὴ πεφυκὸς ὁρᾶσθαι censet Bonitz ὡς προειρημένου τοῦ] ὡς ἐπὶ τοῦ om. LF: τῷ προειρημένῳ τῷ e S coni. Bonitz ante τοῦ ἐπὶ lac. A 31. 32 προσθεῖναι δὲ καὶ LF 32. 33 μήτε πεφυκὸς LF: μήπω πεφυκὸς A

νατον. πάλιν ἄπουν λέγεται τό τε μηδὲ ὅλως πεφυκὸς πόδας ἔχειν, ὡς τὰ ἑρπετά, καὶ τὸ φαύλους ἔχον, ὥστε καὶ κατὰ φαύλως τι ἔχοντος ἡ στέρησις λέγεται. λέγεταί τι στερητικῶς διὰ τοῦ α καὶ τῷ μικρόν τι ἔχειν, ὡς τὸ ἀπύρηνον· τὸ γὰρ μικρὸν καὶ φαῦλον τὸν πυρῆνα ἔχον. οὕτω καὶ ἀτράχηλοι λέγονται. καὶ κατὰ τούτου οὖν ἡ στέρησις. ἔτι λέγεται διὰ τοῦ α καὶ τὸ μὴ ῥᾳδίως ἢ μὴ καλῶς παθεῖν τι δυνάμενον, ὡς τὸ ἄτμητον· οὐ γὰρ μόνον τὸ μὴ τεμνόμενον ἄτμητον λέγεται, ἀλλὰ καὶ τὸ μὴ ῥᾳδίως τεμνόμενον ἢ μὴ καλῶς μηδὲ ὡς ὁ τέμνων βούλεται. εἰπὼν δὲ τὰς κατὰ τὸ α διαφορὰς τῶν στερήσεων σημαινομένας, αἵτινες ἦσαν οὕτως λεγόμεναι ἢ ἐπὶ τῶν πεφυκότων τι ἔχειν καὶ μὴ ἐχόντων, ἢ ἐπὶ τῶν ἀδυνάτων | ἔχειν καὶ διὰ τοῦτο μὴ ἐχόντων, ἢ ἐπὶ τῶν φαύλως καὶ μικρὸν 386 ἐχόντων, ἢ ἐπὶ τῶν μὴ ῥᾳδίως ἢ μὴ καλῶς δυναμένων, προστίθησι καὶ ἄλλο σημαινόμενον στερήσεως· τὸ γὰρ πάντῃ μὴ ἔχον τι, οὐ τὸ κατὰ μέν τι ἔχον κατὰ δέ τι μή, ἐστερῆσθαι· τυφλὸς γὰρ ὁ ἀμφοτέρους τοὺς ὀφθαλμοὺς πεπηρωμένος, καὶ κωφὸς ὁ τὰ ὦτα ἀμφότερα ἀλλ' οὐχ ὁ τὸ ἕτερον. διὰ δὲ τοῦτο, φησί, τὸ τοὺς μὴ ὅλως τι ἔχοντας λέγεσθαι μὴ ἔχειν αὐτό, καὶ τοὺς ὁλοκλήρως ἔχοντάς τι ἔχειν ἐκεῖνο λέγεσθαι, οὔτε πᾶς ἢ δίκαιος ἢ ἄδικος· ὅ τε γὰρ κακὸς ἔοικε τῷ παντελῶς ἐστερημένῳ ἀρετῆς καὶ ὁ ἄδικος τῷ δικαιοσύνης, ἀλλὰ καὶ ὁ ἀγαθὸς καὶ δίκαιος τοῖς ὁλοκλήρως τοιούτοις. ὥσπερ οὖν τοῦ ἁπλῶς βλέποντος καὶ τοῦ ἁπλῶς τυφλοῦ μεταξύ ἐστιν ὁ ἑτερόφθαλμος. οὕτως ἂν εἶεν καὶ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ καὶ τοῦ δικαίου τε καὶ τοῦ ἀδίκου μεταξὺ οἱ μηδέπω μὲν πάντῃ κατορθοῦντες μηδὲ ἕξεις ἔχοντες ἐν τοῖς βελτίοσι, φαντασίας μέντοι ὑγιεῖς καὶ δόξας ὀρθὰς παρέχοντες καὶ ἔνια πράσσοντες οὕτως ὡς ἂν ὁ ἀγαθὸς πράξειε καὶ προαιρέσεις τοῖς ἀγαθοῖς ἐν πολλοῖς σώζοντες ὁμοίως.

Τὸ ἔχειν [ἕνα μὲν τρόπον] λέγεσθαι καὶ αὐτό φησι πολλαχῶς. ἕνα μὲν τρόπον τὸ ἄγειν κατὰ τὴν αὑτοῦ φύσιν ἢ κατὰ τὴν ὁρμὴν τὴν αὑτοῦ· οἷον κατὰ τὴν αὑτοῦ φύσιν ὁ πυρετὸς ἄγει τοὺς ἐχομένους ὑπ' αὐτοῦ· οὕτως γὰρ αὐτοὺς διατίθησιν ὡς τὴν αὐτοῦ φύσιν διαλαμβάνειν καὶ πυρέττειν. κατὰ δὲ τὴν αὐτῶν ὁρμὴν διατιθέασι τοὺς ἐχομένους καὶ τὰς πόλεις οἱ τύραννοι· ἄγουσι γὰρ αὐτοὺς ἐφ' ἃ ἂν ὁρμήσωσι, καὶ χρῶνται αὐτοῖς ὡς θέλουσι. καὶ τὸν χιτῶνα δὲ οὕτως ἔχειν λεγόμεθα· ὅτι γὰρ χρώμεθα αὐτῷ ὡς ἂν θέλωμεν. λέγεται τὸ ἔχειν καὶ ἀντιστρόφως τῷ ἄγειν κατὰ τὴν ἑαυτοῦ ὁρμήν· καὶ γὰρ τὸ ἀγόμενον ὑπό τινος οὕτως ὡς ἕπεσθαι τῇ ὁρμῇ ἐκείνου, ἔχειν ἐκεῖνο λέγεται, ὡς λέγεται πόλις τύραννον ἔχειν, ὅταν ἄγηται ὑπ' αὐτοῦ. τοῦτο τὸ σημαινόμενον οὐ παρέθετο, ἴσως δεδηλωμένον καὶ αὐτὸ διὰ τοῦ ᾧ ἀντιστρέφει. ἔχειν λέγεται καὶ τὸ δεκτι-

---

1 πόδας LFS: πόδα A 2 φαύλους LF: φαύλως A 3 λέγεταί τι LFS: λέγεσθαί τι A τῷ LFS: τὸ A 7 μὴ τεμνόμενον LF: μὴ om. A 11 φαύλως καὶ μικρὸν L: φαύλων ὡς καὶ μικρῶν A 14 post ἐστερῆσθαι add. λέγεται L 15 ὦτα MS: om. ALF 16 μὴ ὅλως A: οὐδ' ὅλως LF: μηδ' ὅλως coni. Bonitz 19 ὁλοκλήρως S Brandis Bonitz: ὁλοκλήροις ALF 26 ἕνα μὲν τρόπον L: om. FS: τρόπον post λέγεσθαι ponit A 27 ἢ κατὰ — φύσιν (28) LFS: om. A

κόν τινος, ὅταν αὐτὸ δέξηται· οὕτως ὁ χαλκὸς τὸ εἶδος τοῦ ἀνδριάντος ἔχει (ὧν γὰρ αὐτοῦ δεκτικὸς ἐδέξατο αὐτό), καὶ τὴν νόσον τὸ σῶμα καὶ καθόλου ἡ ὕλη τὸ εἶδος ἔχειν λέγεται. ἔχειν λέγεται καὶ τὰ περιέχοντα τὰ περιεχόμενα· ἔχεσθαι γὰρ ὑπὸ τοῦ περιέχοντος λέγεται τὸ περιεχόμενον. οὕτως ἀγγεῖα ἔχειν λέγεται τὰ ἐν αὐτοῖς ὑγρά, καὶ ὁ τόπος τὰ ἐν τῷ τόπῳ. καὶ ἡ πόλις τοὺς πολίτας. καὶ ἡ ναῦς τοὺς ἐπιβάτας. καὶ τὸ ὅλον δὲ τὰ μέρη οὕτω φησὶν ἔχειν περιέχον αὐτά. | ἔχειν λέγεται καὶ τὰ κω- 387 λύοντά τινα κατὰ τὴν αὐτῶν ὁρμὴν ἢ φύσιν πράττειν τι ἢ κινεῖσθαι· οὕτως οἱ κίονες ἔχειν λέγονται τὰ ἐπικείμενα αὐτοῖς, ἀνέχοντες αὐτὰ καὶ κωλύοντες κατὰ τὴν αὐτῶν φύσιν φέρεσθαι κάτω. οὕτως καὶ τὸν Ἄτλαντα οἱ ποιηταὶ τὸν οὐρανὸν ἔχειν λέγουσιν· "Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης"· ὡς γὰρ συμπεσουμένου ἐπὶ τὴν γῆν κατὰ τὴν αὐτοῦ φύσιν, εἰ μὴ ἔχοιτο καὶ ἀνέχοιτο ὑπ' αὐτοῦ. οὕτω καὶ τῶν φυσικῶν ὅσοι διὰ τὴν δίνην μένειν τὸν κόσμον λέγουσι καὶ μὴ συμπίπτειν, λέγοιεν ἂν αὐτὸν ὑπὸ τῆς δίνης ἔχεσθαι. κατὰ τοῦτο τὸ σημαινόμενον, φησί, τοῦ ἔχειν καὶ τὰ συνέχοντά τινα καὶ κωλύοντα τοῦ σκίδνασθαι ἔχειν λέγεται· ἔχει γὰρ [ἢ θέσθαι ὡς] ὁ δεσμὸς τὰ ξύλα καὶ ἡ κόλλα τὰ κεκολλημένα. οὐχ ὁμοίως ὁ τύραννος ἔχειν ἐλέγετο τὴν πόλιν· ὁ μὲν γὰρ τύραννος τῷ ἄγειν κατὰ τὴν αὐτοῦ ὁρμήν, ταῦτα δὲ τῷ κωλύειν κινεῖσθαι κατὰ τὴν αὐτῶν ὁρμήν τε καὶ ῥοπὴν τὰ ἐχόμενα ὑπ' αὐτῶν. ὁμοίως δέ, φησί, τῷ ἔχειν καὶ τὸ ἔν τινι εἶναι ῥηθήσεται· καθ' ἕκαστον γὰρ σημαινόμενον τοῦ ἔχειν ἔσται καὶ ἐχόμενόν τι ἐν αὐτῷ· τό τε γὰρ ἀγόμενον κατὰ τὴν ἄλλου φύσιν ἢ ὁρμὴν ἔχεσθαι ὑπ' ἐκείνου λέγεται, ὡς ἡ πόλις ὑπὸ τοῦ τυράννου, ὥστε καὶ ἔστιν ἐν ἐκείνῳ. καὶ τὸ ὂν δὲ ἐν τῷ δεκτικῷ αὐτοῦ ἔχεται ὑπ' ἐκείνου καὶ ἔστιν ἐν αὐτῷ· τὸ γὰρ εἶδος ὑπὸ τῆς ὕλης ἔχεται, ἢ ἐκείνη ἔχει αὐτό. ἔχεται καὶ τὰ περιεχόμενα ὑπὸ τῶν περιεχόντων (τὰ γὰρ ἐν ἀγγείῳ ἔχεται), καὶ τὸ κωλυόμενον κατὰ τὴν αὐτοῦ ὁρμὴν κινεῖσθαι ὑπὸ τοῦ κωλύοντος. οὕτω καὶ τὰ συνεχόμενα ὑπό τινος ἔχεται ὑπ' ἐκείνου, καὶ ἔστιν ἐν τῷ ἔχοντι αὐτά.

Λέγεται καὶ τὸ ἔκ τινος ἕνα μὲν τρόπον ὡς ἐξ ὕλης, καὶ ταύτης διχῶς· ἢ γὰρ ἐκ τῆς προσεχοῦς, ἣν εἶπεν ὕστατον εἶδος, ἢ ἐκ τῆς πρώτης, ἣν εἶπε πρῶτον γένος. ἡ γὰρ πρώτη ὕλη τῶν ὑπ' αὐτὴν εἴη ἄν πως γένος· τῷ γὰρ ἀνδριάντι προσεχὴς μὲν ὁ χαλκός, ἐσχάτη δὲ ὕδωρ, εἰ εἴη τοῦτο καὶ τοῦ χαλκοῦ καὶ πάντων τῶν τηκτῶν ὕλη. ἢ ἔτι πορρωτέρω ἡ πρώτη ὕλη, ἥτις γένος ἂν εἴη πάλιν τῆς τε ὡς ὕδατος ὕλης καὶ τῆς ὡς χαλκοῦ. ἄλλον δὲ τρόπον ἔκ τινος λέγεταί τι ἐκ τοῦ πρώτως κινήσαντος· ἐκ γὰρ τῆς λοιδορίας ἡ μάχη λέγεται, ὅτι ἐντεῦθεν ἡ ἀρχὴ τῆς μάχης

---

7 ἔχειν ὡς τὸ περιέχον LF 8 ἡ φύσις A[1] 11. 12 Ἄτλας — ἀνάγκης] Hesiod. Theog. 517 12 ὑπὸ τὴν γῆν A[1] 15 λέγοιεν LFS: λέγοι A 17 ἔχει ALF: ἔχειν M Brandis Bonitz ἢ θέσθαι ὡς A: om. LF: λέγεσθαι ὡς coni. Bonitz 23 ἄλλου LF: τοῦ ἄλλου A 27 αὐτοῦ LS: αὐτὴν A 31 τῆς προσεχοῦς S Bonitz: τοῦ προσεχοῦς ALF 32 ἡ γὰρ iterat A 33. 34 εἴη τοῦτο καὶ LFS: εἴη τοῦ τοῖς A

καὶ ἐντεῦθεν ἐποίησε τὴν μάχην. ζητήσειεν ἄν τις εἰ ἐπὶ παντὸς ποιητικοῦ ἁρμόζει τὸ ἔκ τινος, ἢ μόνου τοῦ ὡς ἡ λοιδορία τῆς μάχης· οὐ γὰρ δόξει ἐκ τοῦ ἀνδριαντοποιοῦ ὁ ἀνδριὰς λέγεσθαι. ἢ καὶ ἐπὶ τῶν | τοιούτων ὁ αὐτὸς λόγος· ἐκ τούτου γὰρ ὁ ἀνδριὰς ἐξ οὗ τὴν ἀρχὴν τοῦ εἶναι ἔχει· ὥστε ἔκ τινος καὶ ὡς ποιητικοῦ. ἄλλον δὲ τρόπον ἔκ τινος λέγεσθαί φησιν, ὡς ἐκ τοῦ συγκειμένου τὸ μέρος, τοῦ συγκειμένου ἐξ εἴδους τε καὶ ὕλης ὄντος καὶ ὄντος ὅλου τινός, † ἐκ γένους τὰ μέρη· ἐκ γὰρ τοῦ συναμφοτέρου ἡ χείρ· ἐκ τοῦ σώματος γάρ, ὅτι τούτου μέρος. λέγει δὲ κατὰ τοῦτον τὸν τρόπον καὶ τὸ ἔπος ἐκ τῆς Ἰλιάδος λέγεσθαι· σύνθετον γὰρ ἡ Ἰλιὰς ἐκ τῶν ἐπῶν, ὧν ἕκαστον ἐκ τῆς Ἰλιάδος ἐστὶν ὡς ἐκ τοῦ ὅλου τὸ μέρος· ὅλον γάρ τι καὶ ἡ Ἰλιάς. εἰπὼν δὲ ἐκ τοῦ ὅλου τὰ μέρη, παράδειγμα τοῦ λεγομένου παρέθετο. ὁμοίως φησὶ λέγεσθαι καὶ ἐκ τῆς οἰκίας τοὺς λίθους· ὅλον γάρ τι καὶ τέλειον καὶ συναμφότερον ἐξ εἴδους καὶ ὕλης καὶ ἡ οἰκία· ὅτι γὰρ καὶ ταῦτα ὅλα τε καὶ τέλεια, καὶ οὐ μόνον τὰ φυσικά τε καὶ συνεχῆ, δείκνυσι δι' ὧν προστίθησι λέγων τέλος μὲν γάρ ἐστιν ἡ μορφή, τέλειον δὲ τὸ ἔχον τέλος. ἔστι γὰρ ὃ λέγει, τέλειόν ἐστι τὸ ἔχον τέλος, τέλος δὲ ἡ μορφή, ὥστε τέλειον τὸ ἔχον μορφήν, τοῦτο δὲ καὶ ὅλον. τοιοῦτον δὲ τὸ ἐξ ὕλης τε καὶ εἴδους· τοῦτο ἄρα ὅλον τε καὶ τέλειον. καὶ οἰκία δὲ μορφὴν ἔχει, ὥστε καὶ αὐτὴ ὅλον τε καὶ τέλειον. καὶ εἶεν ἂν οἱ λίθοι ἐκ τῆς οἰκίας οὕτως ἔκ τινος ὡς ἐξ ὅλου. ἄλλον δὲ τρόπον τοῦ ἔκ τινός φησιν εἶναι, ὡς ἐκ τοῦ μέρους τὸ εἶδος, τὸ ὅλον καὶ τέλειον λέγων. εἶδος δὲ εἶπε τὸ τί ἦν εἶναι, οὐχ ὡς τὸ ὅλον καὶ συναμφότερον· ἐκεῖνο γὰρ εἶπεν ἐκ τῆς ὕλης λέγεσθαι εἶναι. ὁ γὰρ ὁρισμὸς ὁ τοῦ εἴδους δηλωτικὸς τοῦ ἀνθρώπου ἐκ τοῦ δίποδος λέγεται εἶναι, ὅτι ἐνυπάρχει αὐτῷ ὡς μέρος τὸ δίπουν. πάλιν ἡ συλλαβὴ ἐκ τοῦ στοιχείου· ἐκ γὰρ τῶν στοιχείων ἡ συλλαβή, καὶ ὁ λόγος τῆς συλλαβῆς τὴν τῶν στοιχείων σύνθεσιν περιέχει. καὶ εἴη ἂν ἔμπαλιν ἔχον τὸ σημαινόμενον τοῦτο τοῦ ἔκ τινος τῷ εἰρημένῳ πρὸ αὐτοῦ· τότε μὲν γὰρ ἐκ τοῦ ὅλου τὸ μέρος ἐλέγετο ἔκ τινος, ὡς οἱ λίθοι ἐκ τῆς οἰκίας, νῦν δὲ τὸ ὅλον ἐκ τοῦ μέρους. οὐχ ὁμοίως δέ φησι τὸ εἶδος ἐκ τοῦ μέρους λέγεσθαι καὶ τὸ ὅλον ἐκ τῆς ὕλης. τοῦτο δὲ λέγει δεικνὺς ὅτι ἄλλος ὁ τρόπος οὗτος τοῦ ἔκ τινος τοῦ πρώτου εἰρημένου τοῦ ἐξ οὗ ἐστιν ὡς ὕλης· τὸ γὰρ ἄλλως γὰρ τοῦτο εἶπεν ἀντὶ τοῦ ἄλλως δὲ τοῦτο καὶ ἀνδριὰς ἐκ χαλκοῦ. ὁ μὲν γὰρ ἀνδριὰς ἐξ αἰσθητῆς ὕλης καὶ μέρους αἰσθητοῦ· πᾶσα γὰρ σύνθετος οὐσία, τουτέστιν ἡ συναμφότερος ἔκ τινος αἰσθητῆς ὕλης καὶ μέρους αἰσθητοῦ. καὶ τὸ εἶδος δὲ καὶ ἡ συλλαβὴ ἐκ τῆς οἰκείας ὕλης (ὕλη γὰρ ἑκατέρου αὐτῶν τὰ οἰκεῖα μέρη). ἀλλ' οὐκέτι τοῦτο ἐξ αἰσθητῆς

388

---

5 ποιητικοῦ scripsi: ποιητικόν libri 6. 7 τοῦ συγκειμένου ἐξ εἴδους—τὰ μέρη] locus corruptus: ὡς τὸ ἐκ τοῦ συγκειμένου· ὡς ἐξ ὕλης τε καὶ εἴδους καὶ ὄντος ὅλου τινὸς τὰ μέρη LF: res tale quid postulat τοῦ γὰρ συγκειμένου κτλ. ὄντος καὶ ὄντος ὅλου τινὸς ὡς ἐξ ὅλου ἐκείνου τὰ μέρη 18 ἄρα LF: γὰρ A 19 αὐτὴ LS: αὐτὰ A 22 λέγων εἶδος· εἶδος δὲ LF 31 δεικνὺς LFS: καὶ δείκνυσι A 34 μέρους LS: μέρος A πᾶσα—αἰσθητοῦ (36) om. L 35 σύνθετος S Brandis Bonitz: σύνθεσις AM 37 αὐτῶν LF: αὐτοῦ A

ὕλης· τὸ γὰρ δίπουν ἢ τὰ στοιχεῖα οὐκ αἰσθητά. καὶ ἔστιν ὃ λέγει, ὅτι | μὴ ὁμοίως τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι ἐκ τῶν μερῶν καὶ τὸ ὅλον ἐκ τῆς 389
οἰκείας ὕλης, καίτοι ἀμφότερα ἐξ ὕλης· τὸ μὲν γὰρ ὅλον καὶ ἡ σύνθετος οὐσία, τουτέστιν ἡ συναμφότερος, ἐξ αἰσθητῆς ὕλης, τὸ δὲ εἶδος οὐκ ἐξ
5 αἰσθητῆς ὕλης ἀλλ' ἐκ τῆς τοῦ εἴδους ὕλης, ἥτις οὐκ ἔστιν αἰσθητή. οὐ γὰρ αἰσθητὰ τὰ τοῦ ὁρισμοῦ μέρη ἢ τὰ τοῦ εἴδους ὅλως· ὕλη γὰρ τοῦ 5
εἴδους καὶ τοῦ τί ἦν εἶναι τὰ μέρη αὐτοῦ τὰ τοῦ λόγου συμπληρωτικά, ἃ καὶ αὐτὰ λόγῳ λαμβάνεται, ὥσπερ καὶ τὸ εἶδος αὐτό. ἔκ τινός φησι λέγεσθαι, κἂν κατὰ μέρος τι τούτων τις ὑπάρχῃ τῶν τρόπων, οἷον κατὰ
10 μέρος τὸ εἶδος ἢ κατὰ μέρος ἡ ὕλη· ἐκ γὰρ πατρὸς καὶ μητρὸς τὸ τέκνον καὶ ἐκ γῆς τὰ φυτά, ὡς ἔκ τινος μέρους αὐτῶν· ἐκ γῆς μὲν γὰρ τὰ φυτὰ ὡς ἐξ ὕλης (τρέφεται γὰρ καὶ φύεται ἐκ ταύτης), ἀλλ' οὐχ οὕτως ὡς ἐκ 10
πάσης τῆς γῆς, ἀλλ' ὡς ἐκ μέρους αὐτῆς. ὁ δὲ ἀνδριὰς ἐλέγετο ἔκ τινος, ὡς ἐξ ὕλης τοῦ χαλκοῦ, ὅτι πᾶς ὁ λαμβανόμενος ὡς ὕλη αὐτοῦ χαλκὸς
15 ὑπέκειτο αὐτῷ· οὐ γὰρ οὕτως ὕλη λέγεται τοῦ ἀνδριάντος ὁ χαλκός, ὅτι μέρος χαλκοῦ ὑπόκειται αὐτῷ, ἀλλ' ὅτι πᾶς οὗτος ὁ χαλκὸς ὁ λαμβανόμενος ὕλη ἐστὶν αὐτοῦ. πάλιν ἐκ μητρὸς καὶ πατρὸς τὸ τέκνον, τοῦ μὲν 15
ὡς ποιητικοῦ τῆς δὲ ὡς ὕλης, ὧν ἑκατέρου ἐκ μορίου τινὸς τὸ τέκνον· μόριον γὰρ τοῦ πατρὸς τό τε σπέρμα καὶ τὸ ἐξ οὗ τὸ σπέρμα ἀφίεται καὶ
20 αὐτὸ τὸ σπέρμα, καὶ τῆς μητρὸς μόριον τό τε ὑποδεχόμενον τὸ σπέρμα καὶ τὸ ἔμμηνον, ὅ ἐστιν ὕλη τῷ γεννωμένῳ. ἄλλον τρόπον ἔκ τινος λέγεται ὡς μετ' αὐτὸ γινόμενον τῷ χρόνῳ· τὸ γὰρ μετά τι γινόμενον κατὰ τὸν χρόνον ἐξ ἐκείνου γίνεσθαι λέγεται. οὕτως ἐξ ἡμέρας νύξ, ὅτι μετὰ 20
τὴν ἡμέραν, καὶ ἐξ εὐδίας χειμών, ὅτι μετὰ τὴν εὐδίαν. τῶν δὲ οὕτως
25 ἔκ τινος γίνεσθαι λεγομένων τὰ μὲν τῷ εἰς ἄλληλα αὐτῶν τὴν μεταβολὴν γίγνεσθαι λέγεται ἐξ ἀλλήλων, ὥσπερ ἐπὶ τῶν εἰρημένων (νὺξ γὰρ εἰς ἡμέραν καὶ ἡμέρα εἰς νύκτα μεταβάλλει, καὶ εὐδία εἰς χειμῶνα καὶ ἔμπαλιν· ἐκ γὰρ τῶν ἐναντίων αἱ μεταβολαί, ἐναντία δὲ ταῦτα). τὰ δὲ μόνῳ 25
τῷ ἑξῆς εἶναι κατὰ τὸν χρόνον, ὡς ὅταν λέγηται ἐξ ἰσημερίας ὁ πλοῦς·
30 ὅτι γὰρ μετὰ τὴν ἰσημερίαν· οὐ γὰρ τῇ ἰσημερίᾳ εἰς πλοῦν γίνεται ἡ μεταβολή. ὁμοίως καὶ ἐκ Διονυσίων λέγεται Θαργήλια, καὶ ἐκ Πυθίων Ὀλύμπια.

Καὶ τοῦ μέρους δὲ τὸ μέν τί φησιν οὕτως λέγεσθαι εἰς ὃ διαιρεθείη ἂν τὸ ποσὸν ᾗ ποσὸν διαιρούμενον· πᾶν γὰρ τὸ ἀφαιρούμενον τοῦ ποσοῦ 30
35 ᾗ ποσὸν μέρος ἐκείνου λέγεται ἀφ' οὗ ἀφῄρηται, ἄν τε καταμετρῇ αὐτὸ ἄν τε μή· καὶ γὰρ τὰ δύο τῶν τριῶν μέρος λέγεται. τὸ δὲ ᾗ ποσὸν προσέθηκεν, ὅτι δύναταί τις | καὶ ποιότης ἀφαιρεθῆναι τοῦ ποσοῦ, οἷον 390
θερμότης ἢ λευκότης ἢ γλυκότης, ἀλλ' οὐ μέρη ταῦτα, ὅτι μὴ ποσὸν αὐτοῦ ἀφαιρεῖται· οὐ γὰρ τῇ τούτων ἀφαιρέσει ἐλαττοῦται κατὰ ποσόν. ἄλλον

---

3 ante ἐξ add. ὡς A² 10 τὸ τέκνον LF: τὸ om. A 16 ὑπόκειται LFS: ὑπέκειτο A 19. 20 καὶ αὐτὸ τὸ σπέρμα videntur delenda esse: om. F 24 καὶ ἐξ Brandis Bonitz: καὶ ὅτι ἐξ libri 25 τινος LF: τινων A 38 μὴ ᾗ ποσὸν coni. Bonitz

δὲ τρόπον εἰς ἃ διαιρεθείη ἂν τὸ ὅλον τὰ καταμετροῦντα αὐτὸ μόνα φησὶ μέρη λέγεσθαι· εἶναι γὰρ τὰ δύο τῶν τεσσάρων καὶ τῶν ἕξ καὶ ὅλως τῶν ἀρτίων μέρη· καταμετρεῖ γὰρ αὐτά. οὐκέτι κατὰ τὸ σημαινόμενον τοῦτο οὔτε τὰ τρία τῶν τεσσάρων μέρος οὔτε τὰ δ' τῶν ἕξ, καίτοι κατὰ τὸ πρῶτον σημαινόμενον ὄντα καὶ αὐτὰ μέρη, ὥσπερ καὶ τὰ δύο τῶν τριῶν, οὐκέτι ὄντα αὐτῶν μέρη κατὰ τὴν δευτέραν ἀπόδοσιν. ἔτι μέρη φησὶ λέγεσθαι καὶ εἰς ἃ τὸ εἶδος διαιρεῖται χωρὶς τοῦ ποσοῦ, τουτέστι μὴ ὡς ποσὸν διαιρούμενον. εἶδος δὲ ἤτοι λέγει τὸ τί ἦν εἶναι, μέρη δὲ τὰ ὑπὸ τούτου περιεχόμενα τοῦ εἴδους τε καὶ τοῦ λόγου, ἃ καὶ πρὸ ὀλίγου μέρη καὶ ὅλην τοῦ εἴδους εἶπεν. ἡ μὲν γὰρ κατὰ τὸν λόγον διαίρεσις τοῦ εἴδους χωρὶς τοῦ ποσοῦ γίγνεται, ἡ δὲ εἰς τὰ ἄτομα τῶν εἰδῶν διαίρεσις μετὰ ποσοῦ. ἀλλ' οὕτως ἔσται οὐκέτι τοῦ γένους τὸ εἶδος μέρος, ἀλλ' ἀνάπαλιν τὸ γένος τοῦ εἴδους· μέρος γὰρ καὶ τοῦτο τοῦ ὁρισμοῦ, ὡς καὶ αὐτὸς ἐρεῖ μετ' ὀλίγον. μήποτε οὖν τὸ εἶδος ἀντὶ τοῦ γένους ἀκοῦσαι χρή, καὶ λέγοι ἂν διὰ τοῦ εἰς ἃ τὸ εἶδος διαιρεθείη ἄνευ τοῦ ποσοῦ ὡς ἴσον τῷ εἰς ἃ τὸ γένος διαιρεθείη ἄν. τὸ δὲ ἄνευ τοῦ ποσοῦ σημαντικὸν ἂν εἴη τοῦ τὴν διαίρεσιν αὐτοῦ ὡς γένους γίγνεσθαι. δύναται γὰρ τὸ ζῷον καὶ ὡς ποσὸν διαιρεῖσθαι, ὅταν εἰς τὰ μέρη διαιρῆται, κεφαλὴν θώρακα καὶ τὰ ἄλλα, ὡς διαιροῦμεν οὐκέτι ἂν ὡς γένος· δύναται καὶ ὡς γένος διαιρεῖσθαι, οὐχ ὡς σῶμα καὶ ποσόν, ἥτις διαίρεσις αὐτοῦ κατὰ τὰς διαφορὰς γινομένη εἰς τὰ εἴδη διαιρεῖ αὐτό. τοῦτο δ' ἦν καὶ ὃ εἶπε τὸ ὅλον ἢ τὸ εἶδος ἢ τὸ ἔχον εἶδος· ὡς γὰρ εἴδους βούλεται τὴν διαίρεσιν καὶ κατὰ τὸ εἶδος γίνεσθαι· τοιαύτη δὲ ἡ τῶν γενῶν ὡς γενῶν διαίρεσις· οὐ γὰρ ὡς ὅλων οὐδὲ ὡς πλήθους, ἀλλ' ὡς γενῶν. κατὰ τοῦτο τὸ σημαινόμενον λέγει καὶ τὰ εἴδη μέρη τῶν γενῶν εἶναι. ἔτι φησὶ μέρος λέγεσθαί τινος εἰς ὃ διαιρεῖται ἢ ἐξ οὗ σύγκειται. τὸ δὲ τὸ ὅλον ἢ τὸ εἶδος ἢ τὸ ἔχον εἶδος σημαίνει ἂν ὅλον μὲν τὸ ὡς σῶμα ὅλον, οὗ ἡ διαίρεσίς ἐστιν εἰς τὰ μέρη τὰ συμπληροῦντα τὸ ὅλον σῶμα. τὸ δὲ ἢ τὸ εἶδος πάλιν δηλοῖ τὴν ὡς εἴδους διαίρεσιν. ἔστι γὰρ τοῦ εἴδους ὡς εἴδους μέρη, οἷον τῆς ψυχῆς εἴδους οὔσης αἱ δυνάμεις μέρη, εἰς ἃς καὶ ἡ διαίρεσις αὐτῆς. τὸ δὲ ἔχον εἶδος τὸ οὕτως ὅλον ὡς συναμφότερον, οὗ ὡς συναμφοτέρου πάλιν μέρη τό τε ὑποκείμενον σῶμα, οὗ πρώτου τὴν διαίρεσιν ἐποιήσατο (τοιοῦτον γὰρ ἦν τὸ ὡς ὅλον) καὶ τὸ εἶδος, οὗ δευτέρου ἐμνημόνευσε. καὶ | ἔστιν ἃ παρατίθεται παραδείγματα τοῦ 391
ὑστέρου τοῦ ἔχοντος εἶδος καὶ ὡς συναμφοτέρου διαιρουμένου· ὁ γὰρ χαλκοῦς κύβος διαιρούμενος εἰς χαλκὸν καὶ γωνίαν εἰς ὅλην καὶ εἶδος διῃρεῖτο· ἡ γὰρ γωνία τοῦ εἴδους δηλωτική. ἔτι, φησί, τὰ ἐν τῷ λόγῳ τῷ δηλοῦντι ἕκαστον καὶ ταῦτα μόρια τοῦ ὅλου. μέρη φησὶν εἶναι ἑκάστου καὶ τὰ τοῦ λόγου τοῦ δηλοῦντος αὐτοῦ τὸ τί ἦν εἶναι μέρη· τὰ γὰρ

3 αὐτά S Bonitz: αὐτό ALF 8. 9 λέγει τὰ ἐν ᾧ τῷ τί ἦν εἶναι περιεχόμενα τοῦ εἴδους LF 10 ἡ μὲν γὰρ κατὰ τὸν LFS: εἰ μὴ κατὸν A 16 ὡς — ποσοῦ LFS: om. A 17. 18 δύναται — ὡς LF: τὸ γὰρ ζῷον δύναται μὲν καὶ ὡς A 19 ἄλλα· οὕτως γὰρ διαιρούμενον διαιρεῖται οὐκέτι LF 24 ὅλων LF: *totius* S: ὅλην A

μέρη τοῦ ὁρισμοῦ μέρη εἴη ἄν, ἀλλὰ παρὰ τὰ τοῦ εἴδους μέρη, ὅτι ὁ τοῦ συναμφοτέρου ὁρισμὸς κατὰ μὲν τὸ εἶδος γίνεται, προσσημαίνει μέντοι καὶ τὴν ὕλην, ὡς δῆλον εὐθὺς ἐκ τοῦ γένους. οὕτω φησὶ γίνεσθαι μέρος τὸ γένος τοῦ εἴδους. ἐπεὶ μέρος ἐστὶ τοῦ ὁρισμοῦ αὐτοῦ.

Παρατίθεται δὲ καὶ τὰ τοῦ ὅλου σημαινόμενα· ὅλον γάρ φησι λέγεσθαι οὗ τε μηδὲν ἄπεστι μέρος ἐξ ὧν λέγεται [τῶν] φύσει τὸ ὅλον συνεστάναι· ὧν γὰρ φύσει συνεστώτων μηδὲν ἄπεστι μέρος, ὅλα ταῦτα κυρίως. ἄλλο δὲ σημαινόμενον ἐκτίθεται τοῦ ὅλου, ἐν ᾧ καὶ τὰ καθόλου· ἀλλὰ καὶ τὰ τεχνητά, οὐ μόνον τὰ φύσει συνεστῶτα περιλαμβάνει· τὸ γὰρ περιέχον τινὰ ὥστε ἕν τι εἶναι ἐκεῖνα. δηλονότι τὰ περιεχόμενα. δυχῶς δὲ φησιν ἓν γίνεσθαι τὰ περιεχόμενα· ἢ γὰρ ὡς ἕκαστον τῶν περιεχομένων ἕν τι εἶναι ἢ ἅπαντα ἕν. καὶ πρῶτον λέγει πῶς οἷόν τέ ἐστι τὸ ἕκαστον τῶν ὑπ' αὐτοῦ περιεχομένων ἕν τι εἶναι καὶ ταὐτόν. τὸ γὰρ καθόλου λεγόμενον τοῦ κατὰ παντὸς δηλωτικόν· τὸ γὰρ κατὰ παντὸς λεγόμενον ὅλον τι δοκεῖ εἶναι· τοῦτο δέ, φησί, τὸ οὕτως ὅλον τε καὶ καθόλου, οὕτως ἐστὶ καθόλου τε καὶ ὅλον ὡς ἐν αὐτῷ πολλὰ περιέχον τῷ κατηγορεῖσθαι καθ' ἑκάστου αὐτῶν συνωνύμως καὶ ἓν ἅπαντα εἶναι κατὰ τὸ κατηγορούμενον, καὶ ἕκαστον αὐτῶν ὅπερ τὸ κατηγορούμενον εἶναι, τῷ πάντα ὁμοίως τὸν τοῦ κοινοῦ καὶ περιέχοντος αὐτὰ λόγον ἐπιδέχεσθαι. τὸ γὰρ ἓν ἅπαντα εἶναι ὡς ἕκαστον δηλωτικόν ἐστι τοῦ τὴν ἑνότητα ἔχειν αὐτὰ μὴ κατὰ συνέχειαν, ἀλλὰ τῷ τὸν αὐτὸν λόγον ἕκαστον αὐτῶν ἐπιδέχεσθαι· ἵππος γὰρ καὶ ἄνθρωπος καὶ κύων καὶ βοῦς ἓν πάντα διὰ τὸ ἕκαστον αὐτῶν ζῷον εἶναι. οὕτως οὖν ὅλον τὸ ζῷον τῷ ὧν περιεκτικόν ἐστι διῃρημένα ταῦτα ἀπ' ἀλλήλων καὶ κεχωρισμένα κατὰ τοῦτο εἶναι ἕν. καὶ τοῦτο μὲν σημαινόμενον τοῦ ὡς περιέχοντός τινα ὅλου· τὸ δέ τι οὕτως φησὶν εἶναι ἓν ἐκ τῶν ὑπ' αὐτοῦ περιεχομένων, ὡς συνεχὲς εἶναι καὶ ἕν τι κατ' ἀριθμόν: τὸ γὰρ ἕν τι καὶ συνεχὲς καὶ ἐκ μερῶν καὶ πεπερασμένον ὅλον οὐ τῷ τὸν τοῦ ὅλου λόγον τὰ μόρια ἀναδέχεσθαι, ἀλλὰ τῇ σύνεχείᾳ. τί δέ ἐστι τὸ κυρίως | συνεχές, ἐδήλωσε διὰ τοῦ μάλιστα μὲν δυνάμει· κυρίως γὰρ 392 συνεχῆ ταῦτα ἐν οἷς τὰ μέρη δυνάμει ἐνυπάρχει. ἤδη δὲ κἂν ἐνεργείᾳ τὰ μόρια ἐν αὐτῷ, οὕτω μέντοι ὡς ἕν τι ἐκ τῆς ποιᾶς συνθέσεως αὐτῶν γίγνεσθαι κατὰ τὸ εἶδος, ὡς ἐπὶ τῶν συνθέσει γιγνομένων κατὰ τὰς τέχνας. οὕτως οἰκία ἕν τι καὶ πλοῖον. τῶν δὲ οὕτω τὸ ἓν ἐχόντων κατὰ συνέχειαν καὶ ὡς δυνάμει τὰ μέρη ἐν αὐτοῖς εἶναι μᾶλλόν φησιν ὅλα τὰ φύσει συνεστῶτα τῶν κατὰ τέχνην εἶναι. μᾶλλον γὰρ ἄνθρωπος ὅλος ἢ ἀνδριάς. ὡς γὰρ ἓν μᾶλλον λέγεται τὸ φύσει τοῦ τέχνῃ ὄντος ἑνός. ὡς εἶπεν ἐν τῇ τοῦ ἑνὸς διαιρέσει, ἧς καὶ ὑπομιμνήσκει ἡμᾶς, οὕτω καὶ ὅλον. καὶ αἰτίαν

---

1 τοῦ ὁρισμοῦ μέρη LFS: post μέρη iterat τοῦ ὁρισμοῦ A  παρὰ τὰ τοῦ LF: τὰ om. A  6 τῶν A: τῷ LF: del. Bonitz  7 φύσει LFM: φύσεις A  8 τοῦ ὅλου LF: τοῦ om. A  13 αὐτοῦ LF: αὐτῷ A  14 τοῦ κατὰ Bonitz: καὶ κατὰ ALF  16 τῷ LFS: τὸ A  καθ' LFS: καὶ καθ' A  20 ὡς ἕκαστον LFS: ὡς om. A  32 τέχνας] ἀφάς L  34 ὡς] τῷ e S coni. Bonitz  37 οὕτω καὶ ὅλον LF: καὶ αὐτὸς καὶ λόγον A

ἀποδίδωσιν, ὅτι ἡ ὁλότης ἑνότης ἐστίν, ὥστε ὡς ἕν, οὕτω καὶ ὅλον. παρα- 10
τίθεταί τι καὶ ἄλλο σημαινόμενον τοῦ ὅλου· τοῦ γὰρ ποσοῦ καὶ ἔχοντος
ἀρχήν τε καὶ μέσον καὶ ἔσχατον, ὃ εἴη ἂν τοῦ πεπερασμένου δηλωτικόν,
ὅσων μὲν παρὰ τὴν ποιὰν θέσιν τῶν μορίων μηδεμία γίνεται διαφορά,
5 τοῦτο πᾶν λέγεσθαί φησιν (τοιαῦτά ἐστι τὰ ὁμοιομερῆ τε καὶ ἀσχημάτιστα
οἰκείῳ ὅρῳ τε καὶ σχήματι, οἷον ὕδωρ, ἀήρ)· ὅσων δὲ ἡ ποιὰ θέσις τῶν
μερῶν διαφορὰν ποιεῖ, ἐπὶ τούτων τὸ ὅλον λέγεσθαι, ὅταν τὴν οἰκείαν τάξιν 15
ἕξει τὰ μέρη, δηλονότι καθ' ἣν τόδε τι εἶναι τὸ ἐξ αὐτῶν λέγεται. τοι-
αῦτά ἐστι τὰ ἀνομοιομερῆ, πρόσωπον, χείρ, τὸ ἑκάστου ζῴου σῶμα· ἡ
10 γὰρ τῶν μερῶν θέσις ἐν τούτοις διαφορὰν τῶν ὑποκειμένων ποιεῖται. τοι-
οῦτον καὶ οἰκία καὶ ναῦς. ὅσα δὲ ὁμοιομερῆ ὄντα μορφήν τινα καὶ σχῆμα
προσείληφε, τούτων φησὶ καὶ τὸ πᾶν καὶ τὸ ὅλον κατηγορεῖσθαι, διὰ μὲν 20
τὸ ὑποκείμενον τὸ πᾶν, διὰ δὲ τὴν μορφήν, ἥτις συνέβη αὐτοῖς ἐν τῇ τῶν
μερῶν ὑπαλλαγῇ μένειν, ὅλον. οὕτως ἀνδριὰς ὁ ἐκ μιᾶς ὕλης ἐσχηματι-
15 σμένος, κηρός, ἱμάτιον (καὶ γὰρ τοῦτο μετὰ σχήματός τινός ἐστιν)· ἕκαστον
γὰρ τούτων καὶ πᾶν ἐστι καὶ ὅλον. οὐκέτι ἐπὶ τῶν ὑγρῶν τε καὶ ἀσχη-
ματίστων ἁπλῶς φησι τὸ πᾶν καὶ ὅλον κατηγορεῖσθαι, ἀλλὰ μόνον τὸ πᾶν·
μὴ γὰρ κατηγορεῖσθαι τοῦ ἀριθμοῦ, καθ' οὗ τὸ πᾶν, καὶ τὸ ὅλον, εἰ μή 25
τις μεταφορικῶς λέγοι ἐπ' αὐτῶν τὸ ὅλον. λέγει δὲ καὶ τὸ πάντα λέγε-
20 σθαι ἐπὶ τούτοις, ὧν τὸ πᾶν ὡς ἑνός τινος κατηγορεῖται· ἐπὶ γὰρ τῶν ἐξ
ὧν τὸ πᾶν, ὡς διῃρημένων λαμβανομένων τὸ πάντα λέγεται· πᾶς ἀριθμός,
ὅταν ὡς ἓν λαμβάνηται τὸ ἐκ μονάδων ἄθροισμα· πᾶσαι αἱ μονάδες, ἐξ
ὧν ἦν ὁ πᾶς ἀριθμός, ὅταν ὡς διῃρημέναι πάλιν λαμβάνωνται, οὕτως μέν- 30
τοι ὡς τὸν πάντα ποιεῖν· ὡς τὸ μὲν πάντα κατὰ μορίων κατηγορεῖσθαι ὡς
25 διῃρημένων, τὸ δὲ πᾶν ὡς ἡνωμένων. οὕτω καὶ πάντες ἄνθρωποι, ἢ ὡς
ὑπὸ ἓν τὸ πᾶς ἄνθρωπος. |.

Κολοβὸν δὲ λέγεσθαί φησιν οὐ κατὰ παντὸς ποσοῦ· ἔστι μὲν γὰρ ἐν 393
τῷ ποσῷ τὸ κολοβόν, οὐ μὴν πᾶν ποσὸν ἀναδέχεται τὴν κατηγορίαν ταύ-
την ἢ τὸ πάθος, οὗ σημεῖον τοὔνομα τοῦτο, ἀλλὰ δεῖ τὸ κολοβὸν μέλλον
30 λέγεσθαι πρὸς τῷ μεριστὸν εἶναι καὶ ὅλον. τὸ δὲ ὅλον δύναται μὲν καὶ
συνεχείας αὐτῷ δηλωτικὸν εἶναι, δύναται καὶ τοῦ ἀνομοιομερὲς δεῖν εἶναι· 5
τοῦτο γὰρ εἴρηκε πρὸ ὀλίγου περὶ τοῦ ὅλου, λέγων καὶ ταύτῃ διαφέρειν
τὸ ὅλον τοῦ παντός. ἔτι δὲ πρὸς τῷ μεριστὸν εἶναι καὶ ὅλον δεῖν φησιν
αὐτὸ καὶ θέσιν ἔχειν, τουτέστι τῶν θέσιν ἐχόντων εἶναι ποσῶν. τὰ δὲ δύο
35 εἶπε μὴ γίνεσθαι κολοβὰ ἀφαιρουμένου τοῦ ἑνός, δεικνὺς ἡμῖν ὅτι οὐδὲ
οὕτω κολοβόν τι λέγεται, ἂν ἀφαιρεθῇ αὐτοῦ τὸ ἥμισυ· οὐδέποτε γὰρ ἴσον 10

---

8 ἕξει] ἔχῃ coni. Bonitz 10 διαφορὰν LF: τὴν διαφορὰν A 12 καὶ τὸ πᾶν LFS: καὶ om. A 13 αὐτοῖς LF: αὐτῇ A: om. S 15 ἱμάτιον F: τὸ ἱμάτιον AL ἕκαστον LFS: ἑκάτερον A 19 τὸ πάντα Bonitz coll. l. 21. 24: τὰ πάντα ALF 20 ἑνός τινος LF: ἕν τι A 23 ὁ πᾶς LF: ὁ om. A διῃρημέναι LFS: διῃρημένα A 29 δεῖ] δὴ A 31 ἀνομοιομερῆ libri 33 μεριστὸν LF: ἀνομοιομερῆ A 36. p. 427, 1 οὐδέποτε—αὐτῷ] *neque enim mutilatum seu imminutum esse, hoc est quod minus esse vel superari* S

τὸ κεκολοβωμένον καὶ τὸ λεῖπον αὐτῷ. ἐφ' ᾧ δείκνυσιν ὅτι μὴ μόνον ἐν ἀριθμῷ οὐκ ἔστι κολοβὸς ἀριθμὸς οὗτος οὗ τὸ ἥμισυ ἀφῃρέθη, ἀλλ' οὐδ' ἂν ἄλλο τι μέρος ἀφαιρεθῇ, οὐ γίνεται ἀριθμὸς κολοβός, ὡς ἑξῆς λέγει· οὐδ' ὅλως γάρ, φησίν, ἀριθμὸς κολοβὸς οὐδεὶς γίνεται, ὅτι δεῖ τὸ κολοβόν τι τὴν αὐτὴν οὐσίαν καὶ ταὐτὸν εἶδος φυλάσσειν. ὅτε δὲ μετὰ τὴν ἀφαίρεσιν τὴν μορίου τινὸς ἄλλο τι εἶδος μεταλαμβάνει, ἐπὶ τούτων οὐ λέγεται τὸ κολοβόν, ὃ γίνεται ἐπὶ τῶν ἀριθμῶν. προστίθησι δὲ ὅτι οὐδὲ ἐπὶ πάντων τῶν ἀνομοιομερῶν τὸ κολοβὸν λέγεται, ὡς προειρηκὼς ὅτι δεῖ ἀνομοιομερῆ εἶναι διὰ τοῦ εἰπεῖν ὅλα. οὐ δὴ ἐπὶ πάντων τῶν ἀνομοιομερῶν τὸ κολοβὸν λέγεται, ἀλλὰ ἐπὶ τῶν θέσιν ἐχόντων, ὃ φθάσαντες εἰρήκαμεν· οὐ γὰρ ἐπεὶ τοῦ ἀριθμοῦ ἔστιν ὡς διῃρημένου ἀνόμοια τὰ μέρη, οἷον τοῦ πέντε (ἄρτια γὰρ καὶ περισσὰ τὰ δύο καὶ τρία, μέρη ὄντα αὐτοῦ), ἀλλ' οὐ διὰ τοῦτο ἤδη ὁ ἀριθμὸς κολοβός τις λέγεται. δεῖ γὰρ οὕτως ἔχειν τὰ μέρη τοῦ ἐσομένου κολοβοῦ ὡς ποιεῖν τὴν θέσιν αὐτῶν τὴν τῶν μορίων διαφορὰν τοῦ εἴδους, ὃ οὐ γίνεται ἐπὶ τοῦ ἀριθμοῦ, ὅτι μηδὲ τὴν ἀρχὴν θέσιν ἔχει τὰ μόρια αὐτοῦ. ὡς εἴρηται ἐν Κατηγορίαις. διὰ τοῦτο γὰρ οὐδὲ τὰ ὁμοιομερῆ κολοβά, ὅτι ἡ μετάθεσις αὐτῶν τῶν μορίων οὐ ποιεῖ διαφοράν. ἔτι δεῖ εἶναι, φησί, συνεχῆ τὰ ἐσόμενα τῇ ἀφαιρέσει τινὸς μορίου κολοβά. ἡ γὰρ ἁρμονία σύγκειται μὲν ἐξ ἀνομοιομερῶν (μέσης γὰρ καὶ παρανήτης καὶ παρυπάτης καὶ ὑπάτης), ἀλλὰ καὶ θέσιν καὶ τάξιν ἔχει ἕκαστον τούτων (ἐν γὰρ τῇ ποιᾷ θέσει τούτων πρὸς ἄλληλα ἡ ἁρμονία, καὶ μετατιθεμένων ἀλλάσσεται)· ἀλλ' οὐ λέγεται κολοβὸς ἁρμονία, ὅτι μὴ συνεχής ἐστι μηδὲ ὅλη, ἀλλ' ἐκ διωρισμένων καὶ κεχωρισμένων μερῶν. καὶ ὁ ἀριθμὸς δὲ τοιοῦτον. δείξας δὲ δι' ὧν πεποίηται διορι|σμῶν ὅτι 394 τὸ κολοβὸν ἐν τοῖς ὅλοις λεγομένοις ποσοῖς, ἑξῆς δείκνυσιν ἡ ὁποία καὶ ἡ τίνος καὶ ἐν τίσιν ἀφαίρεσις τὸ ὅλον κολοβὸν ποιεῖ· λέγει γὰρ ὅτι μηδὲ ἐπὶ τῶν συνεχῶν τε καὶ ὅλων παντὸς ἀφαιρουμένου μέρους τὸ καταλειπόμενον γίνεται κολοβόν. οὔτε γὰρ ἂν τὰ κύρια τοῦ εἴδους τε καὶ τῆς οὐσίας τοῦ ὅλου τε καὶ συνεχοῦς ἀφαιρεθῇ, ἔτι τὸ καταλειπόμενον κολοβόν (οὐ γὰρ λέγεται κολοβὸν ζῷον τῆς κεφαλῆς ἀφαιρεθείσης αὐτοῦ. ὅπερ οὐδὲ ζῷον ἔτι μένει), ἀλλ' οὐδ' ἂν ὁπουοῦν τι τῆς συνεχείας ἢ ὁτιοῦν ἀφαιρεθῇ τε καὶ διαιρεθῇ, κολοβὸν εὐθύς· ἡ γοῦν κύλιξ οὐ λέγεται κολοβὸν ἂν τρυπηθῇ· ἀλλ' ἂν τὸ οὖς αὐτῆς ἀφαιρεθῇ ἤ τι ἄλλο ἀκρωτήριον, τότε κολοβός. ὁμοίως καὶ τοῦ ἀνθρώπου ἢ ἄλλου τινὸς ζῴου ἂν μὲν σάρκα ἀφέλῃς ἢ σπλῆνα ἐκτέμῃς, οὐ κολοβός, ἂν δὲ ῥῖνα ἢ οὖς ἢ δάκτυλον, τότε κολοβός. καὶ τῶν ἀκρωτηρίων ταῦτά φησιν ἀφαιρεθέντα κολοβοὺς ποιεῖν, ὅσα ἀφαιρεθέντα ὅλα οὐκέτι φῦναι ἢ αὐξηθῆναι δύναται· δι' ἣν αἰτίαν λέγει τοὺς φαλακροὺς μὴ λέγεσθαι κολοβούς, ὅτι αἱ τρίχες φύσιν ἔχουσιν ἀφαιρούμεναι τοῦ ὅλου πάλιν γίγνεσθαί τε καὶ φύεσθαι. καὶ εἴη

---

10 ὃ LF: ἃ A 11 ἐπεὶ M Bonitz: ἐπὶ ALFM 12. 13 ἀλλ' οὐ om. LF 13 ὁ om. LF 16 ἐν Κατηγορίαις] 6 p. 4ᵇ22 18 ἔτι δεῖ LFS: ἔτι δὲ A 25 ἡ (ante ὁποία) LF: εἰ A ὁποία scripsi: ὁποίας A: ὅπως LF 32 λέγεται κολοβὸς coni. Bonitz 39 ἀφαιρούμεναι LFS: ἀφαιρουμένην A

ἂν ἴσον τὸ ἀλλ' ὃ μὴ ἔχει γένεσιν ἀφαιρεθὲν ὅλον τῷ ἀλλ' ὃ καθό- 15
λου ἀφαιρεθὲν μηκέτι γένεσιν ἔχει· αἱ γὰρ τρίχες, εἰ καὶ ἐπὶ τοῦ φαλα-
κροῦ οὐκέτι ἔχουσι γένεσιν, ἀλλ' ἔν γε τῇ φύσει ἐστὶν αὐτῶν τὸ ἀφαιρου-
μένας γίνεσθαι πάλιν. ἢ τὸ ὅλον προσέθηκεν, ὅτι δύναταί τινος ἐξαιρε-
5 θέντος μορίου ἀπό τινος ἀκρωτηρίου, οἷον ὀλίγης σαρκός, αὕτη πάλιν αὐξη-
θῆναι. αἱ μὲν οὖν τρίχες, εἰ καὶ μὴ ἐπὶ πάντων, ἀλλ' ἐπὶ τινῶν γε φῦναι 20
πάλιν ἀφαιρεθεῖσαι δύνανται, ἢ καὶ ἐπὶ πάντων, ἀφ' ὧν ἀφαιροῦνται· οὗς
δὲ ἢ ῥὶς ἀφαιρεθέντα οὐδέποτε ἐπ' οὐδενὸς πάλιν γίνεται. σημειωτέον ὅτι
μὴ διαίρεσιν τοῦ κολοβοῦ πολλαχῶς λεγομένου πεποίηται, ἀλλὰ μήνυσίν τε
10 καὶ διδασκαλίαν.

Λέγει δὲ καὶ τὸ γένος πολλαχῶς λέγεσθαι· γένος γὰρ λέγεται καὶ
ἐπὶ τῶν τὴν γένεσιν συνεχῆ ἐχόντων ὁμοειδῶν ἀλλήλοις· κατὰ γὰρ τὸ ση- 25
μαινόμενον τοῦτο λέγεται τὸ ἕως ἂν ἀνθρώπων γένος ᾖ· σημαίνεται γὰρ
τὸ ἕως ἂν γένεσις συνεχὴς ᾖ τε καὶ μένῃ τῶν ἀνθρώπων. τὸ δὲ τῶν
15 τὸ εἶδος ἐχόντων τὸ αὐτὸ προσέθηκεν, ὅτι μὴ λέγεται ἀνθρώπων γένος
εἶναι, ἂν ἵπποι ὦσιν, ἀλλ' ἂν συνεχεῖς ἄνθρωποι ἐξ ἀνθρώπων γινόμενοι
μένωσι. τὸ δέ τι γένος λέγεται, ἀφ' οὗ ἂν ὦσί τινες πρώτου κινήσαντος 30
καὶ ἀρχηγοῦ γενομένου τοῦ εἶναι αὐτοῖς. οὕτω δ' Ἕλληνες τὸ γένος λέ-
γονται τῷ ἀφ' Ἕλληνος εἶναι πρώτου συστησαμένου τὸ γένος αὐτῶν καὶ
20 τοῦ εἶναι αὐτοῖς αἰτίου, ὁμοίως καὶ Ἴωνες οἱ ἀπὸ Ἴωνος, καὶ Ἡρακλεῖδαι
ὧν Ἡρακλῆς πρῶτος καὶ ἡγεμὼν τοῦ γένους. οὕτω καὶ Πελοπίδαι | λέ- 395
γονται. λέγεσθαι μὲν οὖν γένος τινῶν καὶ ἀπὸ τοῦ θήλεός φησιν, ὡς λέ-
γονταί τινες ἀπὸ Πύρρας, ὡς ταύτης τοῦ γένους ἀρξαμένης τῷ τεκεῖν, δη-
λονότι κατὰ τὸν μῦθον, μᾶλλον μὲν ἀπὸ τοῦ γεννήσαντος, ὅτι τοῦ εἴδους
25 οὗτος παρεκτικός, ἡ δὲ μήτηρ τῆς ὕλης, κατὰ δὲ τὸ εἶδος τὸ εἶναι ἑκά-
στῳ μᾶλλον. οὐκέτι ἐμνημόνευσε τῶν γενῶν τῶν ἀπὸ τῶν τόπων λεγο- 5
μένων, καθ' ὃ σημαινόμενον Ἀσιανός τις τὸ γένος ἢ Αἰγύπτιος καλεῖται·
οὐ γὰρ δὴ οἱ οὕτω λεγόμενοι ἀπὸ τοῦ πρώτου κινήσαντος οὕτω λέγονται.
ἑξῆς δὲ ἐκτίθεται δύο ἀποδόσεις τοῦ αὐτοῦ σημαινομένου· τοῦ γὰρ γένους,
30 ὃ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει † καὶ τὰ ἑξῆς δύο ἀποδόσεις
δίδωσιν * * ὡς ὑποκείμενον ταῖς διαφοραῖς· αὐτὸ γάρ φησι τὸ ἐπίπεδον
σχῆμα· τὸ γὰρ σχῆμα δεῖ προστιθέναι τῷ ἐπιπέδῳ· τοῦτο γὰρ γένος ἑκά- 10
στου τῶν ἐπιπέδων σχημάτων. λαμβάνει γὰρ γένος τὸ ἐπίπεδον σχῆμα
ὅλον τριγώνου καὶ τετραγώνου καὶ πάντων τῶν ἐπιπέδων· ὁμοίως καὶ τὸ
35 στερεὸν τῶν στερεῶν σχημάτων· ἕκαστον γὰρ τῶν σχημάτων τὸ μὲν ἐπί-
πεδόν ἐστι σχῆμα τοιονδί, οἷον τετράγωνον, τὸ δὲ στερεὸν σχῆμα τοιονδί·

---

3 τῇ φύσει LF: τῇ om. A 12 συνεχῶς LF 17 τινες] τινος LF πρώτου LF: πρώτου τοῦ A 18 ἀρχηγοῦ LF: ἀρχὴ τοῦ A 23 ὡς LFS: καὶ A 23. 24 δηλονότι — μῦθον F: δῆλον τὸν μῦθον A: δ. τὸν κατὰ μῦθον L: δηλῶν τὸν μῦθον coni. Bonitz 24 μὲν] legendum μέντοι, ut coni. Bonitz ἀπὸ F: ἐπὶ AL 30 τῷ εἴδει κεῖται, ἑξῆς δύο coni. Bonitz 31 ὡς — διαφοραῖς] *prior est cum genus quasi subiectum differentiarum esse dicitur* S; ex his quae desunt supplenda 31. 32 αὐτὸ — ἐπίπεδον σχῆμα] *nam plana figura ad hunc modum genus esse ait, qui planum dicens figuram planam intelligit* S 36 ἐστι σχῆμα LF: ἐστι τὸ σχῆμα A

σφαῖρα μὲν γὰρ στερεὸν σχῆμα τοιοῦτον, κύβος δὲ τοιοῦτον καὶ πυραμὶς τοιοῦτον. εἰπὼν δὲ τοῦτο προσέθηκε τὸ τοῦτο δέ ἐστι τὸ ὑποκείμενον ταῖς διαφοραῖς, ὡς ὑπὸ τῶν διαφορῶν τοῦ γένους εἰδοποιουμένου καὶ ὑποκειμένου κατὰ τοῦτο αὐταῖς. εἰπὼν δὲ τὸ οὕτως λεγόμενον γένος ὑποκείμενον εἶναι ταῖς διαφοραῖς, κατὰ τὸ ὑποκεῖσθαι αὐτὸ ταῖς διαφοραῖς καὶ ὕλην αὐτὸ προελθὼν ἐρεῖ· ὕλην δὲ λέγει τὸ γένος καὶ ἐν τῷ Ζ τῇδε τῆς πραγματείας. δευτέραν ἀπόδοσιν τοῦ οὕτως λεγομένου γένους ἀποδίδωσι τὸ πρῶτον ἐνυπάρχον ἑκάστου ἐν τῷ ὁριστικῷ καὶ τὸ τί ἦν εἶναι σημαίνοντι λόγῳ, ὃ κατηγορεῖται ἐν τῷ τί ἐστι τοῦ ὑποκειμένου. τούτου γὰρ δηλωτικὸν τὸ ὃ λέγεται ἐν τῷ τί ἐστι· καὶ γὰρ τὸ οὕτως λεγόμενον γένος σημαίνει τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον· τοῦ γὰρ πρώτου ἐν τῷ ὁρισμῷ ἀποδιδομένου διαφοραὶ λέγονται εἶναι αἱ ποιότητες, καθ' ἃς διαφέρει ἀλλήλων τὰ ὧν ἐν τῷ ὁρισμῷ τὸ αὐτό ἐστι γένος. τότε μὲν οὖν αὐτὸ ἐδήλωσεν ἀπὸ τοῦ ὡς ὑποκείμενον ὑπὸ τῶν διαφορῶν εἰδοποιεῖσθαι, νῦν δὲ ἀπὸ τοῦ ἐν τοῖς ὁρισμοῖς εἶναι τὸ πρῶτον παραλαμβανόμενον καὶ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι· διάφοροι δὲ οὖσαι | αἱ ἀποδόσεις τοῦ αὐτοῦ εἰσι δηλωτικαί. ποιότητας 396
δὲ τὰς διαφορὰς εἶπεν. ὅτι καὶ πρὸ ὀλίγου ἐν ταῖς διαιρέσεσι τῆς ποιότητος πρώτας ταύτας ἐτίθετο. εἰπὼν δὲ τὰ σημαινόμενα ταῦτα εἶναι τοῦ γένους, ἀνακεφαλαιοῦται αὐτὰ δι' ὧν δείκνυσιν ὅτι τὰ δύο τὰ ὕστερον ῥηθέντα διάφοροί εἰσιν ἀποδόσεις τοῦ αὐτοῦ σημαινομένου. τὰ μὲν γὰρ κατὰ γένεσιν συνεχῆ τοῦ αὐτοῦ εἴδους γένη λέγεται, ὡς ἀνθρώπων γένος καὶ ἵππων, τὰ δὲ κατὰ τὸ πρῶτον κινητικὸν καὶ αἴτιον τοῖς μετ' αὐτὸ ὁμοειδέσιν, ὡς λέγεται τὸ Ἡρακλειδῶν γένος καὶ τὸ Ἑλλήνων καὶ τὸ Ἰώνων. οὐκ ἀργῶς δὲ ὁμοειδὲς προσέθηκεν· οὐ γὰρ ἀπὸ τοῦ ὁπωσοῦν πρώτου κινήσαντος τὸ γένος εἶναι λέγεται ἀλλ' ἂν ὁμοειδὲς αὐτοῖς ᾖ τοῦτο· ὅταν γὰρ ἄνθρωπος ᾖ ὁ τοῦ γένους ἄρξας, τότε τὸ γένος μετ' αὐτὸν ἀπ' ἐκείνου. τὸ δὲ ὡς ὕλη φησί, λέγων ὡς ὕλην γένος εἶναι τὸ κοινὸν καὶ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατηγορούμενον. καὶ κατὰ τί ἐστιν ὕλη τοῦτο, ἐδήλωσεν εἰπὼν οὗ γὰρ ἡ διαφορὰ καὶ ἡ ποιότης ἐστί, τοῦτ' ἐστὶ τὸ ὑποκείμενον, ὃ λέγομεν ὕλην· τῷ γὰρ τὰς διαφορὰς τούτου εἶναι ὡς ὑποκειμένου, καὶ τῷ ταύταις εἰδοποιεῖσθαι, ὡς καὶ ἡ ὕλη τῷ εἴδει, καὶ εἴη ἂν τὸ γένος ὕλη. τῷ γὰρ ποιότητας μὲν εἶναι τὰς διαφοράς, ὑποκεῖσθαι δὲ αὐταῖς τὸ γένος (οὗ γάρ ἐστιν ἡ διαφορά, τοῦτο τῇ διαφορᾷ ὑπόκειται, ὥσπερ καὶ τὸ οὗ ἡ ποιότης τῇ ποιότητι), ἐπεὶ τὸ ταῖς ποιότησιν ὑποκείμενον ὕλη λέγεται. καὶ τὸ γένος ὕλη γίνεται τῶν ὡς διαφορῶν ποιοτήτων.

Εἰπὼν δὲ περὶ γενῶν ἑξῆς λέγει τίνα ἐστὶν ἕτερα τῷ γένει. λέγει δὴ ὧν τε ἕτερον τὸ πρῶτον ὑποκείμενον, ταῦτα ἕτερα τῷ εἴδει,

---

1 γὰρ LF: om. A 5 αὐτὸ ταῖς LM: αὐτῷ ταῖς A 5. 6 διαφοραῖς δ καὶ ὕλην L 6. 7 ἐν τῷ Z τῇδε τῆς πραγματείας] c. 12 p. 1038a6 7 τοῦ LF: om. A 15 ὑπὸ Bonitz: ἀπὸ AL 18 πρὸ ὀλίγου] c. 14 p. 1020a33 25 ὁμοειδές LFS: ὁμοειδῶς A 28 ὕλη LF: ἡ ὕλη A 33 τῷ γὰρ MS Brandis Bonitz: τὸ γὰρ AL 36 γίνεται] λέγεται LF 38 εἴδει] immo γένει

λέγων πρῶτον ὑποκείμενον τὴν ὕλην· οἷς γὰρ μή ἐστιν ἡ αὐτὴ ὕλη ὑποκειμένη, μήτε ἀναλύεται ἡ τοῦ ἑτέρου ὕλη εἰς τὴν τοῦ ἑτέρου, μήτε ἡ ἀμφοτέρων εἰς τὴν αὐτὴν τῷ εἴδει, ταῦτα ἕτερα τῷ γένει. ὕλην δὲ ἔοικε λέγειν τὴν ἐνεργείᾳ ὑποκειμένην, ἣν καὶ πρώτην εἶπε, λέγων πρώτην τὴν προσεχῆ πρὸς ἀντιδιαστολὴν τῆς ἐσχάτης κατὰ ἀνάλυσιν, ἣ καὶ κυρίως 25 ἐστὶ πρώτη· οἷον τῷ ἀνδριάντι χαλκὸς ὑπόκειται, τῷ δὲ κρυσταλλίνῳ ἐκπώματι ὕδωρ, καὶ εἰσὶν αὗται διαφέρουσαι, ἀλλ' ἡ τοῦ ἀνδριάντος ὕλη εἰς τὴν τοῦ κρυσταλλίνου ἀναλύεται, εἴ γε τηκτὸν μὲν ὁ χαλκός, πάντα δὲ τὰ τηκτὰ ἐξ ὕδατος. οὐχ ἕτερα δὴ τῷ γένει τὰ εἰλημμένα κατὰ τὸ σημαινόμενον τοῦτο. πάλιν εἰ τῷ μὲν εἴη χρυσὸς ὑποκείμενος τῷ δὲ ἄργυρος, διάφοροι μὲν πάλιν ὗλαι αὗται, καὶ οὐκ ἀναλύεται αὐτῶν ἡ ἑτέρα εἰς τὴν 30 ἑτέραν· διὰ δὲ τὸ ἀμφότερα εἰς μίαν καὶ τὴν αὐτὴν ἀναλύεσθαι (εἰς γὰρ τὸ ὕδωρ) οὐχ ἕτερα τῷ γένει τὰ ληφθέντα. ὧν δὴ τὰ ὑποκείμενα οὐδὲν πάσχει τοιοῦτον, ταῦτα ἕτερα λέγεται τῷ γένει, ὡς λίθου καὶ χαλκοῦ· τῷ μὲν γὰρ γῇ τῷ δὲ ὕδωρ τὰ ὑπο|κείμενα, ἃ οὔτε εἰς ἄλληλα οὔτε εἰς ἄλλο 397 τι ἀναλύεται αἰσθητὸν ὑποκείμενον ταὐτόν. εἰπὼν δὲ τὰ ὑποκείμενα οὐδὲν πάσχειν τοιοῦτον, τίνα ἐστὶ τοιαῦτα αὐτὸς παρέθετο· τὸ γὰρ εἰδός φησι καὶ τὴν ὕλην οὕτως εἶναι ἕτερα τῷ γένει, ὕλην λέγων τὸ σῶμα· ὡς οὖν οὔτε τῶν τῷ σώματι ὑποκειμένων οὔτε τῶν τῷ εἴδει ἢ εἰς ἄλληλα ἢ εἴς 5 τι κοινὸν ἀναλύεσθαι λεγομένων, ἕτερα αὐτὰ εἶναι λέγει τῷ γένει. εἴη δ' ἂν τῷ εἴδει ὡς ὕλην ὑποκεῖσθαι λέγων τὰ μέρη τοῦ ὁριστικοῦ λόγου· προείρηκε γὰρ τοῦτο. ἐπεὶ οὖν οὔτε τὰ ὑποκείμενα τῷ τε σώματι καὶ τῷ εἴδει ταὐτά, οὔτε ἡ ἀνάλυσις αὐτῶν ἡ τοῦ ἑτέρου εἰς τὸ ἕτερον ἢ εἰς ταὐτόν, εἴη ἂν ἕτερα τῷ γένει ταῦτα κατὰ τὸ σημαινόμενον τοῦτο. ἔτι οὕτω τὸ εἶδος καὶ ἡ ὕλη ἕτερα ἔσται, ὅτι μὴ ἀναλύεται τὸ ἕτερον αὐτῶν εἰς τὸ 10 ἕτερον, τῷ μήτε αὐτὰ ταὐτὰ ἐν ἀλλήλοις εἶναι μήτε ὑποκεῖσθαι αὐτοῖς ἕτερον. οὔτε γὰρ ἕν τι ἀμφοτέροις ὑπόκειται οὔτε τὸ τῷ ἑτέρῳ ὑποκείμενον εἰς τὸ τῷ ἑτέρῳ ὑποκείμενον ἀναλύεται τῷ μηδὲ ὑποκεῖσθαί τι αὐτοῖς· οὔτε γὰρ τὸ εἶδος ἐξ ὑποκειμένου τινὸς καὶ ὕλης ἐστίν, οὔτε τῇ κυρίως λεγομένῃ ὕλῃ ὑπόκειταί τις ὕλη πάλιν ἄλλη. ἕτερα τῷ γένει λέγει 15 καὶ ὧν ἕτεραι αἱ πρῶται κατηγορίαι, καὶ τὰ πρῶτα γένη ἕτερα· τῶν γὰρ πρώτων γενῶν τὰ μὲν τί ἐστι σημαίνει, τουτέστιν οὐσίαν, τὰ δὲ ποιόν τι, τὰ δὲ ποσόν, τὰ δὲ τῶν ἄλλων τι τῶν ἐν ταῖς κατηγορίαις κατηριθμημένων. προσέθηκε δὲ καὶ τὴν αἰτίαν αὐτῶν τῆς ἑτερότητος· ὅτι γὰρ μήτε εἰς ἄλληλα μήτε εἰς ἕν τι ἀναλύεται, ταύτῃ καὶ ταῦτα ἕτερα τῷ γένει. 20 οὕτως οὐκ ἔσται ἕτερα γένη ζῷον καὶ ὄρνεον. οὐκέτι κατὰ τὸ σημαινόμενον τοῦτο δοκεῖ εἶναι ἕτερα τῷ γένει τὸ εἶδος καὶ ἡ ὕλη· ὑπὸ γὰρ τὴν οὐσίαν ἄμφω.

Ποιεῖται καὶ τοῦ ψεύδους διαίρεσιν· τὸ μὲν γὰρ ἐν τοῖς πράγμασι ψεῦδος εἶναι λέγει, τὸ δὲ ἐν τοῖς λόγοις· προσέθηκε δὲ τῷ ἐν τοῖς πράγ-

---

1 λέγων—εἴδει (3) om. LF οἷς c. S scripsi: ἧς A 4 ἐνεργείᾳ LS: ἐνέργειαν A 13 ὕδωρ] εἶδος LF 26 αὐτὰ ταὐτὰ L: τὰ αὐτὰ A 32. 33 τὰ δὲ ποιότητα τὰ δὲ ποσότητα LF 33. 34 καταριθμημένων A 36 οὐκέτι] οὐδ' ἔτι coni. Bonitz 37 δόξει LF

μασι ψεύδει τὸ ἄλλον μὲν τρόπον, ἤτοι ὅτι μὴ καθωμίληται ἐπὶ τούτου 25
τὸ ψεῦδος λέγειν (δοκεῖ γὰρ τὸ ψεῦδος ἐν λόγῳ τε καὶ δόξῃ), ἢ ἄλλον
τρόπον εἶπεν ἀντὶ τοῦ ἕνα μὲν τρόπον. τὸ οὖν ἐν τοῖς πράγμασι ψεῦδος
δίχα διαιρεῖ, τῷ τε μηδ' ὅλως ὑπάρχειν καὶ τῷ ψευδῆ τὴν ἀπ' αὐτοῦ
5 φαντασίαν γίνεσθαι. τὸ γὰρ μὴ ὑπάρχον ψεῦδος ἐν πράγμασιν οὐχ ὁμοίως
τῷ περὶ αὐτοῦ λόγῳ. ὁ γὰρ λόγος ψευδὴς μὲν περὶ αὐτοῦ ὁ εἶναι αὐτὸ 30
λέγων, ἀληθὴς δὲ περὶ αὐτοῦ τούτου ὁ μὴ εἶναι, ἐν τῇ ποιᾷ συνθέσει περὶ
αὐτοῦ τὸ ἀληθὲς καὶ ψεῦδος λαμβάνων· διὸ ὁμοίως καὶ | περὶ ὄντων καὶ 398
μὴ ὄντων ἀληθής τε καὶ ψευδὴς ὁ λόγος γίνεται. τὸ δὲ κατὰ τὸ πρᾶγμα
10 ψεῦδος οὐκ ἐν τῇ τινῶν συνθέσει τοιοῦτον, ἀλλ' ἔστιν ἐν πράγμασι ψεῦδος
τὸ μὴ εἶναι μηδὲ ὑπάρχειν αὐτό, ὥσπερ καὶ ἀληθὲς ἂν εἴη πάλιν ἐν πρά-
γμασι τὸ ὑπάρχειν αὐτὰ καὶ τὸ εἶναι, οὐχ ὁμοίως τῷ λέγειν αὐτὰ εἶναι.
διὸ τὸ μὲν ἐν λόγῳ ἀληθές τε καὶ ψευδὲς δύναται περὶ τοῦ αὐτοῦ πρά- 5
γματος ἔχειν ἀμφότερα, τὸ δὲ ἐν τῷ πράγματι ψεῦδος ἀδύνατον, ἔστ' ἂν
15 ᾖ ἀληθές, γενέσθαι. ἔσται δὲ ἀμφότερα μὲν τὰ ψεύδη λέγειν ἐν λόγῳ
εἶναι καὶ προτάσει, εἶναι δὲ τούτων τὸ μὲν ἀπὸ τοῦ πράγματος ἐν τῷ
λόγῳ, τὸ δὲ ἀπ' αὐτοῦ τοῦ λόγου· ὁ μὲν γὰρ τὸ μὴ ὑπάρχον ὑπάρχειν
λέγων λόγος τὸ ψεῦδος ἀπὸ τοῦ πράγματος ἔχει τοῦ μὴ ὑπάρχοντος, ὁ δὲ 10
τὸ ἄλλῳ ὑπάρχον ἄλλῳ ὑπάρχειν λέγων τὸ ψεῦδος τοῦτο ἀπὸ τοῦ λόγου
20 ἔχει· ψεῦδος γὰρ τοῦτο τὸ τῷ ἄλλῳ ὑπάρχον ἐπ' ἄλλο μεταφέρειν. ὅτι
γὰρ καὶ τὸ ὡς πρᾶγμα ψεῦδος ἐν λόγῳ δοκεῖ, δείκνυσι διὰ τοῦ προσθεῖναι
τὸ τῷ μὴ συγκεῖσθαι ἢ ἀδύνατον εἶναι συντεθῆναι. ὅτι δ' ἔστι
τῷ πράγματι ψεῦδος, ἔδειξε· περὶ ὧν γὰρ οὐχ οἷόν τε ἀληθεύειν τὸν συντι-

---

1. 2 ἐπὶ τούτου τὸ LF: ἐπὶ τοῦτο A 2 λέγειν S Brandis Bonitz: λέγει libri
4 τῷ τε LFS: τό τε A ἀπ' LF: ὑπ' A 6 ὁ εἶναι—αὐτοῦ (8) LS: om. A
7. 8 περὶ αὐτοῦ] *a se ipsa* S, unde παρ' αὐτοῦ coni. Bonitz 10 συνθέσει LS: θέσει A 12 τῷ MS: τὸ A 15 ᾖ M: εἴη A 19 ὑπάρχον ἄλλῳ MS: om. A λόγου S Bonitz: πράγματος A 20 ἔχει S Brandis Bonitz: ἔστι A ἄλλο S Bonitz: ἄλλων A 22 ὅτι δ' S Bonitz: om. A

---

ALT. REC. GR. DISCR.

10 ἔστιν — ψεύδεσθαι (p. 437,2) om. LF et pro iis ex Asclepio (p. 352,26—354,5) exhibent haec ἁπλοῦν ἐστιν, οἷον αὐτὸ τὸ μὴ ὂν καὶ ἡ ἀνυπαρξία τοῦ πράγματος. ὥσπερ ἐπὶ τῆς διαμέτρου φαμὲν ὅτι ἡ διάμετρος σύμμετρός ἐστι τῇ πλευρᾷ, ἢ τὸ σὲ καθῆσθαι· τούτων γὰρ τὸ ψεῦδος τὸ μὲν ἀεί ἐστι, φησίν, ὡς ἐπὶ τῆς διαμέτρου, τὸ δὲ ποτέ, ὡς ἐπὶ τοῦ καθῆσθαι· δυνατὸν γὰρ ὕστερον καθῆσθαι τὸν νῦν μὴ καθήμενον. φέρεται (φαίνεται Ascl.) δὲ καὶ ἐπὶ πραγμάτων τὸ ψεῦδος ἐφ' ὧν πέφυκε φαίνεσθαι μὴ οἷά ἐστιν ἢ ἅτινα μὴ ὑπάρχουσιν, οἷον ὡς ἐπὶ τῆς σκιαγραφίας (τῇ σκιαγραφίᾳ LF)· εἰ γὰρ σκιαγραφήσει τις τὸν Σωκράτην, ἐπειδὴ ἔχει τινὰ ὁμοιότητα πρὸς τὸν Θεαίτητον, δόξει ἡ σκιαγραφία τοῦ Θεαιτήτου εἶναι, ἐπειδὴ ἔχει τι αὐτοῦ· οὐκ ἔστι δὲ αὐτοῦ. ἐπὶ μέντοι γε τῶν ὀνείρων παντελῶς ἔστιν ἐξαλλαγὴ τοῦ πράγματος· ὁρᾷ γάρ τις ἑαυτὸν πολλάκις ἱπτάμενον, ὅπερ οὐδὲ ὅλως ἔχει τὴν τῶν πραγμάτων ἀλήθειαν. ταῦτα εἰρηκὼς περὶ τῶν πραγμάτων ἐφεξῆς λέγει καὶ περὶ τῶν λόγων καὶ φησὶν ὅτι ὁ ἐπί τινος εἴδους ἀληθὴς λόγος πάντως ἐπὶ ἄλλου ψευδής, οὐ πάντως δὲ ὁ ἐπὶ τοῦ αὐτοῦ πράγματος ψευδὴς καὶ ἐπὶ τῶν ἄλλων ψευδὴς ὑπάρχει. οἷον ἐπὶ τοῦ κύκλου ἀληθής ἐστιν ὁ λόγος ⟨ὁ add. Ascl.⟩ λέγων σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς

θέντα αὐτὰ καὶ εἶναι λέγοντα, ταῦτα ὡς πράγματι ψευδῆ· τὸ δὲ περὶ τού- 15
των ἐν τῷ λόγῳ ψεῦδος ἐν συνθέσει ἤδη. τὸ μὲν γὰρ [ἐν] τῷ μὴ συγ-
κεῖσθαι ἢ ἀδύνατον εἶναι συντεθῆναι τοῦ μὴ ὑπάρχοντος ἢ καὶ ἀδυ-
νάτου ὑπάρξειν εἰσὶ δηλωτικά. σύνθεσιν γὰρ τὴν τῶν πραγμάτων
5 τα τινὰ σύνθεσίν ἐστιν ἡ ὕπαρξις τούτων γινομένη. ἡ μὲν οὖν διάμετρος
σύμμετρος τῇ πλευρᾷ οὔτε ἔστιν οὔτε δύναται γενέσθαι· τὸ δὲ σὲ καθῆ- 20
σθαι ὅτε ἕστηκας τῷ μὴ ὑπάρχειν τότε ψεῦδός ἐστιν. οὐκέτι καὶ τῷ ἀδύ-
νατον γενέσθαι. καὶ ἔστιν ἐν τοῖς πράγμασι ψευδῆ ἢ τὰ ὅλως ἀνύπαρκτά
τε καὶ ἀδύνατα καὶ ἀεὶ ψευδῆ, ἢ τὰ νῦν μὴ ὑπάρχοντα· ταῦτα γὰρ νῦν
10 ψευδῆ ὅτε μὴ ἔστιν. τὰ δέ τινά ἐστιν ἐν τοῖς πράγμασιν ἢ μὴ οἷά ἐστιν
ἢ ἃ μὴ ἔστιν. ἄλλως δέ ἐστι ψευδῆ ταῦτα, ὅσα ἔστι μὲν ὄντα [ψευδῆ],
ἔστι δὲ ψευδὴς ἡ ἀπ' αὐτῶν φαντασία τῷ φαίνεσθαι ταῦτα ἢ μὴ οἷά 25
ἐστιν ἢ ἃ μὴ ἔστιν. ἄλλως δέ ἐστι ψευδῆ ταῦτα παρὰ τὸν προειρημένον
τρόπον· ὧν γὰρ ψευδὴς ἐστιν ἡ φαντασία, ταῦτα οὐκ ἔστι ψευδῆ, ὡς ἦν
15 τὰ προειρημένα. ἔστι μὲν γὰρ ταῦτά τινα, οὐ μὴν οἷα φαίνεται. τοιαῦτά
ἐστι τά τε ἐν ταῖς γραφαῖς καὶ ἐν ταῖς σκιαγραφίαις, ἃ ἔστι μέν τινα, 399
οὐ μὴν ἃ φαίνεται ἔστιν· φαίνεται γὰρ ζῷα οὐκ ὄντα ζῷα, καί τινα ἄλλα
ὧν ἂν καὶ ἡ σκιαγραφία ᾖ. ὁμοίως καὶ τὰ ἐν τοῖς ὕπνοις φαντάσματα
ἔστι μέν τινα (κινήματα γάρ τινα γίνεται τοῖς ὁρῶσι τὰ ἐνύπνια). οὐ μὴν
20 τοιαῦτά ἐστιν οἷα φαίνεται. φαίνεται γὰρ βαδίζειν τι ἢ διαλέγεσθαι. οὐ 5
μέντοι οὕτως ἔχει. τοιαῦτα καὶ οὕτω ψευδῆ καὶ τὰ ἐμφαινόμενα τοῖς
κατόπτροις· ἔστι μὲν γάρ τι καὶ αὐτά, ἀλλ' οὐχ ὃ φαίνεται. εἶπε δὲ καὶ
τὸ τοιοῦτον ψεῦδος ἐν τοῖς πράγμασιν, ὅτι αὐτὴ ἡ φύσις αὐτῶν ψευδής,
κἂν τούτοις ἀλλ' οὐκ ἐν τῇ ποιᾷ συνθέσει τοῦ περὶ αὐτῶν λόγου τὸ οὕ-
25 τως ἡμᾶς ἀπατᾶσθαι. τὰ μὲν οὖν πράγματα οὕτω φησὶν εἶναι ψευδῆ ἢ
τῷ μὴ εἶναι αὐτά, ἢ τῷ τὴν ἀπ' αὐτῶν φαντασίαν ὡς μὴ ὄντος εἶναι· 10

---

2 ἐν om. S: del. Bonitz 4. 5 σύνθεσιν γὰρ—γινομένη] *nam compositionem vocat rerum identitatem rerumque conventum; harum enim huiusmodi existentia compositio est* 10. 11 τὰ δέ—μὴ ἔστιν om. S: fort. delenda sunt 11. 12 ἄλλως—φαντασία] *Alia falsa sunt, quorum visum ab ipsis procedens est falsum* S 11 ἔστι μὲν scripsi: ἔστιν A ψευδῆ delevi

---

ALT. REC. GR. DISCR.

περιεχόμενον, καὶ ὅσα ἄλλα εἴρηται περὶ αὐτοῦ· οὗτος τοίνυν ὁ λόγος ἐπὶ ἄλλων παντελῶς ψευδής ἐστιν· οὔτε γὰρ ἀληθής ἐστιν ἐπὶ τριγώνου ἢ ἐπὶ τετραγώνου, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ὁ μέντοι γε ψευδὴς λόγος οὐ πάντως καὶ ἐπὶ ἄλλων ψευδὴς ὑπάρχει. οἷον λέγω ὅτι ὁ ἄνθρωπος ζῷόν ἐστι τετράπουν [ἢ add. LF] ἄπουν· οὗτος ὁ λόγος καὶ ἐπὶ τοῦ ἀνθρώπου ψευδὴς ὑπάρχει καὶ ἐπὶ πάντων τῶν ἄλλων, ἵνα τὸ ὅλον τοῦτο ἔχῃ καὶ τὸν ἄνθρωπον σὺν αὐτῷ ὁ λόγος οὗτος· ἐὰν μέντοι γε εἴπω ὅτι ζῷον λογικὸν ἀθάνατον, ἐπὶ μὲν (μέντοι γε L) τοῦ ἀνθρώπου ψεῦδος, φησίν, ὑπάρχει, ἐπὶ δὲ ἀγγέλου οὐκ ἔστι ψεῦδος. τὸ αὐτὸ γὰρ (l. δὲ) δύναται εἶναι ἀληθὲς καὶ μοναχῶς λεγόμενον καὶ πολλαχῶς, ἐπειδὴ καὶ οὕτως ἔχει φύσεως αὐτὸ τὸ πρᾶγμα. ἐὰν γὰρ εἴπω μοναχῶς ὅτι Σωκράτης, ἀληθὲς λέγω· πάλιν δὲ κἂν τὰ συμβεβηκότα συμπλέξας τῇ οὐσίᾳ οὕτως εἴπω, οὐδὲν ἧττον (sic Ascl., οὕτως ὂν L, om. F) ἀληθὲς λέγω, οἷον Σωκράτης μουσικὸς φαλακρός. ὁ μέντοι γε ψευδὴς λόγος οὐδενός ἐστιν ἁπλῶς λόγος, ὡς ἐκ τοῦ ἀνθρώπου καὶ τοῦ τετράποδος καὶ τοῦ ἄποδος εἰρήκαμεν. διὸ Ἀντι-

οὐ γὰρ ὄντος ἐστὶν ἡ τοιαύτη ἀπ' αὐτῶν φαντασία· † διὸ ὡς ἀπὸ μήκοθεν
ὡς ἀπὸ μὴ ὄντος· τὸ γὰρ περιπατεῖν τὸ φάντασμα ὅπερ φαίνεται οὐκ ὄν,
ἢ τὸ διαλέγεσθαι ἢ τὸ ὅλως τι ἐνεργεῖν, καὶ τοιαῦτα τὰ φαντάσματα ἔστι
τὰ ὄντα γε, εἴ γε κινήσεις τινές εἰσιν ἀπὸ τῶν κατ' ἐνέργειαν αἰσθητῶν,
5 καὶ γίνονται ἐν τοῖς αἰσθητηρίοις ἀπὸ τῶν αἰσθητῶν ἐγκαταλείμματα. 15
ἀνέθηκε δὲ καὶ τὸ ἐν τῇ φαντασίᾳ ψεῦδος τοῖς πράγμασιν. τὸ δὲ ἢ μὴ
οἷά ἐστιν ἢ ἃ μὴ ἔστι, τὸ μὲν οἷα μὴ ἔστι λέγοι ἂν ἐπὶ τῆς σκιαγραφίας, τὸ δὲ ἃ μὴ ἔστιν ἐπὶ τῶν ἐνυπνίων.

Ψευδὴς δέ ἐστιν ὁ λόγος ὁ τῶν μὴ ὄντων, οὐχ ἁπλῶς δὲ ὁ τῶν μὴ
10 ὄντων ψευδής, ἀλλὰ τῶν μὴ ὄντων καθὸ ψευδής· ψευδὴς γὰρ ὁ ὡς οὐκ
ἔχει τὰ πράγματα ἔχειν λέγων αὐτά. ἔστι δέ τις καὶ περὶ τῶν μὴ ὄντων 20
λόγος ἀληθής· ὁ γὰρ μὴ εἶναι αὐτὰ λέγων· ὁ δὲ τὰ μὴ ὄντα λέγων ὡς
ὄντα ἢ τὰ ὄντα ὡς μὴ ὄντα, οὗτός ἐστιν ὁ ψευδής. πῶς οὖν ὁ τὰ μὴ
ὄντα λέγων ψευδής ἐστιν; ἢ ὡς μὴ ἔχει τὰ σημαινόμενα ὑπ' αὐτοῦ,
15 οὕτως αὐτὰ λέγων ἔχειν. ἔνεστι καὶ ψιλῶς ἀναγνῶναι τὸ ἢ ψευδής, ἵνα
ᾗ τὸ λεγόμενον· ψευδὴς λόγος ἐστὶν ὁ τῶν μὴ ὄντων ἢ τὰ μὴ ὄντα εἶναι 25
λέγων, ὡς ὁ λέγων ἱπποκένταυρον εἶναι, ἢ ὁ ὅλως ψευδής. ἀλλὰ καὶ πᾶς
καὶ ὁ περὶ ὄντων λόγος λέγων δύναται ψευδὴς εἶναι, ἂν τὸν κύκλον λέγῃ
σχῆμα ἐπίπεδον ὑπὸ τριῶν εὐθειῶν περιεχόμενον. καὶ εἴη ἂν ἀκόλουθον
20 τὸ ἐπιφερόμενον τῇ τοιαύτῃ ἀναγνώσει· οὐ γὰρ μόνος ὁ τὰ μὴ ὄντα εἶναι
λέγων ψευδής, ἀλλὰ καὶ πᾶς λόγος ἐστὶ ψευδής, ὅταν περὶ ἑτέρου λέγηται
καὶ μὴ περὶ οὗ ἐστιν ἀληθής. ἐὰν δὲ τὸ ᾗ ψευδὴς δασέως ἀναγινώ- 30
σκηται, εἴη ἂν τὸ λεγόμενον· λόγος ψευδής ἐστιν ὁ τῶν μὴ ὄντων· τὸ γὰρ
ᾗ ψευδὴς δηλωτικόν ἐστι τοῦ καθὸ ψευδής ἐστι μὴ ὄντων αὐτὸν εἶναι.
25 τούτων | γὰρ δηλωτικὸν τὸ ἐπιφερόμενον τὸ διὸ πᾶς λόγος ψευδὴς 400
ἑτέρου ἢ οὗ ἐστιν ἀληθής· εἰ γὰρ πᾶς λόγος ἑτέρου ἐστὶ ψευδὴς ἢ
οὗ ἐστιν ἀληθής, ἀληθὴς δὲ ἐκείνου ᾧ ἐφαρμόζει, ψευδὴς ἂν εἴη ἐκείνου
ᾧ οὐκ ἐφαρμόζει, καὶ οὕτω μὴ ὄντος· ὁ γὰρ τοῦ κύκλου λόγος ἀληθὴς

---

1 διὸ—ὄντα γε (4) locus corruptus 7 ἃ μὴ Brandis Bonitz: μὴ ἃ A 14 ἢ S Bonitz: ὁ A 18 ἂν] fort. οἷον ἂν: *ut ea quae* S λέγῃ M: λέγει A 24 ᾗ om. A 27 ᾧ Brandis Bonitz: οὗ AM

---

ALT. REC. GR. DISCR.

σθένης οὐ καλῶς (οὐκ ἄλλως LF) ἐπειρᾶτο δεικνύναι, ὅτι οὐ δυνατόν ἐστιν ἀντιλέγειν, λέγων οὕτως, ὅτι ἢ σύμφωνα διαλέγονται ἑαυτοῖς οἱ προσδιαλεγόμενοι, ἢ οὐ σύμφωνα· ἀλλ' εἰ μὲν σύμφωνα, οὐκ ἔστιν ἀντιλέγειν (αὐτὸ γὰρ τοῦτο συμφωνοῦσιν ἀλλήλοις), εἰ δὲ μὴ σύμφωνα λέγουσι, κατὰ διαφόρων πραγμάτων φέρονται, ὥστε οὐδὲ οὕτως ἀντιλέγουσιν, εἴ γε μηδὲ περὶ τοῦ αὐτοῦ πράγματος τὸν λόγον ποιοῦνται. ταῦτα δὲ ἔλεγεν ὁ Ἀντισθένης ὑπολαμβάνων ὅ τι (sic Ascl.: ὡς ὅτι LF) οὐκ ἔστι. καὶ ὁ ψευδόμενος γὰρ κατὰ τοῦ αὐτοῦ φέρεται καὶ ὁ ἀληθεύων, ὅτι ἀθάνατός ἐστιν ἡ ψυχή· ὥστε ἔστιν ἀντιλέγειν. ἔστιν οὖν ἐν λόγῳ καὶ παντελῶς ψεῦδος καὶ μερικόν· παντελῶς μὲν οὖν ὡς ἐπὶ τοῦ λέγοντος θνητὴν εἶναι τὴν ψυχήν· ἐπί τι δὲ ὡς ἐπὶ τοῦ λέγοντος πόδας Ἴδης (κατὰ ἀναλογίαν γὰρ εἴρηται), ἢ ὅτι τὰ ὀκτὼ διπλάσια τῶν τεσσάρων ὑπάρχουσιν· ἀπὸ γὰρ τῶν δύο ἐστὶ τὸ διπλάσιον. εἶτά φησιν ὅτι ὁ ψευδόμενος διὰ κέρδος ἢ διὰ δόξαν λέγεται ψεύδεσθαι· διὰ κέρδος ὥσπερ ὁ ἐμπορευόμενος, [ἢ add. LF] διὰ δόξαν ὥσπερ ὁ ἐρῶν αὐτῆς. κυρίως δὲ ψεύστης ὑπάρχει ὁ δι' αὐτὸ τὸ ψεύδεσθαι τοῦτο

ψευδὴς λόγος ἐστὶ τριγώνου, ὅτι μὴ ἔστιν ᾗ ἐστι τούτου. καὶ γὰρ εἰ ὄντος τινός ἐστιν ὁ λεγόμενος λόγος, ἀλλὰ καθὸ ψευδής ἐστι, μὴ ὄντος ἐστίν· μόνος γὰρ οὗτος δηλωτικός ἐστιν ὁ τὸ τρίγωνον λέγων σχῆμα εἶναι ὑπὸ ⸗ μιᾶς γραμμῆς περιεχόμενον. ἑκάστου δέ φησι λόγον εἶναι ἔστι μὲν ὡς ἕνα (εἷς γὰρ ὁ τῆς ἑκάστου οὐσίας δηλωτικὸς λόγος ἐστίν) ἔστι δὲ ὡς πολλούς, καὶ λέγει πῶς πολλοὶ αὐτοῦ λόγοι γίνονται· ἐπεὶ γὰρ δοκεῖ ταὐτόν πως εἶναι αὐτό τε καὶ αὐτὸ πεπονθός, οἷον Καλλίας καὶ Καλλίας μουσικός (ἓν γὰρ κατὰ τὸ ὑποκείμενον), εἴη ἂν Καλλίου ὁ μέν τις λόγος ἁπλῶς ὡς Καλλίου, ὁ δέ τις ὡς μουσικοῦ Καλλίου, ὁ δὲ ὡς λευκοῦ, καὶ καθ' ἕκαστον συμβεβηκὸς τῷ Καλλίᾳ συντιθέμενον τῷ Καλλίᾳ διαφέρων λόγος ἔσται, ὥστε πλείους τοῦ αὐτοῦ λόγοι οὕτως εἰσίν, εἴ τις περὶ αὐτοῦ ἀληθής. λόγον δὲ οὐ τὸν κυρίως ὁρισμὸν ἐπὶ Καλλίου καὶ Σωκράτους καὶ τῶν καθ' ἕκαστον ἀκούειν δεῖ. οὕτως μὲν οὖν πλείους τοῦ αὐτοῦ λόγοι. ὁ δὲ ψευδὴς λόγος οὐδενός ἐστιν ἁπλῶς ἀντὶ τοῦ κυρίως· κυρίως γὰρ ἑκάστου λόγος ὁ ἀληθής· οὗτος γὰρ καὶ οἰκεῖος· ὁ δὲ ψευδὴς καθὸ ψευδὴς μετὰ προσθήκης ἐκείνου λόγος γίνεται οὗ ἐστι ψευδής. ἑτέρου γάρ τινος, ὡς εἶπεν, ὁ ψευδὴς λόγος καὶ οὐχ οὗ ἐστιν ἀληθής· ψευδὴς γὰρ λόγος περὶ ἵππου ὁ λέγων αὐτὸν ζῷον λογικὸν θνητόν, ὅτι μή ἐστι τούτου οὗ ἐστιν ἀληθής· ἀληθὴς γὰρ ἀνθρώπου, ἀλλ' οὐχ ἁπλῶς ἵππου λόγος ζῷον λογικὸν θνητόν. καὶ καθ' ὧν ἂν ψευδῶς, ὁμοίως οὐδενὸς ἐκείνων ἔσται ἁπλῶς· οὐδενὸς γὰρ ἁπλῶς καὶ κυρίως ἐστὶν ὁ ψευδὴς λόγος. εἰπὼν δὲ ὅτι ὁ ψευδὴς λόγος τοῦ μὴ ὄντος ἐστί, καὶ ὅτι ἁπλῶς μὲν οὐκ ἔστιν ὁ ψευδὴς λόγος ἐκείνου λόγος οὗ ψευδής ἐστι, μετὰ προσθήκης δέ ἐστιν, ἔστι δὲ καὶ ὁ ψευδὴς λόγος περί τινος (ὁ γὰρ ἄλλου μὲν ὤν, ἐπ' ἄλλου δὲ ἢ οὗ ἐστι λεγόμενος) — εἰπὼν δὲ ταῦτα αἰτιᾶται Ἀντισθένην εὐήθως λέγοντα περὶ μηδενὸς ἄλλου λέγεσθαί τινα λόγον ἢ περὶ ἐκείνου οὗ οἰκεῖός ἐστι, παρα-

1 fort. ὅτι μὴ ὄντος ἐστὶν 3 οὗτος] fort. ὄντος ἐστιν (post δηλωτικός) M: om. A ὁ τὸ — περιεχόμενον (4)] *quae triangulum figuram esse ait tribus rectis lineis contentam* S: ὁ τὸ τρίγωνον λέγων σχῆμα εἶναι ὑπὸ τριῶν εὐθειῶν περιεχόμενον, τὸν δὲ κύκλον σχῆμα εἶναι ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον coni. Bonitz 4 post λόγον εἶναι addendum τοῦ τί ἦν εἶναι e S coni. Bonitz 26 οἰκεῖος M: οἰκείως AS

ALT. REC. GR. DISCR.

ποιῶν καὶ μὴ δι' ἕτερόν τι, ἀλλὰ τοιαύτην ἕξιν ἔχων, καὶ τοῦτον ἔχων [ἀλλὰ τοῦτον ἔχει LF] σκοπόν, τὸ ψεύδεσθαι. διό, φησίν, ὁ ἐν τῷ Ἱππίᾳ [ἱππίῳ L] τῷ διαλόγῳ συλλογιζόμενος παραλογίζεται ἡμᾶς· ἐκεῖσε γὰρ πειρᾶται δεικνύναι [ἡμᾶς] ὁ Πλάτων ὡς ὅτι ὁ ἑκὼν ψευδόμενος κρείττων ἐστὶ τοῦ ἄκοντος ψευδομένου, ὥσπερ καὶ ὁ ἑκὼν χωλεύων τοῦ ἄκοντος χωλεύοντος· ὥστε κατά γε τοῦτον τὸν λόγον ὁ ἑκὼν πηρώσας τοὺς πόδας κρείττων ἐστὶ τοῦ ἄκοντος τοῦτο ὑπομείναντος, ὅπερ οὐκ ἔστι. φαμὲν οὖν ὅτι ὁ Πλάτων τοῦτο εἶπεν ἐπὶ συμφέροντι, ὅτι ὁ ἑκὼν ψευδόμενος ἐπὶ συμφέροντι, ὥσπερ ἐπὶ τῶν ψευσαμένων τὸ φοινίκιον ψεῦσμα καὶ εἰπόντων ὅτι αὐτόχθονες ὑπάρχουσιν οἱ πολῖται, ἵνα μᾶλλον γένωνται ἐρασταὶ τῆς πόλεως, ἐπεὶ ὁ ἐπὶ βλάβῃ ψευδόμενος ὁμολογουμένως χείρων ἐστὶ τοῦ ἄκοντος ψευδομένου. (quae sequuntur om. F) καὶ οὕτω μὲν ἡ τῆς θεωρίας ἀκολουθία· πρὸς δὲ λέξιν οὕτως ἔχει (reliqua leguntur apud Ascl. p. 356,2—357,1) ὅτι τὸ ψεῦδος λέγεται ἄλλον μὲν τρόπον ὡς πρᾶγμα ψεῦδος καὶ τούτου τὸ μὲν τῷ μὴ συγκεῖσθαι ἢ ἀδύνατον εἶναι συντεθῆναι (ἁπλῆν

κρουσθέντα ὑπὸ τοῦ τὸν ψευδῆ λόγον μηδενὸς ἁπλῶς εἶναι λόγον· οὐ γὰρ εἰ μὴ ἁπλῶς ἐστι μηδὲ κυρίως, ἤδη καὶ οὐκ ἔστιν. ᾤετο δὲ ὁ Ἀντισθένης ἕκαστον τῶν ὄντων λέγεσθαι τῷ οἰκείῳ λόγῳ μόνῳ καὶ ἕνα ἑκάστου λόγον εἶναι· τὸν | γὰρ οἰκεῖον· τὸν δέ τι σημαίνοντα καὶ μὴ ὄντα 401
τούτου περὶ οὗ λέγεται εἶναι, ἀλλότριόν γε ὄντα αὐτοῦ. ἐξ ὧν καὶ συνάγειν ἐπειρᾶτο ὅτι μὴ ἔστιν ἀντιλέγειν· τοὺς μὲν γὰρ ἀντιλέγοντας περί τινος διάφορα λέγειν ὀφείλειν, μὴ δύνασθαι δὲ περὶ αὐτοῦ διαφόρους τοὺς λόγους φέρεσθαι τῷ ἕνα τὸν οἰκεῖον ἑκάστου εἶναι· ἕνα γὰρ ἑνὸς εἶναι καὶ τὸν λέγοντα περὶ αὐτοῦ λέγειν μόνον, ὥστε εἰ μὲν περὶ τοῦ πράγματος τοῦ αὐτοῦ λέγοιεν τὰ αὐτὰ ἂν λέγοιεν ἀλλήλοις (εἷς γὰρ ὁ περὶ ἑνὸς λόγος), λέγοντες δὲ ταὐτὰ οὐκ ἂν ἀντιλέγοιεν ἀλλήλοις. εἰ δὲ διαφέροντα λέγοιεν, οὐκέτι λέξειν αὐτοὺς περὶ ταὐτοῦ τῷ εἶναι ἕνα τὸν λόγον τὸν περὶ αὐτοῦ τοῦ πράγματος, τοὺς δὲ ἀντιλέγοντας ὀφείλειν περὶ τοῦ αὐτοῦ λέγειν. καὶ οὕτως συνῆγε τὸ μὴ εἶναι ἀντιλέγειν. σχεδὸν δὲ μηδὲ ψεύδεσθαι διὰ τὸ μὴ οἷόν τε εἶναι περί τινος ἄλλον πλὴν τοῦ ἰδιόν τε καὶ οἰκεῖον εἰπεῖν λόγον. ὅτι δὲ εὐήθης ὁ λόγος οὗτος, δείκνυσιν ἐκ τοῦ λέγειν ἕκαστον οὐ μόνον τῷ αὐτοῦ καὶ οἰκείῳ λόγῳ ἀλλὰ καὶ τῷ ἑτέρου, ψευδῶς μὲν καὶ ῥᾷστα καὶ πολλαχῶς καὶ ἐκ τοῦ προχείρου, οἷον ἂν τῷ κύκλου τις λόγῳ κατὰ τοῦ τριγώνου χρήσηται ἢ τῷ τοῦ ἵππου κατὰ τοῦ ἀνθρώπου. ὁ γὰρ λόγος ὁ λέγων τὸν ἵππον εἶναι ζῷον πεζὸν δίπουν ἔστι μὲν λόγος, ἐπ' οὐδενὸς δὲ ἀληθής· οὔτε γὰρ ἐπὶ τοῦ ἀνθρώπου, ἐπεὶ μηδὲ τὴν ἀρχὴν ἔχει τὸν ἄνθρωπον ὑποκείμενον, οὐδὲ περὶ τοῦ ἵππου περὶ οὗ λέγεται· εἰ δὲ λεγόμενος περὶ τούτου μή ἐστιν ἀληθής, δῆλον ὡς ψευδὴς ἂν εἴη περὶ τοῦ ἵππου. ἔστι δέ πως, φησί, καὶ ἀληθῶς χρῆσθαι κατά τινος ἀλλοτρίῳ λόγῳ, ὅταν τὸν πρώτως τινὸς καὶ προσεχῶς οἰκεῖον λόγον ἐπὶ τὰ δευτέρως καὶ

4 τὸν δὲ — αὐτοῦ (5)] *Nam quae aliquid significat, nec est eius, eam eius de quo dicitur, esse dici, cum ipsi sit aliena de quo dicitur, ab ipso esse alienam* S 8 φέρεσθαι] λέγεσθαι M: γρ. καὶ λέγεσθαι in mrg. A 9 ὥστε M: ὡς A 14 μηδὲ MS: μὴ A 17 αὐτοῦ et ἑτέρου c. S Bonitz: αὐτῷ et ἑτέρῳ A 21 μηδὲ Bonitz: μὴ τόνδε A 25 τὸν M: τὴν A

ALT. REC. GR. DISCR.

γὰρ φύσιν δηλοῖ τὸ ψεῦδος τὸ ἐπὶ τῶν πραγμάτων), ὥσπερ λέγεται τὸ τὴν διάμετρον εἶναι σύμμετρον ἢ τὸ σὲ καθῆσθαι. τούτων γὰρ τὸ μὲν ἀίδιον ψεῦδος, τὸ τῆς διαμέτρου [τὴν διάμετρον L], τὸ δὲ οὐκ ἀίδιον, τὸ τοῦ καθῆσθαι· οὕτω γὰρ [δὲ L] ὑπάρχουσι ταῦτα οὐκ ὄντα. τὰ δὲ λέγεται εἶναι ψευδῆ, ὅσα ἔστι μὲν ὄντα, πέφυκε μέντοι φαίνεσθαι ἢ μὴ οἷά ἐστιν ἢ ἅτινα παντελῶς μὴ ἔστιν, οἷον ἡ σκιαγραφία καὶ τὰ ἐνύπνια· ταῦτα γὰρ ἔστι μέν τι, ἀλλ' οὐχ ὧν ἐμποιεῖ τὴν φαντασίαν, τουτέστιν οὐκ ἀληθῆ ὑπάρχουσιν· οὔτε γὰρ ὁ θεώμενος ἑαυτὸν [εἶναι] ἐν ὕπνοις ἱπτάμενον ἤδη καὶ πτερὰ ἔχει. τὰ μὲν οὖν οὕτω λέγεται εἶναι ψευδῆ, ἢ τῷ μὴ εἶναι αὐτὰ παντελῶς ἢ τῷ τὴν ἀπ' αὐτῶν φαντασίαν μὴ ὄντος εἶναι, ὡς ἐν τῇ θεωρίᾳ ἐδείξαμεν. λόγος δέ ἐστι ψευδὴς ὁ τῶν μὴ ὄντων, καθὸ ψευδὴς ὑπάρχει· εἰ γὰρ ἀναιρεῖ τὸ μὴ ὄν, οὐκ ἔστι ψευδής, διὸ προσέθηκε τὸ καθὸ ψευδὴς ὑπάρχει· ὅθεν ὁ (sic etiam Ascl.) πᾶς λόγος ψευδὴς ἑτέρου παρ' ἐκεῖνο [ἐκεῖνον L Ascl.] ἐφ' οὗ καὶ ἀληθής ἐστιν, οἷον ὁ τοῦ κύκλου ἀληθὴς λόγος ψευδὴς γίνεται ἐπὶ τριγώνου. ἑκάστου δὲ πράγματος λόγος ἔστιν ὡς [ὅτι L] εἷς ἐστιν ὁ κριτικὸς [l. ὁριστικὸς] αὐτοῦ λόγος, ἔστι δὲ ὡς πολλοί [πολλὰ L],

ἀπ' ἐκείνου τὸ εἶναι ἔχοντα μεταφέρωμεν, οἷον ἐπ' ἀριθμοῦ πρώτως διπλάσιος ἀριθμός ἐστιν ὁ δύο· τὸ γοῦν διπλάσιον ὄνομα παρὰ τὰ δύο γέγονεν, ὃ καὶ ἐφ' ἑκάστου τῶν ἄλλων διπλασίων λέγομεν, ὅτι ἐστὶ διπλάσια τάδε τῶνδε ὅτι ἔχει ὡς δύο πρὸς ἕν· διὸ καὶ κυρίως οὗτος διπλάσιος, λέγονται δὲ διπλάσιοι καὶ οἱ μετ' αὐτὸν ἄρτιοι, οἷον ὁ τέσσαρα καὶ ὀκτὼ καὶ ἑφεξῆς, τῷ τῆς δυάδος κυρίῳ καὶ οἰκείῳ λόγῳ χρωμένων ἡμῶν κατὰ τούτων καὶ ἀληθευόντων. εἰ δὲ καὶ ψευδῶς ἔστι λέγειν τινὰ τῷ ἑτέρων λόγῳ καὶ ἀληθῶς, οὐκ ἂν ἑκάστου τῶν ὄντων εἷς εἴη λόγος, ᾧ λέγεται, οὐδ' ἂν μοναχῶς εἴη περὶ ἑκάστου αὐτῶν λέγειν· προείρηται γὰρ ὅτι ἑκάστου λόγος | ἔστι μὲν ὡς εἷς ἔστι δὲ ὡς πολλοί. εἴη δ' ἂν καὶ τὸ ἐν τῇ διανοίᾳ 402
ψεῦδος ὑπαγόμενον τῷ ἐν τῷ λόγῳ ψεύδει· λόγος γάρ τις καὶ ἡ διάνοια.

Εἰπὼν πῶς μὲν ψευδῆ τὰ πράγματα πῶς δὲ οἱ λόγοι, καὶ ἄλλο σημαινόμενον ψεύδους παρατίθεται· λέγεται γὰρ ἄνθρωπος ψευδὴς κατ' οὐδένα τρόπον τῶν προειρημένων τοῦ ψεύδους, ἀλλ' ἢ εὐχερὴς πρὸς τὸ ψεύδεσθαι καὶ τούτου προαιρετικὸς καὶ χαίρων τῷ ψεύδεσθαι, διὰ τοῦτο καὶ μὴ δι' ἄλλο τι, οἷον κέρδος ἢ μισθόν τινα· οὗτος γὰρ οὐκ ἔστι ψευδὴς οὐδὲ φιλοψευδής, ἀλλὰ φιλοκερδὴς ἢ εἴ τι τοιοῦτόν ἐστιν. ἔτι δὲ καὶ ὁ ἄλλους ἀναπείθων ψεύδεσθαι ψευδὴς λέγεται, οὐ τῷ ποιεῖν αὐτοὺς χαίρειν τῷ ψεύδεσθαι, ἀλλὰ τῷ πείθειν πιστεύειν ὡς ἀληθέσιν οἷς ψευδόμενος λέγει ὡς οὖσιν ἀληθέσιν. οὕτω δὲ ψευδεῖς ἄνθρωποι οἱ ἀναπείθοντες ἄλλους ψεύδεσθαι λέγονται, ὡς καὶ τὰ πράγματα ψευδῆ λέγονται, ὅσα φαντασίας ψευδεῖς ποιεῖ, ὥσπερ τὰ χολοβάφινα ψευδῆ λέγεται, ὅταν χρυσῶν φαντασίαν ποιῇ, καὶ οἱ φυλετικῶς φυσήσαντες αὐτούς, ὅταν εὐεκτούντων φαντασίαν ἀποτελῶσι, καὶ περὶ ὧν εἶπε πραγμάτων ψευδῶν τῷ ἀλλοίαν φαντασίαν ἢ οἷά ἐστιν ἐμποιεῖν, ὡς αἱ γραφαὶ εἶχον καὶ τὰ ἐνόπνια. εἰπὼν δὲ τίς ἐστιν ὁ ἄνθρωπος ὁ ψευδής, ὅτι ὁ χαίρων τῷ ψεύδεσθαι, τὸν ἐν τῷ Ἱππίᾳ Πλάτωνος λέγει λόγον παρακρούεσθαι καὶ παραλογίζεσθαι συνάγειν βουλό-

---

1 πρώτως M: πρῶτος vel πρῶτον A 2 γέγονεν Bonitz: γεγονέναι A 3 λέγομεν Bonitz: λέγωμεν AM 12 ψεύδη AM 23 φυλετικῶς φυσήσαντες αὐτούς] cf. de Soph. el. 1 p. 164ᵃ27 26. 27 ἐν τῷ Ἱππίᾳ Πλάτωνος] Hipp. min. p. 374 C 27 λέγει S Brandis Bonitz: λέγη AM

---

ALT. REC. GR. DISCR.

ἐπεὶ τὸ αὐτό ἐστι καὶ ἡ οὐσία ἅμα τοῖς συμβεβηκόσιν, ὅπερ ἐκάλεσε πεπονθός, οἷον Σωκράτης καὶ Σωκράτης μουσικός. ὁ δὲ ψευδὴς λόγος οὐδενός ἐστιν ἁπλῶς λόγος· διὸ Ἀντισθένης, φησίν, ἀνοήτως ὑπελάμβανε μηθὲν ἀξιῶν λέγεσθαι πλὴν τῷ οἰκείῳ λόγῳ ἓν ἐφ' ἑνός· ἐξ ὧν συνέβαινε, μὴ εἶναι ἀντιλέγειν κατ' αὐτόν, σχεδὸν δὲ μηδὲ ψεύδεσθαι, εἴ γε ψεῦδος ὑπάρχει ὅπου ἀντιλογία· θάτερον γὰρ ἀνάγκη ἐστὶν ἀληθεύειν (ἀληθεῦον L). ἔστι δὲ ἕκαστον λέγειν περί τινος οὐ μόνον [ἐν] τῷ αὐτοῦ λόγῳ, τουτέστιν ἀληθῶς περὶ τοῦ αὐτοῦ πράγματος, ἀλλὰ καὶ τῷ ἑτέρου, ψευδῶς μὲν καὶ παντελῶς, ἔστι δὲ ὡς καὶ ἀληθῶς, ὥσπερ τὰ ὀκτὼ διπλάσια ὑπάρχουσι τῷ τῆς δυάδος λόγῳ. τὰ μὲν οὖν οὕτω λέγονται ψευδῆ· ἄνθρωπος δὲ κυρίως λέγεται ψευδής, ὁ εὐχερὴς καὶ προαιρετικὸς τῶν τοιούτων λόγων μὴ δι' ἕτερόν τι, οἷον διὰ κέρδος ἢ διὰ φιλοτιμίαν, ἀλλὰ δι' αὐτὸ τὸ ψεύδεσθαι, ἵνα ὑποθώμεθα αὐτὸν καὶ πλάττεσθαι τὸ ψεῦδος διὰ τὸ χαίρειν τῷ ψεύδει, ὥσπερ φαμὲν καὶ πράγματα ψευδῆ εἶναι, ὅσα ἐμποιεῖ φαντασίαν ψευδῆ, ὡς ἐπὶ τῆς σκιαγραφίας. διὸ ὁ ἐν τῷ Ἱππίᾳ λόγος παραλογίζεται,

μενον ὡς ὁ αὐτὸς ἄνθρωπος ψευδής τε καὶ ἀληθὴς τῷ τὴν αὐτὴν δύναμιν ἔχειν τῶν ἐναντίων· ψευδῆ γὰρ λαμβάνει τὸν δυνάμενον ψεύδεσθαι, ἔστι δὲ τοιοῦτος ὁ τὸ ἀληθὲς εἰδὼς μάλιστα καὶ ὁ φρόνιμος. ἀλλ' οὐχ οὕτως ὁ ψευδὴς λέγεται, ἀλλ' ὁ προαιρετικὸς τούτου καὶ εὐχερὴς καὶ χωρὶς ἐπιστάσεως λέγων καὶ χαίρων τῷ τοιούτῳ, οἷος οὐκέτι ἐστὶν ὁ φρόνιμος, καὶ ὁ τοὺς ἄλλους ψεύδεσθαι πείθων καὶ προαιρετικὸς τοῦ τοιούτου, ὃς καὶ φαῦλος εὐθύς. ἔτι δέ φησι μηδὲ τοῦτο ὀρθῶς ἐν τῷ Ἱππίᾳ εἰρῆσθαι δηλονότι, τὸ τὸν ἑκόντα φαῦλα πράσσοντα βελτίονα εἶναι τοῦ ἄκοντος, ὃ δι' ἐπαγωγῆς ψευδοῦς λαμβάνει, λέγων, ὥσπερ ὁ ἑκὼν χωλαίνων βελτίων καὶ ὑγιεινότερος τοῦ ἄκοντος καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων προσποιήσεων, οὕτω καὶ τὸν ἑκόντα πράσσοντα τὰ φαῦλα βελτίω εἶναι τοῦ ἄκοντος. τὸν γὰρ ἑκόντα χωλαίνοντα ἔλαβε τὸν μιμούμενον χωλόν, ὅτι ὁ οὕτως χωλαίνων ἀμείνων τοῦ ἄκοντος· ὁ μὲν γὰρ χωλὸς ὁ δὲ οὔ· ὥστε ἡ σύγκρισις χωλοῦ καὶ φαινομένου χωλοῦ, ἐπεὶ ἄν γε τὸν ἑκόντα χωλὸν ὄντα λαμβάνῃ, ἴσως χείρων οὗτος τοῦ ἄκοντος χωλοῦ ὄντος, ὥσπερ καὶ ὁ τὸ ἦθος μοχθηρὸς ἑκὼν χείρων τοῦ ἄκοντος· ὁ γὰρ ἀκόλαστος τοῦ ἀκρατοῦς χείρων. ὁμοίως δὲ καὶ ὁ ἑκών τε ψευδόμενος καὶ χαίρων τῷ ψεύδεσθαι χείρων τοῦ ἄκοντος. |

Λέγει δὲ καὶ περὶ συμβεβηκότων τὸ πῶς ὑπάρχον συμβεβηκὸς 103
ἔσται· ὃ γὰρ ὑπάρχει μέν τινι καὶ ἀληθὲς εἰπεῖν περὶ αὐτοῦ ὅτι ὑπάρχει, οὔτε δὲ ὡς ἐξ ἀνάγκης οὔτε ὡς ἐπὶ τὸ πολύ, ἐκεῖνο συμβεβηκὸς λέγεται καὶ ἔστιν. οὕτω συμβεβηκὸς τὸ θησαυρὸν εὑρεῖν τῷ ὀρύσσοντι βόθρον εἰς τὸ φυτεῦσαί τι, ἐπεὶ μήτε ἐξ ἀνάγκης ἕπεται τοῖς ὀρύσσουσι τὸ εὑρίσκειν θησαυροὺς μήτε ὡς ἐπὶ τὸ πολύ, ἀλλὰ σπανίως φυτεύων τις ἢ ὀρύσσων εὕρε θησαυρόν, ὡς μὴ ἐκ τοῦ ὀρύσσειν γίγνεσθαι τὴν εὕρεσιν· οὔτε γὰρ τὸ ὀρύσσειν ἦν αἴτιον ἐξ ἀνάγκης τῆς εὑρέσεως τοῦ θησαυροῦ, οὔτε ἕπεται πάντως τῷ ὀρύξαντι ὡς μετ' αὐτὸ τὴν εὕρεσιν εἶναι τοῦ θησαυροῦ. διὸ καὶ ἔστι τὸ μὲν εὑρεῖν οὕτω θησαυρόν, ἀπὸ τύχης δὲ καὶ κατὰ συμβεβηκὸς αἴτιον ποιητικὸν τῆς εὑρέσεως τοῦ θησαυροῦ τὸ ὀρύξαι. καὶ τὰ μὲν ἀπὸ τύχης οὕτω συμβεβηκότα. καὶ ὁ μουσικὸς δὲ ἂν λευκὸς ἢ κατὰ συμβεβηκός ἐστιν· οὔτε γὰρ ἐξ ἀνάγκης οὔτε ὡς ἐπὶ τὸ πολὺ ἕπεται τῷ μουσικῷ τὸ εἶναι λευκόν. ἑξῆς δὲ καὶ πῶς κρινοῦμεν τὸ συμβεβηκὸς λέγει· ἐπεὶ γὰρ ἔστι τι ὑπάρχον, ἔστι καὶ ᾧ ὑπάρχει τὸ ὑπάρχον, καὶ ἔνιά γε τῶν ὑπαρχόντων ἢ ποῦ ὑπάρχει, οἷον ἐν μορίῳ τούτου ᾧ ὑπάρχει, ἢ

---

7 ἔτι S Brandis Bonitz cf. Metaph. p. 1025a9: ὅτι ALM 7. 8 δηλονότι Brandis Bonitz: δῆλον AM: om. S 17 τε LF: τε καὶ A 21. 22 λέγεταί τε καὶ LF 26 αἴτιον LFS: αὐτῷ A 28 ἔστι μὲν τὸ coni. Bonitz 32 λευκῷ LF καὶ LF: οὐ A 33 ἔστι καὶ — ὑπάρχον LFS: οἷον ἐν μορίῳ τούτῳ ᾧ ὑπάρχει τὸ ὑπάρχον A

---

ALT. REC. GR. DISCR.

ὡς ὅτι ὁ αὐτὸς ψευδὴς καὶ ἀληθὴς ὑπάρχει· τὸν δυνάμενον γὰρ ψεύσασθαι λαμβάνει ἐκεῖσε ψευδῆ.

ποτέ (οὐδὲ γὰρ κεκώλυται τῶν ὑπαρχόντων τινά τισι καὶ οὕτως ὑπάρχειν ὡς ἐν μέρει ὑπάρχειν, ἢ ποτὲ ἐν χρόνῳ τινὶ ὑπάρχειν), ποῦ δὲ καὶ ποτὲ καὶ τῶν ἐξ ἀνάγκης γινομένων τινά, ὡς ἀνατολαὶ τῶν ἄστρων καὶ δύσεις (ποῦ τε γάρ, ἐπεὶ κατὰ τοῦτο μὲν τὸ μέρος τοῦ κόσμου αἱ ἀνατολαὶ κατὰ τοῦτο δὲ αἱ δύσεις, καὶ ποτέ· οὐ γὰρ ἀεὶ τοῖς αὐτοῖς ἀνατολαὶ καὶ δύσεις, ἀλλ' ἐν μέρει)· ὅ τι ἂν οὖν ὑπάρχῃ μέν τινι ἢ ἁπλῶς ἢ πῇ ἢ κατὰ χρόνον, οἷον νῦν, ἐνταῦθα, οἷον ἐν τούτῳ τῷ μέρει, μὴ διὰ προηγουμένην δέ τινα καὶ ὡρισμένην αἰτίαν· τούτου γὰρ δηλωτικὸν τὸ μὴ διότι τοδὶ ἦν ἢ νῦν ἢ ἐνταῦθα, δεικνὺς ὅτι οὐδὲ τὰ αἴτια τούτων ἀεὶ ὑπάρχοντα, ἀλλὰ ποτέ, οὐδὲ τὰ ἐν μορίῳ τινὶ ἁπλῶς συμβεβηκότα ἐστίν, ἀλλὰ τότε καὶ ταῦτα γίνεται συμβεβηκότα, ὅταν μὴ ὑπάρχῃ τὸ δι' ὃ ὑπάρχει ὡρισμένον αἴτιον. οὐ γὰρ ἀπὸ τύχης ἐφλέγμηνεν ὁ δάκτυλος, εἰ εἴη αἰτία αὐτῷ τῆς φλεγμονῆς, οὐδὲ ἀπὸ τύχης ἡ ἐν τῷ θέρει θέρμη· αἰτία γὰρ αὐτῇ ἡ τοῦ ἡλίου πρόοδος. οὐδὲ δή, φησίν, αἴτιον ὡρισμένον ἐστὶ τοῦ συμβεβηκότος, ἀλλὰ τὸ τυχόν· τοῦτο δὲ ἀόριστον. δύναται τὸ οὐδὲ δὴ καὶ ἀντὶ τοῦ οὐδὲν εἰρηκέναι· ἤδη γὰρ εἶπεν ὅτι μή ἐστιν αἴτιον τοῦ συμβεβηκότος διὰ τοῦ ἀλλὰ μὴ διότι τοδὶ ἦν. οὕτως γὰρ συμβεβηκός τινι τὸ εἰς Αἴγιναν ἐλθεῖν, εἰ μὴ διὰ τοῦτο ἔπλει ὡς Αἰγίνῃ προσέξων. | γέγονε μὲν δὴ ἢ ἔστι τὸ συμβεβηκός, ἀλλ' οὐ καθ' 404
αὐτὸ γέγονεν οὐδὲ προηγουμένως, ἀλλὰ τῷ ἕτερον γενέσθαι τοῦτο συνέβη. τοῦ γὰρ πλεῖν προηγουμένως γεγονότος γέγονε τὸ ἐν Αἰγίνῃ γενέσθαι, οὐ τούτου χάριν πλέοντος· τοῦ γὰρ εἰς Αἴγιναν ἐλθεῖν ὁ χειμὼν αἴτιος κωλύσας ἐλθεῖν ἐκεῖ οὗ χάριν ἔπλει· οὐ καθ' αὑτὸ οὖν γέγονεν οὐδὲ αὐτὸ ἦν τὸ γιγνόμενον, ἀλλ' ἑτέρῳ γινομένῳ ἐπιγέγονε. τοῦ γὰρ τὸ γινόμενον μὴ γενέσθαι ὁ χειμὼν αἴτιος καὶ οὐ τὸ πλεῖν· ἄλλου γὰρ χάριν ἐγίνετο τοῦτο. εἰπὼν δὲ ταῦτα περὶ τοῦ συμβεβηκότος λέγει καὶ ἄλλο τι τοῦ συμβεβηκότος σημαινόμενον· ὅσα γὰρ ὑπάρχει μέν τισι καθ' αὑτά, μὴ ἐν τῇ οὐσίᾳ δὲ αὐτῶν μηδὲ ἐν τῷ ὁρισμῷ ἐστι, καὶ αὐτὰ συμβεβηκότα ἐστί, περὶ ὧν καὶ αἱ ἀποδόσεις γίνονται. οὕτως ὑπάρχει τῷ τριγώνῳ τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν· ἔστι μὲν γὰρ καθ' αὑτὸ ὑπάρχον αὐτῷ, οὐ μὴν ἐν τῷ ὁριστικῷ λόγῳ αὐτοῦ τῷ τὴν οὐσίαν δηλοῦντι τοῦ τριγώνου περιέχεται, εἴ γε τριγώνου λόγος ἐστὶ σχῆμα τὸ ὑπὸ τριῶν εὐθειῶν περιεχόμενον. καὶ τὰ μὲν οὕτως συμβεβηκότα, φησίν, ἐνδέχεται ἀίδια εἶναι, τῶν δὲ κατὰ τὸ πρῶτον σημαινόμενον οὐδέν. τὸ δὲ ἐνδέχεται εἶπεν ἤτοι ἐπεὶ μὴ περὶ τούτου νῦν προηγουμένως λέγων ἐποιεῖτο τὸν λόγον, ἐπεί γε δοκεῖ τὰ οὕτως ὑπάρχοντα ἀίδια εἶναι· ἢ εἰ ἐνδέχεταί τι ὅλον εἶδος ζῴων μὴ ἀίδιον εἶναι, φέρε εἰπεῖν τοὺς τέττιγας, οὐδ' ἂν

---

2 ποτέ· καὶ ἐν LF 6 ἁπλῶς LFS: ἁπλοῦν A 7 οἷον ἐν LF: ὅτι ἐν A 8 δέ LFS: τέ A μὴ LF: om. A 9 ἦν LFS: om. A 12. 13 αἴτιον· εἰ γὰρ τύχῃ πληγεὶς φλεγμῆναι ὁ δάκτυλος, ἡ πληγὴ αἰτία αὐτοῦ τῆς φλεγμονῆς ἐστιν, οὐδὲ ἀπὸ τύχης LF 19 προσάξων LF μὲν δὴ LFM: μηδὴ A 20 προηγουμένως LF: προσηγμένως A: *ex sententia* S 28 αὐτῶν LFS: αὐτοῦ A 29 ἀποδόσεις] fort. ἀποδείξεις 35 λέγων $A^2$LS: λέγει $A^1$ 36 ὑπάρχοντα LFS: ὑπερέχοντα A 37 τι LFS: om. A ζῴων L: ζῴου A

τὰ τούτοις καθ' αὑτὰ ὑπάρχοντα καὶ οὕτω συμβεβηκότα ἀίδια εἴη. τῶν δὲ πρώτων εἰρημένων οὐδὲν οἷόν τε ἀίδιον εἶναι· ὃ γὰρ μήτε ἐξ ἀνάγκης μήθ' ὡς ἐπὶ τὸ πολὺ ἢ γίνεται ἢ ἔστι, πῶς ἂν ἀίδιον εἴη; γράφεται δὲ καὶ ἔν τισι καὶ ταῦτα ἴδια αἴτια, καὶ εἴη ἂν ἡ γραφὴ αὕτη δηλοῦσα ὅτι πρὸς ἀπόδειξιν χρήσιμα τὰ οὕτως συμβεβηκότα· δι' αὐτῶν γὰρ αἱ ἀποδείξεις. ταύτῃ δὲ τῇ γραφῇ εἴη ἂν καὶ τὸ ἐπιφερόμενον ἀκόλουθον τὸ λόγος δὲ τούτου ἐν ἑτέροις. περὶ γὰρ τῶν καθ' αὑτὰ οὕτως ὑπαρχόντων καὶ τῶν αἰτίων ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς εἴρηκε· τίνα γὰρ αἴτια ἀποδείξεων, ἐν ἐκείνοις εἴρηται· οὐ γὰρ τὰ ὁπωσοῦν συμβεβηκότα, ἀλλὰ τὰ καθ' αὑτὰ ἐν οἷς ἐστι καὶ οὕτω συμβεβηκότα. ἢ τὸ ὅσα ὑπάρχει ἑκάστῳ καθ' αὑτὰ καὶ μὴ ἐν τῇ οὐσίᾳ ὄντα εἴρηκεν ὡς ἴσον τῷ ὅσα ὑπάρχει ἑκάστῳ κατὰ αἰτίαν τινὰ ὡρισμένην, μὴ μέντοι οὕτως ὡς εἶναι αὐτοῦ ἐν τῇ οὐσίᾳ.

---

4 καὶ ταῦτα ἴδια LFS: καὶ ἄν τε ἀίδια A  5 χρήσιμα LF: χρήσιμος A

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Ε ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ

Πολλάκις τὴν προκειμένην ἐπιστήμην τὸ ὂν ᾗ ὂν εἰδέναι ἀποφηνάμενος (αἱ γὰρ ἄλλαι μέρος τι τοῦ ὄντος ἀποτεμόμεναι περὶ ἐκεῖνο πραγμα-
5 τεύονται, οὐχὶ τὴν φύσιν ἐκείνου ζητοῦσαι, οὐδὲ θεωροῦσαι αὐτὸ ὡς ὄν, ἀλλ' ὃ συνέβη αὐτῷ· ἡ γὰρ ἀστρονομία οὐ τὴν φύσιν τῶν ἀστέρων ζητεῖ καὶ θεωρεῖ, ἀλλὰ κινήσεις αὐτῶν καὶ προποδισμοὺς καὶ ἀναποδισμούς) — 5
πολλαχοῦ δή, ὡς εἴρηται, τὴν προκειμένην ἐπιστήμην τὸ ὂν ᾗ ὂν γιγνώσκειν εἰπών, ἐξ ὧν ἐν τῷ παρόντι βιβλίῳ σκιωδῶς ἐμφαίνει καὶ ἐν τῷ
10 μετὰ τοῦτο ἐμφανέστερον καὶ ἐν τοῖς ἐφεξῆς λαμπρότερον. ἐκείνην λέγει τὴν ἐπιστήμην εἰδέναι τὸ ὂν ᾗ ὂν τὴν ἑκάστου ὁρισμὸν εἰδυῖαν καὶ ὅπως ἕκαστον ὁρίζεσθαι προσήκει διορίζουσαν, εἴτε νοητὸν εἴτε ἄλλο τι, καὶ τίνων μέν εἰσιν ὁρισμοὶ τίνων δὲ οὔκ εἰσιν. εἰ δὲ ἡ προκειμένη πραγμα- 10
τεία τοιαύτη τις ἀναφανείη, αὕτη ἂν εἴη ἡ τὸ ὂν ᾗ ὂν γινώσκουσα. καὶ
15 εἴπερ ἔστιν ὁποίαν αὐτήν φαμεν εἶναι, εἴτε μή, ἐν τοῖς ἑξῆς ἅπασι βιβλίοις εἰσόμεθα. ἐπὶ δὲ τὴν τῶν λεγομένων ἐξήγησιν ἰτέον.

p. 1025ᵇ3 Αἱ ἀρχαὶ καὶ τὰ αἴτια ζητεῖται τῶν ὄντων.

Ὑπομιμνήσκει πάλιν ἡμᾶς τῶν πολλάκις ῥηθέντων ὅτι τῇ προκειμένῃ 15
πραγματείᾳ ζητεῖται τὰ αἴτια καὶ αἱ ἀρχαὶ τῶν ὄντων. ζητεῖται δὲ τὰ
20 αἴτια τῶν ὄντων δηλαδὴ ᾗ ὄντα εἰσίν. ἀλλ' ὅτι μὲν ἡ ἀρχὴ καθολικωτέρα ἐστὶ τοῦ αἰτίου καὶ διὰ τί καὶ πῶς καθολικωτέρα πολλάκις εἴρηται· ὅτι δὲ τὰ αἴτια τῶν ὄντων ᾗ ὄντα ἐστὶν ἡ προκειμένη πραγματεία σκοπεῖται, δείκνυσιν ἐκ τοῦ μηδεμίαν τῶν ἄλλων ἐπιστημῶν τοῦτο ποιεῖν, ἀλλὰ πάσας πα- 20
ραχωρεῖν τῇ προκειμένῃ τῆς τοιαύτης ζητήσεως, ὡς κυρίᾳ καὶ δεσποίνῃ

---

1. 2 Tit. σχόλιον εἰς τὸ ε τῶν μετὰ τὰ φυσικὰ τοῦ ἀριστοτέλους A¹: μιχαὴλ τοῦ ἐφεσίου praescripsit et σχόλιον in σχόλια corr. A²: ἀλεξάνδρου ἀφροδισιέως ὑπόμνημα εἰς τὸ ε τοῦ ἀριστοτέλους μετὰ τὰ φυσικά M 5 θεωροῦσιν LF 6 ὁ γὰρ ἀστρονόμος LF 9. 10 καὶ — ἐμφανέστερον LFS: om. A 10 λέγει Brandis Bonitz: εἶναι λέγει ALF: *in entis qua ens est cognitione versari docet* S 12 νοητὸν εἴη εἴτε LF 19 ζητεῖται δὲ LF: ζητεῖ δὲ A

αὐτῶν. ἔστι γάρ, φησίν, αἴτιον ὑγιείας καὶ εὐεξίας, ὑγιείας μὲν φέρε εἰπεῖν καθάρσεις καὶ φλεβοτομίαι, εὐεξίας δὲ εἰ τύχοι γυμνάσια· καὶ τῶν μαθηματικῶν εἰσιν ἀρχαὶ καὶ αἴτια καὶ στοιχεῖα, καὶ ὅλως πᾶσα ἐπιστήμη διανοητικὴ ἢ πρακτική (ταύτην γὰρ ἐδήλωσε διὰ τοῦ ἢ μετέχουσά τι διανοίας· οὐ γὰρ ἄνευ διανοίας τὰ πρακτὰ πράττεται) περὶ αἰτίας καὶ ἀρχάς ἐστιν, ἢ ἀκριβεστέρας ἢ ἁπλουστέρας. ἀκριβέστεραι μὲν γὰρ αἱ ἀρχαὶ γεωμετρίας τῶν τῆς ἀστρονομίας ἀρχῶν, εἰ καὶ τὸ ὑποκείμενον αὐτῆς τοῦ τῆς γεωμετρίας τιμιώτερον. ὡς ἐν τῇ Περὶ ψυχῆς ἡμῖν εἴρηται. ἀκριβέστεραι μὲν οὖν αἱ τῆς γεωμε|τρίας, ὅτι ἐξ ὧν αἱ ἀποδείξεις 406
αὐτῆς λίαν εἰσὶν ἀναντίρρητοι· πᾶσαι δέ, ὥσπερ λέγομεν, περὶ ἀρχὰς καὶ αἰτίας. ἀλλὰ πᾶσαι αὗται περὶ ὄν τι, ἀλλ' οὐχὶ τοῦ ὄντος ᾗ ὄν, ἀλλὰ τὶ τοῦ ὄντος καὶ γένος τι καὶ ὑποκείμενον περιγραψάμεναί τε καὶ ἀποτεμόμεναι περὶ τὰς αἰτίας τούτου πραγματεύονται, ἀλλ' οὐ περὶ τὰς τοῦ ὄντος ἁπλῶς, οὐδὲ τὸ ὂν ᾗ ὂν ζητοῦσιν· οὐδὲ τοῦ τί ἐστι καὶ τῆς οὐσίας οὐδένα λόγον ποιοῦνται, ἀλλ' ἐκ τούτου αἱ μὲν αἰσθήσει ποιήσασαι αὐτὸ δῆλον, ὥσπερ ἡ ἰατρικὴ τὰ αἴτια τῶν συνθέτων σωμάτων καὶ τὰ στοιχεῖα τῇ αἰσθήσει πεποίηκε δῆλα. ὁρῶσα γὰρ εἰς τὰ τέτταρα ἁπλᾶ σώματα διαλυόμενα ἔγνω ὅτι ἐξ αὐτῶν συνίστανται. ἀλλὰ δὴ ὅτι καὶ τὸ πῦρ καὶ τὸ ὕδωρ τὸ μὲν ψυχρὸν καὶ ὑγρόν, τὸ δὲ πῦρ ξηρὸν καὶ θερμόν, καὶ ταῦτα τῇ αἰσθήσει δῆλα ποιεῖται, οὐ τῷ λόγῳ. φυσικοῦ γάρ ἐστιν ἢ καὶ τοῦ ὑπὲρ ἐκεῖνον τὸ τῷ λόγῳ καὶ τῇ ἀποδείξει δείκνυσθαι τὸ πῦρ ξηρὸν καὶ θερμὸν ἢ τὴν γῆν ξηρὰν καὶ ψυχράν, τὸν δ' ἀέρα θερμὸν καὶ ὑγρόν. ἀλλ' ἡ μὲν ἰατρική, ὥσπερ εἴρηται, αἰσθήσει ταῦτα δῆλα ποιήσασα ἀποδείκνυσι τὰ ὑποβεβλημένα αὐτῇ. ἡ δὲ ἀριθμητικὴ οὔτε τῇ αἰσθήσει οὔτε τῷ λόγῳ δῆλον ποιεῖ τί ἐστι μονάς, ἀλλ' ὑποτίθεται ὅτι μονάς ἐστιν οὐσία ἄθετος, καὶ ἡ γεωμετρία ὅτι τὸ σημεῖόν ἐστιν οὐσία θετὴ ἢ οὗ μέρος οὐθέν· καὶ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα. καὶ τὰ λοιπὰ δὲ διὰ τούτων οὕτως ἀποδεικνύουσι τὰ καθ' αὑτὰ ὑπάρχοντα τῷ γένει καὶ τῷ ὑποκειμένῳ περὶ ὅ εἰσιν· ἀριθμητικὴ μὲν γὰρ τὰ τῶν ἀριθμῶν πάθη περὶ οὗς ἐστι, γεωμετρία δὲ τὰ τῶν μεγεθῶν, καὶ ὅλως τὰ καθ' αὑτὰ ὑπάρχοντα τοῖς μεγέθεσι πάθη. ὁμοίως δὲ ταύταις καὶ ἡ ἰατρικὴ τὰ οἰκεῖα. διὰ δὴ τούτων ἑκάστη τὰ οἰκεῖα δείκνυσιν ἢ ἀναγκαιότερον ἢ μαλακώτερον. ὧν μὲν γὰρ αἱ ἀρχαὶ ἀκριβέστεραι, καὶ αἱ ἀποδείξεις ἀναγκαιότεραι, ὡς αἱ τῆς γεωμετρίας· ὧν δὲ αἱ ἀρχαὶ τὴν ἀκρίβειαν ἐκπεφεύγασι, τούτων καὶ αἱ ἀποδείξεις μαλακώτεραι, ὡς αἱ τῆς ἀστρονομίας καὶ τῆς ἰατρικῆς. οὕτω μὲν οὖν τὸ τί ἐστι καὶ τὴν οὐσίαν καὶ τὸν ὁρισμὸν τῶν οἰκείων ἑκάστη ἀρχῶν δῆλον ποιήσασα ἢ τῇ αἰσθήσει ἢ ὑπόθεσιν λαβοῦσα δείκνυσι τὰ ὑπ' αὐτήν. ἀλλ' ἡ ἐκ τῆς αἰσθήσεως καὶ τῆς ἐπαγωγῆς πίστις οὐκ ἔστιν

---

7 αἱ ἀρχαὶ LF: αἱ om. A εἰ καὶ LS: εἰ om. A 8 ἐν τῇ Περὶ ψυχῆς] cf. Bonitzii in edit. h. comment. praef. XXII sq. 9 ἐξ ὧν] καὶ LF 11 ἀλλὰ—ὄν τι om. LF ὄν τι e S Bonitz cf. Metaph. cod. Ab: ἕν τι A Metaph. vulg. 17 τὰ—ἁπλᾶ LF: τέτταρα ἁπλῶς A 21 τοῦ L: om. A 32 δὴ LFS: om. A τούτων ἑκάστη iterat A 34 τὴν ἀκρίβειαν LF: τῆς ἀκριβείας A 36. 37 τῶν—ἀρχῶν LFS: τὸν οἰκεῖον ἑκάστη A 37 ὑπόθεσιν LFS: ὑπόσχεσιν A 38 ἀλλ' ἡ LFS: ἀλλ' εἰ ἡ A

ἀπόδειξις, ὡς ἐν τῇ Ἀποδεικτικῇ δέδεικται· πρὸς πᾶσαν γὰρ ἐπαγωγὴν δύναταί τις ἐνίστασθαι καὶ μὴ ἐᾶν τὸ καθόλου συμπεραίνειν· διόπερ φανερὸν ὅτι ἀπόδειξις οὐσίας καὶ τοῦ τί ἐστι καὶ τοῦ ὁρισμοῦ οὐκ ἔστιν ἐκ τῆς τοιαύτης ἐπαγωγῆς, ἀλλ' ἔστιν ἄλλος τις τρόπος, ὃν ἐν τῷ μετὰ τοῦτο βιβλίῳ παραδώσει. οὐ μόνον δὲ τὸ τί ἐστι τοῦ πυρὸς ἡ ἰα|τρική (φέρε γὰρ ἐπὶ ταύτης τὸν λόγον ποιήσωμεν) οὐκ ἀποδείκνυσιν, ἀλλ' οὐδ' εἰ ἔστιν ἢ μή ἐστιν ἄνθρωπος περὶ ὃν πραγματεύεται οὐδὲν λέγει. καὶ τοῦτο εἰκότως· ἐπειδὴ γὰρ οὐκ ἄλλως ἦν δυνατὸν δειχθῆναι ὅτι ἔστιν ἄνθρωπος, εἰ μὴ ἐδείχθη ὅτι ἔστι ζῷον πεζὸν δίπουν, ἀδύνατον δὲ τοῦτο δειχθῆναι (τοῦ γὰρ ὁρισμοῦ ἀπόδειξις μὲν οὐκ ἔστι, δι' ἀποδείξεως δὲ δηλοῦται, ὡς αὐτὸς αὐτοῖς ῥήμασιν ἐν τῷ B τῶν Ὑστέρων ἀναλυτικῶν εἴρηκεν), φανερὸν ὅτι οὐδ' ὡς ἔστιν ἄνθρωπος δειχθήσεται. ἐπεὶ δέ, ὡς εἴρηται, τῆς αὐτῆς ἐστι διανοίας τὸ τί ἐστι δῆλον ποιεῖν καὶ τὸ εἰ ἔστι, τὸ δὲ τί ἐστι δῆλον οὐ ποιεῖ οὐδ' ἀποδείκνυσιν, δῆλον ὡς οὐδὲ τὸ εἰ ἔστιν ἀποδείξει. ὅτι δὲ ἐξ ἀνάγκης τῇ τοῦ εἰ ἔστι δείξει ἕπεται καὶ τὸ τί ἐστι δεικνύναι, καὶ ἀδύνατόν ἐστι τὸν τὸ εἰ ἔστι δεικνύντα μὴ καὶ τὸ τί ἐστι δεικνύναι, δῆλον. εἰ γάρ τις ὅτι ἔστιν ἄνθρωπος ἡμῖν παρακελεύεται δεῖξαι, εἰ λέγοιμεν πρὸς αὐτόν, ἆρά γε εἴ τις δείξειεν ὡς ἔστι ζῷον, δώσεις ὅτι ἔστι καὶ ἄνθρωπος, φανερόν ἐστιν ὅτι οὐ συμφήσει· ἐρεῖ γὰρ προχείρως ὅτι καὶ ὁ ἵππος ζῷόν ἐστι· πῶς δὴ ἐκ τοῦ ὅτι ζῷον ἔστι δεῖξαι δειχθήσεται ὅτι ἔστιν ἄνθρωπος; εἰ δὲ λέγοιμεν 'τί δέ, εἴπερ δειχθείη ὡς ἔστι ζῷον πεζὸν δίπουν, ὁμολογήσεις ὅτι ἔστιν ἄνθρωπος;' φανερόν ἐστιν ὡς δώσει τοῦτο καὶ ὁμολογήσει. εἰ δὲ τοῦτο, καλῶς ἄρα ἐλέγετο ὅτι τῷ εἰ ἔστιν ἄνθρωπος δεικνύναι μέλλοντι ἕπεται τὸ καὶ τὸ τί ἐστι καὶ τὸν ὁρισμὸν αὐτοῦ δεικνύναι.

p. 1025b18 Ἐπεὶ δὲ καὶ ἡ φυσικὴ ἐπιστήμη τυγχάνει οὖσα περὶ γένος τι τοῦ ὄντος.

Πρόκειται αὐτῷ δεῖξαι ὅτι ἡ φυσικὴ θεωρητική τίς ἐστιν ἀλλ' οὐ πρακτική, καὶ ὅτι περὶ τοιοῦτον ὂν ἀναστρέφεται ἔχον ἀρχὴν κινήσεως καὶ ἠρεμίας ἐν ἑαυτῷ, τοῦτο δέ ἐστι τὸ φυσικὸν σῶμα. ἀλλ' εἰ περὶ σῶμα ἔχον ἀρχὴν κινήσεως καὶ ἠρεμίας καταγίνεται, τὸ δὲ κυκλοφορικὸν ἅπαν καὶ οὐράνιον σῶμα ἀρχὴν τοῦ κινεῖσθαι ἔχει τοῦ δ' ἠρεμεῖν ἀρχὴν οὐκ ἔχει, τὸ οὐράνιον οὐκ ἔστι σῶμα φυσικόν. ἢ καὶ αὐτὸ τοῦ ἠρεμεῖν ἔχει ἀρχήν. αὐτὸ γὰρ τὸ ἀεὶ περὶ τὸ αὐτὸ περιστρέφεσθαι καὶ μὴ ἀμείβειν τόπον ἠρεμεῖν ἐστι, καὶ κινεῖται ἀκινήτως καὶ ἠρεμεῖ θαυμαστῶς κινούμενον. ἀναγκαίως δὲ τὴν τοῦ ὅτι ἡ φυσικὴ θεωρητική τίς ἐστι δεῖξιν ποιεῖται· διὰ γὰρ τοῦ δεῖξαι ὅτι θεωρητική τις τυγχάνει οὖσα δείκνυσιν ὅτι τῆς ὕλης καὶ μᾶλλον τὸ εἶδος ἐπισκέπτεται, τὸ δὲ εἶδός ἐστι τὸ τί ἦν

---

1 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 31 4 τοῦτο LFM: τούτῳ A 7 περὶ ὃν LFS: om. A οὐδὲν LF: οὐδὲ A 11 ἐν τῷ B τῶν Ὑστέρων ἀναλυτικῶν] c. 8 p. 93b16 16 εἰ ἔστι LFS: εἰ om. A δῆλον LF: om. A 18 ἔστι καὶ LF: καὶ ἔστι A 21 λέγοιμεν M: λέγομεν L: λέγοι A 24 τὸ καὶ LF: om. A 28 ἀναστρέφεται LF: ἀναστρέφει A 33 μὴ LFS: om. A 37 τὴν ὕλην L

εἶναι ἑκάστῳ. εἰ δὲ μᾶλλον τὸ τί ἦν εἶναι ἑκάστου θεωρεῖ, δεῖ μὴ λαν-
θάνειν τὸ τί ποτέ ἐστι τὸ τί ἦν εἶναι, ὃ καὶ πρόκειται ζητηθῆναι. ἀλλὰ καὶ ἡ τοῦ τί ἦν εἶναι ζήτησις ἀναγκαίως ἀναφαίνεται. ἐπειδὴ γὰρ ἡ παροῦσα ἐπιστήμη τὸ ὂν ᾗ ὂν ζητεῖ καὶ τὰς | τούτου ἀρχάς, τὸ δὲ τὸ ὂν 408
ᾗ ὂν γιγνώσκειν ἐστὶ τὸ δύνασθαι παντὸς τὸ τί ἦν εἶναι δῆλον ποιεῖν, φανερὸν ὅτι καὶ ἡ τούτου ζήτησις ἀναγκαία ἐστί. δείκνυσι δὲ ὅτι ἡ φυσικὴ θεωρητική ἐστι δυνάμει συλλογιζόμενος ὧδε· ἡ φυσικὴ ἐπιστήμη ἐστί. πᾶσα ἐπιστήμη ἢ θεωρητικὴ ἢ πρακτικὴ ἢ ποιητική ἐστιν· καὶ ἡ φυσικὴ [ἔσται] ἐπιστήμη ἢ θεωρητικὴ ἢ πρακτικὴ ἢ ποιητικὴ ἔσται· ἀλλὰ μὴν οὔτε πρακτικὴ οὔτε ποιητική ἐστι· θεωρητικὴ ἄρα. καὶ ὅτι μὲν ἡ φυσικὴ ἐπιστήμη ἐστὶ καὶ ὅτι πᾶσα ἐπιστήμη ἢ πρακτικὴ ἢ θεωρητικὴ ἢ ποιητική ἐστιν, ὡς σαφὲς καὶ λίαν ἐναργὲς παρείασε καὶ οὐκ ἀποδείκνυσι· τὴν δὲ πρόσληψιν τὴν 'ἀλλὰ μὴν οὔτε πρακτικὴ οὔτε ποιητικὴ' δείκνυσιν ὧδε. σημειωτέον δὲ ὅτι κοινότερον καὶ τὰς τέχνας ἐπιστήμας λέγει. δείκνυσιν οὖν τὴν πρόσληψιν ὧδε. τῶν πρακτῶν καὶ ποιουμένων αἱ ἀρχαὶ καὶ τὰ αἴτια τῆς κινήσεως καὶ τῆς ἠρεμίας οὐκ εἰσιν ἐν αὐτοῖς. τῶν φυσικῶν αἱ ἀρχαὶ καὶ τὰ αἴτια ἐν αὐτοῖς εἰσι· τὰ φυσικὰ ἄρα οὔτε πρακτά εἰσιν οὔτε ποιητά. καὶ ἡ περὶ τὰ φυσικὰ ἄρα ἐπιστήμη οὔτε πρακτική ἐστιν οὔτε ποιητική. καὶ ἡ μὲν συναγωγὴ τοῦ λόγου καὶ ἡ ἔφοδος τοιαύτη τις ἂν εἴη. αὐτὸς δὲ εἰπὼν τῶν μὲν γὰρ ποιητικῶν ἐν τῷ ποιοῦντι ἡ ἀρχὴ ἐπήγαγεν ἢ νοῦς ἢ τέχνη ἢ δύναμίς τις· τὰ γὰρ ποιοῦντα ἢ νοῖ ἢ τέχνῃ ἢ τῇ ἀπὸ τοῦ νοὸς καὶ τῆς τέχνης δυνάμει τὸ ποιούμενον ποιεῖ. μήποτε δὲ τοῦ τῶν μὲν γὰρ ποιητικῶν οὐκ ἐνεργητικῶς δεῖ ἀκούειν, ἵνα ἐπὶ τῶν αἰτίων ἐξακούηται, ἀλλὰ παθητικῶς, ἵν' ᾗ τῶν μὲν γὰρ ποιητικῶν ἀντὶ τοῦ τῶν ποιουμένων. καὶ ὅτι τοῦτο ἀρχὴν οὕτως αὐτῷ εἴληπται, τεκμαίρομαι ἐκ τοῦ ἐπαγομένου τοῦ τῶν δὲ πρακτῶν ἐν τῷ πράττοντι ἡ προαίρεσις, καὶ εἴπερ οὕτως ἀκούειν αὐτοῦ χρή, σαφὲς ἂν εἴη τὸ λεγόμενον καὶ μάτην τὸ ἐν τῷ ποιοῦντι ἀντὶ τοῦ ἐν αὐτοῖς ἐξελάβομεν. δεῖ οὖν, εἴ τι χρὴ τῇ ἐμῇ μαντείᾳ προσέχειν, οὕτως ἀκούειν τοῦ ῥητοῦ. ὥσπερ γὰρ ἡ ἀρχὴ τῶν ποιουμένων, εἴτε νοῦς ἐστιν εἴτε τέχνη εἴτε δύναμίς τις, ἐν τῷ ποιοῦντί ἐστιν ἀλλ' οὐκ ἐν τοῖς ποιουμένοις, οὕτως καὶ τῶν πρακτῶν ἀρχὴ οὖσα ἡ προαίρεσις οὐκ ἐν τῷ πρακτῷ ἀλλὰ ἐν τῷ πράττοντι. εἰ γὰρ ταὐτὸν τὸ πρακτὸν καὶ τὸ προαιρετόν, οὐκ ἔστι δὲ ἐν τῷ προαιρετῷ ἡ προαίρεσις, δῆλον ὡς οὐδ' ἐν τῷ πρακτῷ. ἔστι | δὲ ποιητικὴ μὲν ἐπιστήμη, ὡς ἐν τοῖς Νικομαχείοις ἐπιγραφο- 409
μένοις ἠθικοῖς εἴρηκε πλατύτερον, ἧς τὸ ἔργον καὶ μετὰ τὴν ἐνέργειαν μένει, ὡς ἡ οἰκοδομική (μετὰ γὰρ τὴν οἰκοδόμησιν ἔστι τὸ ἔργον αὐτῆς ἡ οἰκία), πρακτικὴ δὲ ἡ ὀρχηστική· οὐδὲν γὰρ μετὰ τὴν ὄρχησιν λείπεται.

---

6 τούτου LF: om. A 9 ἔσται del. Bonitz 19 τοιαύτη τις LFS: τῆς πρακτικῆς A 20. 21 ἡ ἀρχὴ LFS: ἀρχὴν A 21 ἐπήγαγεν LFS: συνήγαγεν A ποιοῦντα LFS: νοοῦντα A 23 τοῦ L: τὸ A 25 ἀρχὴν scripsi: *ab initio* S: ἀρχὴ A: om. LF 26 πρακτῶν] sic etiam Metaph. cod. E: πρακτικῶν Metaph. vulg. 27 πράττοντι LS: πράττειν A 28 μάτην L: μετὰ τῷ A 35. 36 ἐν τοῖς Νικομαχείοις ἠθικοῖς] Z 4

δείξας οὖν ὅτι ἡ φυσικὴ θεωρητική τίς ἐστι, συμπεραίνεται καί φησιν ὥστε εἰ πᾶσα διάνοια ἢ πρακτικὴ ἢ ποιητικὴ ἢ θεωρητική, ἡ φυσική, εἰ μήτε πρακτικὴ μήτε ποιητική ἐστι (τοῦτο γὰρ δεῖ προσυπακούειν), θεωρητική τις ἂν εἴη, ἀλλὰ θεωρητικὴ περὶ φυσικὸν πρᾶγμα· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ περὶ τοιοῦτον ὄν, ὅ ἐστι δυνατὸν κινεῖσθαι. ἐπεὶ δὲ ὡς ἐν τῇ Φυσικῇ εἴρηται ὅτι καὶ ἡ ὕλη οὐσία ἐστὶ καὶ μάλιστα τὸ εἶδος, εἰπὼν ὅτι θεωρητική ἐστι περὶ τοιοῦτον ὄν, ὅ ἐστι δυνατὸν κινεῖσθαι, ἐπήγαγε καὶ περὶ οὐσίαν τὴν κατὰ τὸν λόγον ὡς ἐπὶ τὸ πολύ, ἴσον λέγων, ὅτι ἔστι μὲν ἡ φυσικὴ καὶ περὶ τὴν ὑλικὴν οὐσίαν, ἀλλ' ἐπ' ἔλαττον, ἐπὶ πλέον δὲ καὶ ὡς ἐπὶ τὸ πολύ ἐστι περὶ οὐσίαν τὴν κατὰ τὸν λόγον καὶ τὸ εἶδος. εἰπὼν δὲ ὅτι περὶ οὐσίαν τὴν κατὰ τὸν λόγον ὡς ἐπὶ τὸ πολύ, καὶ προσθεὶς τὸ οὐ χωριστὴν μόνον, δοκεῖ λέγειν ὅτι περὶ εἶδός ἐστιν οὐ χωριστὸν μόνον ἀλλὰ καὶ ἀχώριστον. οὐ τοῦτο δὲ λέγει ὅτι καὶ περὶ χωριστόν ἐστι καὶ περὶ ἀχώριστον, ἀλλὰ τὸ οὐ χωριστὸν μόνον ἀντὶ τοῦ μόνον οὐ χωριστὸν εἶπεν· ἤτοι περὶ οὐσίαν μόνον ἀχώριστον καὶ μὴ δυναμένην χωρίζεσθαι τῆς ὕλης.

Ταῦτα εἰπὼν ἐπάγει δεῖ δὲ τὸ τί ἦν εἶναι καὶ τὸν λόγον πῶς ἐστι μὴ λανθάνειν, τουτέστι δεῖ μὴ λανθάνειν πῶς ἐν τοῖς φυσικοῖς δεῖ ζητεῖν τὸ τί ἐστι καὶ τὸν λόγον, ἄρα δεῖ ὁριζομένους φυσικὸν πρᾶγμα καὶ τὴν ὑποκειμένην τῷ ὁριστῷ ὕλην περιλαμβάνειν ἐν τῷ ὁρισμῷ ἢ οὔ. εἰ γὰρ περὶ τοῦ τί ἦν εἶναι καὶ περὶ τοῦ ὁρισμοῦ τὴν ζήτησιν ποιούμενοι ἀγνοοῦμεν εἴτε μετὰ τῆς ὕλης εἴτε ἄνευ αὐτῆς χρὴ ὁρίζεσθαι, μηδέν ἐστι ποιεῖν. εἰπὼν οὖν ὡς ἄνευ τούτου τὸ ζητεῖν οὐδὲν ποιεῖν ἐστι, διαίρεσιν ποιεῖται, δεικνὺς ὅτι ἀνάγκη τὸν ὁριζόμενον φυσικόν τι πρᾶγμα καὶ τὴν ὕλην ἐν τῷ ὁρισμῷ παραλαμβάνειν καὶ ὅτι ἀδύνατόν ἐστιν ἄνευ αὐτῆς ὁρίζεσθαι. ταῦτα δὲ πάντα προοπλίζει τε καὶ προκατασκευάζει, ἵνα ἐκ τούτων δείξῃ ὅτι φυσικὸν εἶδος χωριστὸν αὐτὸ καθ' αὑτὸ ἄνευ ὕλης οὐ δύναται εἶναι, ὡς οἱ τὰς ἰδέας τιθέμενοι ἔλεγον. ποιεῖται δὲ διαίρεσιν λέγων ἔστι δὲ τῶν ὁριζομένων καὶ τῶν τί ἐστι, τουτέστι τῶν ὁριζομένων καὶ ὧν τὸ τί ἐστιν ἀποδίδομεν, τὰ μέν ἐστιν ὡς τὸ σιμόν· ὥσπερ γὰρ τὸ σιμὸν ἀδύνατόν ἐστιν ὁρίσασθαι μὴ λαμβάνοντας τὴν ῥῖνα 410 τὴν ὡς ὕλην ὑποκειμένην αὐτῷ, οὕτω καὶ τὰ φυσικὰ εἴδη ἀδύνατον ὁρίζεσθαι χωρὶς ὕλης, ὕλην λέγων, ὡς ἐν τῷ μετὰ τοῦτο βιβλίῳ ἐρεῖ, τὸ γένος καὶ τὰς πρὸ τῆς τελευταίας διαφορᾶς διαφοράς. ἀλλὰ τοῦτο μὲν ὅπως λέγεται ἐροῦμεν ὅταν καὶ αὐτὸς προηγουμένως περὶ τούτου λέγῃ. τὰ μὲν οὖν εἰσιν ὡς τὸ σιμὸν τὰ δ' ὡς τὸ κοῖλόν. διαφέρει δὲ τὸ σιμὸν καὶ τὸ κοῖλον ὅτι τοῦ μὲν σιμοῦ τὸ ὑποκείμενον ὡρισμένον ἐστίν, ἡ ῥίς (ἄνευ γὰρ ῥινὸς τὸ σιμὸν οὐκ ἔστι· σιμὸν γὰρ λέγοντες ῥῖνά φαμεν κοίλην), ἡ δὲ κοιλότης οὐχ ὡρισμένον ἔχει τὸ ὑποκείμενον, ἀλλ' ἔστι καὶ ἐν αἰσθητῇ καὶ φυσικῇ ὕλῃ, ἔστι δὲ καὶ χωρὶς ὕλης αἰσθητῆς. καὶ ἐν μὲν αἰσθητῇ

---

1 δείξας LFS: δῆλον A 4 πρᾶγμα] σῶμα LF 5 ἐπεὶ δὲ LFS: om. A
5. 6 ἐν τῇ Φυσικῇ LS, cf. Phys. A 7: ἐν τῇ θεωρητικῇ καὶ ἐν τῇ φυσικῇ A 11. 12 τὸ καὶ οὐ LF Metaph. cod. $F^b$ 26 φυσικὸν LF: τὸ φυσικὸν A 28 ἔστι δὲ τῶν] sic etiam Metaph. $A^bF^b$: τῶν δὲ Metaph. vulg. 29 τὰ ὁριζόμενα LF 38 ἔστι LF: ὅτι A

ὕλῃ ὅτι ἔστι δῆλον· ἔστι γὰρ καὶ γῇ κοίλῃ καὶ σίδηρος καὶ ξύλον καὶ ἄλλα πολλά. ἀλλὰ καὶ ἐν μὴ αἰσθητῇ ἐστι· δυνάμεθα γὰρ νοεῖν κοῖλον μήτε ἐν σιδήρῳ ὂν μήτε ἐν ξύλῳ μήτε ἔν τινι τῶν ὄντων καὶ αἰσθητῶν· σιμὸν δὲ ἄνευ ὑποκειμένου οὐ δύναταί τις νοεῖν. εἰπὼν οὖν ὅτι τῶν ὁριζομένων τὰ μέν ἐστιν ὡς τὸ σιμὸν τὰ δὲ ὡς τὸ κοῖλον ἐπάγει εἰ δὴ πάντα τὰ φυσικὰ ὁμοίως τῷ σιμῷ λέγονται, τουτέστιν ὥσπερ ἐκεῖνο, οὕτως καὶ ταῦτα ἄνευ ὑποκειμένου καὶ ὕλης οὐ δύναται νοεῖσθαι (τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ οὐδενὸς γὰρ ἄνευ κινήσεως αὐτῶν ὁ λόγος, κίνησιν εἰπὼν τὴν ὕλην), δῆλον ὅτι ἐν τοῖς φυσικοῖς τὸ τί ἐστι καὶ τὸ ὁρίζεσθαι μετὰ τῆς ὕλης δεῖ ζητεῖν. τοσοῦτον δὲ χρεία τῷ φυσικῷ τῆς ὕλης εἰς τὸ ὁρίζεσθαι, ὥστε καὶ τὰς ἀλόγους ψυχὰς θεωρεῖ καὶ ὁρίζεται ὁ φυσικὸς διὰ τὸ μὴ ἄνευ ὕλης εἶναι, μηδὲ χωριστοὺς τοῦ ὑποκειμένου αὐταῖς· εἰ δὲ καὶ τὰς λογικὰς θεωρεῖ, ἐν τῇ Περὶ ψυχῆς ἡ αἰτία ἡμῖν εἴρηται. εἰπὼν δὴ ἀνωτέρω εἰ δὴ πάντα τὰ φυσικὰ ὁμοίως τῷ σιμῷ λέγονται, τίνα ἐστὶν ὁμοίως τῷ σιμῷ λεγόμενα φυσικὰ σαφῶς κατέλεξεν, οἷον ῥίς, ὀφθαλμὸς καὶ τὰ λοιπά.

p. 1026a6 Ὅτι μὲν οὖν ἡ φυσικὴ θεωρητική τίς ἐστι φανερὸν ἐκ τούτου. ἀλλ' ἔστι καὶ ἡ μαθηματικὴ θεωρητική.

Διακρίνας τὴν φυσικὴν ἀπὸ τῆς πρακτικῆς καὶ ποιητικῆς τῷ ταύτην μὲν δεῖξαι θεωρητικὴν οὖσαν ἐκείνας δὲ μή, νῦν διακρίνει αὐτὴν καὶ τῆς μαθηματικῆς, δυνάμει κἀνταῦθα οὕτωσὶ συλλογιζόμενος· ἡ μαθηματικὴ διανοητικὴ οὖσα περὶ ἀκίνητα καὶ χωριστά ἐστιν. ἡ φυσικὴ διανοητικὴ οὖσα οὔτε περὶ ἀκίνητα οὔτε περὶ χωριστά ἐστιν· ἡ φυσικὴ ἄρα οὐκ ἔστι μαθηματική. καὶ ὁ μὲν συλλογισμὸς τοιοῦτός τις ἂν εἴη. τῶν δὲ προτάσεων τὴν μὲν ὅτι ἡ φυσικὴ οὔτε περὶ ἀκίνητα οὔτε περὶ χωριστά, ἀλλὰ περὶ κινούμενα καὶ ἀχώριστα ἔδειξε πολλαχοῦ. τὴν δ' ὅτι ἡ μαθηματικὴ περὶ ἀκίνητά ἐστι καὶ χωριστὰ οὐκ ἔδειξεν, ἀλλὰ δείξει ἐν τοῖς ἐφεξῆς βιβλίοις ὅπως ἔχει. τέως δ' οὖν εἶπε τὸ ἀλλ' εἰ ἀκινήτων καὶ χωριστῶν ἐστιν ἄδηλον νῦν, ἴσον | λέγων ὅτι ἡμεῖς μὲν ὡς περὶ ἀκίνητα 411
καὶ χωριστὰ τὴν μαθηματικὴν οὖσαν λαμβάνομεν, ἀλλ' εἰ περὶ τοιαῦτά ἐστιν ἀληθῶς νῦν μὲν ἄδηλον, ὅτι δὲ ἔνια, ἵνα μὴ πάντα λέγωμεν, μαθήματα ᾗ ἀκίνητά ἐστι καὶ ᾗ χωριστὰ θεωρεῖ ἡ μαθηματική, δῆλον. οὕτως οὖν τὴν φυσικὴν τῶν ἄλλων διακρίνας νῦν διακρίνει τὴν πρώτην φιλοσοφίαν τῆς φυσικῆς καὶ μαθηματικῆς λέγων εἰ δ' ἔστιν ἀίδιον καὶ ἀκίνητον καὶ χωριστόν, φανερὸν ὅτι θεωρητικῆς τὸ γνῶναι, ἀλλὰ θεωρητικῆς οὔτε φυσικῆς οὔτε μαθηματικῆς. οὐκ εἶπε δὲ ὅτι ἔστιν ἀίδιον καὶ ἀκίνητον, ἀλλ' εἰ ἔστιν, ἐπειδὴ οὔπω δέδεικται τοῦτο. εἴπερ οὖν ἔστιν ἀίδιον καὶ ἀκίνητον, οὔτε φυσικῆς οὔτε μαθηματικῆς ἐστι τὸ περὶ αὐτοῦ θεωρῆσαι, ὅτι ἡ μὲν φυσικὴ περὶ κινητὰ καὶ ἀχώριστά ἐστιν, οὖσα δὲ περὶ

12 χωριστοὺς S Bonitz: ἀχωρίστους ALF 13 ἐν τῇ Περὶ ψυχῆς] v. Bonitzii ed. praef. p. XXII sq. 18 ἐκ τούτων Metaph. 28 τὸ LF: om. A 32 ᾗ ἀκίνητα LFS: ᾗ om. A

τοιαῦτα οὐ θεωρήσει τὰ ἀκίνητα καὶ χωριστά. ἀλλὰ μὴν οὐδὲ μαθημα- 10
τικῆς ἐστι τὸ περὶ τοιούτων θεωρεῖν, ὅτι εἰ καὶ περὶ ἀκίνητά ἐστιν, ἀλλ'
οὖν οὐ χωριστά, ὡς δείξει, ἐστίν ἀλλ' ἐν ὑποκειμένῳ καὶ ὕλῃ. τὸ δὲ
ἔνια πρόσκειται διὰ τὰ ὀπτικὰ καὶ ἁρμονικὰ καὶ ἀστρονομικά· ὁ γὰρ ὀπ-
5 τικὸς οὐ περὶ χωριστὰς γραμμὰς καταγίνεται, ἀλλὰ περὶ ἐνύλους, ὁμοίως
καὶ ὁ μουσικὸς καὶ οἱ τοιοῦτοι. καὶ τὸ ἴσως κεῖται διὰ τὸ μήπω καθόλου 15
δειχθῆναι ὅτι οὐδὲν τῶν μαθηματικῶν χωριστόν ἐστι καὶ καθ' αὑτό.

p. 1026a16 Ἀνάγκη δὲ πάντα τὰ αἴτια ἀίδια ⟨εἶναι⟩, μάλιστα δὲ ταῦτα.

10 Εἰπὼν ὅτι εἰ ἔστιν ἀίδιον καὶ ἀκίνητον καὶ χωριστόν, φανερὸν ὅτι
θεωρητικῆς τὸ γνῶναι, τοῦτο δέ, ὁποῖον ἂν εἴη, ἐξ ἅπαντος αἴτιον ἔσται
τῶν ἄλλων, λέγει ὅτι πᾶσαν αἰτίαν καὶ ἀρχὴν ἀνάγκη ἀίδιον εἶναι. εἰ
γὰρ πᾶν αἴτιον γίγνεται, ἐξ ἄλλου γενήσεται, καὶ τοῦτο εἰς ἄπειρον. μά- 20
λιστα δέ, φησί, τὰ αἴτια ταῦτα ἀίδια εἶναι ἀνάγκη, ταῦτα λέγων τὰ χω-
15 ριστὰ καὶ ἀκίνητα. καὶ τὴν αἰτίαν τοῦ ταῦτα ἀίδια εἶναι ἐπήγαγε, ταῦτα
γὰρ αἴτια τοῖς φανεροῖς τῶν θείων· ὃ δὴ διὰ τὴν βραχυλογίαν
ἀσαφέστερον εἴρηται. ἔστι δέ, οἶμαι, τὸ λεγόμενον τοιοῦτον. ταῦτα
γὰρ τὰ ἀκίνητα καὶ χωριστὰ αἴτια τῶν θείων ἤτοι τῶν σφαιρῶν καὶ
θείων σωμάτων, αἵτινες σφαῖραι αἴτιαι τοῖς φανεροῖς, τουτέστι τοῖς ὑπὸ 25
20 γένεσιν, τοῦ γίνεσθαι καὶ φθείρεσθαί εἰσιν· ἡ γὰρ τούτων κίνησις τὴν γέ-
νεσιν καὶ φθορὰν ἀπεργάζεται. ἀλλ' εἰ τὸ κυκλοφορητικὸν ἀίδιον δέδεικται
ἐν τῇ Περὶ οὐρανοῦ, τὸ αἴτιον τοῦ κυκλοφορητικοῦ σώματος πολλῷ μᾶλλον
ἔσται ἀίδιον. ἢ τὸ ταῦτα γὰρ αἴτια τοῖς φανεροῖς τῶν θείων
τὸ ταῦτα ἀντὶ τοῦ τοῦτο εἴρηται, καὶ εἴη ἂν λέγων, ἐπειδὴ καὶ ἐν τοῖς
25 αἰσθητοῖς εἰσι θεῖα (τὸ γὰρ κυκλοφορητικὸν πᾶν σῶμα), αἴτιόν ἐστι τὸ 30
πρῶτον αἴτιον τῶν τοιούτων αἰσθητῶν καὶ θείων, ἴσον λέγων, ὅτι εἰ καί
τισι τῶν νοητῶν καὶ θείων αἴτιόν ἐστι τὸ πρῶτον καὶ ἀκίνητον αἴτιον,
ἄδηλον· τέως | δ' οὖν ὅτι τοῖς αἰσθητοῖς καὶ θείοις καὶ κυκλοφορητικοῖς 412
σώμασιν αἴτιόν ἐστι, δῆλον τυγχάνει. γράφεται δὲ καὶ ταῦτα γὰρ αἴτια
30 τοῖς φανεροῖς τῶν αἰσθητῶν τυγχάνει· καὶ εἴη ἂν ὃ λέγει τοιοῦτον,
ὅτι ταῦτα τὰ ἀκίνητα καὶ χωριστὰ αἴτιά ἐστι τοῖς φανεροῖς τῶν αἰσθητῶν,
ἀντὶ τοῦ τοῖς φανεροῖς τῇ αἰσθήσει αἰτίοις. αἴτιον γὰρ καὶ ἡ ὕλη καὶ τὸ 5
εἶδος, ἀλλ' οὐκ εἰσι τῇ αἰσθήσει φανερά· τὰ δὲ κυκλοφορητικὰ σώματα τῇ
αἰσθήσει εἰσὶ φανερά, ὅτι γενέσεώς εἰσι καὶ φθορᾶς αἴτια· βορειότερος γὰρ
35 γινόμενος ὁ ἥλιος γενέσεώς ἐστιν αἴτιος, νοτιώτερος δὲ φθορᾶς. εἰ δὴ
τῶν ὄντων τὰ μέν ἐστιν ἀχώριστα καὶ κινούμενα, τὰ δὲ ἀχώριστα καὶ ἀκί-
νητα, τὰ δὲ χωριστὰ καὶ πάντῃ ἀκίνητα, δῆλον ὡς τρεῖς ἔσονται αἱ πρα-

---

6 καθόλου LF: om. A 11 ἐξ ἅπαντος] *omnino* S 14 αἴτια LS: ἀίδια A 16 post θείων add. ἢ LF 22 ἐν τῇ Περὶ οὐρανοῦ] A 3 23 ἢ τὸ—τυγχάνει (29) om. F post θείων add. ἢ AL 25 γὰρ MS Bonitz: om. ALF 25. 26 σῶμα)—ἴσον MS Bonitz: σῶμα, εἶπε τό, αἴτια καὶ ἐν τοῖς φανεροῖς τῶν θείων ἢ, ἴσον AL 27 ἐστι M: ἢ AL 30 αἰσθητῶν] sic Metaph. T

γματεῖαι, ἡ μὲν φυσικὴ περὶ τὸ ἀχώριστον καὶ κινούμενον, ἡ δὲ μαθη- 10
τικὴ περὶ τὸ ἀχώριστον καὶ ἀκίνητον. ἡ δὲ θεολογικὴ περὶ τὸ χωριστὸν
καὶ ἀκίνητον. οὐ γὰρ ἄδηλον, φησίν, ὅτι εἴ που τὸ θεῖον ὑπάρχει,
ἐν τῇ τοιαύτῃ φύσει ὑπάρχει. ἤτοι οὐ γὰρ ἄδηλον ὅτι τὸ θεῖον τῆς
5 χωριστῆς καὶ ἀκινήτου φύσεώς ἐστιν. εἰ δέ ἐστιν, ὥσπερ δὴ καὶ ἔστι, τὸ
θεῖον ἁπάντων τιμιώτατον. ὁμοίως καὶ ἡ θεολογικὴ τῶν ἄλλων ἐστὶ τιμιωτάτη 15
ἐπιστημῶν, περὶ τὸ θεῖον γένος ἔσται, ἡ τιμιωτάτη περὶ τὸ τιμιώτατον. ὥσπερ
γὰρ αἱ θεωρητικαὶ αἱρετώτεραι τῶν πρακτικῶν καὶ ποιητικῶν εἰσιν, οὕτω καὶ
ἡ θεολογικὴ τῶν θεωρητικῶν, φυσικῆς καὶ μαθηματικῆς. ὅτι δὲ τῶν ἄλ-
10 λων αἱρετωτάτη ἐπάγει ἀπορήσειε γὰρ ἄν τις πότερόν ποθ' ἡ
πρώτη φιλοσοφία καθόλου ἐστίν, ὥστε περιέχειν ἁπάσας καὶ ὑπ'
αὐτὴν εἶναι ὡς τὰ κατὰ μέρος ὑπὸ τὰ καθόλου, ἢ οὐκ ἔστι καθόλου, ἀλλ' 20
ὥσπερ ἡ ἰατρικὴ καὶ ἡ ἀστρονομία καὶ αἱ λοιπαὶ μέρος τι τοῦ ὄντος καὶ
φύσιν τινὰ μίαν ἀποτεμόμεναι τοῦτο θεωροῦσιν, οὕτως καὶ αὕτη. ὥσπερ
15 γὰρ καὶ ἐν τοῖς μαθηματικοῖς τοῦτο εὑρίσκεται, καὶ ἡ μὲν γεωμετρία περὶ
μεγέθη, ἡ δὲ ἀστρονομία περὶ ἀστέρας, ἄλλη δὲ περὶ ἄλλο, ἡ δὲ ἁπλῶς
μαθηματικὴ κοινή ἐστι πασῶν, οὕτως τί κωλύει καὶ τὴν φυσικὴν μὲν περὶ 25
τι τοῦ ὄντος εἶναι καὶ τὴν μαθηματικὴν περὶ ἄλλο, καὶ τὴν θεολογικὴν
εἶναι κοινὴν ἁπασῶν; οὕτως οὖν ἀπορητικῶς τὸν λόγον ἐρωτήσας ἀποκρί-
20 νεται καί φησιν ὅτι, εἰ μὲν οὖν μή ἐστί τις ἑτέρα οὐσία παρὰ τὰς
φύσει συνεστηκυίας, ἤτοι εἰ μὲν οὖν μή ἐστί τις οὐσία παρὰ τὰς φυ-
σικὰς καὶ αἰσθητάς, ἡ φυσικὴ πρώτη ἂν εἴη καὶ καθόλου. εἰ δὲ ἔστι καὶ
ἄλλη τις οὐσία ἀκίνητος καὶ χωριστή, αὕτη ἡ οὐσία προτέρα ἔσται τῆς 30
φυσικῆς, καὶ ἡ περὶ ταύτην ἐπιστήμη ἔσται φιλοσοφία καὶ πρώτη πάντων
25 καὶ καθόλου ὡς πρὸς τὰς ἄλλας, οὐχ ὡς περιέχουσα ἐκείνας ἀλλ' ὡς
πρώτη, καὶ ταύτης ἂν εἴη τὸ ζητῆσαι καὶ | θεωρῆσαι περὶ τοῦ ὄντος ᾗ 413
ὄν, καὶ τί ἐστιν ἡ φύσις τοῦ ὄντος καὶ τίνα τὰ ὑπάρχοντα τῷ ὄντι ᾗ ὄν.
εἰ δὴ καθόλου ἐστὶν ὡς πρὸς τὰς ἄλλας, τὰ δὲ καθόλου καὶ τιμιώτερα
αἱρετώτερα τῶν μὴ τοιούτων, αἱρετωτέρα ἄρα αὕτη τῶν ἄλλων. καὶ οἶμαι
30 ὅτε ἠρώτα ὅτι πότερόν ποθ' ἡ πρώτη φιλοσοφία καθόλου ἐστί,
τὸ καθόλου οὐ τοιοῦτον ἠρώτα οἷον ἡμεῖς ἐξεδεξάμεθα ἀντὶ τοῦ περιέχον
τὰς ἄλλας, ἀλλὰ τὸ καθόλου ἀντὶ τοῦ βελτίων καὶ τιμιωτέρα. καὶ εἰ μέλ- 5
λει τοῖς ἑξῆς συνᾴδειν οὕτω χρὴ ἐρωτᾶν καὶ ἀκούειν, πότερόν ποθ' ἡ
πρώτη φιλοσοφία καθόλου ἐστὶ καὶ τιμιωτέρα καὶ τῶν ἄλλων αἱρετωτέρα,
35 καὶ ἔστι κατάλληλος αὕτη ἡ ἔννοια καὶ συνᾴδουσα τῇ ἀποκρίσει, τῇ εἰ
μὲν οὖν μή ἐστί τις ἑτέρα οὐσία παρὰ τὰς φύσει συνεστηκυίας.

p. 1026a33 Ἀλλ' ἐπεὶ τὸ ὂν τὸ ἁπλῶς λεγόμενον λέγεται πολλαχῶς. 10

Εἰπὼν ὅτι πρώτη τῶν ἄλλων ἐπιστημῶν ἐστιν ἡ θεολογικὴ καὶ ταύ-

---

6 θεολογικὴ ἤτις τῶν e S coni. Bonitz 7 post ἐπιστημῶν add. καὶ F 8 πρακτικῶν LS: πρακτῶν A 23 καὶ χωριστή LFS: καὶ om. A 25 οὐχ ὡς LF: οὐ A 27 καὶ τί — ᾗ ὄν LFS: om. A 30 ὅτε M: ὅταν AL 34 καὶ τιμιωτέρα LFS: om. A 36 τὰς — συνεστηκυίας LS: τὰ φύσει συνεστηκότα A

της μόνης ἐστὶ τὸ θεωρῆσαι τὸ ὂν ᾗ ὄν· καὶ τὰ τούτῳ συμβεβηκότα, λέγει· ἐπειδὴ τὸ ὂν πολλαχῶς λέγεται, ἕνα μὲν τρόπον, ὡς εἴρηται, τὸ κατὰ συμβεβηκός, ὥσπερ ὁ Πολύκλειτος τοῦ ἀνδριάντος αἴτιος (καθ' αὑτὸ μὲν γὰρ αἴτιος τῷ ἀνδριάντι ὁ ἀνδριαντοποιός ἐστιν, ὁ δὲ Πολύκλειτος κατὰ 15
5 συμβεβηκός· συνέβη γὰρ τῷ ἀνδριαντοποιῷ Πολυκλείτῳ εἶναι), ἄλλον δὲ τρόπον ὂν λέγεται τὸ ἀληθές, ὥσπερ ἔμπαλιν τὸ ψεῦδος μὴ ὄν (τὸ γὰρ καθημένου τοῦ Σωκράτους λέγειν ὅτι Σωκράτης κάθηται, ἀληθὲς ὑπάρχον, ὂν λέγεται· τὸ γὰρ ὄν, τοῦτο δ' ἐστὶ τὸ καθῆσθαι, φαμὲν ὅτι ἔστιν), ἄλλον δὲ τρόπον ὂν λέγεται τὰ σχήματα τῆς κατηγορίας, οἷον τὸ μὲν τί, του-
10 τέστιν οὐσία, τὸ δὲ ποσόν, τὸ δὲ ποιόν, καὶ εἴ τι ἄλλο σημαίνει τὸν 20
τρόπον τοῦτον, ἔτι παρὰ πάντα ταῦτα ὂν λέγεται τὸ δυνάμει καὶ ἐνεργείᾳ (λέγομεν γὰρ τὸ ἐνεργείᾳ ὕδωρ ὅτι ὕδωρ ἐστίν, ἀλλὰ καὶ τὸν ἀέρα καὶ τὸ πῦρ φαμεν ὕδωρ ὅτι δύναται ὕδωρ γενέσθαι)· ἐπειδὴ οὖν, ὡς εἴρηται, πολλαχῶς λέγεται τὸ ὄν, πρῶτον περὶ τοῦ κατὰ συμβεβηκὸς ὄντος
15 ῥητέον ὅτι οὐδεμία ἐστὶν αὐτοῦ ἐπιστήμη, οὐδὲ θεωρεῖ τις περὶ αὐτοῦ. 25
σημεῖον τὸ μηδεμιᾷ ἐπιστήμῃ ἐπιμελὲς εἶναι περὶ αὐτοῦ, οὔτε πρακτικῇ οὔτε ποιητικῇ οὔτε θεωρητικῇ. οὐδεὶς γὰρ ποιῶν οἰκίαν ποιεῖ ἢ ὅλως σκοπεῖ τίνα συμβαίνει τῇ γινομένῃ οἰκίᾳ· ἄπειρα γάρ ἐστι, τῶν δ' ἀπείρων οὐθεὶς φροντίζει. οὐδεὶς γὰρ τῶν οἰκοδόμων φροντίζει, εἰ ἡ γινομένη οἰκία
20 τῷ Σωκράτει φέρε εἰπεῖν νοσώδης ἐστὶ καὶ τῷ Πλάτωνι ὑγιεινή, ἢ Θεο- 30
φράστῳ μὲν ἡδεῖα Ἀλεξάνδρῳ δὲ λυπηρά. ὁμοίως δὲ οὐ σκοπεῖ εἴπερ ἡ γινομένη οἰκία ἑτέρα ἐστὶν ἢ ἡ αὐτὴ τῷ ἀνθρώπῳ, καὶ ἁπλῶς εἰ ὑπάρχει ἑτέρα ἁπάντων τῶν | ὄντων αἰσθητῶν καὶ νοητῶν, οὐδὲν ἐννοεῖ. ὥστε 414
δῆλον ὡς, εἴπερ καὶ τῶν εἰρημένων οὐ φροντίζει, οὔτε τοῦ νοσώδη εἶναι
25 τὴν οἰκίαν ἐστὶν ἡ οἰκοδομικὴ ποιητικὴ οὔτε τοῦ ὑγιεινὴν οὔτε ἄλλου οὐδενὸς τῶν συμβαινόντων τῇ γενομένῃ οἰκίᾳ. τὸν αὐτὸν δὲ τρόπον οὐδὲ ὁ γεωμέτρης τὰ κατὰ συμβεβηκὸς ὑπάρχοντα τοῖς σχήμασι σκοπεῖ· οὐ θεωρεῖ 5
γὰρ εἴτε ξύλινά ἐστιν εἴτε λίθινα τὰ σχήματα, οὐδὲ εἰ ἔστι, φησίν, ἕτερον τρίγωνον καὶ τρίγωνον δύο ὀρθὰς ἔχον, σκοπεῖ. τοῦτο δὲ ἐλλιπῶς εἴρη-
30 ται, δεῖ δὲ προσυπακούειν τὸ ξύλινον ἢ ἄλλο τι τοιοῦτον, ἵνα τὸ πᾶν ᾖ τοιοῦτον· οὐδ' εἰ ἕτερόν ἐστι τὸ ξύλινον τρίγωνον καὶ ἕτερον αὐτὸ τὸ τρίγωνον καὶ ἡ φύσις αὐτοῦ, ἀντὶ τοῦ τὸ ἔχον τὰς τρεῖς δυσὶν ὀρθαῖς ἴσας, θεωρεῖ, ἀλλὰ τοῦτο μόνον ζητεῖ, εἰ παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς 10
ἴσαι εἰσίν· εἴτε δὲ ξύλινά εἰσιν εἴτε λίθινα, οὐδαμῶς θεωρεῖ.

35 Καὶ τοῦτο, φησί, λέγων τοῦτο τὸ τὸ κατὰ συμβεβηκὸς μηδένα θεωρεῖν, εὐλόγως συμπίπτει· ὥσπερ γὰρ ὄνομά τι μόνον τὸ κατὰ συμβεβηκός ἐστιν. ὥσπερ γὰρ ὁ τραγέλαφος ὄνομα μέν ἐστι, πρᾶγμα δὲ καὶ φύσις τις καὶ ὅλως τι ὂν οὐδαμῶς ἐστιν, οὕτω καὶ τὸ κατὰ συμ- 15
βεβηκὸς ὂν ὄνομα μόνον ἐστί. τὸ γὰρ τὴν οἰκίαν νοσώδη ἢ ὑγιεινὴν λέ-

---

16 ante σημεῖον add. ὅτι δ' οὐκ ἔστιν ἐπιστήμη τοῦ κατὰ συμβεβηκὸς ὄντος οὐδὲ θεωρεῖ τις περὶ αὐτοῦ LF, fort. recte 18 γενομένῃ coni. Bonitz 19 φροντίζει (post οὐθεὶς) LFS: ex φαντάζει corr. A 22 γενομένη coni. Bonitz καὶ ἁπλῶς εἰ LFS: καὶ et εἰ om. A 26 δὲ LF: om. A 36 ὄνομά τι Bonitz: ὀνόματι ALFS: ὄνομα M

γειν ὄνομα μόνον, πρᾶγμα δὲ οὐδαμῶς. εἰ γὰρ ἦν τι ὑφεστώς, ὥσπερ τὸ πῦρ παντὸς τοῦ εἰς αὐτὸ ἐμπίπτοντός ἐστι καυστικόν, οὕτω καὶ ἡ οἰκία πάντων τῶν εἰς αὐτὴν εἰσιόντων ἣν ἂν ἢ νοσώδης ἢ ὑγιεινή· νῦν δὲ οὐκ ἔστιν, ἀλλὰ τῶν μέν ἐστιν ὑγιεινὴ τῶν δὲ νοσώδης· ὥστε ὄνομα μόνον
5 ἐστὶν ἀλλ' οὐ πρᾶγμα· οὐδεὶς δὲ περὶ τῶν μὴ ὄντων σκοπεῖ, ὥστε εὐλό- 20
γως συμπίπτει μηδένα περὶ αὐτοῦ σκοπεῖν. καὶ διὰ τοῦτο, φημὶ δὴ διὰ τὸ τὸ κατὰ συμβεβηκὸς ὄνομα μόνον εἶναι, οὐ μὴν καὶ ὄν τι, ἀναστρέφεται δὲ ἡ σοφιστικὴ περὶ τὸ κατὰ συμβεβηκός, ἔταξεν αὐτὴν ὁ Πλάτων περὶ τὸ μὴ ὄν, ὡς ὄντος τοῦ συμβεβηκότος μὴ ὄντος. ὅτι δὲ οἱ τῶν
10 σοφιστῶν λόγοι πάντες περὶ τὸ συμβεβηκὸς καὶ τὸ μὴ ὄν εἰσι, δῆλον. 25
ἐρωτῶσι γάρ, πότερον ταὐτόν ἐστι τὸ γραμματικὸν τῷ μουσικῷ ἢ οὔ; εἰ μὲν οὖν ἐρεῖς ὅτι οὔ, ἀποκρίνονται λέγοντες 'ὁ Σωκράτης γραμματικός ἐστιν· ἔστι δὲ ὁ γραμματικὸς Σωκράτης ὁ αὐτὸς τῷ Σωκράτει· ἀλλ' ὁ Σωκράτης καὶ μουσικός ἐστιν· ἔστιν ἄρα ὁ μουσικὸς Σωκράτης ὁ αὐτὸς τῷ Σω-
15 κράτει· ὁ μουσικὸς ἄρα Σωκράτης ὁ αὐτός ἐστι τῷ γραμματικῷ Σωκράτει· 30
εἰ δὲ τοῦτο, καὶ τὸ μουσικὸν ταὐτόν ἐστι τῷ γραμματικῷ. ψεῦδος ἄρα ὅτι τὸ μουσικὸν οὐ ταὐτόν ἐστι τῷ γραμματικῷ· ταὐτὸν ἄρα. καὶ πάλιν, εἰ τὸ μουσικὸν ἕτερόν ἐστι τοῦ γραμματικοῦ, καὶ ὁ γραμματικὸς Σω|κρά- 415
της ἕτερος ἔσται τοῦ μουσικοῦ Σωκράτους· ὁ Σωκράτης ἄρα ἕτερός ἐστιν
20 αὐτὸς ἑαυτοῦ.' ἐγγίνεται δὲ ὁ παραλογισμὸς ἐκ τοῦ εἶναι ταὐτὸν τὸν μουσικὸν Σωκράτη τῷ γραμματικῷ Σωκράτει καὶ μὴ εἶναι, τῷ μὲν ὑποκειμένῳ ταὐτόν, τῷ λόγῳ δὲ ἕτερον. εἰ μὲν οὖν ἕτερον ἐρεῖς τὸ μουσικὸν τοῦ γραμματικοῦ, οὕτω παραλογίζονται· εἰ δὲ ταὐτόν, ἀποκρίνονται ὡς εἰ 5
ταὐτόν ἐστι τὸ γραμματικὸν τῷ μουσικῷ, ὅπου γραμματικός, ἐκεῖ ἔσται
25 καὶ μουσικός, ὥσπερ καὶ ὅπου βροτός, ἐκεῖ καὶ ἄνθρωπος. ἀλλ' ὁ μὲν Ἀρίσταρχος γραμματικὸς μέν ἐστι, μουσικὸς δὲ οὐκ ἔστιν· οὐκ ἄρα ταὐτὸν τῷ μουσικῷ τὸ γραμματικόν. πάλιν κοινῶς πάντων δοξαζόντων ὅτι πᾶν τὸ ὂν ἤτοι ἀίδιόν ἐστιν ἢ γεγονός, οἱ σοφισταὶ τοῦτο ἀναιρεῖν πειρῶνται 10
διὰ λόγου τινός, παρασχόμενοί τινα ἅ ἐστιν οὔτε ἀεὶ ὄντα οὔτε γεγονότα.
30 λαμβάνοντες γὰρ τὸ τῶν ὄντων τι εἶναι τὸ μουσικὸν ὄντα γραμματικὸν εἶναι, δεικνύουσιν ὅτι τοῦτο οὔτε ἀίδιόν ἐστιν (οὐ γὰρ ἀεὶ ἦν ὁ γραμματικὸς μουσικός, ἀλλ' ἦν ποτε ὅτε οὐκ ἦν), ἀλλ' οὐδὲ γενόμενον· οὐ γὰρ γίνεται ὁ μουσικὸς γραμματικός. εἰ γὰρ γίνεται, ἤτοι ὡς ἐξ ὕλης τοῦ μουσικοῦ γίνοιτο ἂν ὁ γραμματικός, ὡς ἐκ τοῦ χαλκοῦ ὁ ἀνδριάς· ἀλλ' 15
35 οὐκ ἔστιν ὕλη τὸ μουσικὸν τοῦ γραμματικοῦ· ἢ ὡς ἐξ ἐναντίου, ὡς ἐκ τοῦ λευκοῦ τὸ μέλαν· οὐκ ἔστι δὲ ἐναντίον τὸ γραμματικὸν τῷ μουσικῷ, ὅ γε καὶ συνυπάρχει αὐτῷ. οὐκ ἄρα τὸ μουσικὸν γραμματικὸν γίνεται. ἐξ ὧν συνάγουσι τὸ οὐ πᾶν ἄρα τὸ ὂν ἢ γενόμενόν ἐστιν ἢ ἀίδιον. ἔτι εἰ μήτε ὁ γραμματικὸς γενόμενος μουσικὸς γραμματικὸς μουσικὸς ἐγένετο 20

---

4 μόνον LF: om. A  6 συμπίπτει LF: συμπίπτειν A  8 ἔταξεν LFS: ὡς ἔταξεν A

9 συμβεβηκότος scripsi: συμβεβηκὸς A: συμβ̄ L  20 ταὐτὸν M Brandis Bonitz: τὸν αὐτὸν ALF  29 παρεχόμενοι LF  οὔτε (post ὄντα) LM: om. A

μήτε ὁ μουσικὸς γενόμενος γραμματικὸς μουσικὸς γραμματικὸς ἐγένετο, ἔστι δὲ μουσικὸς γραμματικός, ὃ μὴ γέγονεν ἔστιν. ἔτι οὐδεμία τέχνη ἐστὶν ἢ ἐπιστήμη ἢ διδάσκει τὸν μουσικὸν γραμματικόν· οὐδεὶς γὰρ καθὸ μουσικός ἐστι γραμματικὸς γίνεται· οὐ γὰρ ἀπὸ τούτου εἰς ἐκεῖνο ἡ μεταβολή, ἀλλ' ἀμφότερα καθὸ ἄνθρωπος. δύναται τὸ λεγόμενον ὑπὸ τῶν σοφιστῶν καὶ οὕτω λέγεσθαι. ἂν ᾖ γεγονώς τις γραμματικὸς πρῶτον, εἶτα μουσικός, οὗτος οὐ γέγονε μὲν μουσικὸς ὢν γραμματικός, ἔστι δὲ μουσικὸς ὢν γραμματικός. ὁ οὖν λέγων 'μουσικὸς ὢν γραμματικός' ἐστι' λέγει καὶ μουσικός ἐστι γραμματικός. περὶ δὲ τῶν καθ' αὑτὰ ὄντων ἦν λεγόμενον τὸ ἀίδια αὐτὰ ἢ γενόμενα εἶναι. ἔτι ὡς ἔστι, κατὰ συμβεβηκὸς δὲ ἔστιν, οὕτω καὶ ἐγένετο· ὁ γὰρ μουσικὸς γενόμενος εἰ προὔπῆρχεν ὢν γραμματικός (οὐ γὰρ δὴ ἅμφω ἅμα ἐγέ|νετο καὶ γραμματικὸς καὶ μουσικός), κατὰ συμβε- 416
βηκὸς ὁ γραμματικὸς μουσικὸς ἐγένετο. ὡς οὖν τὰ τοιαῦτα ἔστιν, οὕτω καὶ γίνεται. τὰ μὲν οὖν ὑπὸ τῶν σοφιστῶν τοιαῦτα, ὁ δ' Ἀριστοτέλης τὸν λόγον αὐτῶν οὕτως ἐξήνεγκεν· ἐρωτῶσι γάρ, φησίν, εἰ πᾶν ὃ ἂν ᾖ, μὴ ἀεὶ δέ, γέγονε, τουτέστιν εἰ πᾶν ὅπερ ἤδη ἐστίν, ἦν δέ ποτε ὅτε οὐκ ἦν, ἄρα γέγονεν· εἰ γὰρ πρότερον μὴ ὂν νῦν ἐστι, φανερὸν ὅτι γέγονεν· ὥστε εἰ ὁ Κορίσκος μουσικὸς ὢν γραμματικός ἐστι, πρότερον μὴ ὤν, γέγονεν ὁ μουσικὸς γραμματικὸς καὶ ἔμπαλιν ὁ γραμματικὸς μουσικός· κἂν ἄλλο τι ἐρωτῶσι τοιοῦτόν ἐστιν· ὥστε τὸ συμβεβηκός, ὥσπερ λέγομεν, ἐγγὺς τοῦ μὴ ὄντος ἐστίν. ἀλλὰ καὶ ἐκ τῶν ἤδη ῥηθησομένων φανερὸν ὅτι τὸ συμβεβηκὸς ἐγγύς ἐστι τοῦ μὴ ὄντος. τῶν μὲν γὰρ ἄλλον τρόπον ὄντων, ἤτοι τῶν μὴ κατὰ συμβεβηκὸς ὄντων ἀλλὰ κυρίως ὄντων, ἔστι γένεσις καὶ φθορά, τῶν δὲ κατὰ συμβεβηκὸς ὄντων γένεσις καὶ φθορὰ οὐκ ἔστι· τὰ ἄρα κατὰ συμβεβηκὸς ὄντα μὴ ὄντα ἐστί. πῶς δὲ τῶν κατὰ συμβεβηκὸς ὄντων γένεσις καὶ φθορὰ οὐκ ἔστιν αὐτὸς μετ' ὀλίγον ἐρεῖ, καὶ ἐγὼ ἐκεῖσε γενόμενος ἐρῶ.

p. 1026ᵇ24 Ἀλλ' ὅμως λεκτέον ἔτι περὶ τοῦ συμβεβηκότος ἐφ' ὅσον ἐνδέχεται, τίς ἡ φύσις αὐτοῦ.

Εἰπὼν ὅτι τὸ συμβεβηκὸς ἐγγύς ἐστι τοῦ μὴ ὄντος, νῦν λέγει τὴν αἰτίαν τοῦ πῶς, εἰ καὶ τῶν μὴ ὄντων ὄν, ὅλως μετὰ τῶν ὄντων συνηρίθμηται. λέγει δὲ ὅτι εἰ καὶ τῶν μὴ ὄντων τρόπον τινά ἐστιν, ὅμως, ᾗ μὲν ὅλως ὅταν γένηται ἔστι, ἐπὶ τούτῳ λέγεται ὄν, ᾗ δέ, ὡς ἐρεῖ, τῶν ἐπ' ἐλαττόν ἐστι καὶ σπανίως γινομένων, ἐστὶ μὴ ὄν. καὶ διὰ τοῦτο οὐδ' ἔστιν αὐτοῦ ἐπιστήμη· αἱ γὰρ ἐπιστῆμαι ἢ τῶν ἀεὶ ἢ τέως τῶν ὡς ἐπὶ

---

1 μήτε — ἐγένετο M: om. ALS 10 γενόμενα L: γινόμενα A 12 ἅμα MS: om. AL καὶ γραμματικὸς καὶ M: om. AL 13 τοιαῦτα iterat A 18 μουσικὸς ὢν LFS: μουσικὸς ὢν γραμματικὸς ὢν A 20 et 22 τὸ συμβεβηκὸς LF: τὸ κατὰ συμβεβηκὸς A 21 λεχθησομένων LF 22. 23 τρόπον LF: τρόπων A 23 μὴ LFS: om. A 26 αὐτὸς LFS: ὁ αὐτὸς A 31 ὅλως] ὅμως e S coni. Bonitz 33 τούτῳ LF: τὸ οὕτω A 34 οὐδ' LF: οὐκ A

τὸ πολύ εἰσιν. ὅμως, φησίν, λεκτέον ἔτι περὶ τοῦ συμβεβηκότος
ὅσον ἐνδέχεται, τίς ἡ φύσις αὐτοῦ καὶ διὰ τίνα αἰτίαν ἔστι, καὶ διὰ
τί ἐστί τι τῶν ὄντων καὶ ὅλως ὄν· ἅμα δὲ εἰποῦσι τὴν φύσιν αὐτοῦ δῆλον
ἔσται καὶ διὰ τί οὐκ ἔστιν αὐτοῦ ἐπιστήμη. καὶ λέγει ὅτι ἐπειδὴ τῶν
5 ὄντων τὰ μὲν ἀεὶ καὶ ἐξ ἀνάγκης ἐστίν (ἀεὶ γὰρ καὶ ἐξ ἀνάγκης ὁ ἄν- 25
θρωπος ζῷόν ἐστιν· ἐπειδὴ δὲ ἀναγκαῖον λέγεται καὶ τὸ βίαιον, ὡς ἐν
τῷ πρὸ τούτου εἴρηται βιβλίῳ, προσέθηκεν οὐ τῆς κατὰ τὸ βίαιον
ἀνάγκης· ἀεὶ γὰρ ὁ ἄνθρωπος καὶ ἐξ ἀνάγκης ζῷόν ἐστιν, ἀλλ' οὐχ ὅτι
βίᾳ ζῷόν ἐστι, τοῦτό φαμεν, ἀλλ' ὅτι οὐκ ἐνδέχεται μὴ εἶναι ζῷον),
10 ἐπειδὴ οὖν τὰ μὲν ἀεὶ καὶ ἐξ ἀνάγκης ἐστί, τὰ δὲ ἐξ ἀνάγκης μὲν οὐκ 30
ἔστιν οὐδὲ ἀεί, ὡς ἐπὶ τὸ πολύ δέ (οὔτε γὰρ ἐξ ἀνάγκης εἰσὶν οἱ ἄνθρωποι
πενταδάκτυλοι οὔτε ἀεί, ἀλλ' ὡς ἐπὶ τὸ πολύ), τοῦτο δὴ ἀρχή ἐστι καὶ
αἴτιον τοῦ εἶναι τὸ συμβεβηκός. τὸ γὰρ τοῦ ὡς ἐπὶ τὸ πολὺ διάλειμμα
τοῦτό | ἐστι τὸ συμβεβηκός. ὑπὸ κύνα γὰρ ἀεὶ πνίγους γινομένου εἴ 417
15 ποτε γένηται ψῦχος, τοῦτο δὴ τὸ τὴν συνέχειαν τοῦ ὡς ἐπὶ πολὺ ἐκκόψαν
λέγει συμβεβηκός, καί φαμεν ὅτι συνέβη ψῦχος ὑπὸ κύνα γενέσθαι. ὥσπερ
εἰ νοήσαις γραμμὰς δύο συνεχῶς αὐξομένας, ἀλλὰ τὴν μὲν μίαν ἀεὶ συν-
εχῶς καὶ ἐπ' ἄπειρον αὐξομένην, τὴν δὲ λοιπὴν καὶ αὐτὴν μὲν συνεχῶς 5
ἄχρι δέ τινος αὐξομένην, εἶτα στᾶσαν καὶ πάλιν ἀρξαμένην γίνεσθαι· ἡ
20 μὲν οὖν προτέρα ἡ συνεχῶς ἀεὶ γινομένη ἢ αὐξομένη ἀναλογεῖ τῷ ἀεὶ
ὄντι καὶ ἀναγκαίῳ, ἡ δὲ λοιπὴ τῷ ὡς ἐπὶ πολὺ γινομένῳ, οὐκ ἀεὶ δὲ
ὄντι. ὥστε ἂν ὑπὸ κύνα χειμὼν γένηται ἢ ψῦχος, φαμὲν ὅτι συνέβη
χειμῶνα ἢ ψῦχος γενέσθαι, ἂν δὲ ἀλέα ἢ πνῖγος, οὔ φαμεν ὅτι συνέβη·
ἀεὶ γὰρ ἢ ὡς ἐπὶ τὸ πολὺ ὑπὸ κύνα πνῖγος γίνεται. ἀλλὰ καὶ τὸ ὑγι- 10
25 άζειν τὸν οἰκοδόμον συμβεβηκὸς λέγει· οὔτε γὰρ ἀεὶ ὁ οἰκοδόμος ὑγιάζει
οὔθ' ὡς ἐπὶ τὸ πολύ· οὐ γὰρ πέφυκεν ὁ οἰκοδόμος ὑγιάζειν ἀλλ' ὁ ἰατρός.
ἀλλὰ καὶ ὁ ὀψοποιός, ἡδονὴν ποιῆσαι διὰ τῶν βρωμάτων στοχαζόμενος,
ποιήσειεν ἄν τινι τὸ τοιόνδε βρῶμα ὑγιεινὸν κατὰ συμβεβηκός· συν-
έβη γὰρ ὑγίειαν ποιῆσαι τὸ τοιόνδε βρῶμα. καὶ τρόπον μέν τινα ποιεῖ 15
30 ὑγιεινόν, ἁπλῶς δ' οὔ· ᾗ μὲν γὰρ ὑπὸ τοῦ ὀψοποιοῦ γέγονεν ἡ τοιάδε
τροφὴ δι' ἧς ὑγίανεν ὁ νοσῶν, ἐποίησεν ὑγιεινὸν ὁ ὀψοποιός· ᾗ δὲ οὐ τοῦ
ποιῆσαι ὑγιεινὸν ἐστοχάζετο ἀλλὰ μόνον ποιητικὸν ἡδονῆς, οὐ ποιεῖ ὑγιεινόν. καὶ τῶν μὲν ἄλλων, ἤτοι τῶν ὡς ἐπὶ τὸ πολὺ καὶ ἐξ ἀνάγκης, εἰσὶν αἰτίαι καὶ δυνάμεις ποιητικαὶ ὡρισμέναι, τῶν δὲ κατὰ συμβεβηκὸς γινο-
35 μένων οὐδεμία τέχνη ἢ δύναμίς ἐστιν ὡρισμένη. τοῦ γὰρ ἐντυχεῖν ὅπερ 20
ἐπόθεις καὶ πάλαι ἐζήτεις βιβλίον οὐδεμία τέχνη ἢ δύναμίς ἐστιν ὡρισμένη, ἀλλ' αἴτια μυρία ἂν εἴη· καὶ γὰρ τὸ εἰς ἀγορὰν ἐλθεῖν καὶ τὸ διώκεσθαι ἢ διώκειν καὶ ἄλλα μυρία· τῶν γὰρ κατὰ συμβεβηκὸς ὄντων ἢ γινομένων καὶ τὰ αἴτια κατὰ συμβεβηκὸς καὶ ἀόριστα. ὥστε ἐπεὶ οὐ

---

1 τὸ LF: om. A φησίν LF: φησὶν ὅτι A 3 ἐστί τι LF: τι om. A 6. 7 ἐν τῷ πρὸ τούτου — βιβλίῳ] Δ 5 p. 1015a26 10 οὖν τὰ LFS: αὗτα A 11 δέ LFS: om. A 15 τοῦ LF: αὐτοῦ A 16 λέγει AL: λέγεται F: *appellabitur* S 28 post συμβεβηκός add. *si forte cibum eiusmodi condiverit, qui possit valetudinem restituere* S

πάντα ἐστὶν ἐξ ἀνάγκης καὶ ἀεὶ ὄντα ἢ γινόμενα, ἀλλ' εἰσὶ τὰ πλεῖστα τῶν ὡς ἐπὶ πολύ, φησὶν εἶναι τὸ κατὰ συμβεβηκὸς ὄν· ἐπεὶ γὰρ οὔτ' ἀεὶ οὔθ' ὡς ἐπὶ τὸ πολὺ ἐστι λευκὸς ὁ ἄνθρωπος, ἀλλὰ γίγνεταί ποτε, κατὰ συμβεβηκός ἐστιν· ἢ μᾶλλον ἐπειδὴ οὔτ' ἀεὶ οὔθ' ὡς ἐπὶ τὸ πολὺ γίνεται θησαυροῦ εὕρεσις, κατὰ συμβεβηκός ἐστιν. εἰ δ' οὐ λέγει τις τὴν θησαυροῦ εὕρεσιν καὶ τὰ τοιαῦτα κατὰ συμβεβηκὸς ὄντα, ἐξ ἀνάγκης αὐτὰ ἐρεῖ· καὶ ἔσονται πάντα ἐξ ἀνάγκης. ἀλλὰ τῶν ἐξ ἀνάγκης ὄντων καὶ τὰ αἴτια ὡρισμένα, τούτων δ' οὐδενός ἐστι τὸ αἴτιον ὡρισμένον. ἄλλως τε δέδεικται κἀν τῷ δευτέρῳ τμήματι τοῦ Περὶ ἑρμηνείας ὅτι οὐ πάντα ἐξ ἀνάγκης εἰσὶν ἀλλ' ἔστι | τὸ ἐνδεχόμενον. ἀλλὰ τί αἴτιον τοῦ εἶναι τὸ συμβεβηκός; 418
ἢ ἡ ὕλη ἡ ἐνδεχομένη ἄλλως ἔχειν παρὰ τὸ ὡς ἐπὶ τὸ πολύ. ἐπειδὴ γὰρ ἡ ὕλη αὕτη μὲν ἐπιτηδεία γέγονε δέξασθαι τὸ γενέσθαι τουτουσὶ πενταδακτύλους, αὕτη δ' οὔ, καὶ ἔχει τοιαύτην φύσιν τοῦ ποτὲ μὲν τοῦτο δύνασθαι, τὸ πενταδακτύλους γίνεσθαι, ποτὲ δὲ καὶ ἄλλως, ἤτοι τὸ τετραδάκτυλον ἢ ἑξαδάκτυλον ἢ ἄλλον τινὰ ἀριθμόν, αὕτη ἐστὶν ἡ αἰτία τοῦ ὑπάρχειν τὸ συμβεβηκός. εἰπὼν δὲ τί ποτέ ἐστι τὸ συμβεβηκός, δίδωσιν ἡμῖν μέθοδον ἢ κανόνα, πῶς ἂν ἀποδεικνύοιμεν ὅτι ἔστι τὸ συμβεβηκός. καί φησιν ὅτι εἰ μέλλοι τις δεικνύναι ὅτι ἔστι τὸ συμβεβηκός, ὡς ἀρχὴν λαμβανέτω τὸ εἶναί τι παρὰ τὸ ἀεὶ καὶ ὡς ἐπὶ τὸ πολύ. τοῦτο δὲ λάβοι ἄν, εἴπερ ἐρωτᾷ τὸν προσδιαλεγόμενον, ἆρά γε ἔστι τι παρὰ τὸ ὡς ἐπὶ τὸ πολὺ καὶ ἀεί, ἢ οὔ; ἐκεῖνος δὲ ὑπὸ τῆς ἐναργείας πειθόμενος πάντως δώσει τὸ εἶναί τι παρὰ ταῦτα· τοῦτο δέ ἐστι τὸ ὁπότερον ἔτυχεν ἤτοι τὸ συμβεβηκός. τοῦτο εἰπὼν ἐρωτᾷ πότερον τὸ μὲν ὡς ἐπὶ τὸ πολύ ἐστιν ἐν τοῖς οὖσι, τὸ δὲ ἀεὶ καὶ ἐξ ἀνάγκης οὐκ ἔστιν, ἢ ἔστιν ἄττα ἀίδια, ὥσπερ καὶ ἐπὶ τὸ πολύ; καὶ ἐρωτήσας ἀποκρίνεται ὅτι περὶ τούτων ὕστερον ἔσται ἐπισκέψασθαι· καὶ ἐρεῖ ἐν τῷ Κ μὲν ἀμυδρότερον τῆσδε τῆς πραγματείας, τελείως δὲ ἐν τῷ Λ.

Ταῦτα εἰπὼν λέγει ὅτι φανερόν ἐστιν ἐκ τούτων ὡς τοῦ συμβεβηκότος οὐκ ἔστιν ἐπιστήμη. αἱ ἐπιστῆμαι γὰρ ἢ τῶν ἀεί εἰσιν ἢ τῶν ὡς ἐπὶ τὸ πολύ, καὶ δεῖ ὧν ἐστιν ἐπιστήμη ὡρίσθαι ταῦτα καὶ ἐν αὐτοῖς εἶναι, λέγω δὴ ἢ ἐν τῷ ἀεὶ ἢ ἐν τῷ ὡς ἐπὶ τὸ πολύ, καὶ μὴ ὑπερβαίνειν αὐτά. τὸ γὰρ ὑπὲρ αὐτὰ τὸ συμβεβηκός ἐστιν· οἷον διδάξει τίς τινα ὅτι τὸ μελίκρατον τῷ πυρέττοντι ὠφέλιμόν ἐστιν, ὅτι ὡς ἐπὶ τὸ πολὺ ὠφελεῖ τοὺς πυρέττοντας· τὸ δὲ παρὰ τὸ ὡς ἐπὶ τὸ πολὺ οὐχ ἕξει διδάξαι, ὅτι τῇ νουμηνίᾳ φέρε ἔσται ὠφέλιμον· τοῦτο γὰρ ἐπ' ἔλαττον γίνεται. οὐ γὰρ ὡς ἐπὶ τὸ πολὺ ὠφελεῖται ὁ ἐν τῇ νουμηνίᾳ τὸ μελίκρατον πίνων, ἀλλὰ μᾶλλον διὰ τὸ ὡς ἐπὶ τὸ πολὺ πίνων ὠφελεῖσθαι συμβαίνει εἶναι καὶ τῇ νουμηνίᾳ ὠφέλιμον. ὥστε καὶ ἔμπαλιν τὸ ἐν τῇ νουμηνίᾳ ὠφέλιμον ἢ ἀεί

---

2 τὸ ὡς κατὰ LF 7 ὄντων LF: om. A 8 οὐδενός LFS: οὐδέν A 9 Περὶ ἑρμηνείας] c. 9 12 γέγονε LF: om. A 20 παρὰ τὸ LF: παρὰ τὰ A 24 ὥσπερ καὶ τὸ ὡς ἐπὶ LF 30 δεῖ LFS: δι' A 31 ἢ ἐν τῷ ἀεὶ ἢ ἐν τῷ LF: ἐν τῷ ἀεὶ ἢ A 36. 37 ἀλλὰ — πίνων LFS: om. A 37 fort. πίνοντα

ἐστιν ὠφέλιμον ἢ ὡς ἐπὶ τὸ πολύ. τὸ δὲ συμβεβηκός ἐστι παρὰ τὸ ἀεὶ καὶ τὸ ὡς ἐπὶ τὸ πολύ· ὥστε τοῦ συμβεβηκότος ἐπιστήμην οὐκ ἔχομεν.

p. 1027a26 Τί μὲν οὖν ἐστι τὸ συμβεβηκὸς καὶ διὰ τίνα αἰτίαν, καὶ ὅτι ἐπιστήμη οὐκ ἔστιν αὐτοῦ εἴρηται.

Εἰπὼν τίς ἡ φύσις τοῦ συμβεβηκότος ὅτι τὸ ἐπίσης καὶ τὸ ἐπ' ἔλαττον ἐνδεχόμενον, καὶ διὰ τίνα αἰτίαν ἐστίν, ὅτι διὰ τὴν ὕλην τὴν δυνα- 30 μένην καὶ παρὰ τὸ ὡς ἐπὶ τὸ πολὺ ἄλλως ἔχειν, καὶ ὅτι ἐπιστήμη αὐτοῦ οὐκ ἔστιν (αἱ γὰρ ἐπιστῆμαι ἢ τῶν ἀεὶ ἢ τῶν ὡς ἐπὶ τὸ πολύ εἰσι, τοῦτο δὲ παρὰ ταῦτα εἴρηται), ἐπιφέρει

p. 1027a29 Ὅτι δέ εἰσιν ἀρχαὶ καὶ αἴτια ἄνευ τοῦ γίγνεσθαι φανερόν. 419

Πρόκειται αὐτῷ δεῖξαι ὅτι τῶν κατὰ συμβεβηκὸς ὄντων καὶ τὰ αἴτια κατὰ συμβεβηκός εἰσι, καὶ ἄνευ γενέσεως καὶ φθορᾶς εἰσι καὶ οὐκ εἰσιν, ὥσπερ καὶ αἱ ἁφαὶ καὶ τὰ νῦν τὰ τῶν χρόνων πέρατα. ὡς γὰρ αἱ ἁφαὶ καὶ τὰ νῦν ἄνευ γενέσεώς εἰσι καὶ πάλιν ἄνευ φθορᾶς οὐκ εἰσιν, οὕτω καὶ τῶν κατὰ συμβεβηκὸς ὄντων καὶ τὰ αἴτια κατὰ συμβεβηκὸς ὄντα ἄνευ τοῦ γίνεσθαί εἰσι 5 καὶ ἄνευ τοῦ φθείρεσθαι οὐκ εἰσιν. ἡ γὰρ οἰκοδομηθεῖσα οἰκία τῷ μέν ἐστιν ἡδεῖα τῷ δὲ βλαβερά, καὶ τῷδε μὲν τῷ γειτονοῦντι σκιὰν ποιεῖ τῷδε δὲ οὐ ποιεῖ. ὁ μὲν οὖν οἰκοδόμος, ὅς ἐστι καθ' αὑτὸ ἀρχὴ καὶ αἴτιον τῆς οἰκίας, καὶ τοῦ συμβάντος τῇ οἰκίᾳ ἢ τοῦ λυπηρὰν εἶναι ἢ τοῦ σκιάζειν αἴτιος μέν ἐστιν, ἀλλὰ κατὰ συμβεβηκός· ὥστε ὁ οἰκοδόμος ὡς μὲν αἴτιος τῆς οἰκίας 10 γέγονε (διὰ γενέσεως ἤτοι μαθήσεως εἰς τὸ εἶναι οἰκοδόμος ἦχθη), καὶ φθείρεται πάλιν ὡς αἴτιος τῆς οἰκίας. ἐπεὶ γὰρ συνέβη τῷ οἰκοδόμῳ τῷ αἰτίῳ ὄντι καθ' αὑτὸ τῆς οἰκίας γενέσθαι αἰτίῳ καὶ τοῦ σκιάζειν αὐτὴν τὸν γείτονα ἢ λυπεῖν, ἔστι μὲν αἴτιος καὶ τοῦ σκιάζειν αὐτήν, ἀλλ' οὐ διὰ γενέσεως καὶ μαθήσεως εἰς τοῦτο ἦχθη. ὥσπερ εἰς τὸ εἶναι οἰκοδόμος. 15 ὡς γὰρ ἐκ μὴ ἀνθρώπου διὰ γενέσεως εἰς τὸ εἶναι ἄνθρωπος ἦχθη, οὕτω καὶ ἐκ μὴ οἰκοδόμου διὰ γενέσεώς τινος καὶ μαθήσεως καὶ ὅλως χρονικῆς παρατάσεως εἰς τὸ εἶναι οἰκοδόμος καὶ δύνασθαι ποιεῖν οἰκίαν ἧκεν· εἰς δὲ τὸ τῷ μὲν ἡδεῖαν εἶναι τὴν οἰκίαν, τῷ δὲ λυπηράν, οὐδαμῶς διὰ τοιούτου τινὸς ἧκεν. ὅλως γὰρ οὐδ' ἐσπούδασεν οὐδ' ἐφρόντισε περὶ τούτου ὥσπερ περὶ 20 τοῦ ποιεῖν οἰκίαν, ἀλλ' ἀχρόνως συνέβη αὐτῷ τὸ γίνεσθαι αἴτιον αὐτὸν τοῦ λυπεῖν τὴν οἰκίαν. διὰ γὰρ τὸ τὸν λυπηθέντα οὕτω διακεῖσθαι ὥστε ῥᾳδίως καὶ ὑπὸ τῶν τυχόντων πάσχειν, ἐπὶ τούτῳ γέγονεν ὁ οἰκοδόμος ὁ ταύτην ποιήσας αἴτιος τοῦ λυπηρὰν αὐτὴν εἶναι, ἐπεὶ εἴ τις ἕτερος τῶν

2 τοῦ M: οὗ A et omisso ὥστε LF 9 fort. ὡς εἴρηται 10 αἴτια γεννητὰ καὶ φθαρτὰ ἄνευ τοῦ Metaph. 14 ὥσπερ καὶ LF: ὥσπερ γὰρ A 14. 15 ὡς γὰρ—τὰ νῦν LF: om. A 16 γίνεσθαί εἰσι LS: γίνεσθαι φησί A 20 post καὶ add. οἷον οἰκοδόμος A 22 post γενέσεως addendum γὰρ ἤτοι μαθήσεως L: post ἤτοι add. δὲ A 23 post οἰκίας videtur tale quid excidisse ὡς δὲ αἴτιος τοῦ συμβάντος τῇ οἰκίᾳ οὐ γέγονεν

ὑγιεινῶς διακειμένων εἰσέλθοι, οὐκ ἂν λυπηθείη. καὶ περὶ τούτου ἐρεῖ πάλιν ἐν τῷ Κ ταύτης τῆς πραγματείας. ὥσπερ δὲ αἴτιος ὢν καθ' αὑτὸ ὁ οἰκοδόμος τῆς οἰκίας διὰ γενέσεως τοῦτο ἐγένετο, οὕτως πάλιν ὡς μὲν αἴτιος τῆς οἰκίας διὰ φθορᾶς φθαρήσεται, καὶ ὡς ἀχρόνως αἴτιος γέγονε τοῦ λυπηρὰν αὐτὴν εἶναι, οὕτω πάλιν καὶ ἀχρόνως φθείρεται. αὐτὸς δὲ δείκνυσι τοῦτο πρότερον μὲν ὡς ὁμολογούμενον λαβὼν ὅτι ὧν τὰ αἴτια καὶ αἱ ἀρχαὶ διὰ γενέσεως γέγονε, ταῦτα ἐξ ἀνάγκης ἐστίν. εἰ οὖν ὧν τὰ αἴτια, ὥσπερ ἐπὶ τῆς οἰκίας, διὰ γενέσεως | γέγονε, ταῦτα ἐξ ἀνάγκης 420 εἰσίν, ἅπερ ἄρα οὐκ ἐξ ἀνάγκης εἰσί, τούτων τὰ αἴτια ἄνευ γενέσεώς εἰσι καὶ ἄνευ φθορᾶς οὐκ εἰσιν. εἰ γὰρ μὴ τοῦτο, φησί, τουτέστιν εἰ μὴ τῶν κατὰ συμβεβηκὸς ὄντων τὰ αἴτια κατὰ συμβεβηκός ἐστι καὶ γενητὰ καὶ φθαρτὰ τυγχάνει ἄνευ τοῦ γίνεσθαι καὶ φθείρεσθαι, ἀλλ' ἀναγκαῖά ἐστι καὶ καθ' αὑτὸ τὰ αἴτια αὐτῶν, καὶ γενητὰ καὶ φθαρτὰ διὰ γενέσεως καὶ φθορᾶς, εἰ οὖν μὴ τῶν κατὰ συμβεβηκὸς ὄντων τὰ αἴτια κατὰ συμβεβηκὸς ἀλλ' ἐξ ἀνάγκης, καὶ αὐτὰ ἐξ ἀνάγκης ἔσται· κεῖται γὰρ ὅτι ὧν τὰ αἴτια ἐξ ἀνάγκης, καὶ αὐτὰ ἐξ ἀνάγκης. ἀλλ' εἰ τοῦτο, πάντα ἐξ ἀνάγκης ἔσται, ὅπερ ἀδύνατον. ὅτι δὲ ὧν τὰ αἴτια ἐξ ἀνάγκης, καὶ αὐτὰ ἐξ ἀνάγκης εἰσὶ δῆλον. τῆς γὰρ οἰκίας τῆς οἰκοδομουμένης ἢ τῆς ἣν ᾠκοδόμησεν αἴτιος ὢν ἐξ ἀνάγκης καὶ καθ' αὑτὸ ὁ οἰκοδομῶν καὶ ὃς ᾠκοδόμησεν, ὅταν οἰκοδομῆται ἐξ ἀνάγκης ἐστὶ καὶ ὁ οἰκοδομῶν, καὶ τοῦ οἰκοδομοῦντος ὄντος ἐξ ἀνάγκης οἰκοδομεῖται, καὶ ἡ ἤδη οὖσα οἰκία ἐξ ἀνάγκης ᾠκοδομήθη. τὸ γὰρ ὂν ὅτε ἔστιν ἐξ ἀνάγκης ἔστιν. ἐπειδὴ δέ ἐστιν ἡ οἰκία ἐξ ἀνάγκης, ἕπεται αὐτῇ τὸ οἰκοδομηθῆναι· εἰ γὰρ μὴ ᾠκοδομήθη, οὐκ ἂν ἦν. πάντα δή, φησίν, ἐξ ἀνάγκης ἔσται, εἰ τοῦ γινομένου καὶ φθειρομένου μὴ κατὰ συμβεβηκὸς ἀνάγκη αἴτιόν τι εἶναι. δεῖ δὲ προσυπακούειν τὸ παντός, ἵνα ᾖ, εἰ παντὸς τοῦ γιγνομένου καὶ τοῦ φθειρομένου μὴ κατὰ συμβεβηκὸς αἴτιόν τι ἀνάγκη εἶναι. καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον· εἰ πάντων τῶν γινομένων καὶ φθειρομένων οὐκ ἔστιν αἴτιον κατὰ συμβεβηκός, ἵνα ἐκ τούτου ὑπάρχῃ τινὰ γενητὰ καὶ φθαρτὰ ἄνευ τοῦ γίγνεσθαι καὶ φθείρεσθαι, ἤτοι ἄνευ γενέσεως καὶ φθορᾶς, ἀλλ' ἐστὶ παντὸς τοῦ γινομένου καὶ φθειρομένου τὸ αἴτιον καθ' αὑτό, ἐξ ἀνάγκης πάντα ἔσται καὶ οὐδὲν ὅλως ἔσται συμβεβηκός. ὧν γάρ, ὡς πολλάκις εἴρηται, τὰ αἴτια ἐξ ἀνάγκης, καὶ αὐτὰ ἀναγκαῖα.

Ταῦτα εἰπὼν τρέπεται εἰς τὴν δεῖξιν τοῦ ὅτι ἔστιν αἴτια κατὰ συμβεβηκὸς ἄνευ τοῦ γίγνεσθαι καὶ φθείρεσθαι, καί φησι πότερον ἔσται τοδὶ ἢ οὔ; οἷον εἰ παρακαθημένων τὴν πόλιν πολεμίων λέγομεν πότερον ἔσται τοδὶ ἢ οὔ, ἤτοι πότερον ἀποθανεῖται Νικόστρατος ἢ οὔ; φαμὲν ὡς ἐὰν τοδὶ γένηται, τουτέστιν εἴπερ ἐξέλθῃ καὶ κρατηθῇ ὑπὸ τῶν πολεμίων, θανεῖται· ἐστὶ δὴ αἴτιον τοῦ θανεῖν αὐτὸν τὸ ἐξελθεῖν. τοῦ δ' ἐξελθεῖν πάλιν ἐστὶν αἴτιον τὸ πιεῖν ὕδωρ, τούτου δὲ τὸ διψῆσαι, τοῦ διψῆσαι δὲ τὸ δριμέα φαγεῖν, τοῦτο δὲ κατὰ συμβεβηκός ἐστιν αἴτιον καὶ οὐ καθ'

---

8 διὰ γενέσεως γέγονε $A^2$LFS: in lac. om. $A^1$ 15. 16 κεῖται—ἔσται LFS: om. A 21 ἡ LS: εἰ A 35 παρακαθημένων LF: προκαθημένων A 36 ὡς LF: om. A 37 ἐξέλθῃ F: ἐξέλθοι AL

αὐτό· ἐνδέχεται γὰρ διψῆσαι καὶ ἄνευ τοῦ δριμέα φαγεῖν· καὶ γὰρ ἐκ τοῦ πολλὰ κινηθῆναι καὶ ἐκ τοῦ πλεῖστον οἶνον πιεῖν καὶ ἐξ ἄλλων πολλῶν. 421 εἰ δ' ἦν τὸ τὰ δριμέα φαγεῖν τοῦ διψῆσαι καθ' αὐτὸ αἴτιον, εἰ μὴ ἔφαγε δριμέα οὐκ ἂν ἐδίψησεν, ὥσπερ εἰ μὴ ἔστιν οἰκοδόμος οὐκ ἔσται οἰκία· νῦν δὲ καὶ ἄνευ τοῦ φαγεῖν τὰ δριμέα διψῇ· οὐκ ἔστιν ἄρα καθ' αὐτὸ αἴτιον τοῦ διψῆσαι τὸ φαγεῖν ταῦτα. γέγονε δὴ τὸ διψῆσαι, αἴτιον ὂν καὶ αὐτὸ τοῦ ἐξελθεῖν, ἄνευ γενέσεως. εἰ μὲν γὰρ ὑπέκειτό τις ὕλη τῇ δίψῃ, ἥτις ἀλλοιουμένη γίνεται ὅπερ ἡ δίψα, ὥσπερ τὸ καταμήνιον ἀλλοιούμενον γίνεται ὅπερ τὸ ζῷον, τότε ἦν εἰκός, μᾶλλον δ' ἀναγκαῖον λέγειν ὅτι διὰ γενέσεως ἡ δίψα γέγονεν· ἐπεὶ δὲ οὐ τοῦτο γίνεται, οὐκ εἰκός ἐστι τοῦτο λέγειν. ἀλλὰ πῶς ὅλως γίγνεται; ἢ γινομένων τινῶν περὶ τὸ σῶμα παθῶν ἐπιγίνεται αὐτοῖς ἀχρόνως ἡ δίψα ὥσπερ καὶ τὸ εἶδος τῇ ὕλῃ. εἰπὼν οὖν ὅτι ἐάν γε τοδὶ γένηται, εἰ δὲ μή, οὔ, τοῦτο δὲ ἂν ἄλλο, ἐπήγαγε καὶ οὕτω δῆλον ὅτι ἀεὶ χρόνου ἀφαιρουμένου ἀπὸ πεπερασμένου ἥξει ἐπὶ τὸ νῦν, τουτέστιν ἀναλυομένου τοῦ χρόνου τοῦδε εἰς τόνδε καὶ τοῦδε εἰς τόνδε ἥξει ἐπὶ τὸ νῦν, τουτέστιν εἰς ὃ νῦν ὑπάρχει. ποῦ δὲ ὑπάρχει ὁ διψῶν, δηλονότι εἰς τὸ διψῆν. εἶτα καὶ παράδειγμα τοῦ ἀποθανεῖν βίᾳ τίθησι τὸ ἂν ἐξέλθῃ. τοῦ δὲ ἀποθανεῖν νόσῳ οὐ τίθησιν, ἡμεῖς δ' ἐροῦμεν μετ' ὀλίγον, ὅταν πάλιν αὐτοῦ μνησθῇ· μνησθήσεται γάρ. εἰπὼν οὖν ὅτι καὶ οὕτως ἥξει εἰς ὃ νῦν ὑπάρχει, ἐπήγαγε παράδειγμα τοῦ εἰς ὃ νῦν ὑπάρχει τὸ ἀποθανεῖται εἰ ἐξέλθοι· τοῦτο δὲ ἂν ἄλλο· καὶ οὕτως ἥξει εἰς ὃ νῦν ὑπάρχει, καὶ τοῦτο εἰπὼν προστίθησι τὸ ἢ εἰς τῶν γεγονότων τι. δοκεῖ δὲ τὸ ἑπόμενον παράδειγμα, τὸ οἷον ἐὰν διψήσῃ· τοῦτο δὲ εἰ ἐσθίει δριμέα, τοῦ ἢ εἰς τῶν γεγονότων τι εἶναι, οὐκ ἔστι δὲ αὐτοῦ, ἀλλὰ τοῦ προτέρου ἐστὶ καὶ τοῦτο. ὃ δὴ καὶ συννενοηκὼς ἐπαναλαμβάνει πάλιν μετ' ὀλίγον τὸν λόγον, ἵνα καὶ αὐτοῦ θήσει παράδειγμα, ὅταν λέγῃ ὁμοίως δὲ κἂν ὑπερπηδήσῃ τις εἰς τὰ γενόμενα. τὸ γὰρ γενόμενα καὶ τὸ γενομένων παρεληλυθότων εἰσὶ δηλωτικά. τέως δ' οὖν εἰπὼν οἷον ἐὰν διψήσῃ, τοῦτο δ' εἰ ἐσθίει δριμέα, ἐπήγαγε τοῦτο δὲ τὸ ἐσθίειν δριμέα ἢ ὑπάρχει ἢ οὐχ ὑπάρχει. τὸ δὲ ὥστε ἐξ ἀνάγκης ἀποθανεῖται ἢ οὐκ ἀποθανεῖται συμπέρασμά ἐστι τῶν εἰρημένων, ἴσον λέγων τῷ ὥστε τούτων οὕτως ἐχόντων, εἰ μὲν ἐξέλθοι πιεῖν, ἐξ ἀνάγκης ἀποθανεῖται, εἰ δὲ μὴ ἐξέλθοι, οὐκ ἀποθανεῖται. οὕτω ταῦτα εἰπὼν ἐπαναλαμβάνει, ὥσπερ εἴρηται, τὸν λόγον, καὶ τίθησι καὶ τῶν γεγονότων παραδείγματα. ὁμοίως δὲ κἂν ἀπὸ τῶν παρεληλυθότων ἄρξηταί τις καὶ πρὸς τὰ μέλλοντα καταντήσῃ, ἀλλὰ μὴ ἀπὸ τῶν μελλόντων, ὥσπερ καὶ πρότερον, | καὶ ἐπὶ τὸν ἐνεστῶτα, τὸ αὐτὸ γενήσεται. ἤδη γὰρ τὸ γεγονὸς 422 ὑπάρχει ἔν τινι. εἰ δὴ ἀπὸ τούτου ἀρξόμεθα, ὡς εἴρηται, ἥξομεν ἐπὶ τὸ

---

6 δὴ LFS: δὲ A 8 ὅπερ ἡ LS: ὥσπερ ἡ A 13 τοῦτο δὲ ἂν ἄλλο FS: τούτου δὲ ἄλλο AL 14. 15 ἀπὸ πεπερασμένου LF: om. A 17 ποῦ δὲ] ὅπου δὲ e S coni. Bonitz διψῆν LF: διψᾶν A 23 προστίθησι S Bonitz: καὶ προσθεὶς ALF 29 δ' οὖν LF: οὖν A 38 καὶ ἐπὶ LF: καὶ om. A

νῦν, ὅπερ ἔσται κατὰ συμβεβηκὸς αἴτιον. ἀλλὰ τί ποτέ ἐστι τὸ ἤδη γὰρ γεγονὸς ὑπάρχει ἔν τινι; ἢ τὸ τὰ στοιχεῖα εἶναι ἐν τῷ ζῶντι· ἐπειδὴ γὰρ ἤδη ζῇ, ὑπάρχει ἐν αὐτῷ τὰ στοιχεῖα. ὅδε οὖν ζῇ, ὅτι τὰ ἐναντία πῦρ καὶ γῆ καὶ τὰ μεταξὺ ἐν τῷ αὐτῷ γέγονε· καὶ εἰ τοῦτο, ἀποθανεῖται. ἐξ ἀνάγκης ἄρα τὸ ἐξ ἐναντίων γεγονὸς ἀποθανεῖται. ἀλλὰ τὸ αἴτιον τοῦ θανάτου ἄδηλον, διότι ἐστὶ κατὰ συμβεβηκὸς καὶ οὐ καθ' αὑτό· ἐνδέχεται γὰρ καὶ νόσῳ καὶ βίᾳ ἀποθανεῖν. ἔσται δὴ ὁ λόγος, ἵνα πάλιν ἐπαναλάβωμεν, τοιοῦτος· ὁδὶ ἀποθανεῖται, ὅτι τὰ ἐναντία ἐν αὐτῷ γέγονεν· ἀποθανεῖται δὲ εἰ νοσήσει· ἕπεται γὰρ τοῖς ἐξ ἐναντίων οὖσι διὰ τὴν τούτων μάχην τὸ νοσεῖν· νοσήσει δὲ φέρε εἰπεῖν ὕδρωπα, τοῦτο δὲ ἦν ὕδωρ πίῃ· ὥστε εἰ πίοι ὕδωρ ὕδρωπι περιπεσεῖται, τοῦτο δὲ παθὼν θανεῖται. καὶ ἔστι τὸ ὕδωρ πιεῖν αἴτιον τοῦ ὕδρωπος, ὥσπερ καὶ οὗτος τοῦ θανεῖν, ἀλλ' οὐ καθ' αὑτό· ἐνδέχεται γὰρ καὶ μὴ πιόντα ὕδωρ ὕδρωπα νοσῆσαι. ταῦτα οὖν ἐστιν ἅπερ ἀνωτέρω ἐπηγγειλάμεθα εἰπεῖν παραδείγματα περὶ τοῦ ὅπως νόσῳ θανεῖται· εἴρηται δὲ ἀνωτέρω καὶ τοῦ βίᾳ, ἦν δὲ τὸ ὑπὸ πολεμίων κρατηθῆναι. δῆλον οὖν ἐκ τῶν εἰρημένων ὅτι οὐκ ἐπ' ἄπειρον βαδίζομεν ἄλλο ἄλλου αἴτιον ἀποδιδόντες, ἀλλὰ καταντῶμεν εἴς τι αἴτιον, οἷον τὸ δριμέα φαγεῖν, καὶ ἀρχὴν ἧς οὐκ ἔστιν ἄλλο αἴτιον· καὶ ἔστιν αὕτη ἀρχὴ τοῦ ὁπότερ' ἔτυχε, λέγω δὴ τοῦ ἀποθανεῖν. εἰ μὲν γὰρ ἐξέλθῃ, θανεῖται, εἰ δὲ μή, οὐ θανεῖται· ἐστὶ δὴ τοῦ ὁπότερ' ἔτυχεν, ἤτοι τοῦ συμβεβηκότος, καὶ τὸ αἴτιον κατὰ συμβεβηκός· συνέβη γὰρ δριμέα φαγόντα διψῆσαι. ταῦτα εἰπὼν λέγει ὅτι τὸ τοιοῦτον αἴτιον, λέγει δὲ τὸ κατὰ συμβεβηκός, πότερον ὑλικὸν χρὴ λέγειν ἢ τελικὸν ἢ κινητικὸν ἤτοι ποιητικόν; καὶ ἐρωτήσας οὐκ ἐπικρίνει διὰ τὸ δῆλον εἶναι ὅτι τοῖς ποιητικοῖς αἰτίοις συναριθμεῖν αὐτὸ χρὴ καὶ οὐδενὶ τῶν ἄλλων.

p. 1027 b 17 Περὶ μὲν οὖν τοῦ κατὰ συμβεβηκὸς ὄντος ἀφείσθω· διώρισται γὰρ ⟨ἱκανῶς⟩· τὸ δὲ ὡς ἀληθὲς ὄν.

Εἰπὼν περὶ τοῦ κατὰ συμβεβηκὸς ὄντος ὅσα εἰκὸς ἦν εἰπεῖν ὡς πρὸς τὴν παροῦσαν χρείαν λέγει ὅτι τὸ μὲν κατὰ συμβεβηκὸς ὂν ἀφείσθω· ἱκανῶς γὰρ περὶ τούτου διώρισται. ἐπεὶ δὲ λέγεται καὶ τὸ ἀληθὲς ὂν καὶ τὸ ψεῦδος μὴ ὄν, λέγει ὅτι παρὰ σύνθεσιν καὶ διαίρεσίν ἐστιν. ὅταν γὰρ τὸ ὑπάρχον τινὶ συνθῶμεν αὐτῷ, οἷον εἰ τὸ καθῆσθαι ὑπάρχει Σωκράτει καὶ λέγομεν ὅτι Σωκράτης κάθηται, τουτὶ ὂν λέγεται ἀληθὲς ὄν, διὰ τὸ τὸ ὑπάρχον συνθεῖναι | ἤτοι κατηγορῆσαι τοῦ ὑποκειμένου. εἰ δὲ καθημένου 423
λέγομεν ὅτι οὐ κάθηται, ψεῦδος ὂν μὴ ὂν λέγεται, διὰ τὸ ψευδῶς διελεῖν ἤτοι ἀποφῆσαι τοῦ Σωκράτους τὸ καθῆσθαι. ἐπειδὴ οὖν παρὰ σύνθεσιν

---

1. 2 ἤδη—ὑπάρχει MS Bonitz: γὰρ et ὑπάρχει om. ALF 4 ἐν τῷ αὐτῷ LFS: αὐτῷ om. A 7 ἐπαναλάβωμεν LF: ἐπαναλαμβάνῃ ὁ A 8 ἐν τῷ αὐτῷ LF, fort. recte 9 ἐναντίων LFS: ἐναντίον A 14 εἰπεῖν] αὐτὸν ἐρεῖν L 18 ἄλλο LF: om. A 22. 23 λέγω δὴ LF 27 διώρισται in lac. om. A ἱκανῶς addidi coll. ll. 29. 30 29 ὂν LF: om. A ἀφείσθω LFS: om. A 31 post ὅτι add. ἐπειδὴ LF παρὰ LF: περὶ A 32 τινὶ LFS: om. A καὶ M Bonitz: om. AL 35 διελεῖν LS: διελθεῖν A 36 παρὰ LF: περὶ A

καὶ διαίρεσίν ἐστι τὸ ὡς ἀληθὲς ὂν καὶ τὸ μὴ ὂν ὡς ψεῦδος, τὸ δὲ σύν-
ολον, τουτέστιν ὡς ἁπλῶς εἰπεῖν τὸ ὡς ἀληθὲς ὂν καὶ τὸ ὡς ψεῦδος μὴ
ὄν, περὶ μερισμόν ἐστιν ἀντιφάσεως· τὸ μὲν γὰρ ἀληθὲς ὂν ἔχει τὴν κα-
τάφασιν ἐπὶ τῷ συγκειμένῳ, ἤτοι τὸ ἀληθὲς ὂν συνίσταται, ὅταν τὸν κατ-
5 ηγορούμενον ἀληθῶς συνθῶμεν, καθ' οὗ κατηγορεῖται, τὸ δὲ ὡς ψεῦδος
μὴ ὄν ἐστιν, ὅταν ψευδῶς ἀπὸ τοῦ ὑποκειμένου διαιρῶμεν, καὶ ὅλως τὸ
ψεῦδος τούτου τοῦ μερισμοῦ τὴν ἀντίφασιν εἰσάγει, τουτέστι θάτερον μό-
ριον τῆς ἀντιφάσεώς ἐστιν. ἀλλὰ τὸ μὲν ὡς ἀληθὲς ὂν ἐστιν, ὅταν ἀλη-
θῶς συνάπτωμεν τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ, τὸ δὲ ψεῦδος τοὐ-
10 ναντίον. εἰ δ' ἔστιν ἄττα ἅπερ χωρὶς λεγόμενα δύναται καὶ ἅμα νοεῖσθαι,
ὡς τὸ ζῷον καὶ τὸ πεζὸν καὶ τὸ δίπουν (ταῦτα γὰρ καὶ χωρὶς λεγόμενα
δύναται καὶ ὡς ἓν νοεῖσθαι), περὶ τούτου, φησίν, ἄλλος λόγος. ἐρεῖ γὰρ
ἐν τῷ μετὰ τοῦτο βιβλίῳ, καὶ ἐπὶ τούτῳ νῦν ὑπερτίθεται τὴν τούτου
ζήτησιν. εἰπὼν δὲ πῶς δὲ τὸ ἅμα ἢ τὸ χωρὶς συμβαίνει νοεῖν
15 ἄλλος λόγος, ἑρμηνεύει πῶς τὸ ἅμα καὶ χωρὶς εἴρηκε λέγων λέγω δὲ
τὸ ἅμα καὶ χωρὶς ὥστε μὴ τὸ ἐφεξῆς ἀλλ' ἕν τι γίγνεσθαι,
τουτέστιν οὐχ ἅμα μὲν λέγω τὰ ἐφεξῆς, ὥσπερ ἡ Ἰλιάς (ἐφεξῆς γὰρ τῷ
α' τὸ β' καὶ τὰ λοιπὰ ὁμοίως), μὴ ἅμα δὲ τὰ μὴ ἐφεξῆς, ἀλλὰ τὰ μὲν
δυνάμενα ἓν γίνεσθαι λέγω ἅμα, τὰ δὲ μὴ δυνάμενα μὴ ἅμα. εἰπὼν δὲ
20 ἀνωτέρω ὅτι τὸ ὡς ἀληθὲς ὂν καὶ τὸ μὴ ὂν ὡς ψεῦδος ἐπειδὴ παρὰ σύν-
θεσίν ἐστι καὶ διαίρεσιν, καὶ μεταξὺ ἐπεμβαλών τινα, ἐπήγαγε τὴν αἰτίαν
τοῦ ὅπως παρὰ σύνθεσιν καὶ διαίρεσίν ἐστι τό τε ὡς ἀληθὲς ὂν καὶ τὸ
μὴ ὂν ὡς ψεῦδος διὰ τοῦ οὐ γάρ ἐστι τὸ ψεῦδος καὶ τὸ ἀληθὲς ἐν
τοῖς πράγμασιν. ὥστε ἡ τοῦ λόγου συνέχεια τοιαύτη τίς ἐστι· τὸ δὲ
25 ὡς ἀληθὲς ὂν καὶ τὸ μὴ ὂν ὡς ψεῦδος ἐπειδὴ παρὰ σύνθεσιν καὶ διαίρε-
σίν ἐστιν· οὐ γάρ ἐστι τὸ ψεῦδος καὶ τὸ ἀληθὲς ἐν τοῖς πράγμασιν. εἰ
γὰρ μὴ πάθος τι τῆς ἡμετέρας διανοίας καὶ παρὰ σύνθεσιν ἢ διαίρεσιν τὸ
ἀληθὲς καὶ τὸ ψεῦδος ἀλλ' ἐν τοῖς πράγμασιν ἦν, ὡς αὐτός φησι, τῷ μὲν
ἀγαθὸν εἰπεῖν εὐθὺς ἔδει λέγειν ἀληθές, καὶ ἦν ἂν τὸ | ἀγαθὸν ἀληθές, 424
30 τῷ δὲ κακὸν ψεῦδος. καὶ ἔμπαλιν, τῷ μὲν κακὸν εἰπεῖν εὐθὺς ἀληθὲς
ἔδει λέγειν, τῷ δὲ ἀγαθὸν ψεῦδος. ἀλλὰ μὴν οὔτε ἀγαθὸν εἰπόντες ἀλη-
θὲς λέγομεν ἢ ψεῦδος, οὔτε κακόν. οὐκ ἄρα ἐν τοῖς πράγμασι τὸ ἀληθὲς
καὶ τὸ ψεῦδός ἐστιν, ἀλλ' ἐν τῇ διανοίᾳ. οὐ μόνον δ' ἐν τοῖς πράγμασιν
οὐκ ἔστι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἀλλ' οὐδ' ἐν τοῖς ἁπλοῖς τοῖς ἐν τῇ
35 διανοίᾳ, ἁπλῶ λέγων τὰ πράγματα αὐτὰ καθ' αὑτὰ νοούμενα ἄνευ συνθέ-
σεως καὶ διαιρέσεως. ταῦτα εἰπὼν ἀποδίδωσι τὸν λόγον, λέγων ὅσα μὲν
οὖν δεῖ θεωρῆσαι περὶ τὸ οὕτως ὂν καὶ μὴ ὄν, ἴσον λέγων τῷ
ἐπειδὴ εἴρηται ὅτι τὸ ὡς ἀληθὲς ὂν καὶ τὸ ὡς ψεῦδος μὴ ὂν παρὰ σύν-
θεσίν ἐστι καὶ διαίρεσιν, ὅσα δὴ περὶ τὸ οὕτως ὄν, ἤτοι τὸ ὡς ἀληθές,

1 ἀληθὲς S: ἀληθῶς ALF 2 ὡς ἁπλῶς M: καὶ ἁπλῶς ALF 2. 3 καὶ τὸ — ὂν (ante ἔχει) LFS: om. A 3 ἀληθὲς scripsi: ἀληθῶς LF 8 ἀληθὲς LS: ἀληθῶς AF 10 νοεῖσθαι S: νοῆσθαι L: νοῆσαι A 13 ἐν τῷ μετὰ τοῦτο βιβλίῳ] Z 12 14 τὸ χωρὶς M Bonitz: om. ALF 17 οὐχ LFS: om. A λέγω LFS: λέγων A 38 τὸ ὡς ἀληθὲς F: τὸ om. AL

καὶ τὸ μὴ ὂν ὡς ψεῦδος θεωρῆσαι δεῖ, ὕστερον ἐπισκεπτέον. ἐπεὶ δ', ὡς δέδεικται, ἡ συμπλοκή ἐστι καὶ ἡ διαίρεσις ἐν τῇ διανοίᾳ ἀλλ' οὐκ ἐν τοῖς πράγμασι, συμπλοκὴν καὶ διαίρεσιν λέγων τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, τὸ δ' οὕτως, ἤτοι τὸ ὡς ἀληθές, τὸ παρὰ σύνθεσιν καὶ διαί-
5 ρεσιν, ἕτερον ὄν ἐστι τῶν κυρίως ὄντων, κυρίως ὄντα λέγων τὰς ἀτόμους οὐσίας, ὡς ἐν τῷ μετὰ τοῦτο βιβλίῳ ἐρεῖ· περὶ γὰρ τῶν νοητῶν 15 ἄλλος λόγος. εἶτα καὶ πῶς ἕτερόν ἐστι τὸ ὡς ἀληθὲς ὂν τῶν κυρίως ὄντων λέγει. ἢ γάρ, φησίν, ἡ διάνοια τὸ τί ἐστι καὶ οὐσίαν μετὰ οὐσίας συνάπτει ἢ διαιρεῖ, ἢ πάλιν ποιὸν μετὰ οὐσίας ἢ ποσὸν ἢ ἄλλην τινὰ τῶν κατηγοριῶν.
10 ἐπειδὴ οὖν ταῦθ' οὕτως ἔχει, τὸ μὲν ὡς συμβεβηκὸς ὄν, ἐπειδὴ ἱκανῶς εἴρηται περὶ αὐτοῦ, ἀλλὰ μὴν καὶ τὸ ὡς ἀληθές (ῥηθήσεται γάρ) νῦν ἀφε- 20 τέον. αὐτὸς δὲ τοῦ ταῦτα νῦν παραλιπεῖν αἰτίαν ἀπέδωκε τὸ τὸ γὰρ αἴτιον τοῦ μὲν κατὰ συμβεβηκὸς ὄντος ἀόριστον, τῶν δ' ἀορίστων οὐ φροντιστέον· τὸ δ' ὡς ἀληθὲς ὄν τι πάθος ἐστὶ καὶ βούλημα διανοίας,
15 τὸ δὲ ζητεῖν τὸ ἑκάστῳ δοκοῦν οὐ σφόδρα ἀναγκαῖον. ἄλλως τε καὶ ἀμφότερα περὶ τὸ λοιπὸν γένος ὄντα τοῦ ὄντος. λέγοι δ' ἂν λοιπὸν τοῦ ὄντος γένος τὸ κυρίως ἀλλ' οὐ τὸ κατὰ συμβεβηκός. καὶ ἐπεὶ περὶ τὸ 25 λοιπὸν τοῦ ὄντος εἰσὶ γένος, καὶ οὐ δηλοῦσι φύσιν τινὰ ἔξω οὖσαν καὶ ὑπερεκπίπτουσαν τὸ ὂν ἀλλ' ὑπ' αὐτό εἰσιν, ἡ δὲ ζήτησίς ἐστι περὶ τὰ
20 αἴτια τοῦ ὄντος ᾗ ὄν, δῆλον ὡς καὶ περὶ αὐτῶν ἐστι, καὶ οὐ χρεία ἀποτεμόντας ἰδίᾳ περὶ αὐτῶν σκοπεῖν. τότε γὰρ ἂν τοῦτο ἐποιοῦμεν, εἴπερ περὶ τοῦ ὄντος ᾗ ὂν ζητοῦντες ταῦτα οὐκ ἦν ὑπ' αὐτό· ἐπειδὴ δ' εἰσίν, ἀφετέον καὶ τὰ αἴτια τοῦ ὄντος ζητητέον. τὸ δὲ ὂν ὅτι πολλαχῶς λέγεται 30 εἴρηται, ὅτε διωρισάμεθα ποσαχῶς ἕκαστον λέγεται. |

12 τοῦ τὸ ταῦτα LF 14 τι πάθος corr. L²: τὸ πάθος AFL¹ 16 τὸ λοιπὸν LFS: τὸ ταὐτὸν A 17 ἀλλὰ τὸ οὐ κατὰ LF 19 ἡ δὲ M: ἡ δὲ L²: εἰ δὲ ἡ ASL¹

p. 1028a10 Τὸ ὂν λέγεται πολλαχῶς, καθάπερ διειλόμεθα πρότερον ἐν τοῖς περὶ τοῦ ποσαχῶς.

Ἐπειδὴ ἐν ἅπαντι τῷ παρόντι βιβλίῳ καὶ τῷ μετὰ τοῦτο περὶ ὁρισμῶν ποιεῖται τὸν λόγον, ὡς δὲ ἐρεῖ τῶν συμβεβηκότων κυρίως ὁρισμοὶ οὔκ εἰσιν, ἀλλ' εἴπερ ἄρα, κατὰ συμβεβηκός· ὡς γὰρ τοῦ ὄντος μετειλήχασιν οὕτω καὶ ὁρίζονται καί εἰσιν αὐτῶν ὁρισμοί, καὶ ὥσπερ τὸ τί ἐστι κυρίως καὶ ἁπλῶς ἐπὶ τῶν οὐσιῶν λέγεται, ἐπὶ δὲ τῶν συμβεβηκότων οὔ, ἀλλ', εἰ λεχθείη, μετὰ προσθήκης τινός, ὡς ἐρεῖ προϊών (ὡς γάρ, φησί, τὸ μὴ ὄν φαμεν εἶναι, οὐχ ὅτι ἔστι λέγοντες, ἀλλ' ὅτι ἔστι μὲν ἀλλ' ἐστὶ μὴ ὄν, οὕτω καὶ ἐπὶ τοῦ ποιοῦ φέρε λέγομεν ὅτι ἔστιν ἀλλ' οὐχ ἁπλῶς ἀλλ' ὅτι ἐστὶ ποιόν), οὕτω καὶ ὁρισμοὺς λέγομεν αὐτῶν εἶναι, ἀλλ' οὐχ ἁπλῶς, ἀλλὰ τρόπον ἄλλον· ἐπειδὴ οὖν, ὡς εἴρηται, τοῦ κυρίως ὄντος καὶ τῆς οὐσίας εἰσὶν οἱ ὁρισμοί, μέλλει δὲ περὶ τῶν ὁρισμῶν καὶ ὅσα τούτοις παρακολουθεῖ λέγειν, εἰκότως πάλιν ὑπομιμνήσκει περὶ τοῦ ὄντος ὅτι πολλαχῶς λέγεται, καθάπερ καὶ πρότερον ἐν τῷ Δ διεῖλεν, ὅτε ποσαχῶς τὸ ὂν λέγεται διωρίζετο. σημαίνει δὴ τοῦ ὄντος τὸ μὲν τί ἐστι καὶ οὐσίαν καὶ τόδε τι· σύνηθες γὰρ τῷ Ἀριστοτέλει ἀντὶ τῆς οὐσίας τὸ τόδε τι καὶ τὸ τί ἐστι λαμβάνειν. τὸ μὲν οὖν τοῦ ὄντος σημαίνει οὐσίαν, τὸ δὲ ποιὸν καὶ τὰς λοιπὰς ὀκτὼ κατηγορίας. δεκαχῶς δὴ λεγομένου τοῦ ὄντος δῆλον, ὡς πολλάκις εἴρηται, ὅτι πρῶτον ὄν ἐστι καὶ τί ἐστιν ἡ οὐσία. ὅτι δὲ τὸ τί ἐστι τὴν οὐσίαν σημαίνει καὶ ταύτης ἐστὶ δηλωτικὸν δείκνυσιν ὧδε· ὅταν μὲν γάρ, φησίν, εἴπωμεν ποῖόν τι τόδε, ἢ ἀγαθὸν λέγομεν ἢ καλόν, ἀλλ' οὐ τρίπηχυ καὶ ὅλως ποσόν, οὐδ' ἄνθρωπον καὶ οὐσίαν, ἀλλὰ ποιόν· ὅταν δὲ τί ἐστιν, οὔ φαμεν ποιόν, ἀλλ' ἄνθρωπον ἢ

---

1 Tit. σχόλια εἰς τὸ ζῆτα τῶν μετὰ τὰ φυσικά A: ἀλεξάνδρου ἀφροδισιέως ὑπόμνημα εἰς τὸ ζῆτα τῶν ἀριστοτέλους μετὰ τὰ φυσικά M  8 οὔ LFS: om. A  post οὔ add. λέγει LF  10 ἔστι (ante λέγοντες) Bonitz: εἶναι ALF  16 δέλτα MF: βῆτα ALS; cf. Δ 7  20 ὀκτὼ κατηγορίας FS: ὀκτὼ κατηγοριῶν L: αὐτῷ κατηγοριῶν A  21. 22 ὂν ἐστι τὸ τί ἐστι καὶ ἡ οὐσία e S coni. Bonitz

θεόν, ὡς τοῦ τί ἐστιν ἐπὶ μόνης λεγομένου τῆς οὐσίας. εἰπὼν δὲ ἀνωτέρω φανερὸν ὅτι τούτων πρῶτον ὂν τὸ τί ἐστιν, ὅπερ σημαίνει τὴν οὐσίαν καὶ μεταξὺ ἐπεμβαλών τινα ἐπήγαγε τὰ δ' ἄλλα λέγεται τῷ τοῦ οὕτως ὄντος τὰ μὲν εἶναι ποσότητες. καὶ ἔστιν ἡ συνεχὴς
5 τοῦ λόγου ἀκολουθία τοιαύτη· φανερὸν ὅτι τούτων πρῶτον ὂν τὸ τί ἐστιν, 25
ὅπερ σημαίνει τὴν οὐσίαν, τὰ δ' ἄλλα λέγεται ὄντα τῷ τοῦ οὕτως ὄντος τὰ μὲν ποσότητες εἶναι (λέγεται γὰρ τὸ δίπηχυ ὂν ὅτι ἐστὶ ποσότης τις τοῦ κυρίως ὄντος), τὸ δὲ λευκὸν ἢ τὸ θερμὸν καὶ ἁπλῶς τὰ πάθη τῷ 426
ποιότητες εἶναι αὐτοῦ. ὁμοίως καὶ τὰ ἄλλα λέγεται ὄντα τῷ εἶναί τι τοῦ
10 κυρίως ὄντος. διὰ οὖν τὸ κυρίως ὂν εἶναι τὴν οὐσίαν τὰ δ' ἄλλα λέγεσθαι ὄντα τῷ ἔχειν πως πρὸς αὐτήν, καὶ ἀπορήσειεν ἄν τις, φησί, πότερον τὸ βαδίζειν καὶ τὸ ὑγιαίνειν καὶ ἕκαστον αὐτῶν ὂν λέγεται ἢ οὔ. καὶ τὴν αἰτίαν τοῦ πῶς ἄν τις ἀπορήσειεν ἐπάγει. οὐδὲν γάρ, φησίν, αὐτῶν ἐστι 5
καθ' αὑτό, ὥσπερ ἡ οὐσία, οὔτε πέφυκε χωρίζεσθαι αὐτῆς. ὃ δὲ μὴ
15 ἔστιν αὐτὸ καθ' αὑτὸ λαβεῖν, πῶς ἄν τις τοῦτο τῶν ὄντων ἐρεῖ; καὶ 'ἀπορήσαι ἄν τις' εἰπὼν ἐπάγει ἀλλ' εἴπερ, τὸ βαδίζον τῶν ὄντων καὶ τὸ καθήμενον, ἴσον λέγων τῷ ὅτι κυρίως ὂν τὸ βαδίζον καὶ τὸ καθήμενόν ἐστι· τόδε γάρ τι καὶ οὐσία ἐστὶ καί ἐστιν ὡρισμένον ὑποκείμενον τῇ ὑγιείᾳ καὶ τῇ βαδίσει ἡ οὐσία, τὸ δὲ βαδίζειν ἢ ὑγιαίνειν οὔκ εἰσιν 10
20 ὄντα· ἀλλ', εἴπερ ἄρα, ὅτι πάθη εἰσὶ τῆς οὐσίας, λεχθήσεται ὄντα, κυρίως δ' οὔ. εἰπὼν δὲ ὅτι ταῦτα ἐμφαίνεται ὄντα, διότι ἔστι τι τὸ ὑποκείμενον αὐτοῖς ὡρισμένον, τοῦτο δ' ἐστὶν ἡ οὐσία καὶ τὸ καθ' ἕκαστον, ἐπήγαγεν ὅπερ ἐμφαίνεται ἐν τῇ τοιαύτῃ κατηγορίᾳ, τουτέστι τῇ κυρίως ὂν λεγομένῃ ἤτοι τῇ οὐσίᾳ. ἐν τῇ κυρίως ὂν οὔσῃ, φησί, κατη- 15
25 γορίᾳ καὶ τῇ οὐσίᾳ ἐμφαίνεται καὶ ἔστι τὸ ὑγιαῖνον καὶ τὸ καθήμενον, καὶ χωρὶς τῆς οὐσίας οὔτε ὑγιαῖνον οὔτε καθήμενον οὔτε τι τῶν ἄλλων κατηγοριῶν ἢ λέγεται ἢ ἔστιν. εἰ δ' ἐν ταύτῃ αὐτοῖς τὸ εἶναι, διὰ ταύτην τε ἕκαστον τῶν ἄλλων ἔστι καὶ χωρὶς αὐτῆς οὐκ ἐνδέχεταί τι ἐκείνων εἶναι, αὐτὴν δὲ χωρὶς ἐκείνων, φανερὸν ὅτι κυρίως ὂν καὶ οὐ τὶ ὄν· τὶ γὰρ ὂν τὸ
30 συμβεβηκὸς τῇ οὐσίᾳ ἐστί. 20

p. 1028a31 Πολλαχῶς μὲν οὖν λέγεται τὸ πρῶτον· ὅμως δὲ πάντων ἡ οὐσία πρῶτον.

Εἰπὼν ὅτι ἡ οὐσία ἐστὶ τὸ πρῶτον ὂν καὶ κυρίως ὄν, ἐπειδὴ τὸ πρῶτον λέγεται πολλαχῶς, ὡς εἴρηται πρότερον (λέγεται γὰρ πρῶτον καὶ
35 τῇ γνώσει καὶ τῷ λόγῳ καὶ τῷ χρόνῳ), δείκνυσιν ὅτι κατὰ τοὺς τρεῖς τούτους τρόπους ἐστὶ πρώτη τῶν ἄλλων ἡ οὐσία. καὶ πρῶτον δείκνυσιν ὅτι τῷ χρόνῳ πρώτη ἐστίν, εἰπὼν τῶν μὲν γὰρ ἄλλων κατηγορημά- 25

---

5 πρῶτον LFS: om. A 6 οὕτως LFS: ὄντως A 7 γὰρ LFS: om. A 9 ποιότητες LF: ποιότητι A 15 post καὶ fort. addendum διὰ τί 15. 16 ἀπορήσαι Bonitz: ἀπορῆσαι ALF 16 ἀλλ'] ἀλλὰ μᾶλλον e S coni. Bonitz; cf. Metaph. p. 1028a24 17 ὅτι LF: ὅντι A 24 post ἐν τῇ κυρίως e S addendum οὖν censet Bonitz 33 καὶ LFS: om. A 34 πρότερον] Δ 11

τῶν οὐδὲν χωριστόν, αὕτη δὲ μόνη. εἰ γὰρ καὶ μηδέποτε χωρίς ἐστι τῶν ἄλλων κατηγορημάτων ἡ οὐσία (οὐδέποτε γὰρ τῶν ὑπὸ γένεσιν οὐσιῶν ἔστι τις ἄνευ ποιότητος ἢ ποσότητος ἢ τῶν τοιούτων), εἰ οὖν καὶ μηδέποτε χωρίς ἐστι τῶν ἄλλων, ἀλλ' ὅμως ἐπειδὴ χωρίζονται αὐτῆς καὶ ἄλλα μέν ἐστι σήμερον ἐν αὐτῇ, ἕτερα δὲ χθὲς καὶ ἄλλα αὔριον, καὶ καθ' ἑκάστην ὡς εἰπεῖν τοῦτο γίνεται, φανερὸν ὅτι προτέρα ἐστὶ τῷ χρόνῳ τῶν ἄλλων. ὡς γὰρ ὁ ἀμφορεὺς φέρε εἰπεῖν πρότερός ἐστι τῷ χρόνῳ τοῦ καθ' ἕκαστον ἐν αὐτῷ ἐγγινομένου οἴνου, οὕτω | καὶ ἡ οὐσία τῶν καθ' 427
ἑκάστην γινομένων καὶ ἀπογινομένων ἐν αὐτῇ συμβεβηκότων. ἀλλὰ καὶ καθ' ὅσον συναναιρεῖ μὲν αὐτά, οὐ συναναιρεῖται δὲ ὑπ' αὐτῶν, προτέρα ἐστίν. οὐ μόνον δὲ τῷ χρόνῳ προτέρα ἐστίν, ἀλλὰ καὶ τῷ λόγῳ, ὡς προείρηται. εἰ γὰρ τὰ εἰς ὁρισμόν τινος λαμβανόμενα πρότερά ἐστι τῷ λόγῳ τοῦ ὁριστοῦ, λαμβάνεται δὲ ἐν τῷ τῆς σιμότητος λόγῳ ἡ ῥὶς καὶ ἐν τῷ τῆς ὀργῆς τὸ αἷμα, δῆλον ὅτι καὶ τῷ λόγῳ προτέρα ἐστὶν ἡ οὐσία τῶν συμβεβηκότων. οὐ μόνον δὲ ἐπὶ τῆς σιμότητος καὶ τοῦ αἵματος τοῦθ' οὕτως ἔχει, ἀλλ' ὡς αὐτὸς ἐρεῖ προϊὼν ὅτι καὶ τὸ λευκὸν καὶ τὰ λοιπὰ ὁριζόμενοι διὰ τὸ μὴ καλῶς μηδ' ἀκριβῶς τοὺς ὁρισμοὺς αὐτῶν ἀποδίδοσθαι οὐ λαμβάνομεν τὴν οὐσίαν ἐν τῷ ὁρισμῷ αὐτῶν· ἐπεὶ εἴ τις ἀκριβολογοῖτο, ἐξ ἀνάγκης παραλήψεται αὐτὴν ἐν τῷ ὁρισμῷ αὐτῶν. ἀλλὰ καὶ τῇ γνώσει προτέρα ἐστὶν ἡ οὐσία τῶν συμβεβηκότων· τότε γὰρ οἰόμεθα ἕκαστον εἰδέναι, ὅταν γνῶμεν τὴν οὐσίαν αὐτοῦ· τότε γὰρ οἰόμεθα γνώσκειν τί ἐστιν ἄνθρωπος ἢ πῦρ, ὅταν γνῶμεν τὴν οὐσίαν αὐτῶν, ἀλλ' οὐχ ὅταν γνῶμεν ὁποῖός ἐστιν ἄνθρωπος ἢ πόσος. καὶ τί φημι ἐπὶ τῶν οὐσιῶν ὅτι τότε ταύτας ἴσμεν, ὅταν τί ἐστιν ἑκάστη αὐτῶν γνῶμεν; καὶ ἐπὶ τῶν συμβεβηκότων τοῦτό ἐστιν· ὅταν γὰρ τί ἐστι λευκὸν γνῶμεν, τότε ἴσμεν αὐτό. ἐκ δὴ τῶν εἰρημένων φανερόν ἐστι, φησίν, ὅτι καὶ τὸ πάλαι μὲν καὶ ἀεὶ ὑπό τε τοῦ Πλάτωνος καὶ τῶν ἄλλων, νῦν δὲ ὑφ' ἡμῶν ζητούμενον καὶ ἀπορούμενον, τί τὸ ὄν, τοῦτό ἐστι τίς ἡ οὐσία. ἐπειδὴ γὰρ κυρίως ὂν καὶ πρῶτον ὂν καὶ τῷ χρόνῳ καὶ τῷ λόγῳ καὶ τῇ γνώσει ἐστὶν ἡ οὐσία, τὸ ζητεῖν τί τὸ ὂν τὸ ζητεῖν ἐστι τίς ἡ οὐσία. τοῦτο δὲ τὸ ὄν (λέγων τὴν οὐσίαν) οἱ μὲν ἓν εἶναί φασιν· ὅσοι γὰρ μίαν ἔλεγον τὴν ἀρχήν, ὥσπερ Θαλῆς καὶ οἱ λοιποί, οὓς ἴσμεν, καὶ τὸ ὂν ἓν ἔλεγον· ὅσοι δ' ἀπείρους, ὥσπερ Ἀναξαγόρας καὶ Δημόκριτος, καὶ τὰ ὄντα ἄπειρα ἀπεφήναντο εἶναι. διόπερ καὶ ἡμῖν, φησί, πρῶτον καὶ μάλιστα καὶ μόνως ὡς εἰπεῖν περὶ τοῦ ὄντως ὄντος καὶ κυρίως ὄντος θεωρητέον τί ἐστιν.

Καὶ εἰπὼν ἐπικρίνει λέγων ὅτι δοκεῖ κυρίως ὂν ἡ οὐσία εἶναι, οὐχ ὡς ἐνδοιάζων τὸ δοκεῖ εἰπών, ἀλλ' ὡς ἀποφαινόμενος. ἢ τὸ δοκεῖ εἶπεν, ὅτι δείξει τοῦτο διὰ πάνυ πολλῶν· ὡς μήπω δὴ δεδειχὼς τοῦτο εἴρηκεν. ὅμως πρὸς τὰ ἐπαγόμενα σύμφωνός ἐστι μάλιστα ἡ προτέρα

---

7 πρότερος LF: πρότερον AS 18 λαμβάνομεν τὴν οὐσίαν MS Bonitz: λαμβάνεται ἡ οὐσία ALF 21 γὰρ LF: καὶ A 27 καὶ ἀεὶ LF: καὶ om. A 29 τῇ γνώσει LF: τῇ om. A 30 τοῦτο γὰρ Metaph. 31 λέγων LF: λέγω A 33 Δημόκριτος] μητρόδωρος LF 35 ὄντως] legendum οὕτως c. S 39 σύμφωνος F: συμφώνως AL

ἐπιβολή. δοκεῖ οὖν, φησί, κυρίως ὂν εἶναι ἡ οὐσία, φανερώτατα μὲν ἐν τοῖς σώμασι, τουτέστι τὰ σώματα· φανερῶς μὲν γὰρ ἡ οὐσία ἐστὶ τὰ σώματα, διὸ τὰ μὲν ζῷα, σώματα ὄντα, καὶ τὰ φυτὰ καὶ τὰ μόρια τῶν ζῴων καὶ τῶν φυτῶν οὐσίας εἶναί φαμεν. | ὁμοίως καὶ τὰ ἁπλᾶ τῶν 428 σωμάτων καὶ τὰ μόρια τούτων καὶ τὰ ἐκ τῶν μορίων, οἷον τὰ ζῷα, οὐσίας φαμέν· πάντα γὰρ ταῦτα σώματά ἐστι. τὸ δὲ ἢ μορίων ἢ πάντων, ἐκ μὲν οὖν τῶν μορίων τῶν ἁπλῶν σωμάτων ἐστὶ τὰ ζῷα, ἐκ πάντων δὲ τῶν σωμάτων ἐστὶν ὁ οὐρανὸς καὶ τὰ μόρια αὐτοῦ, ἄστρα καὶ σελήνη. τοῦτο δ' ἐλλιπῶς εἴρηται καὶ ἀσαφῶς· δοκεῖ γὰρ λέγειν ὅτι καὶ ὁ οὐρανὸς καὶ οἱ ἀστέρες ἐκ τῶν τεσσάρων εἰσὶ στοιχείων· οὐ τοῦτο δέ φησιν. ἀλλ' εἰπὼν ὅτι οὐσίαι εἰσὶ τὰ σώματα καὶ ὅσα μόρια τούτων ἢ ἐκ τούτων εἰσὶν ἢ πάντων ἢ τινῶν, δέδωκεν ἡμῖν ἐννοεῖν ὅτι ὁ πᾶς οὐρανὸς καὶ κόσμος ἐκ πάντων τῶν σωμάτων καὶ τῶν μορίων αὐτῶν ἐστιν· ἀλλ' ὁ μὲν μετὰ τὴν σεληνιακὴν σφαῖραν ἐκ τῶν περὶ γένεσιν καὶ φθορὰν ἐστι σωμάτων καὶ τῶν μορίων αὐτῶν, τὸ δὲ κυκλοφορικὸν πᾶν συνέστηκεν ἐκ τῆς ὁλότητος τοῦ κυκλοφορικοῦ καὶ τῶν μορίων αὐτοῦ, ὁλότητος μὲν τῶν σφαιρῶν, μορίων δὲ τῶν ἐν αὐταῖς ἄστρων.

p. 1028b13 Πότερον δ' αὗται μόναι οὐσίαι εἰσὶν ἢ καὶ ἄλλαι, ἢ τούτων μὲν οὐδέν, ἕτεραι δέ τινες, σκεπτέον.

Εἰπὼν ὅτι φανερώτατα μὲν οὐσίαι εἰσὶ τά τε σώματα καὶ τὰ λοιπὰ ὅσα κατέλεξεν, ἐρωτᾷ πότερον αὗται μόναι αἱ λεχθεῖσαί εἰσιν οὐσίαι ἢ καὶ παρὰ ταύτας ἄλλαι τινές, ἢ αἱ μὲν προλεχθεῖσαι μᾶλλον μὲν οὔκ εἰσιν ἀλλ' αἱ παρὰ ταύτας. καὶ ἐρωτήσας λέγει ὅτι τισὶ μὲν δοκεῖ τινας, λέγων τόν τε Πλάτωνα καὶ τοὺς περὶ αὐτόν, ὅτι τὰ τοῦ σώματος πέρατα μᾶλλόν εἰσιν οὐσίαι ἀλλ' οὐ τὰ σώματα. καὶ τίνα τὰ πέρατα τοῦ σώματος ἐπάγει, οἷον ἐπιφάνειαι καὶ γραμμαὶ καὶ μονάς· ταῦτα γὰρ μᾶλλον εἶναι οὐσίας λέγεται ὑπ' ἐκείνων ἢ τὸ σῶμα καὶ τὸ στερεόν. τινὲς μὲν οὖν οὕτω φασίν, ὅτι τὰ ἐπίπεδα μᾶλλόν εἰσιν οὐσίαι, τινὲς δὲ τὰ αἰσθητὰ μᾶλλον οὐσίας λέγοντες οὐδὲν οἴονται εἶναι παρὰ τὰ αἰσθητά, ὥσπερ Ἵππων μὲν πρότερον ὁ ἄθεος ἐπικληθείς (οὐθὲν γὰρ οὗτος παρὰ τὰ αἰσθητὰ εἶναι ἀπεφήνατο), καὶ ὕστερον οἱ περὶ Ἐπίκουρον· οἱ δὲ πλείους εἶναι λέγουσι τὰς οὐσίας, ὥσπερ Πλάτων, μίαν μὲν τὰ διανοητὰ τὰ μαθήματα, ἄλλην δὲ τὰ νοητὰ τὰς ἰδέας, καὶ τρίτην τὴν τῶν αἰσθητῶν σωμάτων οὐσίαν, τουτέστιν αὐτὰ τὰ σώματα. Σπεύσιππος δὲ ὁ τούτου μαθητὴς καὶ πλείω τῶν τριῶν ἔλεγεν εἶναι τὰς οὐσίας τὰς νοητάς, πρώτην μὲν τὸ αὐτοέν, ἄλλην δὲ τὴν τῶν ἀριθμῶν ἀρχήν, ἄλλην τὴν τῶν μεγεθῶν, καὶ ἄλλην

---

1 δοκεῖ—οὐσία] δοκεῖ δ' ἡ οὐσία ὑπάρχειν Metaph. 5 οὐσίας LF: οὐσίαν A 8 οὐρανὸς LFS: ἄνθρωπος A 11 οὐσίαι LF: οὐσία A 16 τῶν κυκλοφορητικῶν LF 21 εἰσιν—προλεχθεῖσαι (22) LF: om. A 22 ἢ αἱ μὲν προλεχθεῖσαι—ταύτας (23)] *an caeterae magis substantiae sint quam hae* S 23 λέγει LFS: λέγων A 32 τὰ (ante μαθήματα) add. Bonitz

τὴν τῆς ψυχῆς· καὶ οὕτως ἐπεκτείνει εἰς πλῆθος τὰ γένη τῶν οὐσιῶν. ἔνιοι δὲ οὐκ ἄλλην μὲν ἀρχὴν τῶν ἀριθμῶν ἄλλην δὲ τῶν μεγεθῶν ἔλεγον, οὐδ' ἄλλης μὲν φύσεως τοὺς ἀριθμοὺς ἄλλης δὲ τὰ μεγέθη, ἀλλὰ τῆς αὐτῆς τε ἀρχῆς καὶ τῆς αὐτῆς φύσεως· τὰ δὲ ἄλλα, οἷον ἐπίπεδα, γραμμάς, οὐρανὸν καὶ ἁπλῶς τὰ αἰσθητὰ ἐχόμενα τοῖς ἀριθμοῖς ἔλεγον· 429 τὸ μὲν γὰρ αὐτομέγεθος καὶ τὸν αὐτοαριθμὸν πρώτας οὐσίας φάσκοντες καὶ τῆς αὐτῆς φύσεως, τὰς δὲ γραμμὰς καὶ τὰ ἐπίπεδα καὶ τὸν οὐρανὸν καὶ ὅλως τὰ αἰσθητὰ δευτέρας· εἴτε δὲ καὶ ταῦτα τῆς αὐτῆς φύσεως ἔλεγον εἴτε μή, οὐκ ἐδήλωσε.

p. 1028b 27 Περὶ δὴ τούτων τί λέγεται καλῶς ἢ μὴ καλῶς, καὶ τίνες εἰσὶν οὐσίαι.

Ἱστορήσας τὰς τῶν παλαιοτέρων καὶ τὰς καθ' ὃν αὐτὸς ὑπῆρχε δόξας χρόνον περὶ τῆς οὐσίας, λέγει ὅτι σκεπτέον τί μὲν ὑπὸ τούτων λέγεται καλῶς καὶ τί μή. καὶ ἆρά εἰσι παρὰ τὰς αἰσθητὰς οὐσίας οὐσίαι τινὲς ἢ οὔκ εἰσι, καὶ πότερον ἔστι τις χωριστὴ οὐσία παρὰ τὰς αἰσθητάς, καὶ εἰ ἔστι, πῶς ἐστι, καὶ διὰ τί, ἢ οὐκ ἔστι. περὶ δὴ τούτων σκεπτέον, φησίν, ὑποτυπωσαμένοις καὶ διορισαμένοις τὴν οὐσίαν τί ἐστι.

Καί φησιν ὡς εἰ μή τις ταύτην πλεοναχῶς λέγεσθαι βούλοιτο, ἀλλ' οὖν τετραχῶς αὐτὴν λέγεσθαι δώσει· καὶ λέγει ὅτι ἕνα μὲν τρόπον λέγεται τὸ τί ἦν εἶναι, ἄλλον δὲ τὸ καθόλου, λέγων καθόλου ἢ τὰς ἰδέας, ὃ καὶ μᾶλλον οἶμαι, ἢ τὸ παρὰ τὰ πολλὰ ὡς τὰ πολλά, λέγω δὴ τὸ ἐκ τῆς ἀφαιρέσεως τῶν καθ' ἕκαστα ἀποσυληθέν. ἄλλον δὲ πάλιν οὐσία λέγεται τὸ ἑκάστου γένος. καὶ τέταρτον τὸ ὑποκείμενον πᾶσι καὶ καθ' οὗ τὰ ἄλλα λέγεται, ἐκεῖνο δὲ μὴ κατ' ἄλλου. διό, φησί, περὶ τοῦ ὑποκειμένου πᾶσι καὶ καθ' οὗ τἆλλα λέγεται, ἐκεῖνο δὲ μὴ κατ' ἄλλου, διοριστέον τί ἐστιν· τοῦτο γὰρ μάλιστα δοκεῖ εἶναι οὐσία. τοῦτο δὲ τὸ πᾶσιν ὑποκείμενον καὶ μὴ κατ' ἄλλου λεγόμενον τρόπον μέν τινα ἡ ὕλη λέγεται, ἄλλον δὲ τὸ εἶδος, τρίτον δὲ τὸ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους, ὃ καὶ μᾶλλόν ἐστιν ἀληθές. εἶτα καὶ ἐπὶ ὑποδείγματος σαφηνίζει τί μὲν λέγει ὕλην, τί δὲ εἶδος καὶ τί τὸ ἐκ τούτων, ὅτι ὕλην μὲν τὸν χαλκόν, εἶδος δὲ τὸ τοιονδὶ σχῆμα, ἐξ ἀμφοῖν δὲ τὸν χαλκοῦν ἀνδριάντα. διὸ εἰ πρότερον τὸ εἶδος τῆς ὕλης καὶ μᾶλλον ὄν, καὶ τὸ ἐκ τοῦ εἴδους καὶ τῆς ὕλης πρότερόν ἐστι τῆς ὕλης. πρότερον δὲ τὸ εἶδος τῆς ὕλης τῇ φύσει, ἀλλὰ μὴν καὶ τῷ χρόνῳ· δειχθήσεται γάρ τι εἶδος ὄν, ὁ πολυτίμητός φημι νοῦς, ἡ αὐτοαγαθότης, ὁ θεός, πρότερον πάντων τῷ χρόνῳ, ὅτι ποιητὴς καὶ ὅτι παροχεύς. ὅτι δὲ καὶ μᾶλλον ὄν ἐστι τὸ εἶδος τῆς ὕλης φανερόν· κατὰ γὰρ τὸ ἑκάστου εἶδος λέγεται ἕκαστον ἀλλ' οὐ κατὰ τὴν ὕλην. ἀλλὰ καὶ ὅτι ὑπὸ τούτου τάττεται καὶ ὁρίζεται, καὶ κατὰ τοῦτο μᾶλλον ὄν ἐστιν

17 ὑποτυπωσαμένοις LF: ἀποτυπωσαμένοις A 32 καὶ τὸ ALS: ἀλλὰ γράφεται τοῦ ἐξ ἀμφοῖν πρότερον ἔσται marg. A 31. 32 εἰ πρότερον τὸ εἶδος καὶ μᾶλλον ὂν τοῦ ἐκ τοῦ εἴδους καὶ τῆς ὕλης F 35 πρότερος πάντων τῶν χρόνων LF

αὐτῆς. ταῦτα εἰπὼν ἐπιφέρει ὅτι νῦν μὲν εἴρηται τύπῳ τί ἐστιν ἡ οὐσία, ὅτι τὸ μὴ καθ' ὑποκειμένου τινὸς λεγόμενον καὶ καθ' οὗ τὰ ἄλλα πάντα κατηγορεῖται. οὐκ ἀρκεῖ δέ, φησί, | τοῦτο εἰς παράστασιν οὐσίας, τὸ λέγειν 430
ὅτι οὐσία ἐστὶ τὸ μὴ καθ' ὑποκειμένου· ἄδηλον γάρ τί ποτέ ἐστι τὸ ὑπο-
5 κείμενον πᾶσι καὶ ὃ μὴ κατ' ἄλλου λέγεται. ποτὲ μὲν γάρ φαίνεται ὅτι ὕλη ἐστὶ τὸ ὑποκείμενον πᾶσιν· αὕτη γάρ ἐστιν ἐν ᾗ γίνονται καὶ ἀπογίνονται ποσότητες, ποιότητες, πάθη καὶ τὰ λοιπά· εἰ γὰρ μὴ ὕλη ἐστὶν ἡ γινομένη πεποσωμένη καὶ πεποιωμένη καὶ ὅλως ἡ γινομένη σῶμα ἢ ζῷον 5
ἤ τι τοιοῦτον, διαφεύγει ἡμᾶς γενέσεως οὔσης καὶ οὐ συνορῶμεν τί ποτέ
10 ἐστι τὸ γινόμενον. εἰπὼν δὲ ὅτι αὕτη ἐστὶν ἡ γινομένη, καὶ πρὸ τούτου ὅτι τὸ πᾶσιν ὑποκείμενον ἡ ὕλη δοκεῖ εἶναι, τοῦτο αὐτὸ κατασκευάζει· περιαιρουμένων γάρ, φησί, τῶν ἄλλων, λέγων ἄλλων ποσοτήτων ποιοτήτων σκληροτήτων μαλακοτήτων καὶ τῶν τοιούτων, οὐδὲν φαίνεται ὑπο- 10
μένον πλὴν ἡ ὕλη, ὥστε αὕτη πᾶσιν ὑπόκειται· εἰ δὲ τὸ πᾶσιν ὑποκείμενόν
15 ἐστιν οὐσία, ἡ ὕλη ἂν εἴη οὐσία. τὸ μὲν γὰρ λευκὸν καὶ αἱ κινήσεις καὶ τὰ λοιπὰ πάθη καὶ ποιήματα καὶ δυνάμεις εἰσὶ τῶν σωμάτων καὶ οὐ χρὴ οὐσίας αὐτὰ λέγειν· τῆς γὰρ οὐσίας ἐστὶ τὸ καθ' αὑτὴν εἶναι, αὐτὰ δὲ καθ' αὑτὰ εἶναι οὐ δύνανται· τὸ μῆκος δὲ καὶ πλάτος καὶ βάθος ποσό- 15
τητές εἰσιν ἀλλ' οὐκ οὐσίαι· λείπεται δὴ ᾧ ταῦτα ὑπάρχει πρώτῳ καὶ ὃ
20 καταλιμπάνεται, ποσοτήτων καὶ παθῶν ἀφαιρουμένων, λέγειν οὐσίαν. τοῦτο δέ ἐστιν ἡ ὕλη. εἰπὼν δὴ ὅτι ὕλη ἔστι τὸ ὁριζόμενον ὑπὸ τῶν ποσοτήτων καὶ τῶν ἄλλων ὧν εἶπε, λέγει λέγω δὲ ὕλην ἣ καθ' αὑτὴν μήτε τὶ μήτε ποσὸν μηδ' ἄλλο μηδὲν λέγεται, τουτέστιν ἥτις αὐτὴ καθ' αὑτὴν θεω- 20
ρουμένη κατὰ ἀπόφασιν καὶ ἀπογύμνωσιν τῶν εἰδῶν οὐδὲν τῶν δέκα κατ-
25 ηγοριῶν ἐστιν, ἐν αἷς πᾶν ὂν ὁρίζεται· πᾶν γὰρ ὂν εἰς ταύτας ἀνάγεται καὶ ἐν ταύταις ἔστιν. ἀλλὰ μήν, φησίν, οὐδὲ τὴν τῶν ποσοτήτων ἢ ποιοτήτων ἀπόφασιν, οἷον τὸ μὴ ποσόν, τὸ μὴ ποιόν, ἢ ἄλλην ἡντιναοῦν χρὴ λέγειν οὐσίαν· κατὰ συμβεβηκὸς γὰρ ὄντα εἰσὶν αἱ ἀποφάσεις, ἀλλ' οὐ καθ' αὑτό· τὸ δὲ κατὰ συμβεβηκὸς οὐκ οὐσία.

30 p. 1029a26 Ἐκ μὲν οὖν τούτων θεωροῦσι συμβαίνει οὐσίαν εἶναι τὴν ὕλην. 25

Δείξας ὅτι ἐξ ὧν ὀφείλουσιν ὑπάρχειν τῇ κυρίως οὐσίᾳ ἡ ὕλη φαίνεται οὖσα, συμπεραίνεται καί φησιν ὅτι ἐκ μὲν τῶν εἰρημένων θεωροῦσι συμβαίνει οὐσίαν εἶναι τὴν ὕλην. ἀδύνατον δὲ τὴν κυρίως καὶ μᾶλλον
35 οὐσίαν τὴν ὕλην εἶναι· καὶ συλλογίζεται δυνάμει ὧδε. τῇ κυρίως οὐσίᾳ ὑπάρχει τὸ χωριστὸν καὶ καθ' αὑτὸ εἶναι καὶ τὸ τόδε τι, ἤτοι τὸ εἰς δεῖξιν πίπτειν, ἡ ὕλη χωριστὴ καὶ καθ' αὑτὴν οὐκ ἔστιν οὐδὲ εἰς δεῖξιν πίπτει, ἡ ὕλη ἄρα οὐκ ἔστιν ἡ κυρίως οὐσία. μάλιστα δὲ τὸ εἶδος δόξειεν 30

15 ἐστιν LFS: εἴη A  αἱ LF: om. A  21 ὕλη ἔστι LFS: ὅ ἐστι A  32. 33 φαίνεται οὐσία οὖσα coni. Bonitz  34 μᾶλλον] ἁπλῶς coni. Bonitz

ἂν εἶναι οὐσία ὡς ὁριστικὸν καὶ εἰς τάξιν ἄγον τὴν ὕλην· καὶ τούτου μάλιστα τὸ ἐξ ὕλης καὶ εἴδους, ὅτι τε καθ' αὑτό ἐστι καὶ εἰς δεῖξιν πίπτει. ὅταν δὲ λέγῃ ἀδύνατον | δέ· καὶ γὰρ τὸ χωριστὸν καὶ τὸ τόδε τι 431
ὑπάρχειν δοκεῖ μάλιστα τῇ οὐσίᾳ, τὸ χωριστὸν ἀντὶ τοῦ καθ' αὑτὸ
5 εἶναι λέγει. εἰπὼν δὲ διὸ τὸ εἶδος καὶ τὸ ἐξ ἀμφοῖν οὐσία δόξειεν ἂν εἶναι μᾶλλον τῆς ὕλης, ἐπάγει ὅτι τὴν μὲν ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους οὐσίαν, ἤτοι τὴν μερικὴν καὶ ἄτομον, ἀφετέον· ὑστέρα γάρ ἐστι καὶ τοῦ εἴδους καὶ τῆς ὕλης (τὸ γὰρ ἔκ τινων ὕστερόν ἐστι τῶν ἐξ ὧν ἐστι) καὶ δήλη ἐστὶν ὅτι καθ' αὑτὴν ὑπάρχει καὶ ὅλως ἐν ὑπάρξει ἐστίν. ἀλλὰ 5
10 καὶ τὴν ὕλην παραλειπτέον· καὶ αὕτη γὰρ φανερά πως· τῇ γὰρ ἀναλογίᾳ ἐστὶ φανερά· καὶ ὅτι ἄνευ εἴδους οὐδέποτέ ἐστι, καὶ τοῦτο δῆλον. κατά τὶ δὲ ἀφανής· νόθῳ γὰρ λογισμῷ ληπτή· κατὰ ἀπόφασιν γὰρ νοεῖται καὶ ἀπογύμνωσιν τῶν εἰδῶν, ἀλλ' οὐ κατὰ ἅπερ εἰσίν, ὡς τὰ εἴδη. ἀλλὰ ταύτας μὲν ἀφετέον, περὶ δὲ τῆς τρίτης, τουτέστι τοῦ εἴδους, σκεπτέον 10
15 (αὕτη γὰρ ἀπορωτάτη) πότερόν ἐστιν αὐτὴ καθ' αὑτήν, ὥσπερ ὁ Πλάτων λέγει, ἢ οὔ.

p. 1029b1 Ἐπεὶ δ' ἐν ἀρχῇ διειλόμεθα πόσοις ὁρίζομεν τὴν οὐσίαν.

Μέλλων ἐπὶ τὴν τῶν εἰδῶν ἐξέτασιν χωρεῖν καὶ ζητεῖν εἰ ἐνδέχεται
20 χωριστὰ εἶναι καὶ καθ' αὑτὰ χωρὶς ὕλης ἢ μή, λέγει ὅτι θεωρητέον πρῶτον τὰ ἔνυλα εἴδη καὶ γνώριμα ἡμῖν ὅπως ἔχει. ἐκ τούτων γὰρ γνω- 15
σόμεθα καὶ περὶ ἐκείνων, εἴτε εἰσίν, ὡς ὁ Πλάτων λέγει, εἴτε οὔκ εἰσιν. λέγει δὴ ὅτι ἐπεὶ ἐν ἀρχῇ διειλόμεθα πόσοις ὁρίζομεν τὴν οὐσίαν (εἶπε γὰρ πρὸ ὀλίγου ὅτι τετραχῶς, τὸ τί ἦν εἶναι αὐτῆς καὶ τὸ καθόλου καὶ
25 τὸ γένος καὶ τὸ ὑποκείμενον), ἐπειδὴ οὖν διειλόμεθα ὁσαχῶς ἡ οὐσία, καὶ ἐδόκει ἓν τῶν τῆς οὐσίας σημαινομένων εἶναι τὸ τί ἦν εἶναι, θεωρητέον, φησί, περὶ τοῦ τί ἦν εἶναι, τουτέστι περὶ τοῦ εἴδους τοῦ ἐν τοῖς αἰσθη- 20
τοῖς καὶ ἀχωρίστου· ἐκ τούτου γὰρ δῆλον ἡμῖν γενήσεται καὶ περὶ τῶν καθόλου, ἤτοι τῶν ἰδεῶν, εἴτε εἰσὶν εἴτε μάτην λέγονται. εἰπὼν δὲ ὅτι
30 θεωρητέον περὶ αὐτοῦ ἐπήγαγε πρὸ ἔργου γὰρ τὸ μεταβαίνειν εἰς τὸ γνωριμώτερον, τουτέστιν ἄξιον γὰρ καὶ ὠφελείας τῆς μεγίστης ἐστὶ τὸ μεταβαίνειν εἰς τὰ γνώριμα ἡμῖν καὶ σαφέστερα, καὶ ἐκ τούτων ἀνάγεσθαι ἐπὶ τὰ ἀσαφέστερα καὶ ἀγνωστότερα. οὕτω γὰρ πᾶσιν ἡ μάθησις γίνεται· 25
μανθάνομεν γὰρ ἐκ τῶν ἡμῖν μὲν γνωρίμων τῇ φύσει δ' ἀγνώστων.
35 τούτου γὰρ δηλωτικόν ἐστι τὸ διὰ [τοῦ πρώτου] τῶν ἧττον γνωρίμων τῇ φύσει. γνώριμα γάρ ἐστι καὶ τῇ φύσει τὰ ἡμῖν γνώριμα, ἀλλ' ἧττον μὲν ἐκείνῃ, μᾶλλον δὲ ἡμῖν. μανθάνομεν δὴ διὰ τῶν ἡμῖν γνωρίμων τὰ

---

1 ἂν M: om. ALF 2 ἐστι L: om. AF 3 λέγῃ MF: λέγει AL 6 μᾶλλον LF: καὶ μᾶλλον A 12 νόθῳ — ληπτή] cf. Plat. Tim. p. 52 B λεπτή A 31 γὰρ LF: om. A 32 ἀνάγεσθαι LFS: ἀνάγεται A 35. 36 διὰ — γνωρίμων τῇ φύσει] *ex minus notis naturae ad nota magis* S 35 τοῦ πρώτου delevi: πρώτου om. LF

τῇ φύσει γνώριμα ἡμῖν δὲ ἄγνωστα, καὶ τοῦτο πᾶσιν ἔργον ἐστὶ τὸ ἐκ τῶν αὐτοῖς γνωρίμων μανθάνειν τὰ φύσει γνώριμα. ὥσπερ γὰρ ἐν ταῖς πράξεσι σπουδάζουσιν οἱ νομοθέται, ἵνα ἐκ τῶν ἑκάστῳ ἀγαθῶν ἀπεργάσωνται τὰ ὅλως καὶ καθ' αὑτὰ ἀγαθὰ πᾶσι τοῖς | πολίταις ἀγαθά (οἷον 432
καθ' αὑτὸ μέν ἐστιν ἀγαθὸς ὁ πλοῦτος· τὶς δὲ τῶν πολιτῶν κακῶς τούτῳ χρώμενος πάντας ὕβριζε τῷ πλούτῳ θαρρῶν, ὃν λαβόμενοι οἱ δικασταὶ ἐτύπτησαν καὶ ἠτίμωσαν· τοῦτο γὰρ τῷ νόμῳ ὥριστο· καὶ τυφθεὶς σώφρων γέγονε, καὶ πάντας ἐτίμα τε καὶ ἐσέβετο· τὸ μὲν δὴ μαστιγωθῆναι καθ' αὑτὸ μὴ ὂν ἀγαθὸν ἐκείνῳ γέγονεν ἀγαθόν, ἐπειδὴ ἐκεῖνος ἐκ τοῦ τυφθῆναι σώφρων τε καὶ ἀγαθός· οὐ μόνον δὲ ἐκεῖνος, ἀλλὰ καὶ πᾶς τῶν ἐν τῇ πόλει πλουσίων, εἴ τινος κατεπαίρετο τῷ πλούτῳ θαρρῶν ἢ μὴ ὡς δεῖ αὐτῷ ἐχρῆτο, συνεστάλη τε καὶ καλῶς αὐτῷ ἐχρῆτο)· ὥσπερ οὖν ἐκ τῆς μαστιγώσεως, ἥτις καὶ ἦν καὶ γέγονε τῷ ὑβριστῇ ἀγαθόν, γέγονεν ὁ πλοῦτος, ὥσπερ ἐστὶ καθ' αὑτὸ ἀγαθόν, ἑκάστῳ τῶν πολιτῶν ἀγαθόν, οὕτως ἐκ τῶν ἑκάστῳ γνωρίμων τὰ τῇ φύσει μὲν γνώριμα ἑκάστῳ δὲ ἄγνωστα σπεύδει ὁ διδάσκαλος ποιῆσαι αὐτῷ, λέγω δὴ τῷ ἀγνοοῦντι, γνώριμα. ὁ γὰρ Σωσιγένης ἐκ τῶν Ἀλεξάνδρῳ γνωρίμων ἐποίησεν αὐτῷ γνώριμα τὰ τῇ φύσει γνώριμα. τὰ δὲ ἑκάστοις γνώριμα καὶ πρῶτα πολλάκις (οὐ γὰρ ἀεὶ καὶ διόλου) ἠρέμα ἐστὶ γνώριμα, καὶ μικρὸν ἢ οὐδὲν ἔχει τοῦ ὄντος, τουτέστι τοῦ ἀληθοῦς· σύνηθες γὰρ αὐτῷ πολλαχοῦ τὸ ὂν ἀντὶ τοῦ ἀληθοῦς λαμβάνειν, τὸ δὲ μὴ ὂν ἀντὶ τοῦ ψεύδους. τὰ παιδία γάρ, ὡς αὐτὸς εἴρηκεν ἐν τῇ Φυσικῇ, πάντας τοὺς ἄνδρας ὡς πατέρας γνωρίζει καὶ ὀνομάζει αὐτοὺς ταύτην τὴν προσηγορίαν, καὶ μικρὸν ἢ οὐδὲν ἔχει τοῦ ἀληθοῦς. ἡ μὲν γὰρ ἐξ ἀνθρώπου γέγονεν, ὀνομάζει δὲ ὅλως τοὺς ἀνθρώπους ἀλλ' οὐ τοὺς ἵππους πατέρας ἢ τοὺς βόας, ταύτῃ ἔχει μικρόν τι τῆς ἀληθείας· ἡ δὲ πάντας οὕτως νομίζει, ἔχει οὐδέν. ὅμως δ' ἐκ τῶν φαύλως γνωστῶν (φαῦλον γὰρ τὸ πάντας εἶναι αὐτοῦ πατέρας νομίζειν), ἐκ τῶν φαύλως οὖν γνωστῶν, αὐτῷ δὲ γνωστῶν, ὕστερον ἀνάγεται εἰς τὴν ἀλήθειαν, καὶ διορίζει τὸν αὐτοῦ πατέρα ἀπὸ τῶν ἄλλων. ὥσπερ οὖν τὸ παιδίον ποιεῖ, οὕτω καὶ ἡμεῖς ἐκ τῶν φαύλως μὲν ἡμῖν καὶ μὴ ἀκριβῶς ἐγνωσμένων τὰ ὅλως καὶ τῇ φύσει γνωστὰ γνῶναι πειρασόμεθα, μεταβαίνοντες. ὥσπερ εἴρηται. ἐκ τούτων αὐτῶν τῶν ἡμῖν γνωρίμων ἐπ' ἐκεῖνα.

p. 1029b12 Καὶ πρῶτον εἴπωμεν ἔνια περὶ αὐτοῦ λογικῶς.

Εἰπὼν ὅτι δεῖ θεωρῆσαι περὶ τοῦ τί ἦν εἶναι καὶ ἐκ τούτου μεταβῆναι ἐπὶ τὰ ὅλως γνωστά, φησὶν ὅτι πρῶτον εἴπωμεν ἔνια περὶ τοῦ τί ἦν εἶναι λογικῶς. ἀλλὰ πρὸ τῆς τῶν λεγομένων σαφηνείας τοσοῦτον διο-

---

9 κἀκεῖνος LF 12 ἐχρῆτο utrobique M: ἐχρᾶτο LF: χρᾶται et ἐχρᾶτο A
14 ὥσπερ] fort. ὅσπερ πολιτῶν] πλουσίων LFS 20 αὐτῷ LF: αὐτοῦ A
22 ἐν τῇ Φυσικῇ] A 1 p. 184b12 26 νομίζει ALF: ὀνομάζει S Bonitz 27 φαῦλον F: φαύλως AL 30 φαύλως S Bonitz: φαύλων ALF

ριστέον, ὅτι ἄλλο μέν φησι τὸ τί ἦν εἶναι καὶ ἄλλο τὸν λόγον ἤτοι τὸν
ὁρισμόν. τί ἦν εἶναι μὲν λέγει αὐτὸ τὸ πρᾶγμα καὶ τὴν φύσιν αὐτοῦ, συν-
ημμένως καὶ συνε|πτυγμένως καὶ ἅμα ὡς ἓν νοουμένην, οὐ δηλαδὴ ση- 433
μαντικόν ἐστι τὸ ὄνομα. τὸ γὰρ ἄνθρωπος ὄνομα σημαντικόν ἐστι τοῦ τί
5 ἦν εἶναι, ἤγουν αὐτῆς τῆς φύσεως τοῦ πράγματος τῆς ὑπὸ τοῦ ἄνθρωπος
ὀνόματος δηλουμένης. τί ἦν εἶναι μὲν λέγει τὴν συνειλημμένως καὶ ἅμα
καὶ ὡς φύσιν νοουμένην, οἷον τὴν τοῦ ἀνθρώπου φύσιν (γινέσθω γὰρ ἐπὶ 5
τοῦ ἀνθρώπου τὸ ὑπόδειγμα), ὁρισμὸν δὲ λέγει τὴν κατὰ ἀνάπλωσιν καὶ
ἀπαρίθμησιν τῶν ἐξ ὧν σύγκειται τὸ εἶδος μερῶν νόησιν. καὶ τοῦτο δια-
10 φέρει τὸ τί ἦν εἶναι τοῦ ὁρισμοῦ, ὅτι ἐκεῖνο μέν ἐστι νόησις συγκεχυμένη
καὶ ὡς φύσιν καὶ ὡς ἓν τὸ πρᾶγμα θεωροῦσα, ὁ δὲ ὁρισμὸς ἀνάπτυξίς τις
τοῦ πράγματος καὶ ἀπαρίθμησις τῶν αὐτοῦ μερῶν. καὶ ταῦτα μὲν προ-
διήρθρωται τῆς τῶν λεγομένων ἕνεκεν σαφηνείας, ἐπὶ δὲ τὴν τῶν λεγο- 10
μένων σαφήνειαν κατὰ τὸ δυνατὸν τρεπτέον. τὸ τί ἦν εἶναί ἐστιν ὃ λέ-
15 γεται ἕκαστον καθ' αὑτό· ἕκαστος γὰρ τῶν κατὰ μέρος ἀνθρώπων λέγεται
καθ' αὑτὸ τὸ τί ἦν εἶναι. εἰλήφθω γὰρ ἀντὶ τοῦ τί ἦν εἶναι τὸ δηλω-
τικὸν αὐτοῦ ὄνομα τὸ ἄνθρωπος, καὶ ἔσται σαφὲς ὃ λέγεται. τὸ τί ἦν
εἶναι, φησίν, ἐστί, τουτέστιν ἄνθρωπός ἐστιν, ὅπερ λέγεται ἕκαστον τῶν
κατὰ μέρος καθ' αὑτό. ὁ γὰρ Σωκράτης ἐκεῖνο τὸ ὄνομα λέγεται, του- 15
20 τέστι τὸ ἄνθρωπος· εἰ δ' ὁ Σωκράτης λέγεται ἄνθρωπος, δῆλον ὡς λέ-
γεται καὶ ἐκεῖνο, λέγω δὴ τὸ ὑπὸ τοῦ ἄνθρωπος ὀνόματος σημαινόμενον.
ἐκεῖνο οὖν ἐστι τὸ τί ἦν εἶναι. ὁ γὰρ Ἀλέξανδρος λέγεται ἄνθρωπος,
ὅπερ ἐστὶ δηλωτικὸν τοῦ τί ἦν εἶναι. εἰπὼν δὲ ὅτι τὸ τί ἦν εἶναί ἐστιν
ὃ λέγεται καὶ ὀνομάζεται ἕκαστον καθ' αὑτό, ἑρμηνεύων τίνος ἕνεκα τὸ 20
25 καθ' αὑτὸ πρόσκειται, ἐπήγαγεν οὐ γάρ ἐστι τὸ σοὶ εἶναι τὸ μουσικῷ
εἶναι, τουτέστι λέγεται ὁ Σωκράτης μουσικός, ἀλλ' οὐκ ἔστι τὸ Σωκράτει
εἶναι τὸ μουσικῷ εἶναι· οὐδ' ἔστιν ἡ φύσις αὐτοῦ τὸ μουσικῷ εἶναι· οὐ
γὰρ καθ' αὑτό ἐστι μουσικός, οὐδὲ τὸ τί ἦν εἶναι, ὃ λέγεται ὁ Σωκράτης,
ἐστὶ τὸ μουσικόν· ἀλλ' ὃ ἄρα ἐστὶ καθ' αὑτὸ ὁ Σωκράτης, ἐκεῖνό ἐστι
30 τὸ τί ἦν εἶναι τοῦ Σωκράτους καὶ τῶν κατὰ μέρος ἀνθρώπων. εἰπὼν δὲ 25
ὅτι τί ἦν εἶναί ἐστι τὸ καθ' αὑτὸ ὑπάρχον τοῖς μερικοῖς καὶ ὅπερ ἕκαστον
λέγεται, ἐπειδὴ καθ' αὑτὸ ὑπάρχει καὶ ἐν τῇ ἐπιφανείᾳ τὸ λευκόν, ἐπή-
γαγε τὸ οὐδὲ δὴ τοῦτο πᾶν, ὡς ἂν εἰ ἔλεγεν ὅτι οὐ πᾶν τὸ καθ' αὑτὸ
ὑπάρχον τινὶ τοῦτο τί ἦν εἶναί ἐστι τῷ ἐν ᾧ ὑπάρχει. οὐ γὰρ οὕτω φα-
35 μὲν καθ' αὑτὸ τὸ τί ἦν εἶναι ὑπάρχειν ἐν τοῖς μέρεσιν αὐτοῦ, ὡς | τῇ 434
ἐπιφανείᾳ τὸ λευκόν· τὸ μὲν γὰρ τί ἦν εἶναι λέγεται καθ' αὑτὸ ὑπάρχειν
τοῖς μέρεσιν αὐτοῦ, ἤτοι τοῖς ἀτόμοις, ὅτι ἕκαστον αὐτῶν τὸ τί ἦν εἶναί
ἐστι καὶ ἐν ἑκάστῳ τελεία ἡ φύσις αὕτη ὑπάρχει, τὸ δὲ λευκὸν ὑπάρχειν

---

6 μὲν οὖν λέγει e S coni. Bonitz 7 ὡς φύσιν $A^2$: ὥς φησι $A^1$: ὡς φάσιν LS
οἷον $A^2$: om. $A^1$L 9 ἀπαρίθμησιν $A^2$L: ἀναρίθμησιν $A^1$ 11 ὡς φύσιν $A^2$: ὥς
φασιν $A^1$: ὡς φάσιν LS 15 ἕκαστον $A^2$FS: ἕκαστα $A^1$L καθ' αὑτό LFS: τῶν
καθ' αὑτά A 22 οὖν ALF: δὲ S Bonitz ὁ — ἄνθρωπος] εἶναι λέγεται ὁ ἀλέξανδρος.
λέγεται δὲ ἄνθρωπος L γὰρ M: om. A 23 τοῦ L: om. A

λέγεται τῇ ἐπιφανείᾳ καθ' αὑτὸ ἀντὶ τοῦ πρώτως· διὰ γὰρ τὸ ἐν αὐτῇ πρῶτον
ὑπάρχειν. αὕτη δ' ἐστὶν ἐν σώματι, λέγεται τὸ σῶμα λευκόν. οὐκ ἔστιν οὖν 5
τὸ λευκὸν τῇ ἐπιφανείᾳ καθ' αὑτὸ ὡς τὸ τί ἦν εἶναι τοῖς μέρεσιν αὐτοῦ, διότι
τὸ μὲν Σωκράτει εἶναι τὸ ἀνθρώπῳ εἶναί ἐστιν, ἀνθρώπῳ εἶναι λέγων κατὰ
5 δοτικὴν πτῶσιν τὸ τί ἦν εἶναι τὸ ὑπὸ τοῦ ἄνθρωπος ὀνόματος δηλούμενον,
τὸ δ' ἐπιφανείᾳ εἶναι οὐκ ἔστι τὸ λευκῷ εἶναι· ἄλλη γὰρ φύσις ἐπιφανείας
καὶ ἄλλη λευκοῦ. Σωκράτους δὲ καὶ τοῦ τί ἦν εἶναι τοῦ ὑπὸ τοῦ ἄν- 10
θρωπος ὀνόματος δηλουμένου οὐκ ἄλλη ἀλλ' ἡ αὐτή. ἀλλὰ μὴν οὐδὲ τὸ
ἐπιφανείᾳ εἶναί ἐστι τὸ ἐπιφανείᾳ εἶναι λευκῇ· οὐ γάρ ἐστι ταὐτὸν ἐπιφά-
10 νεια ἐπιφανείᾳ λευκῇ. καὶ τοῦ πῶς οὐ ταὐτὸν ἀλλ' ἕτερόν ἐστι τὸ ἐπι-
φανείᾳ εἶναι τοῦ λευκῇ ἐπιφανείᾳ, πάνυ συντόμως καὶ διὰ τοῦτο ἀσαφῶς
τὴν αἰτίαν ἐπήγαγεν εἰπὼν ὅτι πρόσεστιν αὐτό, αὐτὸ λέγων τὸ ὁριστὸν
ἤτοι τὴν ἐπιφάνειαν· οὐκ ἔστιν οὖν τὸ ἐπιφανείᾳ εἶναι ὅπερ τὸ ἐπιφανείᾳ 15
λευκῇ, ὅτι ἐν τῷ ὁρισμῷ τῆς λευκῆς ἐπιφανείας λαμβάνεται ἡ ἐπιφάνεια.
15 τὸν μὲν γὰρ Σωκράτην ταὐτόν φαμεν εἶναι τῷ ἀνθρώπῳ, ὅτι ὅταν ὁριζώ-
μεθα τὸν ἄνθρωπον, οὐ λαμβάνομεν εἰς τὸν τοῦ ἀνθρώπου ὁρισμὸν τὸν
ἄνθρωπον· οὐ γὰρ ὁριζόμενοι τὸν ἄνθρωπόν φαμεν ὅτι ἀνθρωπός ἐστιν
ἄνθρωπος ζῷον πεζὸν δίπουν. τὴν δὲ λευκὴν ἐπιφάνειαν ὁριζόμενοι λαμ- 20
βάνομεν εἰς τὸν ὁρισμὸν αὐτῆς αὐτὴν τὴν ἐπιφάνειαν· λέγομεν γὰρ ὅτι
20 λευκὴ ἐπιφάνειά ἐστιν ἐπιφάνεια ἔχουσα χρῶμα διακριτικὸν ὄψεως· ὥστε
εἴληπται ἐν τῷ ὁρισμῷ τῆς λευκῆς ἐπιφανείας ἡ ἐπιφάνεια. εἰ δέ τις
λέγοι ὅτι οὐ λήψομαι εἰς τὸν ὁρισμὸν τῆς λευκῆς ἐπιφανείας τὴν ἐπιφά-
νειαν, ἀλλ' εἴποιμι ἂν ὅτι λευκὴ ἐπιφάνειά ἐστι χρῶμα διακριτικὸν ὄψεως, 25
οὗτος ἴστω ὅτι ὁρισμὸν τῆς λευκότητος ἀπέδωκεν, ἀλλ' οὐ τῆς λευκῆς
25 ἐπιφανείας. εἰ δὴ τὸν Σωκράτην φαμὲν ὅπερ τὸν ἄνθρωπον, ὅτι ἐν τῷ
ὁρισμῷ τοῦ ἀνθρώπου οὐ λαμβάνεται ἄνθρωπος, δῆλον ὡς ἐπειδὴ ἐν τῷ
ὁρισμῷ τῆς λευκῆς ἐπιφανείας λαμβάνεται ἡ ἐπιφάνεια, οὐκ ἔστιν ἡ ἐπι-
φάνεια ὅπερ ἡ λευκὴ ἐπιφάνεια. οὐκ ἔστιν οὖν, φησίν, ἡ ἐπιφάνεια ὅπερ
ἡ λευκὴ ἐπιφάνεια. ἐπειδὴ πρόσεστιν αὐτό, αὐτὸ λέγων τὴν ἐπιφάνειαν. 30
30 ἐπειδὴ οὖν πρόσεστιν αὐτό, ἤτοι ἡ ἐπιφάνεια, ἐν τῷ ὁρισμῷ τῆς λευκῆς
ἐπιφανείας, οὐκ ἔστιν ἡ ἐπιφάνεια ὅπερ ἡ λευκὴ ἐπιφάνεια. φέρεται δὲ
καὶ ἄλλη γραφὴ ἔχουσα οὕτως καὶ διὰ τί; ὅτι πρόσεστιν αὐτή. καὶ
ἔστιν αὕτη σαφεστέρα ἡ γραφή. καὶ διὰ | τί, φησίν, οὐκ ἔστιν ἡ ἐπιφά- 435
νεια ὅπερ ἡ λευκὴ ἐπιφάνεια; ὅτι πρόσεστιν αὐτὴ ἡ ἐπιφάνεια ἐν τῷ τῆς
35 λευκῆς ἐπιφανείας ὁρισμῷ. ταῦτα εἰπὼν συμπεραίνεται λέγων, ἐν ᾧ ἄρα
μὴ ἔνεστι λόγῳ αὐτὸ λέγοντι αὐτό, οὗτος ὁ λόγος τοῦ τί ἦν
εἶναι ἑκάστῳ, τουτέστιν οὗτός ἐστι λόγος καὶ ὁρισμὸς ὁ δηλωτικὸς τοῦ
τί ἦν εἶναι καὶ τῆς φύσεως ἑκάστῳ, ἐν ᾧ λόγῳ λέγοντι καὶ ἀναπτύσσοντι 5
αὐτό, τὸ ὁριστόν, μὴ ἐνυπάρχει ἐν τῷ λόγῳ αὐτό, ἤτοι τὸ ὁριστόν. ἐν
40 γὰρ τῷ τοῦ ἀνθρώπου λόγῳ, τῷ λέγοντι τί ἐστιν ἄνθρωπος, οὐκ ἐνυπάρχει

---

1 ante πρῶτον add. καὶ L 4 κατὰ L: καὶ τὰ A 9. 10 ἐπιφάνεια LS: ἐπιφανείᾳ εἶναι καὶ A 32 αὐτή LFS: αὕτη A et Metaph. codd. plerique 34 αὐτὴ ἡ LF: ἡ om. A 36 ἔνεστι LF: ἐστὶ A: ἐνέσται Metaph. vulg.

ὁ ἄνθρωπος. ταῦτα εἰπὼν ἐπάγει ὥστε εἰ τὸ ἐπιφανείᾳ λευκῇ εἶναί ἐστι τὸ ἐπιφανείᾳ εἶναι λείᾳ, τὸ λευκῷ καὶ λείῳ εἶναι τὸ αὐτὸ καὶ ἕν. καὶ ἔστιν οἶμαι λύσις πρός τινα λόγον δυνάμενον φέρεσθαι πρὸς τὰ λεγόμενα· ὁ δὲ δυνάμενος λέγεσθαι λόγος τοιοῦτος ἂν εἴη. εἰ γὰρ ὅτι ἡ ἐπιφάνεια ἐν τῷ ὁρισμῷ τῆς λευκῆς ἐπιφανείας λαμβάνεται, ἐπὶ τούτῳ λέγεις, ὦ Ἀριστότελες, τὴν ἐπιφάνειαν μὴ εἶναι ὅπερ ἡ λευκὴ ἐπιφάνεια, ἐν τῷ ὁρισμῷ τῆς λευκῆς ἐπιφανείας τὴν μὲν ἐπιφάνειαν οὐκ ἐάσομεν ἀλλὰ ληψόμεθα, τὸ δὲ λευκὸν παραλείψομεν· καὶ τοῦτο ποιησάντων πάντως δοίης ἂν τὴν ἐπιφάνειαν εἶναι ὅπερ ἡ λευκὴ ἐπιφάνεια. εἴποιμεν γὰρ ἂν οὕτως, ὅτι λευκὴ ἐπιφάνειά ἐστιν ἐπιφάνεια λεία. πρὸς δὴ τοῦτον τὸν λόγον οἶμαι ἐπῆκται τὸ ὥστε εἰ τὸ ἐπιφανείᾳ λευκῇ εἶναί ἐστι τὸ ἐπιφανείᾳ λείᾳ καὶ τὰ ἑξῆς, ἴσον λέγων, ὥστε εἰ τὴν λευκὴν ἐπιφάνειαν ὁριζόμενός τις ἐρεῖ ὅτι τὸ ἐπιφανείᾳ λευκῇ εἶναί ἐστι, ἤτοι ἐπιφάνεια λευκή ἐστι τὸ ἐπιφανείᾳ εἶναι λείᾳ, ἤτοι ἐπιφάνεια λεία, τὸ μὲν λευκὸν ὡρίσατο (τοῦτο γὰρ καὶ παρέλειπεν), τὴν δὲ λευκὴν ἐπιφάνειαν οὐχ ὡρίσατο· ὥστε ὅταν λέγῃ ὅτι λευκὴ ἐπιφάνειά ἐστιν ἐπιφάνεια λεία. οὐδὲν ἄλλο λέγει ἢ ὅτι τὸ λευκὸν λεῖόν ἐστιν καὶ ἔστι τὸ λευκῷ εἶναι καὶ λείῳ ταὐτὸν καὶ ἕν.

p. 1029b22 Ἐπεὶ δέ ἐστι καὶ κατὰ τὰς ἄλλας κατηγορίας σύνθετα· ἔστι γάρ τι ὑποκείμενον ἑκάστῳ, οἷον τῷ ποιῷ καὶ ποσῷ.

Ἐπειδὴ εἴρηκεν ὅτι ἡ ἐπιφάνεια οὐκ ἔστιν ὅπερ ἡ λευκὴ ἐπιφάνεια οὐδέ ἐστι τὸ ἐπιφανείᾳ εἶναι τὸ λευκῇ εἶναι, ζητεῖ λέγων ἐπειδὴ τὸ ποιὸν καὶ ποσὸν καὶ αἱ ἄλλαι κατηγορίαι ἑκάστη ὑποκείμενόν τι ἔχει, ἆρα ἔστι λόγος καὶ ὁρισμὸς τοῦ τί ἦν εἶναι ἑκάστῳ αὐτῶν, τουτέστιν ἆρα δύναταί τις μία φύσις εἶναι ὁ ἄνθρωπος καὶ τὸ λευκόν, καὶ ὑπάρχειν τὸ τί ἦν εἶναι τῷ λευκῷ ἀνθρώπῳ καὶ ἔστιν ὁρισμὸς τοῦ λευκοῦ ἀνθρώπου. ἐπειδὴ δὲ οἱ | ὁρισμοὶ ὀνομάτων εἰσὶν ἀλλ' οὐ λόγων, ἔμελλε δέ τις λέγειν ὅτι 436
τοῦ ἄνθρωπος λευκὸς λόγου ὄντος ἀλλ' οὐκ ὀνόματος, πῶς ἔσται αὐτοῦ ὁρισμός, λέγει ὅτι ἔστω δὴ ὄνομα τῷ λευκῷ ἀνθρώπῳ ἱμάτιον. ἔστιν οὖν ὁρισμὸς τοῦ ἱματίου, ἤτοι τοῦ λευκοῦ ἀνθρώπου, ἢ οὔ; καὶ ἐρωτήσας ἐπικρίνει λέγων ἀλλὰ μὴν οὐδὲ τῶν καθ' αὑτὸ λεγομένων οὐδὲ τοῦτο· τουτέστιν ἐκείνων τῶν φύσεων τῶν καθ' αὑτὸ οὐσῶν καὶ ἐν ὑπάρξει ὁρισμοὺς εἶναί φαμεν· ὁ δὲ λευκὸς ἄνθρωπος καθ' αὑτὸ μὴ ὢν μηδὲ δυνάμενος εἶναι καθ' αὑτό, ἀλλ' ἐν τῷ ἀνθρώπῳ ὤν, ὥσπερ καὶ ὁ μουσικὸς Σωκράτης ἐν τῷ Σωκράτει, πῶς ἔσται τοῦ λευκοῦ ἀνθρώπου ὁρισμός; εἰ γὰρ ἦν αὐτοῦ ὁρισμός, ἦν ἂν καὶ τί ἦν εἶναι, ἤτοι φύσις αὐτὴ καθ' αὑτὴν συγκεχυμένη καὶ ὑπὸ τοῦ ὁρισμοῦ ἀναπτυσσομένη· ἀλλ' ὁ μὲν ἄν-

4 λέγεσθαι LF: om. A 5 ἐπὶ τούτῳ A¹LF: διὰ τοῦτο A² 7 οὐκ ἔσχομεν LF
22 τὸ ἐπιφανείᾳ εἶναι MS: τῇ ἐπιφανείᾳ ALF λευκῇ] *superficiei albae* S 24 ἆρα e S add. Bonitz 26 ὁρισμὸς LFS: ὁρισμὸν A 31 οὐδὲ (post μὴν) om. LF
32 ἐν ὑπάρξει S: ἐνυπάρξει ALF

θρωπός ἐστιν, ὁ δὲ λευκὸς ἄνθρωπος οὐκ ἔστιν, ἀλλὰ συνέβη τῷ ἀνθρώπῳ. εἰπὼν δὲ ὅτι ὁ λευκὸς ἄνθρωπος οὐκ ἔστι τῶν καθ' αὑτό, ἐπιχειρεῖ διὰ τῶν τοῦ μὴ καθ' αὑτὸ σημαινομένων δεῖξαι ὅτι ὁ λευκὸς ἄνθρωπος τῶν καθ' αὑτό ἐστι, λέγων ἢ τὸ οὐ καθ' αὑτὸ λέγεται διχῶς, καὶ τούτου ἐστὶ τὸ μὲν ἐκ προσθέσεως, τὸ δὲ οὐκ ἐκ προσθέσεως. καὶ τοῦ μὲν ἐκ προσθέσεως οὐ καθ' αὑτὸ τέθεικεν ὑπόδειγμα τὸ τὸ μὲν γὰρ τῷ αὐτὸ ἄλλῳ προσκεῖσθαι λέγεται. καὶ ἔστι τὸ λεγόμενον τοιοῦτον· εἴ τις ὁριζόμενος τὸ λευκὸν προσλάβοι καὶ τὸν τοῦ ἀνθρώπου ὁρισμόν, προστίθησι τὸ πρᾶγμα καὶ τὸν ὁρισμὸν αὐτοῦ ἐν ἄλλῳ πράγματι καὶ ὁρισμῷ. εἰ γάρ τις ὁριζόμενος τὸ λευκὸν λέγει ὅτι λευκόν ἐστι χρῶμα διακριτικὸν ὄψεως ζῷον πεζὸν δίπουν, οὐχὶ λευκοῦ ὁρισμὸν ἀποδέδωκεν ἀλλὰ λευκοῦ ἀνθρώπου. καὶ διὰ τοῦτο οὐ καθ' αὑτὸ ὡρίσατο τὸ λευκὸν διὰ τὸ τὸ λευκὸν ἐν ἄλλῳ ἤτοι τῷ ἀνθρώπῳ προσθεῖναι. τὸ μὲν οὖν οὕτω λέγεται οὐ καθ' αὑτό, τὸ δὲ τῷ ἄλλο αὐτῷ. ἐλλιπῶς δὲ ἑρμηνευθὲν δεῖ προσθεῖναι τὸ δεῖν προσκεῖσθαι, ὃ οὐ πρόσκειται, ἵνα ᾖ τὸ πᾶν τοιοῦτον· τὸ δὲ λέγεται οὐ καθ' αὑτὸ ἐν τῷ δεῖν ἄλλο προσκεῖσθαι αὐτῷ, ὃ οὐ πρόσκειται· οἷον εἰ τὸ ἱμάτιον σημαίνει τὸν λευκὸν ἄνθρωπον, ὁριζόμενος τὸ ἱμάτιον λέγει ὅτι ἱμάτιόν ἐστι χρῶμα διακριτικὸν ὄψεως. δέον γὰρ προσκεῖσθαι τῷ ὁρισμῷ τοῦ ἱματίου καὶ ἄλλο τι, οἷον τὸ ζῷον πεζὸν δίπουν, οὐ πρόσκειται, ὥστε οὐ καθ' αὑτὸ ὡρίσατο τὸ ἱμάτιον. εἰ δὴ τὸ λευκὸν ὁριζόμενοι καὶ προσλαμβάνοντες τὸν ἄνθρωπον οὐ καθ' αὑτὸ λέγεται, ὁμοίως δὴ καὶ τὸν λευκὸν ἄνθρωπον ὁριζόμενοι οὐ προσλαμβάνοντες τὸν ἄνθρωπον οὐ καθ' αὑτὸ λέγεται, εἴπερ τὸ ἱμάτιον ὁριζόμενοι προσλάβοιμεν καὶ τὸ λευκὸν καὶ τὸν ἄνθρωπον, ἔσται τὸ ἱμάτιον, ἤτοι ὁ λευκὸς ἄνθρωπος, τῶν καθ' αὑτό· εἰ δ' ἐστὶ τῶν καθ' αὑτό, ἔστιν ἄρα | ὁρισμὸς αὐτοῦ, εἴπερ τῶν καθ' αὑτὸ οἱ ὁρισμοί. οὐκ ἄρα καλῶς εἴρηται 437
ὡς λευκὸς ἄνθρωπος οὐκ ἔστι τῶν καθ' αὑτὸ λεγομένων, καὶ ἐπὶ τούτῳ οὐδὲ ὁρισμὸς ἔστιν αὐτοῦ. ταῦτα εἰπὼν τὴν μὲν ἀκριβῆ λύσιν μετ' ὀλίγον ἐρεῖ, ὅταν λέγῃ ἢ καὶ ὁρισμὸς ὥσπερ καὶ τὸ τί ἐστι πλεοναχῶς λέγεται· καὶ γὰρ τὸ τί ἐστιν ἕνα μὲν τρόπον σημαίνει τὴν οὐσίαν. τὴν μὲν δὴ ἀκριβῆ λύσιν καὶ τὴν τοῦ λόγου διάρθρωσιν μετ' ὀλίγον ἐρεῖ, αὐτὸς δὲ τὰ προσεχῶς εἰρημένα εἰπὼν ἐπήγαγε τὸ δὴ λευκὸς ἄνθρωπος ἔστι μὲν λευκόν, οὐ μέντοι τί ἦν εἶναι λευκῷ εἶναι ἀλλὰ τὸ ἱμάτιον εἶναι. τουτέστι τὸ δὴ λέγειν ἄνθρωπος λευκός ἐστι, τοῦτο ἀληθές· ἔστι γὰρ τὸ λευκὸν ἐν ἀνθρώπῳ, καὶ ἐπὶ τούτῳ ἀληθὲς λέγειν ὅτι ἄνθρωπος λευκός· οὐ μέντοι ἐστὶν ἀνθρώπῳ τὸ τί ἦν εἶναι τὸ λευκῷ εἶναι, ἤτοι οὐκ ἔστιν ὁ ἄνθρωπος ὅπερ τὸ λευκῷ ἀνθρώπῳ εἶναι. τὸ δὲ τί ἦν εἶναι λευκῷ ἀνθρώπῳ ὅπερ τὸ ἱματίῳ εἶναί ἐστιν· οὕτω γὰρ εἴρηται ὅτι ἔστω δὴ ὄνομα τῷ λευκῷ ἀνθρώπῳ τὸ ἱμάτιον.

---

13 τὸ τὸ LF: alterum τὸ om. A 14 τῷ LFS: τὸ A 17 τὸν LF: τὸ A 29 ἐρεῖ] p. 1030a17 34 ἱματίῳ Metaph. vulg. 37 et 38 ὅπερ τὸ ML: ὅπερ τῷ A 37 post ἀνθρώπῳ εἶναι add. ἀλλὰ μᾶλλον τὸ λευκῷ ἀνθρώπῳ, τουτέστιν ὁ λευκὸς ἄνθρωπος, ἐστὶ τῷ ἱματίῳ εἶναι ἤτοι ὅπερ ἱμάτιον. ὁ μὲν γὰρ ἄνθρωπος φησὶν οὐκ ἔστιν ὅπερ τῷ λευκῷ ἀνθρώπῳ LF

p. 1030a2 Ἆρ' ἔστι τί ἦν εἶναί τι ἢ ὅλως ἢ οὔ.

Πολλαχοῦ μνησθεὶς τοῦ τί ἦν εἶναι (τοῦτο δ' ἐστὶν ἡ ἑκάστου φύσις) καὶ ἐνδειξάμενος τὴν διαφορὰν αὐτοῦ ἥτις ἐστὶ πρὸς τὸν ὁρισμόν, καὶ εἰπὼν τί ἐστι τὸ τί ἦν εἶναι, ὅτι ἡ φύσις πάντων τῶν κατὰ μέρος ἀν- 1.
5 θρώπων (λεγέσθω γὰρ ἐπὶ τῶν ἀνθρώπων) συνῃρημένως καὶ ἅμα νοουμένη, ἐπεὶ δή, ὡς ἐν τῇ Ἀποδεικτικῇ εἴρηται, προηγεῖται τὸ εἰ ἔστι τοῦ τί ἐστι, ζητεῖ εἰ ἄρα ἔστι τι τῶν ὄντων τὸ τί ἦν εἶναι ἢ οὔ· καὶ λύει συντόμως λέγων ὅπερ γάρ τι ἔστι τὸ τί ἦν εἶναι, τουτέστιν ἡ ἑκάστου οὐσία. εἰ οὖν τὸ τί ἦν εἶναι ἡ ἑκάστου οὐσία, τὰ δὲ καθ' ἕκα-
10 στον ἔστι, δῆλον ἄρα ὅτι καὶ τὸ τί ἦν εἶναι τῶν ὄντων ἐστίν. καὶ ἐπεὶ 20
τὸ τί ἦν εἶναι ἐπὶ τῶν οὐσιῶν ἐστιν, τουτέστι τὸ τί ἦν εἶναι οὐδὲν ἄλλο ἐστὶν ἢ πᾶσαι αἱ ἄτομοι ἐν ἑκάστῳ εἴδει οὐσίαι, αὗται μὲν καθ' αὑτάς εἰσιν· ὅταν δ' ἄλλο κατ' ἄλλου λέγηται, οὐκ ἔστιν ὅπερ τόδε τι καὶ καθ' αὑτό. ὁ γὰρ λευκὸς ἄνθρωπος οὐκ ἔστι καθ' αὑτό, ἀλλ' ἐν τῷ
15 ἀνθρώπῳ· τὸ γὰρ τόδε τι ταῖς οὐσίαις μόναις ἀφώρισταί τε καὶ ὑπάρχει. εἰ δὴ τὸ τόδε τι ταῖς οὐσίαις ὑπάρχει, ὁ δὲ λευκὸς ἄνθρωπος οὐκ ἔστιν 25
οὐσία ἀλλὰ συμβεβηκός, οὐκ ἄρα ἐστὶν ὁ λευκὸς ἄνθρωπος τόδε τι καὶ καθ' αὑτό. ὥστε ἐξ ἁπάντων τῶν εἰρημένων φανερόν ἐστιν ὅτι τὸ τί ἦν εἶναί ἐστιν ὅσων ὁ λόγος ὁρισμός ἐστι, τουτέστιν ἐκ τῶν ὄντων ἐπ-
20 ἐκείνων μόνων τὸ τί ἦν εἶναι λέγεται κυρίως τῶν οὐσιῶν, ὧν ὁ λόγος ὁρισμὸς ἤτοι ἀνάπτυξις καὶ ἀπαρίθμησίς ἐστι τῶν καθ' αὑτὸ καὶ | οὐσιωδῶς 438
ὑπαρχόντων αὐταῖς. εἰπὼν δὲ ὥστε τὸ τί ἦν εἶναί ἐστιν ὅσων ὁ λόγος ὁρισμός ἐστιν, ἐπειδὴ οἱ ὁρισμοὶ ταὐτὸν σημαίνουσι τῷ ὀνόματι τοῦ τί ἦν εἶναι, ἐπήγαγεν ὁρισμὸς δ' ἐστὶν οὐκ ἂν ὄνομα λόγῳ
25 ταὐτὸν σημαίνῃ. δέον εἰπεῖν 'ὁρισμὸς δέ ἐστιν οὐκ ἐὰν λόγος ᾖ ὀνόματι ταὐτὸν σημαίνων', εἶπεν 'οὐκ ἂν ὄνομα ᾖ λόγῳ ταὐτὸν σημαῖνον'. 5
ἐστὶ δὲ ὃ λέγει τοιοῦτον. οὐ πᾶς λόγος ὀνόματι ταὐτὸν σημαίνων ὁρισμός ἐστιν. εἰ γὰρ πᾶς λόγος ὀνόματι ταὐτὸν σημαίνων ὁρισμὸς ἦν, ἐπειδὴ δυνάμεθα παντὶ λόγῳ ὄνομα θεῖναι, πᾶς ἂν λόγος ὁρισμὸς ἦν· ὥστε ἐπειδὴ
30 πάσῃ τῇ τοῦ Ὁμήρου ποιήσει κεῖται ὄνομα τὸ Ἰλιάς, ὁρισμὸς ἂν ἦν ἡ ποίησις· ταὐτὸν γὰρ δηλοῖ πάντα τὰ ἔπη, αὐτά φημι τὰ εἰκοσιτέτταρα βιβλία, ὅπερ τὸ Ἰλιὰς ὄνομα. οὐ πᾶς οὖν λόγος ὀνόματι ταὐτὸν σημαίνων 10
ὁρισμός ἐστιν, ἀλλ' ὅστις λόγος [σὺν] τῷ ὀνόματι ταὐτὸν δηλῶν καὶ ἀνάπτυξιν καὶ ἀπαρίθμησιν ἔχει τινῶν συνιστώντων εἶδος, ἢ μᾶλλον συνιστώντων πλῆθος
35 ἐξ ὧν ἡ διάνοια τὸ καθόλου χωρίζει καὶ ἀποσυλᾶται, ἐκεῖνος ἂν εἴη ὁρισμός. εἰπὼν δὲ ὅτι ἐκεῖνος ὁ λόγος ἐστὶν ὁρισμός, ἐὰν ᾖ πρώτου τινός, τίνα

---

5 λεγέσθω LFS: λέγεσθαι A 6 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. B 1 sq. 7. 8 ἢ οὔ — ἦν εἶναι LFS: om. A 8 λύει S: λύειν L: λύων F ὅπερ γάρ τι ἦν εἶναι ἔστι Metaph. vulg. 9 οὐσία (ante εἰ) L: οὐσία ἐστὶν AF 18 ὅτι M Bonitz: om. ALF 20. 21 ὁρισμὸς LF: ὁ ὁρισμὸς A 25. 26 ἐὰν λόγῳ ἢ ὀνόματι L 30 ἦν scripsi: ἢ ALF 33 σὺν del. Bonitz δηλῶν M: δηλοῦν ALF

βούλεται λέγειν πρῶτα σαφηνίζων ἐπήγαγε τοιαῦτα δ' ἐστὶν ὅσα λέγεται μὴ τῷ ἄλλο λέγεσθαι, ὡς ἂν εἰ ἔλεγε, ταῦτα δὲ λέγω πρῶτα ὅσα λέγεται μὴ τῷ ἄλλο λέγεσθαι. ὅταν γὰρ λέγωμεν ὅτι λευκόν, οὐχὶ τὴν λευκότητα αὐτὴν καθ' αὑτήν φαμεν, ἀλλὰ τὴν λελευκασμένην οὐσίαν, οἷον χιόνα, Σωκράτην ἢ ἄλλο τι τοιοῦτον. ὅταν δὲ λέγωμεν ὅτι ἄνθρωπος, οὐκ ἄλλο τί φαμεν, οὐδ' ἄλλο τι προσλογιζόμεθα, ἀλλ' αὐτὴν τὴν τοιάνδε οὐσίαν τὴν δυναμένην καθ' αὑτὴν εἶναι. ἐκ δὴ τῶν εἰρημένων φανερὸν ὅτι οὐκ ἔστι τὸ τί ἦν εἶναι οὐδενὶ τῶν μὴ γένους εἰδῶν, ἀλλ' ἐκείνων ἐστὶ τὸ τί ἦν εἶναι, ἅπερ ἐστὶν εἴδη γένους· εἰδῶν δὲ οὐ τῶν τυχόντων ἐστὶ τὸ τί ἦν εἶναι, ἀλλ' εἰδῶν, ἅπερ εἰσὶν ἐξ οὐσιῶν ἀποσεσυλημένα, ἤτοι τὸ τί ἦν εἶναί ἐστι τῶν ἀτόμων, ἐξ ὧν τὰ εἴδη κεχώρισται. ταῦτα δὲ τὰ εἴδη ἐπειδὴ οὐδὲν ἄλλο εἰσὶν ἢ τὰ καθ' ἕκαστα (ἐν γὰρ τοῖς καθ' ἕκαστα αὐτοῖς τὸ εἶναι· περὶ τούτων γὰρ ὁ λόγος, ἀλλ' οὐχὶ περὶ τῶν ἃ ἡ διάνοια χωρίσασα παρ' ἑαυτῇ ἔχει), ταῦτα οὖν τὰ εἴδη οὐ κατὰ μετοχὴν λέγονται, ἤτοι οὐχ ὡς συμβεβηκότα κατηγοροῦνται καὶ πάθη εἰσὶν ὧν κατηγοροῦνται, ὡς τὸ λευκὸν καὶ τὸ μέλαν ἢ τὸ θερμόν, ἀλλ' ὡς οὐσίαι καὶ τῇ φύσει μηθὲν διαφέροντα τῶν μερικῶν, ἀλλὰ μόνῳ τῷ καθόλου. δύναται τὸ οὐ κατὰ μετοχὴν λέγονται νοεῖσθαι ἀντὶ τοῦ οὐ κεχωρισμένα ἐστὶ τὰ εἴδη, καθάπερ φησὶ Πλάτων, καὶ κατὰ μετο|χὴν αὐτῶν τὰ καθ' 439
ἕκαστά ἐστιν, ἀλλ' οὐσίαι εἰσὶν ἐν τοῖς καθ' ἕκαστα μεμερισμέναι πως καὶ ἀμέριστοι, μεμερισμέναι μὲν ᾗ ἐν τοῖς καθ' ἕκαστά εἰσιν, ἤτοι αὐτὰ τὰ καθ' ἕκαστά εἰσιν, ἀμέριστοι δὲ κατὰ τὸ ταὐτὸν τῆς ἐν πᾶσιν εὑρισκομένης φύσεως. καὶ ἑκάστου μὲν καὶ τῶν ἄλλων λόγος ἐστὶ σημαίνων ὅτι ὑπάρχει τόδε τῷδε, ἐὰν τεθῇ ὄνομα, οἷον εἰ τῷ λευκῷ ἀνθρώπῳ τεθείη ὄνομα ἱμάτιον. ἔστι μὲν οὖν τοῦ ἱμάτιον ὀνόματος λόγος· σημαίνει γὰρ τὸ ἱμάτιον ὅτι τὸ λευκὸν ὑπάρχει τῷ ἀνθρώπῳ· οὐ μήν ἐστιν ὁρισμὸς ὁ τοιοῦτος λόγος ὁ λέγων ὅτι τὸ λευκὸν ὑπάρχει τῷ ἀνθρώπῳ, οὐδὲ τί ἦν εἶναί ἐστι καὶ πρᾶγμα δυνάμενον εἶναι καθ' αὑτὸ τὸ δηλούμενον ὑπὸ τοῦ τοιούτου λόγου. εἰπὼν δὲ ἀλλὰ λόγος μὲν ἔσται ἑκάστου καὶ τῶν ἄλλων τί σημαίνει, ἂν ᾖ ὄνομα, ὅτι τόδε τῷδε ὑπάρχει ἐπήγαγεν ἢ ἀντὶ λόγου ἁπλοῦ ἀκριβέστερος. ὅταν γὰρ λέγω ὅτι ἄνθρωπος λευκός, λόγον ἁπλοῦν φημι σημαίνοντα ὅτι ὑπάρχει τὸ λευκὸν τῷ ἀνθρώπῳ· ὅταν δὲ λέγω ὅτι ἄνθρωπός ἐστιν ἔχων χρῶμα διακριτικὸν ὄψεως ἢ ὅτι ζῷον πεζὸν δίπουν λευκόν, εἴρηκα λόγον ἀκριβέστερον· ἐπειδὴ γὰρ λευκόν, ἀληθεύεται ὅτι ἄνθρωπος λευκός.

---

2 ἄλλο κατ' ἄλλου λέγεσθαι Metaph. vulg. 4 καθ' αὑτήν LFS: κατ' αὐτὴν A
9. 10 ἅπερ — εἶναι LFS: om. A 10 ἀλλ'] τῶν A² 13 γὰρ LFS: καὶ γὰρ A
16 οὐσίαι LF: οὐσία A 17 ἀλλὰ A¹LF: ἢ A² 18 λέγονται LF: λέγοντα A: om. S 19 καθάπερ LF: καὶ καθάπερ A καὶ LF: om. A 20 τοῖς καθ' ἕκαστα LF: τοῖς καθ' ἕκαστον A 23 καὶ (post μὲν) LF: om. A 32 φημι LFS: φησὶ A
34. 35 εἴρηκα — λευκός A: τοῦ λέγοντος ὅτι ἄνθρωπος λευκός LF: *orationem dico exactiorem quam quae ait homo albus* (i. e. εἴρηκα λόγον ἀκριβέστερον τοῦ λέγοντος ὅτι ἄνθρωπος λευκός) S ἐπειδὴ — λευκός fort. delenda sunt

Οὕτως οὖν δείξας ὅτι τὸ τί ἦν εἶναι ἐπὶ μόνων τῶν οὐσιῶν ἐστι καὶ ὅτι τούτων μόνων εἰσὶν ὁρισμοί, ἐπάγει ἢ καὶ ὁρισμὸς ὥσπερ καὶ τὸ τί ἐστι πλεονάχως λέγεται, τουτέστιν ὥσπερ τὸ τί ἐστι λέγεται μὲν καὶ ἐπὶ τῆς οὐσίας καὶ ἐπὶ τοῦ ποσοῦ καὶ ἐπὶ τοῦ ποιοῦ (εἴρηκε γὰρ ἐν τῷ πρώτῳ τῶν Τοπικῶν "ὅταν μὲν γὰρ ἐκκειμένου ἀνθρώπου φῇ τὸ ἐκκείμενον ἄνθρωπον εἶναι ἢ ζῷον, τί ἐστι λέγει καὶ οὐσίαν σημαίνει· ὅταν δὲ χρώματος λευκοῦ ἐκκειμένου φῇ τὸ ἐκκείμενον λευκὸν εἶναι ἢ χρῶμα, τί ἐστι λέγει καὶ ποιὸν σημαίνει· ὅταν δὲ πηχυαίου μεγέθους ἐκκειμένου φῇ τὸ ἐκκείμενον πηχυαῖον εἶναι, τί ἐστιν ἐρεῖ καὶ ποσὸν σημαίνει· ὁμοίως δὴ καὶ ἐπὶ τῶν ἄλλων"), ὥσπερ οὖν τὸ τί ἐστι λέγεται πολλαχῶς καὶ ὑπάρχει πᾶσι τοῖς οὖσιν, ἀλλὰ τῷ μέν, ἤτοι τῇ οὐσίᾳ, πρώτως, τοῖς δ' ἑπομένως, οὕτω καὶ τὸ τί ἐστι (λέγων τί ἐστι τὸν ὁρισμόν) πρώτως μὲν καὶ κυρίως τῇ οὐσίᾳ ὑπάρξει, τρόπον δέ τινα καὶ τοῖς ἄλλοις. ὅτι δὲ τὸ τί ἐστιν οὐ μόνον ἐπὶ τῆς οὐσίας λέγεται ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων πάλιν δείκνυσι λέγων καὶ γὰρ τὸ ποιὸν ἐροίμεθ' ἂν τί ἐστιν, ὥστε καὶ τὸ ποιόν ἐστι τῶν τί ἐστι. καὶ λέγεται ἐπὶ τοῦ ποιοῦ τὸ τί ἐστιν. ἀλλ' οὐχ ἁπλῶς· ἀλλ' ὥσπερ καὶ τὸ μὴ ὂν λογικῶς καὶ ἐνδόξως ἐπιχειροῦντές τινές φασιν ὅτι τὸ μὴ ὂν ἔστιν. οὐχ ἁπλῶς δέ φασιν ὅτι ὑπάρχει καὶ ἔστι τῶν ὄντων, ἀλλ' ὅτι ἔστι μέν, ἀλλ' οὐκ ὂν ἀλλὰ μὴ ὄν, οὕτω καὶ τὸ ποιὸν λέγομεν αὐτὸ τί ἐστιν, ἀλλ' οὐχ ἁπλῶς ὥσπερ ἐπὶ τῆς οὐσίας, ἀλλὰ μετὰ προσθήκης τί ἐστι ποιόν. ἐπὶ μὲν γὰρ τῆς οὐσίας ἁπλῶς καὶ χωρὶς προσθήκης φαμὲν τὸ τί ἐστιν, ἐπὶ δὲ τῶν ἄλλων, ὡς εἴρηται, μετὰ προσθήκης τί ἐστι ποιὸν ἢ τί ἐστι ποσόν. εἰπὼν οὖν ὅτι τὸ τί ἐστι λέγεται ἁπλῶς μὲν ἐπὶ τῆς οὐσίας, πῶς δὲ καὶ ἐπὶ τῶν ἄλλων, λέγει ὅτι δεῖ μὲν οὖν σκοπεῖν καὶ πῶς δεῖ λέγειν περὶ ἕκαστα, τουτέστι δεῖ μὲν οὖν σκοπεῖν εἴτε οὕτως χρὴ λέγειν ὅτι τί ἐστι ποιόν, εἴτε ἁπλῶς τί ἐστιν. ἢ οὐ τοῦτό ἐστι τὸ λεγόμενον, ἀλλ' ὅτι δεῖ μὲν οὖν ζητεῖν καὶ φροντίζειν καὶ τῆς τοῦ λόγου καλλιεπείας τε καὶ χάριτος, ἵνα μὴ ξηρὸς ᾖ, τοσοῦτον δὲ ὅσον γε πῶς ἔχει φύσεως τὰ πράγματα καὶ πῶς ὀφείλει λέγεσθαί τε καὶ νοεῖσθαι. τοῦτο θεὶς μεταξὺ λέγει διὸ καὶ νῦν, ἐπεὶ τὸ λεγόμενον φανερόν, ἤτοι ἐπεὶ φανερόν ἐστιν ὅτι κυρίως τὸ τί ἐστιν ἐπὶ τῆς οὐσίας λέγεται, καὶ τὸ τί ἦν εἶναι ὑπάρξει πρώτως μὲν καὶ ἁπλῶς τῇ οὐσίᾳ, εἶτα καὶ τοῖς ἄλλοις ὑπάρξει τὸ τί ἦν εἶναι, ἀλλ' οὐχ ἁπλῶς ἀλλὰ μετὰ προσθήκης, οἷον τί ἦν εἶναι ποιῷ ἢ τί ἦν εἶναι ποσῷ, ὥσπερ καὶ τὸ τί ἐστιν οὐχ ἁπλῶς ὑπάρχει αὐτοῖς, ἀλλὰ τῇ μὲν οὐσίᾳ ἁπλῶς, αὐτοῖς δὲ τὸ μετὰ προσθήκης τί ἐστι ποιόν· οὕτως καὶ τὸ τί ἦν εἶναι μετὰ προσθήκης, οἷον τί ἦν εἶναι ποιῷ ἢ τί ἦν εἶναι ποσῷ. καὶ ὥσπερ τὸ μὴ ἐπι-

---

1 ὅτι τὸ LF: ὅτι om. A 4 καὶ ἐπὶ τοῦ ποσοῦ LFS: om. A 4. 5 ἐν τῷ πρώτῳ τῶν Τοπικῶν] c. 9 p. 103b29 sqq. 15. 16 καὶ γὰρ—τῶν τί ἐστι $A^2$LF: om. $A^1$S 16 post τῶν τί ἐστι repetit οὐ μόνον—λέγων (14. 15) L 19 καὶ ἔστι LFS: om. A ἀλλ' ὅτι ἔστι LFS: ἀλλὰ τί ἐστι A 20 τί ἐστι LF: εἶναι A 21 τί ἐστι] ὅτι ἔστι $A^2$ 25 ἕκαστον Metaph. vulg. 26 οὕτως LFS: οὔτε S 28. 29 ἢ, οὐ τοσοῦτον LF 30 τε LF: τι A 33. 34 ἀλλ' οὐχ—ἢ τί ἦν εἶναι LFS: om. A

στητὸν λέγεται ἐπιστητόν, οὐχ ἁπλῶς ὅτι ἐπιστήμη αὐτοῦ ἐστιν, ἀλλ' ὅτι ἐπιστήμη αὐτοῦ ἐστιν ὅτι οὐκ ἔστιν ἐπιστητόν, οὕτως καὶ ἐπὶ τούτων οὐχ ἁπλῶς τὸ τί ἦν εἶναι ἐπ' αὐτῶν λεχθήσεται, ἀλλὰ μετὰ προσθήκης. καὶ ἔστιν οὖν ἡ τοῦ λόγου σύνταξις τοιαύτη τις· καὶ τὸ τί ἦν εἶναι ὁμοίως ὑπάρξει πρώτως μὲν καὶ ἁπλῶς τῇ οὐσίᾳ, εἶτα καὶ τοῖς ἄλλοις, οὐχ ἁπλῶς τί ἦν εἶναι, ἀλλὰ ποιῷ ἢ ποσῷ, ὥσπερ καὶ τὸ τί ἐστιν· καὶ γὰρ τὸ τί ἐστιν οὐχ ἁπλῶς αὐτοῖς ὑπάρχει, ἀλλὰ μετὰ προσθήκης. εἶτα ἀπ' ἄλλης ἀρχῆς τὸ ὥσπερ καὶ τὸ μὴ ἐπιστητὸν ἐπιστητόν, εἶτα τὸ ἢ προστιθέντας καὶ ἀφαιροῦντας, καὶ οὕτως δεῖ γὰρ ἢ ὁμωνύμως ταῦτα φάναι ὄντα, καὶ δεῖ προσυπακούειν τὸ ἢ συνωνύμως, καὶ οὕτω ἐπεὶ τό γε ὀρθόν ἐστι μήτε ὁμωνύμως φάναι καὶ τὰ ἑξῆς. τὸ γὰρ ἢ προστιθέντας ἢ ἀφαιροῦντας, ὥσπερ καὶ τὸ μὴ ἐπιστητὸν ἐπιστητὸν μεταξὺ τεθέν, καὶ τὸ δεῖ γὰρ ὁμωνύμως ταῦτα φάναι ἐλλιπῶς τεθέν (ἔδει γὰρ προσκεῖσθαι καὶ τὸ ἢ συνωνύμως) ἀσάφειαν ἐποίησε πολλήν. καὶ ἔστιν ἴσως ὁ λόγος τοιοῦτος. καὶ τὸ τί ἦν εἶναι ὑπάρξει πρώτως μὲν καὶ ἁπλῶς τῇ οὐσίᾳ, εἶτα ὑπάρξει τὸ τί ἦν εἶναι καὶ τοῖς | ἄλλοις, ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ὥσπερ καὶ τὸ τί 441 ἐστιν οὐχ ἁπλῶς αὐτοῖς ὑπάρχει, οὕτως καὶ τὸ τί ἦν εἶναι, καὶ ὥσπερ τὸ μὴ ἐπιστητὸν ἐπιστητὸν λέγεται οὐχ ἁπλῶς, οὕτως καὶ ταῦτα δεῖ λέγειν, ἢ προστιθέντας ἢ ἀφαιροῦντας, προστιθέντας μὲν ἐπὶ τοῦ ποσοῦ ἢ τοῦ ποιοῦ καὶ τῶν ἄλλων, τί ἦν εἶναι λέγοντας ποιῷ ἢ τί ἦν εἶναι ποσῷ, ἀφαιροῦντας δὲ ἤτοι ἁπλῶς δὲ καὶ ἄνευ προσθήκης λέγοντας ἐπὶ τῆς οὐσίας· εἶτα (δεῖ γὰρ τοῦ γάρ συνδέσμου ἀντὶ τοῦ δέ ἀκούοντας ὡς ἄλλο τι λέγοντος) δεῖ δὲ ἢ ὁμωνύμως ταῦτα φάναι ὄντα ἢ συνωνύμως· ἐπεὶ τό γε ὀρθόν ἐστι μήτε ὁμωνύμως, ὡς ἂν εἰ ἔλεγε, δεῖ τὴν οὐσίαν καὶ τὸ ποσὸν καὶ τὸ ποιὸν καὶ τὰς λοιπὰς κατηγορίας ἢ ὁμωνύμως ὄντα λέγειν ἢ συνωνύμως, εἶτα ἐπικριτικὸν ἐπήνεγκε τὸ τό γε ὀρθὸν καὶ ἀληθές ἐστι μήτε ὁμωνύμως φάναι μήτε ὡσαύτως, ἀντὶ τοῦ συνωνύμως, ἀλλὰ τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἕν, ὥσπερ καὶ τὸ ἰατρικὸν λέγεται πρὸς τὸ αὐτὸ καὶ ἕν, ἀντὶ τοῦ τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἕν, οὐ τὸ αὐτὸ δὲ καὶ ἕν, ἤτοι οὐ συνωνύμως δέ, οὐ μέντοι οὐδὲ ὁμωνύμως. οὐδὲ γὰρ τὸ ἰατρικὸν σῶμα καὶ σκεῦος οὔτε ὁμωνύμως λέγεται οὔτε καθ' ἓν καὶ συνωνύμως, ἀλλὰ πρὸς ἕν, ἤγουν ὡς τὰ ἀφ' ἑνός τε καὶ πρὸς ἕν. ὥσπερ οὖν ταῦτα οὐχ ἁπλῶς λέγεται ὄντα, ἀλλὰ πρώτως μὲν καὶ κυρίως ἡ οὐσία, δευτέρως δὲ καὶ αἱ λοιπαὶ κατηγορίαι, οὕτω καὶ ὁ πρώτως καὶ ἁπλῶς ὁρισμὸς καὶ τὸ τί ἦν εἶναι τῶν οὐσιῶν ἐστιν, ἔστι δὲ ὅμως καὶ τῶν ἄλλων ὥσπερ εἴρηται. τὸ δὲ ἀλλὰ ταῦτα μὲν ὁποτέρως τις ἐθέλει λέγειν διαφέρει οὐθέν, ταῦτα λέγων τὰ δέκα γενικώτατα γένη· εἴτε οὖν, φησί, συνωνύμως ὄντα λέγειν τις αὐτὰ βούλεται εἴτε ὁμωνύμως ἢ ὅ καὶ μᾶλλον τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἕν, οὐδὲν πρὸς τὸν λόγον.

1 οὐχ A: ἀλλ' οὐχ LF 6 τί ἦν LF: τὸ τί ἦν A ἢ LF: καὶ A 18 ὑπάρχει LFS: ὑπάρχειν A 23 ἀντὶ LS: in lac. om. A τοῦ LF: οὐ A ἀκούοντας M Brandis Bonitz: ἀκούοντες AL 27 ἐπήνεγκε M: *infert* S: ἐπενεγκεῖν AL 35 δευτέρως LFS: δεύτεραι A

p. 1030b 7 Οὐ γὰρ [δὴ] ἀνάγκη, ἂν τοῦτο τιθῶμεν, τούτου ὁρισμὸν εἶναι ὃ ἂν λόγῳ τὸ αὐτὸ σημαίνῃ, ἀλλὰ τινὶ λόγῳ.

Ἐπειδὴ πᾶν ὄνομα, οὗ ἂν ᾖ, ταὐτὸν σημαίνει τῷ λόγῳ καὶ ὁρισμῷ τοῦ πράγματος, καὶ ἔμπαλιν ὁ λόγος ταὐτὸν τῷ ὀνόματι, τοῦτο δὲ οὐ μόνον ἐπὶ τούτων εὑρίσκεται, ἀλλὰ πολλάκις εἰσὶν ὀνόματα λόγῳ ταὐτὸν δηλοῦντα καὶ ἔμπαλιν, καὶ ὅμως οἱ λόγοι, οἷς ταὐτὸν τὸ ὄνομα δηλοῖ, οὐκ εἰσιν ὁρισμοί· ἐπειδὴ οὖν τοῦτο ἔστιν, ἡ δὲ πρόθεσις περὶ ὁρισμῶν ἐστιν, διορίζει καὶ περὶ τούτου, καί φησιν ὡς εἴπερ ἁπλῶς ἀποφαινόμεθα ὅτι ὃ ἂν ὄνομα λόγῳ ταὐτὸν δηλοῖ, οὗτος ὁ λόγος, οὗ πράγματος σημαντικὸν τὸ ὄνομά ἐστιν, ὁρισμός ἐστιν, οὐκ ἀναγκαῖόν τι συμβαίνει· πολλὰ γὰρ ὀνόματα ἔστι τῷ λόγῳ | ταὐτὸν δηλοῦντα καὶ οὔκ εἰσιν οἱ λόγοι ὁρισμοί, 442 οὐδὲ τὰ ὀνόματα τῶν λόγων δηλωτικά. λέγεται γὰρ καὶ τὰ ὀνόματα ὁρισμοί, ὅτι ταὐτὸν δηλοῦσι τῷ ὁρισμῷ· ὡς γὰρ ὁ ἄνθρωπος λέγεται βροτὸς καὶ ὁ βροτὸς ἄνθρωπος ὅτι ταὐτὸν δηλοῦσιν, εἰ καὶ ὁ λόγος καὶ ὁ ὁρισμὸς ὀνόματι ταὐτὸν δηλοῖ καὶ τὸ ὄνομα τῷ λόγῳ, λεχθήσεται καὶ τὸ ὄνομα ὁρισμὸς καὶ ὁ ὁρισμὸς ὄνομα. καὶ ἃ μὲν οἶμαι βούλεται λέγειν ταὐτά ἐστιν. ὁ γὰρ σύνδεσμος ὁ γάρ τεθεὶς ἔμφασιν δίδωσι τοῦ τὰ λεγόμενα εἶναι κατασκευαστικά τινος τῶν προσεχῶς ῥηθέντων· οὐκ ἔστι δὲ τοῦτο, ἀλλὰ δεῖ τὸν γάρ ἀντὶ τοῦ δή συνδέσμου ἐκλαβεῖν. πολλαχοῦ γὰρ τοῦτο σύνηθες αὐτῷ, ὡς καὶ ἐν τῷ Β τῶν Ὑστέρων ἀναλυτικῶν ἐπεσημηνάμεθα καὶ ἐν ἄλλοις πολλοῖς. δεῖ οὖν τοῦ γάρ ἀντὶ τοῦ δή συνδέσμου ἀκούειν. καὶ εἴη ἂν ὃ λέγει τοιοῦτον. οὐ δή, φησίν, ἀνάγκη, τουτέστιν οὐκ ἀναγκαῖον δή τι συμβαίνει, ἂν τοῦτο θῶμεν, ὅτι ὃ ἂν ὄνομα λόγῳ ταὐτὸν σημαίνῃ, ἐκεῖνον τὸν λόγον, ᾧ ταὐτὸν τὸ ὄνομα σημαίνει, ὁρισμόν τινα τοῦ πράγματος εἶναι· ἀλλὰ τοῦτο χρὴ λέγειν ὅτι εἴ τι ὄνομα λόγῳ τινὶ ταὐτὸν σημαίνει, ἐκεῖνος ὁ λόγος ὁρισμός ἐστι τοῦ πράγματος. ἔσται δὲ ὁ λόγος ὁ ὑπὸ τοῦ ὀνόματος δηλούμενος ὁρισμός, ἐὰν τὸ ὄνομα δηλωτικόν ἐστιν ἑνὸς λόγου, ἑνὸς δὲ μὴ τῷ συνεχεῖ, ὥσπερ ἡ Ἰλιὰς ἢ ὅσα συνδέσμῳ ἕν. τὸ δὲ ὅσα συνδέσμῳ οὐχ ὡς ἕτερόν τι δηλοῦν τοῦ μὴ τῷ συνεχεῖ ἐπῆκται, ἀλλὰ ὥσπερ εἰ ἔλεγε τῷ συνεχεῖ ὥσπερ ἡ Ἰλιάς, ἐπειδὴ δὲ ἡ Ἰλιὰς τῷ σύνδεσμῳ ἐστὶ συνεχής, ἐπήγαγεν ἢ ὅσα συνδέσμῳ. ὁ λόγος οὖν, φησίν, ὁ ὑπὸ τοῦ ὀνόματος δηλούμενος ἔσται ὁρισμὸς εἰ εἷς εἴη, εἷς δὲ μὴ τῷ συνδέσμῳ ἀλλ' ἐὰν ὁσαχῶς λέγεται τὸ ἕν, τουτέστιν ὁσαχῶς λέγεται τὸ κυρίως ἕν, ἐὰν ὁ λόγος εἷς ᾖ καθ' ἓν τῶν τοῦ κυρίως ἑνὸς σημαινομένων, ἔσται ὁρισμός. εἰπὼν δὲ ὅτι ὁσαχῶς λέγεται τὸ ἕν, λέγει ὅτι τοσαυταχῶς λέγεται τὸ ἕν, ὁσαχῶς καὶ τὸ ὂν ἤτοι δεκαχῶς. δέδεικται γὰρ ἐν τῷ Γ ταύτης τῆς πραγματείας ὅτι ἀκολου-

1 δὴ delevi coll. 19. 21 3 ᾖ F: εἴη AL 8 ἀποφαινόμεθα] ἀποφαινοίμεθα MS Bonitz 11 ταὐτὸν LF: ταὐτὰ A 12 γάρ] δὲ LF 16 ὁρισμὸς LF: ὁ ὁρισμὸς A 20. 21 ὡς—ἐπεσημηνάμεθα] v. Bonitzii praef. p. XXIII ἐπεσημειωσάμεθα LF 20 Ὑστέρων] δευτέρων LF 28 ἐστιν ALF: ᾖ M Bonitz 35 ἑνὸς LF: ἓν A 37 ἐν τῷ Γ] c. 2 p. 1003b 22 sqq.

θοῦσιν ἀλλήλοις τὸ ἓν καὶ τὸ ὄν· ὥστε καὶ τοῦτό φησιν, ὅτι ἐκεῖνος ὁ λόγος ἐστὶν ὁρισμός, ἐὰν εἷς ᾖ, τουτέστιν ἂν μιᾶς ᾖ φύσεως καὶ οὐσίας δηλωτικός, οὐ μὴν ἂν εἷς ᾖ τῷ συνδέσμῳ. τὸ δὲ διὸ καὶ λευκοῦ ἀνθρώπου ἔσται λόγος ὡς συμπέρασμα εἴρηται τῶν εἰρημένων, ἴσον λέγων τῷ δῆλον, φησίν, ἐξ ὧν εἴρηται ὅτι ἔσται καὶ τοῦ λευκοῦ ἀνθρώπου ὁρισμός, ἄλλον δὲ τρόπον τῆς οὐσίας ἔσται ὁρισμὸς καὶ ἄλλον τοῦ λευκοῦ καὶ ἄλλον τοῦ λευκοῦ ἀνθρώπου· ἐκείνων μὲν γὰρ ὡς ἁπλῶν ὄντων ἔσται ὁρισμός, τοῦ μὲν οὐσίας τοῦ δὲ ποιοῦ, τοῦ δὲ λευκοῦ ἀνθρώπου ὡς συνθέτου.

p. 1030b14 Ἔχει δ' ἀπορίαν, ἐάν τις μὴ φῇ ὁρισμὸν εἶναι τὸν ἐκ προσθέσεως λόγον. 443

Εἰπὼν προσεχῶς διὸ καὶ λευκοῦ ἀνθρώπου ἔσται λόγος καὶ ὁρισμός, τὴν αἰτίαν τίθησι δι' ἣν δοκεῖ λόγους εἶναι καὶ ὁρισμοὺς τῶν συνθέτων (ἐκ προσθέσεως γὰρ τὰ ἐξ ὑποκειμένου καὶ κατηγορουμένου συγκείμενά φησιν ὡς τὸν λευκὸν ἄνθρωπον), ἴσον λέγων ὡς εἴ τις μὴ δῷ λόγον εἶναι καὶ ὁρισμὸν τοῦ λευκοῦ ἀνθρώπου, ἀπορήσειεν ἄν τις πρὸς αὐτὸν ὅτι ἐπειδὴ φανερῶς λόγοι εἰσὶ τῶν ἐκ προσθέσεως οἷον τοῦ λευκοῦ ἀνθρώπου τὸ ζῷον πεζὸν δίπουν ἔχον χρῶμα διακριτικὸν ὄψεως, τίνος οὖν ἔσται οὗτος ὁρισμός, καὶ ἁπλῶς πάντων τῶν ἐκ προσθέσεως οἱ λόγοι τίνος ἔσονται, εἴπερ μὴ αὐτῶν εἰσιν; οὐχ ἁπλᾶ δὲ ἀλλὰ συνδεδυασμένα τὰ ἐκ προσθέσεως εἴρηκε. τοῦ δὲ εἶναι τῶν συνδεδυασμένων λόγους ἐπήγαγε τὸ ἐκ προσθέσεως γὰρ ἀνάγκη δηλοῦν, τουτέστιν ἀνάγκη γὰρ λέγοντας ἡμᾶς περὶ τῶν ἐκ προσθέσεως ἐκ προσθέσεως δηλοῦν τοὺς ὁρισμοὺς αὐτῶν. οἷον ἔστι ῥὶς καὶ κοιλότης, καὶ σιμότης τὸ ἐκ τῶν δυοῖν, λέγω δὴ ῥινὸς καὶ σιμότητος, λεγόμενον, τοῦτό ἐστι τὸ ὑπάρχειν τὴν σιμότητα ἐν τῇ ῥινί, καὶ οὐ κατὰ συμβεβηκὸς οὔθ' ἡ κοιλότης οὔθ' ἡ σιμότης πάθος τῆς ῥινὸς ὥσπερ τὸ λευκὸν τῷ Καλλίᾳ κατὰ συμβεβηκὸς ὑπάρχει ἢ τῷ ἀνθρώπῳ, ὅτι ᾧ Καλλίᾳ συμβέβηκεν ἀνθρώπῳ εἶναι λευκός ἐστιν. οὐχ ὅτι δὲ ὡς τὸ λευκὸν συμβέβηκε τῷ Καλλίᾳ, συμβέβηκε δ' αὐτῷ ὡς πάθος, οὕτω συνέβη αὐτῷ καὶ ὁ ἄνθρωπος, ἀλλ' ὡς οὐσία καὶ εἶδος· οὐδὲ κατὰ συμβεβηκὸς οὔθ' ἡ κοιλότης οὔθ' ἡ σιμότης πάθος τῆς ῥινός, ἀλλὰ καθ' αὑτὴν ὑπάρχει ἡ σιμότης αὐτῇ, ὥσπερ καὶ τὸ ἄρρεν τῷ ζῴῳ καὶ τὸ ἴσον τῷ ποσῷ καὶ πάνθ' ὅσα λέγεται καθ' αὑτὸ ὑπάρχειν. τίνα δέ ἐστι τὰ καθ' αὑτὸ ὑπάρχοντα ἐδήλωσεν εἰπὼν ταῦτα δ' ἐστὶν ἐν ὅσοις ὑπάρχει ἢ ὁ λόγος ἢ τοὔνομα, οὗ ἐστι τοῦτο τὸ πάθος, τουτέστιν ἐκεῖνα λέγομεν ὑπάρχειν καθ' αὑτά, ὧν παθῶν καὶ κατηγορουμένων εἰς τοὺς λόγους λαμβάνεται ἢ τὰ ὀνόματα τῶν ὑποκειμέ-

6 καὶ ἄλλον — ὁρισμός (8) LS: om. A 16 ἀπορήσειεν — ἀνθρώπου (18) LFS: om. A 24 τῶν δυοῖν LFS: τῶν om. A 25 σιμότητος — σιμότητα ALFS: „sed lege κοιλότητος — κοιλότητα" Bonitz 26. 27 καὶ οὐ — ῥινὸς LFS: om. A 27 ὥσπερ LFS: οὐχ ὥσπερ A

νων αὐτοῖς ἢ οἱ λόγοι, καὶ οὐκ ἐνδέχεται δηλῶσαι καὶ ὁρίσασθαι τὸ πάθος χωρὶς τοῦ ὑποκειμένου αὐτῷ. οἷόν ἐστι πάθος τῆς ῥινὸς ἡ σιμότης καὶ οὐκ ἐνδέχεται τὴν σιμότητα ὁρίσασθαι χωρὶς τῆς ῥινός, ἧς ῥινός ἐστι πάθος ἡ σιμότης· φαμὲν γὰρ ὅτι σιμότης ἐστὶ κοίλανσις ἐν ῥινί. καὶ ἐν μὲν τῷ τῆς σιμότητος ὁρισμῷ εἴληπται τὸ ὄνομα τῆς ῥινός. ἐν ἄλλοις δὲ ἐνδέχεται ληφθῆναι οὐ μόνον τὸ ὄνομα τοῦ ὑποκειμένου, ἀλλὰ καὶ τὸν ὁρισμόν· οἷον εἴ τις ὁρίζεται τὸ ἄρρεν, εἰ μὲν ἐρεῖ 'ἄρρεν ἐστὶ ζῷον ὃ πέφυκεν ἐν ἄλλῳ γεννᾶν', εἴληφε τὸ ὄνομα τοῦ ὑποκειμένου τῷ ἄρρενι τὸ ζῷον, εἰ δὲ λέγει ὅτι ἄρ|ρεν ἐστὶν οὐσία ἔμψυχος αἰσθητικὴ πεφυκυῖα 444 ἐν ἄλλῳ γεννᾶν, τὸν ὁρισμὸν εἶπε τοῦ ὑποκειμένου τῷ ἄρρενι καὶ οὐχὶ τὸ ὄνομα. ἔστιν οὖν καὶ τὸ ἄρρεν καὶ τὸ θῆλυ καὶ ἡ σιμότης τῶν καθ' αὑτά, ὅτι ἄνευ τῶν ὑποκειμένων αὐτοῖς οὐκ ἐνδέχεται ὁρισθῆναι, ὥσπερ τὸ λευκόν· τοῦτο γὰρ ἄνευ ἀνθρώπου ἢ ὅλως ὑποκειμένου ὁρίζεται. εἰ δή, ὥσπερ εἴρηται, οἱ ὁρισμοὶ τῶν καθ' αὑτό εἰσι, τὸ δὲ σιμὸν καὶ τὰ τοιαῦτα τῶν καθ' αὑτό, ἔσται ἄρα καὶ τῶν τοιούτων ὁρισμός. αὐτὸς δὲ οὐ τοῦτο ἐπήγαγεν, ἀλλ' ἐπειδὴ εἴρηκε πρότερον ὅτι καθ' αὑτά ἐστιν, ὧν καὶ τοὺς ὁρισμοὺς εἶναί φαμεν, ἃ δύναται εἶναι αὐτὰ καθ' αὑτά, ἡ δὲ σιμότης αὐτὴ καθ' αὑτὴν οὐ δύναται εἶναι ἄνευ τῆς ῥινός, θαρρούντως ἐπήγαγεν ὥστε τούτων τὸ τί ἦν εἶναι καὶ ὁρισμὸς ἢ οὐκ ἔστιν οὐδενός (πῶς γάρ; οὐδὲ γάρ εἰσι καθ' αὑτά, οἱ δὲ ὁρισμοί, ὡς δέδεικται, τῶν καθ' αὑτά), ἢ ἔστι καὶ τούτων ὁρισμός, ἀλλὰ καθάπερ εἰρήκαμεν· εἴρηται δὲ ὅτι πρώτως μὲν καὶ ἁπλῶς τῇ οὐσίᾳ, εἶτα καὶ τοῖς ἄλλοις.

p. 1030b28 Ἔστι δ' ἀπορία καὶ ἑτέρα περὶ αὐτά.

Περὶ τῶν καθ' αὑτά φησιν ὑπαρχόντων καὶ ἑτέρα ἀπορία ἐστίν. ζητήσειε γὰρ ἄν τις ὅτι εἰ καθ' αὑτὸ τὸ σιμὸν ὑπάρχει τῇ ῥινὶ καὶ τὸ κοῖλον, ἔσται καὶ ἡ σιμὴ ῥὶς τῇ κοίλῃ ῥινὶ ταὐτόν, εἰ δὲ τοῦτο, καὶ διελόντι τὸ σιμὸν τῷ κοίλῳ. ἀλλὰ τοῦτο ψεῦδος· τὸ μὲν γὰρ κοῖλον ἐπὶ πλέον ἐστὶ τῆς σιμότητος· κοῖλον γὰρ καὶ ἐν ξύλῳ καὶ ἐν χαλκῷ καὶ ἐν γῇ καὶ ἐν ἄλλοις πολλοῖς θεωρεῖται, σιμὸν δὲ ἄνευ τῆς ῥινὸς οὐκ ἔστιν. οὕτως οὖν ἀπορήσας φησὶν εἰ δὲ μὴ διὰ τὸ ἀδύνατον εἶναι εἰπεῖν τὸ σιμὸν ἄνευ τοῦ πράγματος. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ δὲ λέγοι τις ὅτι σιμὴν ῥῖνα ἢ κοίλην ῥῖνα ὅλως οὔ φημι, εἰ δὲ μὴ τοῦτο λέγω, οὐκ ἂν συναχθείη τὸ ταὐτὸν εἶναι τὴν σιμὴν ῥῖνα τῇ κοίλῃ ῥινί, εἰ δὲ μὴ τοῦτο, οὐδὲ τὸ σιμὸν ταὐτὸν τῷ κοίλῳ. καὶ τὴν αἰτίαν αὐτοῦ δι' ἣν ἄν τις σιμὴν ῥῖνα ἢ κοίλην ῥῖνα οὐκ ἂν ἐρεῖ, ἀλλ' εἴπερ ἄρα λέγειν βούλεται. σιμὸν μόνον ἐρεῖ καὶ κοῖλον χωρὶς τῆς ῥινός, ἐπήγαγεν εἰπὼν διὰ τὸ ἀδύνατον εἶναι εἰπεῖν τὸ σιμὸν ἄνευ τοῦ πράγματος. ὅταν γὰρ εἴπω σιμόν, οὐδὲν ἄλλο λέγω ἢ ῥῖνα σιμήν, εἰ δ' ἐρῶ ὅτι σιμὴ ῥίς, τοῦτο λέγω

---

2 αὐτῷ LF: αὐτοῦ A 18 καθ' αὑτὴν LFS: καὶ καθ' αὑτὴν A 23 περὶ αὐτῶν Metaph. vulg. 34 αὐτοῦ LF: τοῦ A

ὅτι σιμὴ ῥὶς ῥίς· ἅμα γὰρ τῷ εἰπεῖν σιμὸν ῥῖνα εἴρηκα· εἰ δὲ προσθήσω τῷ σιμῷ καὶ τὴν ῥῖνα, συμβαίνει λέγεσθαι τὴν ῥῖνα δίς· τοῦτο δὲ καὶ ἐπὶ τοῦ κοίλου· εἰ δὲ τοῦτο πρὸς τῷ ἀσύνηθες εἶναι καὶ ἀδολεσχίας ἐστὶ μέρος, οὐκ ἐνδέχεται λέγειν ῥῖνα σιμὴν οὐδὲ κοίλην ῥῖνα. εἰ δὲ τοῦτο ἀληθές, οὐ συνάγεται τὸ ταὐτὸν εἶναι τὴν σιμὴν ῥῖνα τῇ κοίλῃ ῥινί· εἰ δὲ τοῦτο, οὐδὲ τὸ σιμὸν τῷ κοίλῳ. εἰ δὲ ἀδύνατόν ἐστιν, ὥσπερ εἴρηται, τὸ σιμὸν ἄνευ τῆς ῥινὸς λεχθῆναι, ἀλλ' ἅμα τῷ σιμὸν εἰπεῖν τὸ πρᾶγμα λέγομεν οὗ πάθος ἐστὶ τὸ σιμόν. εἰ δὴ τοῦτο ἀδύνατον. τὸ ῥῖνα, φησί, σιμὴν εἰπεῖν ἢ οὐκ ἔστιν, ἀλλὰ μόνον τὸ σιμὸν χρὴ λέγειν, ἢ εἴπερ λεχθήσεται σιμὴ ῥίς, δὶς ἔσται τὸ ῥὶς εἰρημένον. αὐτὸς δὲ ἀντὶ τοῦ εἰπεῖν ῥὶς ῥὶς σιμὴ εἰπὼν ὅτι ῥὶς ῥὶς κοίλη τὴν αἰτίαν τοῦ ὅπως ἀντὶ τοῦ σιμοῦ τὸ κοῖλον εἴρηκεν ἐπάγει. ἡ γὰρ ῥὶς ἡ σιμή, φησί, ῥὶς ῥὶς κοίλη ἔσται. ἐπειδὴ γὰρ τὸ σιμὸν ὑπὸ τὸ κοῖλόν ἐστιν, ὁ λέγων ὅτι ῥὶς [ῥὶς] σιμὴ ῥὶς ῥὶς κοίλη λέγει. διὸ ἄτοπον ἐν τοῖς τοιούτοις, ἐν οἷς αἱ τοιαῦται ἀδολεσχίαι, τὸ τί ἦν εἶναι ὑπάρχειν. εἰ δέ τις λέγει ὅτι ἔσται καὶ ἐν τούτοις τὸ τί ἦν εἶναι καὶ ὁρισμός, εἰς ἄπειρον εἶσιν. εἰ δὲ τὸ εἰς ἄπειρον ἀνιέναι οὐκ ἐνδέχεται, οὐκ ἔστιν ἐν τοῖς τοιούτοις τὸ τί ἦν εἶναι οὐδὲ ὁρισμός. ὅπως δὲ οὕτως εἰς ἄπειρον ἀνιέναι συμβαίνει, ἔσται δῆλον ὧδε· ἐπειδὴ γὰρ τὸ σιμὴ ῥὶς τοῦτο σημαίνει ὅτι ῥὶς ῥὶς σιμή, ἀνάγκη εἴ τις ὁρίζεται τὴν σιμὴν ῥῖνα λέγειν ὅτι σιμὴ ῥίς ἐστι ῥὶς ῥὶς κοίλανσις ἐν ῥινί· ὥστε ὁριζόμενον τὴν ῥῖνα ῥῖνα κοίλανσιν ἐν ῥινὶ ἀνάγκη λέγειν ὅτι ῥὶς ῥὶς ῥὶς κοίλανσις κοίλανσις ἐν ῥινὶ ῥινί, καὶ τοῦτο εἰς ἄπειρον. εἰ δέ τις λέγει 'ἀλλὰ τὸ ῥὶς ῥὶς κοίλανσις ἐν ῥινὶ οὐ δεῖ ὁρίζεσθαι', εἰπάτω τίς ἡ ἀποκλήρωσις τὸ τὴν μὲν σιμὴν ῥῖνα ὁρίζεσθαι τοῦτο δὲ μή.

p. 1031a1 Δῆλον τοίνυν ὅτι μόνης τῆς οὐσίας ἐστὶν ὁ ὁρισμός.

Τῶν γὰρ ἄλλων εἰ λέγει τις εἶναι ὁρισμούς, ἀνάγκη ἐκ προσθέσεως εἶναι· τὸ δὲ ἐκ προσθέσεως λέγω ἐν οἷς συμβαίνει δὶς τὸ αὐτὸ λέγειν. εἴ τις οὖν τῶν ἄλλων κατηγοριῶν, ἤτοι τοῦ ποσοῦ καὶ τοῦ λευκοῦ καὶ τοῦ περιττοῦ καὶ τοῦ θήλεος καὶ τῶν τοιούτων, ὁρισμοὺς εἶναι λέγει, ἀνάγκη δὶς τὸ ὑποκείμενον λαμβάνειν, ὥσπερ εἴρηται ἐπὶ τοῦ σιμοῦ. εἰ γάρ τις τὸ θῆλυ ὁρίσασθαι βουληθῇ, ἀνάγκη τὸ ζῷον δὶς παραλήψεσθαι· εἰ γὰρ θῆλυ λέγων ζῷον λέγω, εἴπερ ὁρίζομαι τὸ θῆλυ, ἀνάγκη λέγειν ὅτι θῆλύ ἐστι ζῷον ζῷον ἐν ᾧ πέφυκεν ἄλλο γεννᾶν. ὁμοίως καὶ

---

1 τῷ L: τὸ AF 2 συμβαίνει LFS: λαμβάνει A 5 τῇ κοίλῃ LFS: ποικίλῃ A 7 τὸ πρᾶγμα LF: τὸ om. A 8 δὴ LS: δὲ A 10 εἰπεῖν LF: om. A 13 alterum ῥὶς del. Bonitz 14 λέγει LFS: λέγεται A 15. 16 ὑπάρχειν—τὸ τί ἦν εἶναι LFS: om. A 16 post ὁρισμός add. εἰ δὲ μὴ A² 18 ὧδε LFS: οἷον A 20 κοίλανσις ἐν ῥινί—ῥὶς ῥὶς ῥὶς (21. 22) LFS: om. A 21 ὁριζόμενον scripsi: ὁριζόμενος LF 22. 23 καὶ τοῦτο—κοίλανσις ἐν ῥινὶ LFS: om. A 24 τὸ ALF: τοῦ Bonitz, sed cf. p. 483,4 31. 32 παραλήψεσθαι] sic ALF 33 ἄλλο A²S: ἐν ἄλλῳ A¹LF

περιττὸν λέγων ἀριθμὸν λέγω, ὥστε εἴπερ ὁρίζομαι τὸ περιττόν, ἀνάγκη λέγειν ὅτι περιττόν ἐστιν ἀριθμὸς ἀριθμὸς μὴ δυνάμενος εἰς δύο ἴσα διαιρεθῆναι. ὥστε εἴπερ τοῦ περιττοῦ ἢ τοῦ θήλεος οὐκ ἔστιν ὁρισμός, οὐδὲ τῶν συνδυαζομένων ἔσται, οἷον ἀριθμοῦ περιττοῦ ἢ θήλεος ζῴου. ἐπειδὴ δ' ἔμελλέ τις λέγειν ὅτι πῶς σὺ φῄς, Ἀριστότελες, ὅτι τὰ πάθη ἄνευ 446 τῶν πραγμάτων οὐ λέγεται, καὶ ἐπὶ τούτῳ ἀναγκαζόμεθα ταῦτα ὁριζόμενοι δὶς λέγειν τὸ ὑποκείμενον αὐτοῖς; τὸ γὰρ περιττὸν ὁρίσαιμι ἂν ἄνευ τοῦ ὑποκειμένου· εἴποιμι γὰρ ὅτι περιττόν ἐστι τὸ μὴ δυνάμενον εἰς δύο ἴσα διαιρεθῆναι, μὴ προσλαβὼν τὸν ἀριθμόν· ἐκδηλότερόν γε μὴν ἐπὶ τοῦ λευκοῦ τοῦτό ἐστιν· λέγομεν γὰρ ὅτι λευκόν ἐστι χρῶμα διακριτικὸν ὄψεως, ὅλως ὑποκειμένου μνείαν μὴ ποιησάμενοι· πρὸς δὴ ταύτην τὴν ἔνστασιν ἁπαντῶν λέγει ἀλλὰ λανθάνει ὅτι οὐκ ἀκριβῶς λέγονται οἱ λόγοι. τουτέστι λανθάνει ὅτι ἄνευ τοῦ ὑποκειμένου τούτοις γίνονται οἱ ὁρισμοὶ τούτων διὰ τὸ μὴ ἀκριβῶς ἀποδίδοσθαι τοὺς ὁρισμοὺς αὐτῶν. εἰ δέ τις ἀκριβολογοίη, εὑρήσει ὡς ἀδύνατόν ἐστι χωρὶς τοῦ ὑποκειμένου ὁρισθῆναί τι τούτων. καὶ ἐγὼ μέν, φησίν, ὁρισμοὺς εἶναι τούτων ὅλως οὐκ ἀρέσκομαι. εἰ δέ τις καὶ τούτων εἶναι λέγει ὁρισμούς, ἢ ἄλλον τρόπον εἰσίν, ἢ καθάπερ πολλαχῶς ἐλέχθη λεκτέον εἶναι τὸν ὁρισμὸν καὶ τὸ τί ἦν εἶναι τούτων, ὅτι ὧδὶ μὲν καὶ κυρίως οὐδενός ἐστι τούτων ὁρισμὸς οὐδὲ τὸ τί ἦν εἶναι καὶ φύσις καθ' αὑτὴν δυναμένη εἶναι οὐδενὶ ὑπάρξει αὐτῶν, τρόπον δέ τινα ἔσται. ταῦτα εἰπὼν συμπεραίνεται καί φησιν ὅτι μὲν οὖν ὁ λόγος τοῦ τί ἦν εἶναι ὁρισμός ἐστι (λόγον λέγων, ὡς πολλάκις εἴρηται, τὴν ἀνάπλωσιν καὶ ἀπαρίθμησιν τῶν εἰς σύστασιν τῶν ὁριστῶν παραλαμβανομένων, τί ἦν εἶναι δὲ τὴν συνεπτυγμένως καὶ ἅμα καθ' ἑαυτὴν οὖσαν νοουμένην φύσιν καὶ κατεσπαρμένην ἐν τοῖς ἀτόμοις, ἧς φύσεως δηλωτικός ἐστιν ὁ ὁρισμός), ὅτι μὲν οὖν ὁ λόγος ὁρισμός ἐστι τοῦ τί ἦν εἶναι καὶ τὸ τί ἦν εἶναι ἢ μόνον τῶν οὐσιῶν ἐστιν ἢ μάλιστα καὶ πρώτως καὶ ἁπλῶς, δῆλον.

p. 1031a15 Πότερον δὲ ταὐτόν ἐστιν ἢ ἕτερον τὸ τί ἦν εἶναι καὶ ἕκαστον, σκεπτέον.

Εἰπὼν τί ποτέ ἐστι τὸ τί ἦν εἶναι καὶ τίς ὁ λόγος αὐτοῦ, καὶ ζητήσας εἰ ἐνδέχεται τί ἦν εἶναι καὶ ὁρισμοὺς τῶν συμβεβηκότων εἶναι, καὶ εἰπὼν ὅτι κυρίως τὸ τί ἦν εἶναι καὶ οἱ ὁρισμοὶ τῶν οὐσιῶν εἰσι, πῶς δὲ καὶ τῶν ἄλλων, νῦν ζητεῖ ἆρά γε ἕκαστον ταὐτόν ἐστι καὶ τὸ τί ἦν εἶναι αὐτοῦ ἢ ἕτερον· πρὸς γὰρ τὴν τῆς οὐσίας καὶ τοῦ εἴδους σκέψιν πολυωφελές ἐστι. καὶ εἰπὼν λέγει ὅτι ταὐτόν ἐστιν ἕκαστον καὶ τὸ τί ἦν εἶναι ἑκάστου· ἕκαστον γὰρ οὐκ ἄλλο ἐστὶ τῆς αὐτοῦ οὐσίας· τὸ δὲ τί ἦν εἶναι

---

2 ὅτι τὸ περιττὸν coni. Bonitz 13 οἱ LF: om. A 18 πολλαχῶς ALF: πολλάκις S Bonitz τὸν LF: om. A 26 ὁ λόγος ὁρισμός libri: ὁ ὁρισμὸς λόγος Bonitz, sed fort. legendum ὁρισμός ἐστιν ὁ λόγος; cf. 22 27 καὶ τὸ τί ἦν εἶναι ἕκαστον σκεπτέον ἢ μόνον LF 28 δῆλον LF: δηλονότι A

οὐσία ἐστίν· ἕκαστον ἄρα οὐκ ἄλλο ἐστὶ τοῦ τί ἦν εἶναι αὐτοῦ, ἀλλὰ ταὐτόν. ἐπὶ μὲν οὖν τῶν καθ' αὑτὸ λεγομένων ταὐτὸν ἕκαστον καὶ τὸ τί ἦν εἶναι αὐτοῦ, οἷον ἄνθρωπος καὶ τὸ ἀνθρώπῳ εἶναι. ἐπὶ δὲ τῶν κατὰ συμβεβηκός, φησί, δόξειεν ἂν ἕτερον εἶναι, οἷον ὁ λευκὸς ἄνθρωπος καὶ τὸ 30
5 λευκῷ ἀνθρώπῳ εἶναι ἕτερον. εἰ γάρ ἐστιν ὁ λευκὸς ἄνθρωπος καὶ τὸ λευκῷ | ἀνθρώπῳ τὸ αὐτό, καὶ τὸ ἀνθρώπῳ χωρὶς καὶ τὸ λευκῷ ἀν- 447
θρώπῳ ἔσται τὸ αὐτό, ὅπερ ἄτοπον· τὸ γὰρ ἀνθρώπῳ εἶναι τὸ τί ἦν εἶναί ἐστι καὶ ἡ οὐσία, τὸ δὲ λευκῷ ἀνθρώπῳ συμβεβηκός· συνέβη γὰρ τῷ ἀνθρώπῳ τὸ λευκῷ ἀνθρώπῳ εἶναι. ἐπεὶ δέ τινες τὸ ἀνθρώπῳ εἶναι
10 καὶ τὸ λευκῷ ἀνθρώπῳ εἶναι ταὐτὸν ἔλεγον, τίθησι τὸν λόγον δι' οὗ 5
τοῦτο κατεσκεύαζον καὶ οὕτως ἐλέγχει αὐτόν. φησὶ γὰρ ὅτι οἱ τὸ ἀνθρώπῳ εἶναι καὶ τὸ λευκῷ ἀνθρώπῳ εἶναι ταὐτὸν εἶναι βουλόμενοι, τοῦτο κατασκευάζοντές φασιν ὅτι ὁ ἄνθρωπος καὶ ὁ λευκὸς ἄνθρωπος τὸ αὐτό, οἷον ὁ Σωκράτης καὶ ὁ λευκὸς Σωκράτης ὁ αὐτός· εἰ δὲ ὁ ἄνθρωπος καὶ
15 ὁ λευκὸς ἄνθρωπος ὁ αὐτός, καὶ τὸ ἀνθρώπῳ εἶναι καὶ τὸ λευκῷ ἀν- 10
θρώπῳ εἶναι ταὐτόν ἐστιν. ἔστι δ' ὁ συλλογισμός, δι' οὗ τοῦτο συνῆγον, ἐν τρίτῳ σχήματι οὕτως· ὁ ἄνθρωπος καὶ ὁ λευκὸς ἄνθρωπος τὸ αὐτό, ὁ ἄνθρωπος καὶ τὸ ἀνθρώπῳ εἶναι τὸ αὐτό· ὁ λευκὸς ἄρα ἄνθρωπος καὶ τὸ ἀνθρώπῳ εἶναι τὸ αὐτό. οὕτω θεὶς τὸν λόγον τῶν τοῦτο βουλομένων
20 λύει αὐτὸν λέγων ἢ οὐκ ἀνάγκη, ὅσα κατὰ συμβεβηκός, εἶναι τὰ αὐτά. οὐ γὰρ ὡσαύτως τὰ ἄκρα γίγνεται τὰ αὐτά. ἐλλιπῶς δὲ ἡρμήνευται τὸ λεγόμενον· δεῖ δὲ προσυπακούειν τὸ τοῖς καθ' αὑτὸ οὖσιν, 15
ἵνα ἢ τὸ πᾶν τοιοῦτον 'οὐ γὰρ ἀνάγκη, ὅσα κατὰ συμβεβηκός εἰσι, τὰ αὐτὰ εἶναι τοῖς καθ' αὑτὰ οὖσι.' καὶ εἴη ἂν διὰ τούτου λέγων ὅτι ὁ μὲν
25 ἄνθρωπος καθ' αὑτό ἐστι ταὐτὸν τῷ ἀνθρώπῳ εἶναι, τῷ δὲ λευκῷ ἀνθρώπῳ κατὰ συμβεβηκός. τὸ δὲ κατὰ συμβεβηκὸς ὂν οὐκ ἂν εἴη ταὐτὸν τῷ καθ' αὑτὸ ὄντι· οὐ γὰρ κατὰ πάντα τρόπον τὰ ἄκρα (ἄκρα λέγων τοὺς κατηγορουμένους ὅρους) γίνεται ταὐτά, ἀλλ' ὅταν μὲν καθ' αὑτὸ ἀμφό- 20
τεροι οἱ ἄκροι κατηγορῶνται τοῦ ὑποκειμένου, τότε γίνονται οἱ αὐτοί, ὅταν
30 δ' ὁ μὲν καθ' αὑτὸ ὁ δὲ κατὰ συμβεβηκός, οὐ γίνονται· οὕτω γὰρ συμβήσεται τὸ χρῶμα εἶναι ἄνθρωπον, οἷον ὁ Σωκράτης λευκός, ὁ Σωκράτης ἄνθρωπος, τὸ λευκὸν ἄρα ἄνθρωπος, ὅπερ ἀδύνατον. ἀλλὰ τὸ μὲν ἀνθρώπῳ εἶναι καὶ λευκῷ ἀνθρώπῳ εἶναι οὐκ ἔστι τὸ αὐτό, δι' ἃς εἴπομεν 25
αἰτίας· ἴσως δέ, φησίν, ἐκεῖνα τὰ ἄκρα δόξειεν ἂν εἶναι τὰ αὐτά, οἷον τὸ
35 λευκῷ εἶναι καὶ τὸ μουσικῷ· κατὰ συμβεβηκὸς γὰρ ἄμφω τῷ ἀνθρώπῳ ὑπάρχει. ἀλλ' οὐδὲ τοῦτο, φησί, δοκεῖ. εἰ δὲ τὸ λευκῷ εἶναι καὶ τὸ μουσικῷ εἶναι οὐ δοκεῖ τὸ αὐτὸ εἶναι (ἄλλης γὰρ φύσεως τὸ μουσικὸν καὶ ἄλλης τὸ λευκόν), πολλῷ μᾶλλον οὐκ ἔσται τὸ ἀνθρώπῳ εἶναι καὶ τὸ

---

1. 2 ἀλλὰ ταὐτόν — αὐτοῦ (3) LFS: om. A  4 καὶ τὸ LF: καὶ om. A  6 et 11. 12 τὸ ἀνθρώπῳ LF: τῷ ἀνθρώπῳ A  8. 9 συνέβη γὰρ τὸ ἀνθρώπῳ εἶναι τὸ λευκῷ L  11 αὐτόν LF: om. A  12 εἶναι (ante καὶ) LFS: om. A  18 ὁ ἄνθρωπος L: καὶ ὁ ἄνθρωπος A  26 ὂν LF: om. A  30. 31 συμβήσεται LF: συμβέβηκε A  35 λευκῷ LF: λευκῷ ἀνθρώπῳ A  38 ἔσται τὸ LF: ἔσται τῷ A

λευκῷ ἀνθρώπῳ τὸ αὐτό. εἰπὼν δὲ ὅτι ἐπὶ τῶν κατὰ συμβεβηκὸς λεγομένων δόξειεν ἕτερον εἶναι ἕκαστον καὶ τὸ τί ἦν εἶναι (οὐδὲ γάρ ἐστι κυρίως ἐπὶ τῶν κατὰ συμβεβηκὸς τὸ τί ἦν εἶναι), καὶ δείξας τοῦτο διὰ τοῦ δεῖξαι ὅτι ἕτερός ἐστιν ὁ ἄνθρωπος | καὶ τὸ λευκῷ ἀνθρώπῳ εἶναι, 448 λέγει ὅτι ἐπὶ τῶν καθ' αὑτὸ λεγομένων ἄρα τὸ αὐτό ἐστιν ἕκαστον καὶ τὸ τί ἦν εἶναι, ἢ οὔ; καὶ ἐρωτήσας καὶ δεικνύναι τοῦτο μέλλων, λέγω δή τὸ ταὐτὸν εἶναι ἕκαστον καὶ τὸ τί ἦν εἶναι, λέγει ὅτι γενέσθω ὁ λόγος ἐπὶ τῶν ἰδεῶν· καὶ εἰ μὲν ἐκεῖσε φανείη ὁ αὐτοάνθρωπος καὶ τὸ αὐτοανθρώπῳ εἶναι τὸ αὐτὸ καὶ τὸ αὐτοαγαθὸν καὶ τὸ αὐτοαγαθῷ εἶναι, ἔσται καὶ ἐνταῦθα ὁ ἄνθρωπος καὶ τὸ ἀνθρώπῳ εἶναι τὸ αὐτὸ καὶ τὸ ἀγαθὸν καὶ τὸ ἀγαθῷ εἶναι, εἰ δὲ ἐκεῖσε ἕτερα, καὶ ἐνταῦθα· καὶ ὅλως ὡς ἂν ἐκεῖσε εὑρεθῶσιν ἔχοντα τὰ εἴδη, οὕτω καὶ τὰ τῇδε ἕξει. εἴ τινες οὖν, φησίν, εἰσὶν οὐσίαι αὐταὶ καθ' αὑτὰς κεχωρισμέναι, ὡς ὁ Πλάτων ἔλεγεν, ὧν οὐσιῶν μή εἰσιν ἕτεραι οὐσίαι μηδὲ φύσεις πρότεραι (τῶν γὰρ ἰδεῶν φύσεις ἄλλας τινὰς καὶ προτέρας οὐκ ἔλεγον οἱ ταύτας τιθέμενοι), εἰ δή εἰσιν οὐσίαι καθ' αὑτάς, οἷας φασὶ τὰς ἰδέας τινὲς εἶναι, ἆρα ἕτερόν ἐστιν αὐτὸ τὸ ἀγαθόν, τουτέστι τὸ αὐτοαγαθόν, καὶ τὸ ἀγαθῷ εἶναι ἤτοι τὸ αὐτοαγαθῷ εἶναι, ἢ οὔ; καί φησιν ὅτι εἰ ἕτερόν ἐστι τὸ αὐτοζῷον καὶ τὸ αὐτοζῴῳ εἶναι, καὶ αὖ τὸ αὐτοαγαθὸν καὶ τὸ αὐτοαγαθῷ εἶναι, καὶ τὸ αὐτοὸν καὶ τὸ αὐτοόντι εἶναι, ἔσονται ἄλλαι οὐσίαι καὶ φύσεις καὶ ἰδέαι παρὰ τὰς λεγομένας καὶ πρότεραι, καὶ μάλιστα ἐκεῖναι οὐσίαι· εἰ γὰρ οὐσία μάλιστά ἐστι τὸ τί ἦν εἶναι, τὸ δὲ τί ἦν εἶναι τὸ ἀνθρώπῳ εἶναί ἐστιν, οὐσία μάλιστά ἐστι τὸ ἀνθρώπῳ εἶναι· εἰ δὲ τοῦτο, καὶ τοῦ αὐτοανθρώπου μάλιστα ἔσται οὐσία τὸ αὐτοανθρώπῳ εἶναι, ὅπερ, λέγω δὴ τὸ αὐτοανθρώπῳ εἶναι, ἐστὶν οὐσία τοῦ αὐτοανθρώπου καὶ τὸ τί ἦν εἶναι αὐτοῦ. τοῦτο δ' οὐ δοκεῖ τοῖς τὰς ἰδέας πρεσβεύουσι τὸ προτέρας εἶναι οὐσίας τινὰς τῶν οὐσιῶν ἤτοι τῶν ἰδεῶν. καὶ εἰ μέν εἰσιν ἀπολελυμέναι ἀλλήλων, τῶν μέν, ἤτοι τοῦ αὐτοανθρώπου καὶ τοῦ αὐτοίππου καὶ τῶν ἄλλων ἰδεῶν, οὐκ ἔσται ἐπιστήμη, τὰ δέ, τουτέστι τὸ αὐτοανθρώπῳ εἶναι καὶ τὸ αὐτοίππῳ εἶναι καὶ ἁπλῶς τὰ τί ἦν εἶναι τῶν ἰδεῶν, οὐκ ἔσται ὄντα. πρὸ δὲ τοῦ δεῖξαι τοῦτο ἑρμηνεύων τὸ τί ἐστι τὸ ἀπολελυμέναι ἐπήγαγε λέγω δὲ τὸ ἀπολελύσθαι εἰ μήτε τῷ ἀγαθῷ αὐτῷ ὑπάρχει τὸ εἶναι ἀγαθῷ μήτε τούτῳ τὸ εἶναι ἀγαθόν, διὰ μὲν τοῦ ἀγαθῷ αὐτῷ δηλώσας τὸ αὐτοαγαθόν, διὰ δὲ τοῦ τὸ εἶναι ἀγαθῷ τὸ αὐτοαγαθῷ εἶναι, τουτέστι τὸ τί ἦν εἶναι τοῦ αὐτοαγαθοῦ. ἀπολελύσθαι οὖν, φησί, λέγεται, εἰ μήτε τῷ ἀγαθῷ αὐτῷ ὑπάρχει τὸ εἶναι ἀγαθῷ, τουτέστιν εἰ μὴ τῷ αὐτοαγαθῷ ὑπάρχει τὸ εἶναι ταὐτὸν τῷ αὐτοαγαθῷ εἶναι, μήτε ἐν τούτῳ τῷ αὐτοαγαθῷ ἐνυπάρχει τὸ αὐτοαγαθῷ εἶναι, ἀλλὰ

4 ἕτερος AL: ἕτερον Brandis Bonitz, sed cf. 482,22. 23 6 μέλλων LF: μέλλον A 8 καὶ τὸ LF: καὶ τῷ A 11 αὐτοαγαθῷ εἶναι LF 13 αὐταὶ LFS: αὗται A 15 οἱ] ὡς A[1] 21 εἰ γὰρ LFS: ἡ γὰρ A 22 τὸ δὲ τί ἦν εἶναι LFS: om. A 25 τοῦ αὐτοανθρώπου M: εἶναι add. ALF 30 τὰ S Bonitz: τὸ ALF 31 ἀπολελυμένα LF 38 μήτε — αὐτοαγαθῷ εἶναι ALF: om. S Bonitz

κεχωρισμένον ἐστὶν αὐτοῦ καὶ ἄλλης φύσεως. ἐκ μὲν οὖν τοῦ λέγειν 449
ἕτερον τὸ αὐτοαγαθὸν τοῦ αὐτοαγαθῷ εἶναι συνάγεται τὸ μὴ εἶναι ταὐτὸν
τὸ αὐτοαγαθὸν ἐκείνῳ ἤτοι τῷ ἀγαθῷ εἶναι (τοῦτο δ' ἐστὶ τὸ τί ἦν εἶναι
τοῦ αὐτοαγαθοῦ)· ἐκ δὲ τοῦ ἀπολελυμένα καὶ κεχωρισμένα αὐτὰ λέγειν 5
5 ἀπ' ἀλλήλων, συμβαίνει τὸ αὐτοαγαθῷ εἶναι, ὅπερ ἐστὶ τὸ τί ἦν εἶναι,
μὴ εἶναι ἐν τῷ αὐτοαγαθῷ· ὅπερ ἀδύνατον. οὕτως οὖν διὰ μέσου εἰπὼν
τί βούλεται αὐτῷ σημαίνειν τὸ ἀπολελυμέναι, δείκνυσιν ὅπως, εἴπερ
εἰσὶν ἀπολελυμέναι, οὐκ ἔσται τῶν ἰδεῶν ἐπιστήμη, λέγων ἐπιστήμη γὰρ
ἑκάστου ἐστὶν ὅταν τὸ τί ἦν εἶναι καὶ τὴν οὐσίαν αὐτοῦ γνῶμεν·
10 εἰ δὲ τοῦ αὐτοαγαθοῦ τὸ τί ἦν εἶναι καὶ ἡ οὐσία ἕτερον αὐτοῦ ἐστι, τὸ 10
λέγειν ὅτι τὸ γνῶναι τὸ τί ἦν εἶναι τοῦ αὐτοαγαθοῦ τὸ γνῶναι τὸ αὐτο-
αγαθόν ἐστιν, ὅμοιόν ἐστι τῷ λέγειν ὅτι τὸ γνῶναι τί ἐστιν ἵππος τὸ γνῶ-
ναί ἐστι τί ἐστιν ἄνθρωπος· ὡς γὰρ ἡ φύσις ἡ τοῦ ἀνθρώπου ἑτέρα ἐστὶ
τῆς τοῦ ἵππου, οὕτως ὑπόκειται καὶ τὸ αὐτοαγαθὸν καὶ τὸ τί ἦν εἶναι
15 αὐτοῦ ἕτερα εἶναι. εἰ δὲ ἄλογον καὶ παντελῶς ἀδύνατον τὸ λέγειν ὅτι τὸ
γνῶναι ἵππον τὸ γνῶναι ἄνθρωπόν ἐστιν, ἀδύνατον ἄρα καὶ τὸ λέγειν ὅτι 15
τὸ εἰδέναι τὸ τί ἦν εἶναι τοῦ αὐτοαγαθοῦ τὸ εἰδέναι τὸ αὐτοαγαθόν ἐστι.
τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄλλων ἰδεῶν ἐροῦμεν. οὐκ ἄρα ἔστιν ἐπιστήμη τῶν
ἰδεῶν. εἰ δὲ τοῦτο ἀδύνατον (ἔστι γὰρ ἐπιστήμη αὐτῶν) καὶ ἡ ὑπόθεσις
20 ἐξ ἧς τοῦτο συνέβη ἀδύνατος· αὕτη δὲ ἦν ἡ λέγουσα ὅτι ἕτερόν τί ἐστι 20
τὸ αὐτοαγαθὸν καὶ τὸ τί εἶναι αὐτοῦ. τοῦτο δὲ συμπίπτει ἀναγκαίως καὶ
ἐν τοῖς ἐνταῦθα. εἰ γὰρ ἔχομεν ἐπιστήμην ἀνθρώπου, οὐκ ἔστιν ἕτερος
ἄνθρωπος καὶ τὸ ἀνθρώπῳ εἶναι ἀλλ' ὁ αὐτός. εἰ γὰρ μὴ ὁ αὐτός, συμ-
βήσεται μὴ εἶναι ἐπιστήμην αὐτοῦ, ὅπερ ἀδύνατον. τοῦτο δὴ καὶ ἐπὶ
25 ἵππου καὶ βοὸς καὶ τῶν ἄλλων συμβαίνει. οὕτως οὖν συντόμως δείξας
ὅτι ἐκ τῆς ὑποθέσεως ταύτης, περὶ ἧς ἐλέγομεν, συμβαίνει μὴ εἶναι ἐπι-
στήμην τῶν ἰδεῶν, δείκνυσιν ὡς οὐδὲ τὰ τί ἦν εἶναι τῶν ἰδεῶν ὄντα 25
ἔσται, εἴπερ ἕτερά ἐστιν αὐτῶν. λέγων ὥστε εἰ μηδὲ τὸ ἀγαθῷ
εἶναι ἀγαθόν, οὐδὲ τὸ ὄντι ὄν, ἴσον λέγων τῷ ὥσπερ ἐκ ταύτης τῆς
30 ὑποθέσεως συμβαίνει τὸ αὐτοαγαθῷ εἶναι καὶ τὸ τί ἦν εἶναι τοῦ αὐτο-
αγαθοῦ μὴ εἶναι ἀγαθόν, οὕτω καὶ τὸ αὐτοόντι εἶναι, ὅπερ ἐστὶ τὸ τί ἦν
εἶναι τοῦ αὐτοόντος, μὴ εἶναι ὄν· ὡσαύτως δὲ καὶ τὸ αὐτοενὶ εἶναι μὴ
εἶναι ἕν. πῶς δὲ τοῦτο συμβαίνει, ἔσται δῆλον ὧδε. εἰ γὰρ τὸ ἕτερον 30
τοῦ ἀγαθοῦ οὐκ ἀγαθόν ἐστι καὶ τὸ τοῦ ὄντος μὴ ὂν καὶ τὸ τοῦ ἑνὸς μὴ
35 ἕν, ἔστι δὲ τὸ αὐτοαγαθῷ εἶναι ἕτερον τοῦ αὐτοαγαθοῦ καὶ τὸ αὐτοόντι
εἶναι τοῦ αὐτοόντος καὶ τὸ αὐτοενὶ τοῦ αὐτοενός, δῆλον ἄρα ὅτι τὸ ἀγαθῷ
εἶναι μὴ ἀγαθόν ἐστι, καὶ τὸ | αὐτοόντι εἶναι μὴ ὂν καὶ τὸ αὐτοενὶ μὴ 450
ἕν. ἐπεὶ δὲ ἔμελλέ τις λέγειν ὅτι τὸ μὲν τί ἦν εἶναι τοῦ αὐτοόντος ἕτε-
ρον ὂν αὐτοῦ δικαίως συνάγεται μὴ εἶναι ὄν (τὸ γὰρ τοῦ ὄντος ἕτερον μὴ
40 ὄν ἐστι), τὸ δὲ τί ἦν εἶναι τοῦ αὐτοανθρώπου καὶ αὐτοίππου καὶ τῶν λοι-

---

7 ἀπολελυμένα LF 28 μηδὲ LF: μὴ A 29 τὸ ὄντι Bonitz: τῷ ὄντι libri
32 τὸ αὐτοενὶ M Bonitz: τῷ αὐτοενὶ AL corr. F 35 et 36 καὶ τὸ F: καὶ τῷ AL 39 συνάγεται LFS: ἀνάγεται A

πῶν οὐκ εὔλογον δοκεῖ μὴ ὄντα εἶναι, ἐπειδὴ ταῦτα ἔμελλέ τις λέγειν, ἐπήγαγεν ὁμοίως δὲ πάντα ἐστὶν ἢ οὐδὲν τὰ τί ἦν εἶναι, τουτέστιν ἢ πάντα τὰ τί ἦν εἶναι τῶν ἰδεῶν χρὴ λέγειν ὡς εἰσὶν ἢ οὐδέν. τίς γὰρ ἡ ἀποκλήρωσις τὸ τινὰ μὲν λέγειν εἶναι τινὰ δὲ μή; ὥστε εἴπερ οὐκ ἔστι τὸ τί ἦν εἶναι τοῦ αὐτοόντος, οὐδὲ τῶν λοιπῶν ἔσονται· ὡς γὰρ ἔχει τὸ τί ἦν εἶναι τοῦ αὐτοόντος πρὸς αὐτὸ τὸ αὐτόον, οὕτω καὶ τὰ τῶν ἄλλων ἰδεῶν τί ἦν εἶναι πρὸς αὐτάς. τὸ δὲ ἔτι ᾧ μὴ ὑπάρχει ἀγαθῷ εἶναι, οὐκ ἀγαθὸν κατασκευαστικόν ἐστι τοῦ μὴ εἶναι τὸ τί ἦν εἶναι τοῦ αὐτοαγαθοῦ ἀγαθόν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ᾧ τινι πράγματι μὴ ὑπάρχει ἀγαθῷ εἶναι, οὐκ ἀγαθόν ἐστι. τὸ δὲ τί ἦν εἶναι τοῦ αὐτοαγαθοῦ ἕτερον ἦν αὐτοῦ· τὸ δὲ τοῦ ἀγαθοῦ ἕτερον οὐκ ἀγαθόν· τὸ τί ἦν εἶναι ἄρα τοῦ ἀγαθοῦ οὐκ ἀγαθόν. δείξας οὖν ἐπὶ τῶν ἰδεῶν ὅτι ταὐτόν ἐστιν ἑκάστῃ καὶ τὸ τί ἦν εἶναι αὐτῶν, συμπεραίνεται καθόλου ἐπὶ πάντων λέγων ἀνάγκη ἄρα ἓν εἶναι τὸ ἀγαθὸν καὶ ἀγαθῷ εἶναι, καὶ καλὸν καὶ καλῷ εἶναι, καὶ ὅσα μὴ κατ' ἄλλο λέγεται ἀλλὰ καθ' αὑτὰ καὶ πρῶτα. κἂν γὰρ μὴ εἴδη ὑπάρχῃ, ὡς δέδεικται πολλάκις, ἵνα ὁ αὐτοάνθρωπος καὶ τὸ αὐτοανθρώπῳ εἶναι ταὐτὸν ᾖ, ἀλλ' οὖν ἡ εἰρημένη ἀπόδειξις ἱκανὴ ἂν ὑπάρχοι εἰς πίστιν τοῦ ταὐτὸν εἶναι ἕκαστον τῶν ἐνταῦθα καὶ τὸ τί ἦν εἶναι αὐτῶν.

p. 1031b15 Ἅμα δὲ δῆλον καὶ ὅτι εἴπερ εἰσὶν ἰδέαι οἵας τινές φαμεν, οὐκ ἔσται τὸ ὑποκείμενον οὐσία.

Ἐπειδὴ οἱ τὰς ἰδέας εἰσάγοντες αὐτὰς καθ' αὑτὰς ἔλεγον εἶναι, ὡς πολλάκις εἴρηται, καὶ κυρίως ὄντα καὶ οὐσίας καὶ τῶν τῇδε ἑτέρας (ἔλεγον γὰρ ὅτι ὁ μὲν καθόλου ἄνθρωπος, ὃν ὁ νοῦς ὁ ἡμέτερος ἀπὸ τῶν καθ' ἕκαστα ἀπεσύλησε καὶ τὸ εἶναι αὐτῷ ἀπεχαρίσατο, ὁμοίωμα τῶν κατὰ μέρος ἀνθρώπων ἐστὶ καὶ ὁ αὐτός ἐστι τοῖς καθ' ἕκαστα καὶ ἐν ἐπινοίᾳ μόνῃ τὸ εἶναι ἔχει, ὁ δὲ αὐτοάνθρωπος ἡ ἰδέα, ἥτις καθ' αὑτήν ἐστι καὶ ἐν ὑπάρξει. οὐκ ἔστιν ὁ αὐτὸς τοῖς καθ' ἕκαστα ἀνθρώποις)· ἐπειδὴ ταῦτα ἔλεγον, λέγει ὅτι εἴπερ εἰσὶν ἰδέαι, οὐκ ἔστι τὸ ὑποκείμενον οὐσία, τουτέστιν αἱ μερικαὶ καὶ ἄτομοι οὐσίαι οὐκ ἔσονται ὑποκείμεναι αὐταῖς· ἑτέρα γὰρ οὐσία τῇ ἑτέρᾳ καὶ ἀλλοτρίᾳ αὐτῆς οὐχ ὑπόκειται. ἐπεὶ οὖν αἱ ἰδέαι, ὥς φασι, καθ' αὑτάς εἰσι, τὰ δὲ καθ' αὑτὰ ἐξ ἀνάγκης οὐσίαι εἰσί, καὶ αἱ ἰδέαι ἄρα ἐξ ἀνάγκης ἔσονται | οὐσίαι καὶ ἕτεραι κατ' 451
αὐτοὺς τῶν τῇδε. ἀλλ' εἴπερ εἰσὶν οὐσίαι καὶ ἕτεραι τῶν τῇδε, οὐχ ἕξουσι ταῦτα ὑποκείμενα, οὐδὲ καθ' ὑποκειμένων αὐτῶν λεχθήσονται. εἰ γὰρ καθ' ὑποκειμένων αὐτῶν λεχθήσονται, ἔσονται κατὰ μέθεξιν· ἀλλὰ μὴν τὰ κατὰ μέθεξιν ὄντα ἐν τοῖς μετέχουσιν αὐτῶν εἰσιν, ὥσπερ τὸ ζῷον

1 μὴ ὄντα LFS: μὴ ὄντος A 4 τινὰ — τινὰ M: τινὰς — τινὰς ALF 7 τί ἦν LF: τὸ τί ἦν A ἔτι ᾧ LFS: ὅτι ὃ A 15 καὶ ὅσα] ὅσα Metaph. vulg. 18 ὑπάρχοι Bonitz: ὑπάρχῃ A: incerti LF 21 φασιν Metaph. vulg. 25 αὐτῷ LF: αὐτὸ A 26 ἐν LF: om. A 27 ἥτις καὶ καθ' LF 28 ἐν ὑπάρξει MS Bonitz: ἐνυπάρξει ALF 33. 34 κατ' αὐτοὺς S Bonitz: καθ' αὐτοὺς A: κατ' αὐτῆς LF

ἐν τῷ Σωκράτει καὶ ἐν ἐμοί· ἔφασκον δὲ οὗτοι μὴ εἶναι τὸν αὐτοάνθρω- 5
πον ἐν ἡμῖν, ὥστε οὐκ εἰσὶ κατὰ μέθεξιν. εἰ δὲ μή εἰσιν, οὐδὲ καθ'
ὑποκειμένων τῶν τῇδε λεχθήσονται, οὐδ' ὅλως τὰ τῇδε ὑποκείσεται αὐταῖς.
καὶ τίς ἡ χρεία τῶν ἰδεῶν, εἴπερ καὶ ἕτεραι τῶν τῇδε καὶ οὐδὲ κατηγοροῦνται
5 κατ' αὐτῶν, οὐδὲ αἴτιαι τοῦ εἶναι τοῖς τῇδέ εἰσι; δέδεικται γὰρ καὶ τοῦτο
πολλάκις. ταῦτα εἰπὼν λέγει ἔκ τε δὴ τούτων τῶν λόγων ἓν καὶ ταὐτὸ
οὐ κατὰ συμβεβηκὸς αὐτὸ ἕκαστον καὶ τὸ τί ἦν εἶναι, τουτέστιν οὐ 10
κατὰ συμβεβηκός ἐστιν ἕκαστον καὶ τὸ τί ἦν εἶναι αὐτῷ ταὐτὸν ἀλλὰ καθ'
αὑτό. καὶ ὅτι τὸ ἐπίστασθαι ἕκαστον τοῦτό ἐστι τὸ ἐπίστασθαι
10 τὸ τί ἦν εἶναι αὐτοῦ. ὥστε καὶ ἐκ τοῦ λόγου καὶ ἐκ τῆς ἐπαγωγῆς
(ταύτην γὰρ ἔκθεσιν εἶπεν) ἕκαστον καὶ τὸ τί ἦν εἶναι αὐτῷ ἕν τί εἰσιν.
εἰπὼν οὖν περὶ τῶν καθ' αὑτὸ λεγομένων ὅτι ἕκαστον καὶ τὸ τί ἦν εἶναι
αὐτῷ ἕν ἐστι, λέγει περὶ τῶν κατὰ συμβεβηκὸς ὅτι διὰ τὸ διττὸν σημαίνειν 15
(τὸ γὰρ μουσικὸν εὐθὺς δηλοῖ τό τε πάθος, αὐτὴν λέγω τὴν ἐν τῇ ψυχῇ
15 τοῦ Σωκράτους μουσικήν, καὶ αὐτὸν τὸν Σωκράτην) οὐκ ἀληθὲς εἰπεῖν ὡς
ταὐτόν ἐστι τό τε μουσικὸν καὶ τὸ μουσικῷ εἶναι· συμβαίνει γάρ, εἴ τις
τοῦτο λέγει, τὸ μουσικὸν ἤτοι τὸ πάθος ταὐτὸν εἶναι τῷ ἀνθρώπῳ ᾧ
συμβέβηκεν. εἰ δὴ τὸ μουσικῷ εἶναι τὸ καθόλου μουσικὸν δηλοῖ ἤτοι
τὴν καθόλου μουσικήν, τὸ δὲ μουσικὸν τὸν ἄνθρωπον ᾧ συμβέβηκε τὸ 20
20 μουσικόν, πῶς ἔσται ταὐτὸν τὸ μουσικὸν καὶ τὸ μουσικῷ εἶναι, ἤτοι ἡ
οὐσία καὶ τὸ συμβεβηκός; ὥστε, φησί, τρόπον μέν τινα τὸ λευκὸν ζῷον
καὶ τὸ τί ἦν εἶναι τοῦ λευκοῦ ἔσται τὸ αὐτό, τρόπον δέ τινα οὐκ ἔσται.
καθ' αὑτὰ μὲν γὰρ τὸ ἀνθρώπῳ εἶναι καὶ τὸ λευκῷ ἀνθρώπῳ οὐκ ἔσται
τὸ αὐτό· ᾗ δ' ἔπαθέ τι ὑπὸ τοῦ λευκοῦ, λέγω δὴ τὸ λευκανθῆναι, ἔσται 25
25 τὸ αὐτό.

p. 1031ᵇ28 Ἄτοπον δ' ἂν φανείη κἂν εἴ τις ἑκάστῳ ὄνομα θεῖτο τῶν τί ἦν εἶναι.

Καὶ τοῦτο δεικτικόν ἐστι διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς τοῦ ταὐτὸν εἶναι ἕκαστον καὶ τὸ τί ἦν εἶναι ἑκάστῳ. ἡ δὲ δεῖξις πάλιν ἐπὶ τῶν
30 ἰδεῶν προέρχεται· λέγει γὰρ ὡς εἴπερ ὁ αὐτοίππος καὶ τὸ τί ἦν εἶναι αὐτοῦ οὐκ ἔστι ταὐτὰ ἀλλ' ἕτερα, εἴ τις καὶ τῷ τοῦ αὐτοίππου τί ἦν εἶναι ὄνομα θεῖτο, ἔστω δὴ ἱμάτιον, ἐπειδὴ πᾶν ὄνομα δηλωτικόν ἐστί 30
τινος τί ἦν εἶναι, καὶ τοῦ ἱματίου τὸ τί ἦν εἶναί ἐστιν ἕτερον αὐτοῦ. εἴ τις δὲ πάλιν τῷ τοῦ ἱματίου τί ἦν εἶναι ὄνομα θεῖτο, ἔστω δὴ φυτόν,
35 ἔσται καὶ τὸ τί ἦν εἶναι τοῦ φυτοῦ ἕτερον | τοῦ φυτοῦ. εἴ τις δὲ καὶ 452
τῷ τοῦ φυτοῦ τί ἦν εἶναι θεῖτο ὄνομα, ἔσται καὶ ἐπὶ τούτου τὸ αὐτό· καὶ τοῦτο εἰς ἄπειρον. εἴ τις δὴ ἑκάστῳ τί ἦν εἶναι ὄνομα θεῖτο, ἐπειδὴ

7 οὐ (post τουτέστιν) LFS: om. A 8 αὐτῷ M Bonitz: αὐτὸ ALF 13 αὐτῷ Bonitz: αὐτὸ libri 14 τό τε LF: τε om. A 20. 21 ἡ οὐσία καὶ τὸ LF: οὐσία καὶ A 22 τινα M: om. ALF 30 ὡς εἴπερ LS: ὥσπερ A 31. 34 et 36 τῷ A²LS: τὸ A¹F 33 ἐστιν] ἔσται e S coni. Bonitz

παντὸς ὀνόματος δηλωτικοῦ οὐσίας ἔστι τί ἦν εἶναι, ἔσται καὶ παρ' ἐκεῖνο τὸ ὄνομα ἄλλο τί ἦν εἶναι, οἷον παρὰ τὸ τί ἦν εἶναι ἵππῳ ἔσται τί ἦν εἶναι ἵππῳ ἕτερον. τουτέστι τοῦ τί ἦν εἶναι ἵππου ἔσται τί ἦν εἶναι ἄλλο. ἀλλὰ τὸ τί ἦν εἶναι ἵππῳ ἡ φύσις τοῦ ἵππου ἐστίν. ὥστε εἴπερ ἔστι τοῦ τί ἦν εἶναι ἵππῳ ἄλλο τί ἦν εἶναι. ἔσονται τοῦ ἵππου δύο οὐσίαι καὶ φύσεις, καὶ οὐ μόνον δύο ἀλλὰ ἄπειροι. ἐπεὶ δέ τις λέγειν ἔμελλεν 'ἀλλ' οὐκ εἰς ἄπειρον προϊέναι ἀνάγκη. ἀλλὰ καταντήσομεν εἴς τι τί ἦν εἶναι οὐ τὸ τί ἦν εἶναι οὐκ ἔσται ἕτερον ἀλλὰ ταὐτό· εἰ γὰρ ἔσται ταὐτόν, οὐκ ἀνάγκη εἶναι κἀκείνου τί ἦν εἶναι ἕτερον· εἰ γὰρ ἐκ τοῦ λέγειν ὅτι ἕκαστον καὶ τὸ τί ἦν εἶναι ἑκάστῳ ἕτερόν ἐστι. συμβαίνει κἀκείνου εἶναι τί ἦν εἶναι, εἴπερ εἴς τι καταντήσομεν ταὐτὸν ὂν τῷ τί ἦν εἶναι αὐτοῦ, οὐκ ἔσται ἐκείνου πάλιν ἄλλο τί ἦν εἶναι· εἰ δὲ τοῦτο, οὐκ ἐπ' ἄπειρον ἔσται ἡ πρόοδος.' ἐπειδή τις ταῦτα λέγειν ἔμελλεν, ἐπήγαγε τὸ καίτοι τί κωλύει καὶ νῦν εἶναι εὐθύς τινα τί ἦν εἶναι; τουτέστι τί κωλύει μὴ εὐθὺς ἕκαστον ταὐτὸν εἶναι καὶ τὸ τί ἦν εἶναι αὐτῷ. ἀλλὰ μετὰ πολλὰ τοῦτο εὑρίσκεσθαι; οὐ μόνον δὲ ἕκαστον καὶ τὸ τί ἦν εἶναι ἑκάστῳ ταὐτόν ἐστιν. ἀλλὰ καὶ ὁ λόγος αὐτῶν ὁ αὐτὸς καὶ εἷς. οὐ γὰρ ἕτερός ἐστιν ὁ λόγος τοῦ ἀνθρώπου καὶ τοῦ τί ἦν εἶναι ἀνθρώπῳ ἀλλ' ὁ αὐτός, καὶ τοῦ ἑνὸς καὶ τοῦ τί ἦν εἶναι αὐτῷ ὁ αὐτός. εἰ μὲν γὰρ κατὰ συμβεβηκὸς τὸ ἓν καὶ τὸ τί ἦν εἶναι αὐτοῦ ἦν τὰ αὐτά, οὐκ ἂν ἦν ὁ λόγος αὐτῶν ὁ αὐτός. ἐπεὶ δὲ ἐκ πάντων τῶν δειχθέντων ἀνεφάνη ὅτι καθ' αὑτό εἰσιν ἕν, καὶ ὁ λόγος αὐτῶν εἷς ἐστιν. ὃ δὲ ἄνωθεν μὲν ᾐνίξατο ἄτοπον, νῦν ἐπαναλαμβάνει καὶ σαφέστερον τίθησι λέγων ἔτι εἰ ἄλλο ἔσται, εἰς ἄπειρον εἶσι, τουτέστιν, εἰ τῷ τοῦ ἑνὸς τί ἦν εἶναι ὄνομα τεθῇ, ἔσται ἄλλο τοῦ τεθέντος ὀνόματος τί ἦν εἶναι. ἀλλ' εἰ τοῦτο, εἰς ἄπειρον ἰέναι ἀνάγκη· τὸ γὰρ ἑνὶ εἶναί ἐστι τὸ τί ἦν εἶναι τοῦ ἑνός, τὸ δὲ ἓν ἐστιν οὗ ἐστι τί ἦν εἶναι τὸ ἑνὶ εἶναι· ὥστε τοῦ ἑνὶ εἶναι ἔσται πάλιν ἄλλο τί ἦν εἶναι, καὶ πάλιν ἐπὶ τούτων ὁ αὐτὸς λόγος. ταῦτα εἰπὼν συμπεραίνεται λοιπὸν τὸν ξύμπαντα λόγον λέγων· ὅτι μὲν οὖν ἕκαστον καὶ τὸ τί ἦν εἶναι αὐτοῦ ταὐτόν ἐστι, φανερόν. |

p. 1032a6 Οἱ δὲ σοφιστικοὶ ἔλεγχοι πρὸς τὴν θέσιν ταύτην. 453

Δείξας ὅτι τῶν καθ' αὑτὸ λεγομένων ἕκαστον καὶ τὸ τί ἦν εἶναι ἑκάστῳ ταὐτόν ἐστιν, ἐπὶ δὲ τῶν κατὰ συμβεβηκὸς λεγομένων, οἷον ἀνθρώπῳ καὶ λευκῷ ἀνθρώπῳ, ἔστι μὲν καὶ οὐκ ἔστι, καὶ πῶς εἴρηται, λέγει ὅτι οἱ σοφιστικοὶ ἔλεγχοι τῇ αὐτῇ λύονται λύσει. ἔλεγον γὰρ οἱ σοφισταί 'πότερον ὁ Σωκράτης καὶ τὸ Σωκράτει εἶναι ταὐτὸ ἢ οὔ;' καὶ εἰ μὲν ἕτερον, ἐπειδὴ τὸ Σωκράτει εἶναι τὸ τί ἦν εἶναι Σωκράτει ἐστὶ καὶ ἡ

2 οἷον — ἀλλὰ τὸ τί ἦν εἶναι (4) LFS: om. A 10 εἶναι ἄλλο τί e S coni. Bonitz
13 καίτοι τί LFS: τί om. A κωλύει MS: κωλύον ALF 16 δὲ MS: δὴ ALF
21 ἀνεφάνη ὅτι MS Brandis Bonitz: om. ALF 24 τῷ $A^2$LF: τὸ $A^1$ 26 εἶναί ἐστι LFS: εἶναι ἔσται A 27 ὥστε τοῦ LFS: τὸ A: τὸ δ' Brandis: τῷ δ' Bonitz

φύσις τοῦ Σωκράτους, ἔσται ὁ Σωκράτης ἕτερος ἑαυτοῦ. εἰ δὲ ὁ αὐτός, ἐστὶ δ' ὁ Σωκράτης καὶ λευκός, ἔσται καὶ τὸ Σωκράτει εἶναι τῷ λευκῷ εἶναι Σωκράτει τὸ αὐτό, ἡ οὐσία τῷ συμβεβηκότι, ὅπερ ἄλογον. λέγει οὖν ὅτι οἱ σοφιστικοὶ ἔλεγχοι πρὸς τὴν θέσιν ταύτην καὶ τὸ πρόβλημα φανερὸν ὡς τῇ αὐτῇ λύονται λύσει, λέγω δὴ τῇ ὅτι κυρίως μὲν καὶ καθ' αὐτὸ οὐκ εἰσι τὰ αὐτὰ λεγούσῃ, κατὰ συμβεβηκὸς δέ· ἐξ ὧν γὰρ ἐρωτῶσιν (ἐκ γὰρ τῶν κατὰ συμβεβηκὸς τὰς ἐρωτήσεις ποιοῦνται), ἐκ τούτων καὶ τῶν λύσεων τεύξονται. ταῦτα πάντα εἰπὼν πάλιν συντόμως ὑπομιμνήσκει ὅτι πῶς μὲν τὸ τί ἦν εἶναι ταὐτὸ καὶ πῶς οὐ ταὐτὸ εἴρηται.

p. 1032a12 Τῶν δὲ γινομένων τὰ μὲν φύσει γίνεται, τὰ δὲ τέχνῃ, τὰ δὲ ἀπὸ ταὐτομάτου.

Τὸ προκείμενόν ἐστι δεῖξαι ὅτι τὸ εἶδος οὐ γίνεται. τὸ γὰρ εἶδος καὶ τὸ τί ἦν εἶναι τῆς σφαίρας τῆς κατὰ τῶν μερικῶν σφαιρῶν κατηγορουμένης οὐ γίνεται· ἀλλὰ μὴν οὐδὲ τὸ εἶδος τῆσδε τῆς σφαίρας διὰ γενέσεως εἰς τὸ εἶναι παράγεται, ἀλλὰ τοῦ χαλκοῦ τοιωσδὶ κινουμένου ὑπὸ τοῦ τεχνίτου ἀχρόνως ἐν αὐτῷ τὸ τῆς σφαίρας εἶδος ἐπιγίνεται. ὁμοίως δὲ καὶ τῆς οἰκίας· ὅταν γὰρ ἡ τελευταία κέραμος ἐπιτεθῇ, τότε φαμὲν οἰκίαν εἶναι· εἰ γάρ τι καὶ τὸ οἱονοῦν τῶν εἰς τὸ οἰκίαν ποιῆσαι συντελούντων λείπει, οὐκ ἔστιν οἰκία· ἡ δὲ τελευταία κέραμος ἀχρόνως καὶ ἐν τῷ νῦν ἐπιτίθεται τῇ οἰκίᾳ. ὥστε καὶ τὰ κατὰ μέρος εἴδη οὐ γίνεται· ἀμερῆ γάρ εἰσιν, εἰ καὶ συνδιίστανται τῇ ἐν ᾗ εἰσιν ὕλῃ. τὸ δ' ἀμερὲς πῶς ἂν γένηται; τὸ γὰρ γινόμενον πᾶν μεριστόν· διαιρεῖται γὰρ εἴς τε τὸ πρώτως γεγονὸς καὶ εἰς τὸ ὕστερον. καὶ ἐπὶ τῆς χαλκῆς σφαίρας, ὥσπερ ἐλέγομεν ἐπὶ τῆς οἰκίας ὅτι τῆς τελευταίας κεράμου ἐπιτεθείσης γίνεται, τοῦτο εὑρήσεις· ἡ γὰρ τελευταία πληγὴ ἡ ὑπὸ τοῦ τεχνίτου ἐν τῷ χαλκῷ γινομένη ταύτην εἰδοποιεῖ· αὕτη δ' ἀχρόνως γίνεται· ἀχρόνως γὰρ ἡ σφῦρα τοῦ χαλκοῦ ἅπτεται ὅταν τύπτῃ αὐτόν· ὥστε οὔτε τὸ σφαίρειον εἶδος, ἤτοι αὐτὸ τὸ τῆς καθόλου σφαίρας, τουτέστιν ἡ καθόλου σφαῖρα, μὴ οὖσα γέγονεν, οὔτε τὸ ἐν τῇδε τῇ σφαίρᾳ διὰ γενέσεως καὶ διὰ χρόνου ἐν αὐτῇ γίνεται ἢ ὅλως γίνεται, ἀλλ' ὂν περὶ αὐτὴν ὑπὸ τοῦ τεχνίτου τίθεται· ὂν γὰρ τὸ τῆς σφαίρας | εἶδος ἐν τῇ τοῦ τεχνίτου ψυχῇ περιτίθησιν αὐτὸ 454
ὁ τεχνίτης τῷ χαλκῷ. δείκνυσι δὲ ὅτι τὰ εἴδη οὐ γίνεται ἀναγκαίως. ἐκ γὰρ τούτου δῆλον ἡμῖν γενήσεται εἴτε δύναται τὰ φυσικὰ εἴδη αὐτὰ καθ' αὐτὰ χωρὶς εἶναι ἄνευ ὕλης, ὡς ὁ Πλάτων ἔλεγεν, εἴτε μή. πρὸ δὲ τῆς δείξεως τοῦ τὸ εἶδος μὴ γίνεσθαι πρότερον ἐκ διαιρέσεως δείκνυσιν ὅτι πᾶν τὸ γινόμενον ἔκ τινος ὑποκειμένου γίνεται, ὡς ἐκ τούτου συνάξων ὅτι

ι'

2 τὸ Σωκράτει εἶναι] ὁ σωκρα LF 9. 10 ταὐτὸν ἑκάστῳ εἴρηται Metaph. 19 καὶ τὸ LF: καὶ τῶν A 20 ἐν τῷ S Bonitz: ἐν τῇ ALF 23 γένηται] γένοιτο coni. Bonitz 24 ὥσπερ L: ὡς γὰρ A 28 οὔτε LS: om. A 32 περιτίθησιν LF: προστίθησιν A 35 ἄνευ om. LF

εἰ καὶ τὸ εἶδος γίνοιτο, ἐξ ὑποκειμένου τινὸς γενήσεται, καὶ οὕτω συμβήσεται ἐπ' ἄπειρον εἶναι τὴν πρόοδον. ἐκ διαιρέσεως οὖν, ὡς εἶπον, δείκνυσιν ὅτι πᾶν τὸ γινόμενον ἔκ τινος γίνεται. λέγει δὴ ὅτι τῶν γινομένων τὰ μὲν φύσει γίνεται ὡς τὰ ζῷα καὶ τὰ φυτὰ καὶ τὰ ὅμοια, τὰ δὲ τέχνῃ, ὥσπερ οἰκία καὶ ὁ ἀνδριὰς καὶ ἁπλῶς τὰ τεχνητά, τὰ δὲ ἀπὸ ταυτο- 10 μάτου, ὥσπερ ὑγίεια· διψήσας γάρ τις πυρέττων καὶ πιὼν ὕδωρ οὐχ ἵνα ὑγιάνῃ, ἀλλ' ἵνα τὴν δίψαν ἀποκρούσηται, ὑγίανε. πάντα οὖν τὰ ἀπὸ φύσεως καὶ τέχνης καὶ αὐτομάτου ὑπό τέ τινος τοῦ ποιοῦντος γίνεται καὶ ἔκ τινος ὕλης καί τι εἶδος γίνεται· ἢ γὰρ οὐσία, φησί, γίνεται, ἢ ποσὸν ἢ ποιὸν ἤ τι τῶν ἄλλων κατηγοριῶν· γίνεται δέ τι τούτων ὡς εἶδος. ταῦτα 15 εἰπὼν λέγει ὅτι αἱ φυσικαὶ γενέσεις εἰσὶν ὧν ἡ γένεσις ἐκ φύσεώς ἐστιν. ἀλλὰ πῶς ἐν τῇ Φυσικῇ δείξας ὅτι γενέσεως γένεσις οὐκ ἔστιν οὐδὲ μεταβολὴ μεταβολῆς, νῦν φησιν ὅτι γενέσεις εἰσὶ φυσικαί, ὧν γενέσεων ἡ γένεσις ἐκ φύσεώς ἐστιν; ὥστε τοῦτο δοκεῖ λέγειν ὅτι τῶν γενέσεων εἰσὶ γενέσεις. ἢ τὸ ὧν ἡ γένεσις οὐ πρὸς τὰς γενέσεις, οἶμαι, ἀπέδωκεν ἵν' ᾖ ὧν γενέσεων, ἀλλὰ πρὸς τὰ τέλη αὐτῶν, οἷον φυτὰ καὶ ζῷα καὶ τὰ τοιαῦτα· 20 καὶ εἰ τοῦτό ἐστιν, εἴη ἂν λέγων ὅτι αὗται αἱ φυσικαὶ γενέσεις γενέσεις εἰσὶ τῶν φυτῶν καὶ τῶν ζῴων, ὧν καὶ φυτῶν καὶ ζῴων ἡ γένεσις οὐκ ἀπὸ τέχνης ἐστὶν ἀλλ' ἀπὸ φύσεως. ἢ τὸ ὧν ἡ γένεσις ἐκ φύσεώς ἐστι τοῦτ' ἂν εἴη ὅτι ὧν γενέσεων ἡ ὕπαρξις καὶ τὸ εἶναι αὐταῖς οὐκ ἀπὸ τέχνης ἢ ἀπὸ ταυτομάτου ἐστὶν ἀλλ' ἐκ φύσεως· ἡ συγκαταβληθεῖσα 25 γὰρ τῷ σπέρματι δύναμίς τε ταὶ φύσις ἐστὶν αἰτία ποιητικὴ τῶν γενέσεων. καὶ αἱ μὲν φυσικαὶ γενέσεις αὗται, ἐξ οὗ δὲ γίνεται τὸ διὰ γενέσεως γινόμενον. ἐστὶν ἡ ὕλη, οἷον ἡ προσεχὴς τῶν ζῴων τὸ καταμήνιον. ἀλλ' ἐξ οὗ μὲν γίνε- 25 ται τὸ διὰ γενέσεως γινόμενόν ἐστιν ἡ ὕλη, ὑφ' οὗ δέ, οἷον τὸ ποιητικόν, τῶν φύσει τι ὄντων, οἷον ἄνθρωπος ἵππος· ἐπειδὴ γὰρ τὸ σπέρμα ἐκ τούτων. 30 οὗτοί εἰσι ποιητικὰ αἴτια. τὸ δὲ τῶν φύσει τι ὄντων πρόσκειται, ἐπεὶ ἐν τῇ Φυσικῇ ἔλεγεν ὅτι φύσις μέν ἐστι τὸ εἶδος, φύσις δὲ καὶ ἡ ὕλη. τὸ δ' ἐκ τούτων συγκείμενον οὐ φύσις ἀλλὰ φύσει, ὥστε | τὸ τὸν Σωκρά- 455 30 την γεννῆσαν οὐ φύσις ἀλλὰ τῶν φύσει τι ὄντων. καὶ ἔστιν ἡ μὲν ὕλη ἐξ οὗ γίνεται τὸ γινόμενον, ὑφ' οὗ δὲ τῶν φύσει τι ὄντων, ὃ δὲ γίνεταί ἐστιν ἄνθρωπος ἢ ἵππος ἢ ἄλλο τι τῶν φύσει τι ὄντων, ἃ δὴ καὶ μάλιστα. λέγω δὴ τὰ ἐξ ὕλης καὶ εἴδους, ὡς καὶ ἐν ταῖς Κατηγορίαις καὶ ἐν τῇ Φυσικῇ καὶ ἐν ταύτῃ τῇ πραγματείᾳ, μάλιστα οὐσίας εἶναι λέγομεν, 5 35 εἶπεν. εἰπὼν δὲ ὅτι πάντα τὰ ἀπὸ φύσεως καὶ τὰ ἀπὸ τέχνης γινόμενα ὕλην ἔχει, τοῦ τοῦτο οὕτως ἔχειν τὴν αἰτίαν συντόμως ἐπήγαγεν εἰπὼν δύναται γὰρ καὶ εἶναι καὶ μὴ εἶναι ἕκαστον αὐτῶν, τουτέστιν

---

1 γίνοιτο $A^2S$: γίνεται $A^1LF$ 4 γίνεται LF: γίνονται A 5. 6 et 21 ταὐτομάτου LF: αὐτομάτου A 12 ἐν τῇ Φυσικῇ] E 2 p. 225b15 19 τέχνης ἐστὶν L: τέχνης εἰσὶν A 22 σπέρματι LFS: πράγματι A 25 ἀφ' οὗ L 26 ἢ ἵππος L 28 ἐν τῇ Φυσικῇ] B 1 p. 193b5 29. 30 Σωκράτην LFS: in lac. om. A 30 γεννῆσαν LFS: γεννῶν A 32 τῶν — ὄντων] τῶν τοιούτων LFS 33 ἐν ταῖς Κατηγορίαις] c. 5 p. 2a11

ἐπειδὴ ἕκαστον καὶ τῶν ἀπὸ φύσεως καὶ τῶν ἀπὸ τέχνης δύναται καὶ εἶναι καὶ μὴ εἶναι, δῆλον ὡς ἀπὸ τῆς ὕλης τοῦτο ἔχει· αὕτη γάρ ἐστιν ἡ τρεπτικὴ καὶ ἀλλοιωτική, ἣ ποτὲ μὲν τοῦτο τὸ εἶδος δέχεται ποτὲ δὲ ἄλλο, διὰ τὸ μὴ τὸ αὐτὸ καὶ ἓν ἀεὶ δύνασθαι στέγειν καὶ διὰ τὸ εὐφυῶς ἔχειν πρὸς τὸ τὰ εἴδη δέχεσθαι. ἔστιν οὖν ἑκάστῳ τῶν φύσει καὶ ἀπὸ τέχνης τοῦ εἶναι καὶ μὴ εἶναι ἡ ὕλη αἰτία. ὥστε φανερὸν ὅτι καὶ τὰ ἐκ φύσεως καὶ τὰ ἀπὸ τέχνης ἔκ τινος ὕλης καὶ ὑποκειμένου γίνεται. εἰπὼν δὴ ὅτι ἑκάστου τῶν ἀπὸ φύσεως καὶ τέχνης τὸ αἴτιον τοῦ εἶναι καὶ μὴ εἶναι ἡ ὕλη ἐστίν, ἐπήγαγεν ὅτι καθόλου δὲ καὶ ἐξ οὗ φύσις καὶ καθ' ὃ φύσις· ὡς πολλάκις γὰρ εἴπομεν ὅτι καὶ τὴν ὕλην ἣ γίνεται τὸ εἶδος, καὶ καθ' ὃ εἶδος αὕτη γίνεται, φύσιν λέγει. τὸ δὲ τὸ γὰρ γινόμενον ἔχει φύσιν οἶμαι ὡς αἴτιον ἐπῆκται τοῦ τὸ εἶδος φύσιν εἶναι, τουτέστι τὸ γινόμενον διὰ φύσεως γίνεται, φύσιν λέγων τὴν ἀπὸ τῆς ὕλης εἰς τὸ εἶδος ὁδόν. εἰ δὲ ἡ ὁδὸς αὕτη, ὡς ἂν ἐπεκτείνας λέγοι τις τὸ υ, ὡς αὐτὸς εἴρηκε, φύσις λέγεται, φανερὸν ὡς καὶ τὸ εἶδος, πρὸς ὃ αὕτη ἡ ὁδός ἐστι, φύσις ἐστιν. ὅτι δὲ τὸ εἶδος φύσις λέγεται, δείκνυσι καὶ ἄλλως. λέγεται, φησί, τὸ σύνθετον φύσις, οἷον ὁ Σωφρονίσκος. καὶ δῆλον ὡς οὐ κατὰ τὸ συναμφότερον ὁ Σωφρονίσκος φύσις λέγεται (τοῦτο γὰρ φύσει λέγεται, ἀλλὰ κατὰ τὸ εἶδος, καθ' ὃ καὶ γίνεται τὸ γινόμενον ὑπ' αὐτοῦ· κατὰ γὰρ τὸ ἐν αὐτῷ ὂν εἶδος γίνεται, ὃ γεννᾷ· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ καὶ ὑφ' οὗ, ἡ κατὰ τὸ εἶδος λεγομένη φύσις ὁμοειδής. πῶς δὲ τὸ γινόμενον τῷ ὑφ' οὗ γίνεται ὁμοειδές ἐστιν, ἐπήγαγεν ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ· πάντες δὲ οἱ ἄνθρωποι ὁμοειδεῖς εἰσιν.

p. 1032ᵃ26 Αἱ δὲ ἄλλαι γενέσεις λέγονται ποιήσεις. 456

Εἰπὼν περὶ τῶν φυσικῶν γενέσεων τίνων εἰσί, καὶ συμπεραναμένος καὶ εἰπὼν ὅτι οὕτω μὲν οὖν γίνεται τὰ γινόμενα διὰ τὴν φύσιν, λέγει ὅτι αἱ δὲ ἄλλαι γενέσεις (ἄλλας λέγων τὰς ἀπὸ τέχνης, ἀπὸ δυνάμεως, ἀπὸ διανοίας) λέγονται ποιήσεις. ἀπὸ τέχνης μὲν οὖν γίνεσθαι λέγει τὰ τεχνητὰ καὶ ὅλως ὅσα κατὰ τέχνην γίνεται, ἀπὸ διανοίας δὲ τὰς ἀρετάς· εἴδη γάρ τινα καὶ αἱ ἀρεταί· τελειοῦσι γὰρ τὴν ψυχήν. εἰ δὲ καὶ πολλὰ τῶν τεχνητῶν (γίνεται γὰρ τεχνητά τινα καὶ ἀπὸ ταὐτομάτου, ὡς ἐρεῖ) ἀπὸ διανοίας γίνεται, ἀλλ' οὖν ἡ τέχνη οὐ πάντως διάνοια. ἀπὸ δυνάμεως δέ εἰσι τὰ ὁπότερ' ἔτυχεν, οἷον λούσασθαι καὶ μὴ λούσασθαι, καθίσαι καὶ μὴ καὶ τὰ τοιαῦτα. τούτων δὲ τῶν ἀπὸ τέχνης γίνονταί τινα καὶ ἀπὸ ταὐτομάτου καὶ ἀπὸ τύχης, ὥσπερ καὶ ⟨τῶν⟩ ἀπὸ φύσεως· γίνονται γὰρ καὶ ἐκεῖ, λέγω δὴ ἐν τοῖς ἀπὸ φύσεως γινομένοις, ἔνια ἐκ ταὐτομάτου· γίνονται γὰρ βοτάναι καὶ ἐκ σπέρματος καὶ ἄνευ σπέρματος· πολλαὶ γὰρ

1. 2 καὶ εἶναι LF: καὶ om. A 3 τρεπτὴ καὶ ἀλλοιωτὴ coni. Bonitz 7 ἀπὸ LF: ὑπὸ A 7. 8 ἔκ τινος—καὶ τέχνης LFS: om. A 13 διὰ φύσεως LF: διαρήσεως A 14 ὡς—υ] cf. Δ 4 p. 1014ᵇ17 20 ὃ γεννᾶται e S coni. Bonitz 21 ὑφ' οὗ LF: ἐφ' οὗ A 31 πολλὰ] τινὰ LF 33 τὰ LF: om. A 35 τῶν addidi

τῶν βοτανῶν ἄνευ σπέρματος φύονται ἐκ ταὐτομάτου. ὅτι δέ, φησί, συμβαίνει τῶν ἀπὸ τέχνης γινομένων ἔνια καὶ ἐκ ταὐτομάτου γίνεσθαι ὕστερον ἐπισκεπτέον· ἐρεῖ γὰρ περὶ τούτων μετ' ὀλίγον, καὶ ἡμεῖς πρὸ ὀλίγου εἴπομεν ὅτι γίνεται ὑγίεια καὶ ἀπὸ τέχνης καὶ ἐκ ταὐτομάτου. ἀλλὰ περὶ μὲν τούτων ὕστερον ἐπισκεπτέον. ἀπὸ τέχνης δὲ γίνεται ὅσων τὸ εἶδος καὶ τὸ τί ἦν εἶναί ἐστιν ἐν τῇ τοῦ τεχνίτου ψυχῇ· τὸ γὰρ εἶδος καὶ τὸ τί ἦν εἶναι τῆς ὑγιείας καὶ τῆς οἰκίας καὶ τοῦ ἀνδριάντος καὶ τῶν λοιπῶν τῆς μὲν ὑγιείας ἐν τῇ τοῦ ἰατροῦ ψυχῇ ἐστι, τῆς δὲ οἰκίας ἐν τῇ τοῦ οἰκοδόμου, τοῦ δὲ ἀνδριάντος ἐν τῇ τοῦ ἀνδριαντοποιοῦ. εἰπὼν δὲ ὅτι τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι πρώτη ἐστὶν οὐσία, τοῦ τὸ εἶδος πρώτην οὐσίαν εἶναι αἴτιον ἐπήγαγε τὸ καὶ γὰρ τῶν ἐναντίων τρόπον τινὰ τὸ αὐτὸ εἶδος. ἐπειδὴ γὰρ ἡ στέρησις τῇ ὕλῃ ὑπάρχει, τῇ δὲ στερήσει τὸ εἶναι τὸ εἶδος παρέχεται (τῇ γὰρ αὐτοῦ ἀπουσίᾳ ἡ στέρησίς ἐστιν), εἰ δὴ καὶ τῇ στερήσει τῇ ἐν τῇ ὕλῃ οὔσῃ τὸ εἶναι καὶ ὅλως τὴν ὕπαρξιν τὸ διδὸν τὸ εἶδός ἐστιν, αὐτὸ δέ ἐστι καὶ τὸ τάττον καὶ ὁρίζον τὴν ὕλην καὶ κοσμοῦν, πρώτη καὶ κυρίως οὐσία τοῦτ' ἂν εἴη. τῶν ἐναντίων, φησίν, ἤτοι τῶν στερήσεων τρόπον τινὰ τὸ αὐτό, ἤτοι τὸ εἶδος, εἶδός ἐστι, τουτέστιν εἰδοποιὸν καὶ ὑπάρξεως χορηγόν. εἴδους οὖν καὶ ὑπάρξεως αἴτιον καὶ ὅλως τοῦ τῶν ὄντων εἶναι καὶ μετὰ τῶν ὄντων συγκατατάττεσθαι τὰς στερήσεις τὸ εἶδος καὶ τὸ τί ἦν εἶναί ἐστιν· ἀπιόντος γὰρ τοῦ εἴδους εὐθὺς ἡ στέρησις τὸ εἶναι ἔχει· ὥστε ποιητικὸν αἴτιον τῆς στερήσεως τὸ εἶδός ἐστιν. ὅτι δὲ τὸ αὐτὸ ἀντὶ τοῦ εἴδους ἔλαβε, | τὸ δὲ εἶδος ἀντὶ τοῦ 457
αἴτιον τῆς ὑπάρξεως τῆς στερήσεως, δῆλον ἐποίησεν εἰπὼν τῆς γὰρ στερήσεως οὐσία ἡ οὐσία ἡ ἀντικειμένη, τουτέστιν ἡ κατὰ τὸ εἶδος οὐσία τῆς στερήσεώς ἐστιν οὐσία καὶ ὕπαρξις, καὶ τὸ εἶναι αὐτῇ αὕτη χαρίζεται. ὥστε εἴπερ ἡ οὐσία, λέγω δὴ τὸ εἶδος, οὐσία καὶ παραγωγός ἐστι καὶ αἴτιος τῆς στερήσεως, δῆλον ὅτι εἰδός ἐστι τὸ εἶδος τῆς στερήσεως. τὸ δὲ τρόπον τινὰ πρόσκειται, ὅτι οὐ καθ' αὑτό ἐστιν αἴτιον τὸ εἶδος τῆς στερήσεως, ἀλλὰ κατὰ συμβεβηκός· συμβαίνει γὰρ ὑποχωροῦντος τοῦ εἴδους γίνεσθαι αὐτήν. ἔστιν οὖν ἡ ὑγίεια, εἴπερ ἀναλογεῖ εἴδει, αἰτία καὶ εἶδος τῆς νόσου, ἥπερ ἐστὶ στέρησις.

p. 1032ᵇ6 Γίνεται δὴ τὸ ὑγιὲς νοήσαντος οὕτως.

Λέγει περὶ τοῦ ὑγιοῦς σώματος πῶς γίνεται, τοῦτο δ' ἀναγκαίως ποιεῖ· ἐκ γὰρ τούτου δῆλον ἡμῖν γενήσεται ὅπως τὰ ἀπὸ τέχνης γινόμενα γίνεταί ποτε καὶ ἀπὸ ταὐτομάτου. γίνεται δὲ τὸ ὑγιὲς νοήσαντος τοῦ ἰατροῦ οὕτως. καὶ πῶς, ἐπάγει· οἷον εἰ τοῦτό ἐστιν ὑγίεια, δεῖ τὴν ἀνωμαλίαν τῶν ψυχρῶν καὶ τῶν θερμῶν εἰς ὁμαλότητα ἐλθεῖν, ὥστε μὴ θάτερον ὑπερέχειν, ἀλλὰ συμμέτρως ἔχειν. ὁμαλότητος δὲ μελλούσης γενέ-

4 ὑγίεια LFS: καὶ ὑγίεια A 5 ἐπισκεψόμεθα LF 6 τοῦ τεχνίτου LF: τοῦ om. A 15 καὶ τὸ LF: καὶ om. A 18 post αἴτιον puncto distinguunt libri 27 αἴτιον coni. Bonitz

σθαι δεῖ θερμότητα εἶναι· ὑποκείσθω γὰρ ἐπικρατεῖν τὸ ψυχρὸν τοῦ θερμοῦ. ἀλλ' εἰ δεῖ θερμότητα γενέσθαι, δεῖ τρίψεως. ἄρχεται οὖν ἀπὸ τῆς τρίψεως, ἣν καὶ δύναται ποιῆσαι, ἥτις τρῖψις ἔσχατόν ἐστι καὶ τῆς ὑγιείας καὶ τῆς ὁμαλότητος καὶ τῆς θερμότητος. πρῶτον γὰρ τὴν ὑγίειαν ἐνόησεν ὁ ἰατρός, εἶτα τὴν ὁμαλότητα, εἶτα τὴν θερμότητα καὶ τελευταῖον τὴν τρῖψιν, ἥτις τρῖψις ποιεῖ τὴν θερμότητα καὶ αὕτη τὴν ὁμαλότητα καὶ αὕτη τὴν ὑγίειαν. ἡ τρῖψις οὖν ἡ παρὰ τοῦ ἰατροῦ γεγονυῖα ἐν τῇ τοῦ νοσοῦντος κοιλίᾳ ἢ ἁπλῶς ἐν τῷ νοσοῦντι μέρει συμβαίη ἄν ποτε καὶ ἐκ ταὐτομάτου γενέσθαι· ὅπως δὲ τοῦτο συμβήσεται ἐροῦμεν, ὅτε καὶ αὐτὸς λέγει. καλεῖται δὲ ἡ ἀπὸ τῆς τρίψεως ἐπὶ τὴν ὑγίειαν κίνησις ποίησις. ὥστε συμβαίνει τρόπον τινὰ τὴν ὑγίειαν γίνεσθαι ἐκ τῆς ὑγιείας καὶ τοῦ εἴδους αὐτῆς τοῦ ἐν τῇ ψυχῇ τοῦ ἰατροῦ ὄντος. ἡ ἐν τῷ νοσοῦντι γὰρ ὑγίεια γινομένη ἐκ τοῦ εἴδους καὶ τοῦ λόγου τῆς ὑγιείας τοῦ ἐν τῇ ἰατροῦ ψυχῇ ὄντος γίνεται· ὁμοίως δὲ καὶ ἥδε ἡ μετὰ τῆς ὕλης οἰκία ἐκ τῆς ἄνευ ὕλης οἰκίας τῆς ἐν τῷ οἰκοδόμῳ γίνεται. ὥσπερ γὰρ ἡ ὄψις ἐν ἑαυτῇ ἔχει τὰ τῶν χρωμάτων εἴδη ἄνευ τῆς ὑποκειμένης αὐτοῖς ὕλης, οὕτως καὶ ἡ ψυχὴ τὰ τῶν ἐπιστητῶν εἴδη· τόπος γὰρ εἰδῶν ἡ ψυχή, ὡς ἐν τῇ Περὶ ψυχῆς εἴρηται. πῶς δὲ ἐκ τῆς οἰκίας καὶ ὑγιείας ἡ οἰκία καὶ ἡ ὑγίεια γίνεται σαφηνίζων ἐπάγει ἡ γὰρ ἰατρικὴ καὶ ἡ οἰκοδομικὴ τὸ εἶδος τῆς οἰκίας καὶ τῆς ὑγιείας εἰσίν. εἰ δὲ ἐκ τῆς ἰατρικῆς καὶ τῆς οἰκοδομικῆς γίνονται, αὗται δὲ εἴδός εἰσι τῆς οἰκίας καὶ τῆς ὑγιείας 458 (οὐδὲν γὰρ ἄλλο ἐστὶν ἡ ἰατρικὴ καὶ ἡ οἰκοδομικὴ ἢ οἱ λόγοι τῆς ὑγιείας καὶ τῆς οἰκίας), φανερὸν ὡς γίνεται ἡ οἰκία ἐξ οἰκίας καὶ ἡ ὑγίεια ἐξ ὑγιείας. εἰπὼν δὲ ὅτι συμβαίνει οἰκίαν ἐξ οἰκίας γενέσθαι καὶ ὑγίειαν ἐξ ὑγιείας τῆς ἄνευ ὕλης τὴν ἔχουσαν ὕλην, τοῦ μὲν οἰκίαν καὶ ὑγίειαν ἐξ οἰκίας καὶ ὑγιείας γίνεσθαι ἐπήγαγε κατασκευαστικὸν τὸ ἡ γὰρ ἰατρικὴ καὶ ἡ οἰκοδομικὴ τὸ εἶδος τῆς οἰκίας καὶ τῆς ὑγιείας· τοῦ δὲ τῆς ἄνευ ὕλης ἐπήγαγε τὸ λέγω δ' οὐσίαν ἄνευ ὕλης τὸ τί ἦν εἶναι, τουτέστιν αὐτὸ τὸ τῆς οἰκίας καὶ τὸ τῆς ὑγείας εἶδος.

p. 1032b15 Τῶν δὲ γενέσεων καὶ κινήσεων ἡ μὲν νόησις καλεῖται, ἡ δὲ ποίησις.

Βουλόμενος δεῖξαι πῶς τινα τῶν αἰτίων οὐ μόνον ὑπὸ τῶν κινούντων γίνεται ἀλλὰ καὶ ἐκ ταὐτομάτου, πρότερον διαιρεῖ τὴν γένεσιν εἴς τε τὴν νόησιν καὶ εἰς τὴν ποίησιν, καί φησιν ὅτι τῶν γενέσεων ἡ μὲν νόησις καλεῖται ἡ δὲ ποίησις, ἡ μὲν οὖν ἀπὸ τῆς ἀρχῆς καὶ τοῦ εἴδους νόησις, ἡ δὲ ἀπὸ τοῦ τέλους τῆς νοήσεως ποίησις· οἷον νοεῖ ὁ οἰκοδόμος τὸ τῆς οἰκίας εἶδος ὅτι ἐστὶ σκέπασμα τοιονδί, καὶ εἰ μέλλοι τοδὶ εἶναι δεῖ τοίχους γενέσθαι, ἀλλ' εἰ δεῖ γενέσθαι τοίχους, δεῖ γενέσθαι θεμέλιον, καὶ εἰ ἔσται θεμέλιος,

3 ποιῆσαι M Brandis Bonitz: ποιήσειν ALF 17 τῇ LF: τῷ A 17. 18 ἐν τῇ Περὶ ψυχῆς] Γ 4 p. 429a27 18 πῶς δὲ LFS: πῶς γὰρ A 19 ἡ οἰκοδομικὴ LF: ἡ om. A 22 γὰρ] δὲ A² 27 καὶ ἡ LF: ἡ om. A

δεῖ ὀρύξαι· καὶ ἄρχεται ἐντεῦθεν ὀρύσσειν καὶ ὀρύξας ποιεῖ θεμέλιον, εἶτα τοίχους, εἶτα σκέπασμα. ἡ μὲν οὖν ἀπὸ τῆς ἀρχῆς τοῦ εἴδους ἄχρι τοῦ ὀρύσσειν γένεσις ἢ κίνησις νόησις καλεῖται, ἡ δὲ ἀπὸ τοῦ ὀρύσσειν, ὃ τέλος μὲν ἦν τῆς νοήσεως ἀρχὴ δὲ τῆς γενέσεως τῆς οἰκίας, ἡ δὴ ἀπὸ τοῦ ὀρύσσειν γένεσις ἢ κίνησις ἄχρι τοῦ σκεπάσματος λέγεται ποίησις. καὶ ὁ ἰατρὸς ἐννοεῖ τὸ εἶδος τῆς ὑγιείας ὅτι ἐστὶ τοδί, καὶ εἰ μέλλει ἔσεσθαι ὑγίεια δεῖ ὁμαλυνθῆναι, τὸ ὁμαλυνθῆναι δέ ἐστι τὸ συμμετρίαν γενέσθαι τῶν τοῦ ζῴου ξηρῶν καὶ ὑγρῶν, θερμῶν καὶ ψυχρῶν, τοῦτο δὲ ἔσται εἰ θερμανθήσεται, θερμανθήσεται δὲ εἰ τρῖψις γενήσεται, αὕτη δὲ ἡ τρῖψις ὑπάρχει ἐν τῷ ἰατρῷ δυνάμει· δύναται γὰρ τρῖψαι τὸν νοσοῦντα, καὶ τρίβει· τῇ δὲ τρίψει ἕπεται ἡ θερμότης. καὶ ταύτῃ τὸ ὁμαλυνθῆναι. τῇ δὲ ὁμαλότητι ἡ ὑγίεια. ἡ μὲν οὖν ἀπὸ τῆς ὑγιείας μέχρι τῆς τρίψεως κίνησις νόησις λέγεται, ἡ δὲ ἀπὸ τῆς τρίψεως ἄχρι τῆς ὑγιείας ποίησις. τὸ δὲ ὁμοίως δὲ καὶ τῶν ἄλλων τῶν μεταξὺ ἕκαστον γίγνεται οἶμαι ὡς τῷ ὥστε συμβαίνειν τρόπον τινὰ τὴν ὑγίειαν ἐξ ὑγιείας γίνεσθαι τῆς ἄνευ ὕλης τὴν ἔχουσαν ὕλην συντάττεσθαι· καὶ εἴη ἂν λέγων ὅτι ὥσπερ ὑγίεια ἐξ ὑγιείας γίνεται, οὕτω καὶ ἡ ὁμαλότης ἐκ τῆς ὁμαλότητος τῆς ἐν τῇ ψυχῇ τοῦ ἰατροῦ οὔσης καὶ ἡ θερμότης ἐκ τῆς θερμότητος. ὑπάρχει οὖν, ὥσπερ εἴρηται, ἡ τρῖψις δυνάμει. ἢ οὐ τοῦτο λέγει ὅτι ὑπάρχει ἡ τρῖψις δυνάμει τῷ ἰατρῷ, ἀλλ' ὅτι ἡ τρῖψις δυνάμει ὑγίειά ἐστιν. εἰ γὰρ ἡ τρῖψις ἀρχὴ τῆς ὑγιείας ἐστὶ καὶ πρῶτον αἴτιον, δῆλον ὅτι ἡ τρῖψις δυνάμει ἐστὶν ὑγίεια. καὶ οἶμαι ὅτι τὸ ὑπάρχει δὲ τοδὶ δυνάμει περὶ τρίψεως εἴρηται, ὅτι ἡ τρῖψις δυνάμει ἐστὶν ὑγίεια, τὸ δὲ τοῦτο δ' ἐπ' αὐτῷ περὶ τοῦ ἰατροῦ, τουτέστιν ἡ τρῖψις δὲ ἐπὶ τῷ ἰατρῷ ἐστι, καὶ δύναται αὐτὴν ποιῆσαι. ἡ τρῖψις οὖν ἡ ποιοῦσα τὴν θερμότητα καὶ ἐξ ἧς ἡ κίνησις καὶ ἡ ἀρχὴ τοῦ ὑγιαίνειν γίνεται, ἐὰν μὲν ἀπὸ τέχνης ἤτοι ἀπὸ τοῦ τεχνίτου γίνηται, οὐκ ἀπὸ ταὐτομάτου λέγεται γίνεσθαι ἡ ὑγίεια ἡ ἐκ ταύτης τῆς τρίψεως γεγονυῖα, ἀλλὰ τὸ εἶδος τῆς ὑγιείας τὸ ἐν τῇ ψυχῇ τοῦ ἰατροῦ αἴτιόν ἐστι ταύτης τῆς ὑγιείας. εἰ δὲ ἀπὸ ταὐτομάτου συμβῇ γενέσθαι τὴν ὑγίειαν, ὅπερ γέγονεν αἴτιον τῆς ἀπὸ τέχνης γεγονυίας ὑγιείας, τοῦτο γενήσεται καὶ τῆς ἐξ αὐτομάτου. οἷον εἰ ὑγίεια ἡ ἀπὸ τοῦ τεχνίτου γεγονυῖα ἐκ τρίψεως ἐγένετο, αὕτη ἡ τρῖψις γενήσεταί ποτε καὶ ἐκ ταὐτομάτου αἰτία ὑγιείας. ὡς γὰρ ὁ ἰατρὸς τρίψας τὴν κοιλίαν τοῦ νοσοῦντος θερμότητα πεποίηκε καὶ αὕτη ὁμαλότητα κἀκείνη τὴν ὑγίειαν, οὕτω συμβήσεται καὶ τὸν νοσοῦντα τρῖψαι τὴν ἰδίαν κοιλίαν, οὐ χάριν τοῦ ποιῆσαι θερμότητα ἀλλὰ κατὰ τύχην, ταύτην δὲ τὴν τρῖψιν ποιῆσαι θερμότητα καὶ ταύτην ὁμαλότητα καὶ ταύτην ὑγίειαν. ὥστε ἀντιστρέφει· εἰ μὲν ἡ ὑγίεια ἡ ἐκ τρίψεως γεγονυῖα ἐκ ταὐτομάτου γέγονε, καὶ ἡ τρῖψις ἄρα ἐκ ταὐτομάτου ἐγένετο, καὶ

1 ὀρύξας LF: om. A 3 ὃ—ἢ (5) LF: om. A[1]: ὃ—οἰκίας (4) in marg. add. A[2] 12 ἡ ὑγίεια LF: ἡ om. A ἡ μὲν—ποίησις (13) ind. A 23 δὲ LF: in lac. om. A τοδὶ] τῳδὶ Metaph. vulg. 24 δ' ἤδη ἐπ' αὐτῷ Metaph. 32 εἰ L: ἡ A: εἰ ἡ F 36 ἰδίαν] οἰκείαν LF

ἐὰν ἡ τρῖψις ἐκ ταὐτομάτου καὶ ἡ ὑγίεια. ἐὰν δὲ ἀπὸ ταὐτομάτου. φησί, γένηται ἡ ὑγίεια, ἀπὸ τούτου γενήσεται, ἤτοι ἀπὸ τῆς τρίψεως, ὅπερ ἐγένετο τοῦ ποιεῖν ἀρχὴ τῷ ποιοῦντι ἀπὸ τέχνης· τουτέστιν ἤτις τρῖψις καὶ τῷ ἀπὸ τέχνης ποιοῦντι τεχνίτῃ τὴν ὑγίειαν ἀρχὴ γέγονεν αὐτῷ καὶ αἴτιον τοῦ τὴν ὑγίειαν ποιῆσαι, αὕτη γενήσεται καὶ ἐκ ταὐτομάτου. καὶ τὴν μὲν θερμότητα τὴν ἐν τῷ σώματι ποιεῖ τῇ τρίψει. αὕτη δὲ ἡ ἐν τῷ σώματι ὑπὸ τῆς τρίψεως γεγονυῖα θερμότης ἤ μέρος ἐστὶ τῆς γεγονυίας ὑγιείας, ἢ εἰ μή ἐστιν ἡ θερμότης μέρος τῆς ὑγιείας, ἀλλ' οὖν ἕπεται αὐτῇ τοιοῦτόν τι οἷον ἡ ὁμαλότης, ἥτις μέρος ἐστὶ τῆς ὑγιείας. αὐτὸ δὲ τὸ ἑπόμενον τῇ θερμότητι καὶ μέρος ὂν τῆς ὑγιείας ἢ εὐθὺς ἕπεται αὐτῇ, ἢ εἰ μὴ εὐθύς, ἀλλ' οὖν διὰ πλειόνων. τὸ δὲ τοῦτο δ' ἔσχατον τὸ ποιοῦν τοιοῦτον ἂν εἴη, ὅτι ἡ τρῖψις ἡ ποιοῦσα τὸ μέρος τῆς ὑγιείας ἐσχάτη ἐστὶ καὶ τῆς θερμότητος καὶ τῆς ὁμαλότητος καὶ τῶν λοιπῶν. καὶ ὥσπερ ἡ θερμότης ἢ τὸ ἑπόμενον αὐτῇ (τοῦτο γὰρ δεῖ προσυπακούειν) μέρος ἐστὶ τῆς ὑγιείας, οὕτω καὶ οἱ λίθοι τῆς οἰκίας καὶ ὁ χαλκὸς τοῦ ἀνδριάντος. ὥστε φανερόν ἐστιν ἐκ τῶν εἰρημένων ὅτι οὐδὲν γίνεται μὴ προϋπάρχοντός τινος, ἀλλὰ πᾶν τὸ γινόμενον ἔκ τινος γίνεται. καὶ ὅτι μὲν οὖν μέρος τι ἀναλογοῦν ὕλῃ ἐξ ἀνάγκης ὑπάρξει τοῖς γινομένοις, φα|νερόν. 460 ὅτι δὲ καὶ τῶν τοῦ ὁρισμοῦ μερῶν τι λόγον ὕλης ἐπέχει, οὐκ ἀφανές· τὰ γὰρ γένη ὕλῃ ἀναλογεῖ, καὶ τοῦτο δῆλον ἐκ τοῦ τὸν χαλκοῦν κύκλον δύο λέγεσθαι ἔχειν ὕλας, τόν τε χαλκὸν καὶ τὸ σχῆμα, τὸν μὲν χαλκὸν ὡς τοῦ συναμφοτέρου, τὸ δὲ σχῆμα ὡς τοῦ εἴδους. ἔχει δὴ ὁ χαλκοῦς κύκλος οὐ μόνον κατὰ τὸ συναμφότερον τὴν ὕλην, ἀλλὰ καὶ ἐν τῷ λόγῳ.

p. 1033a5 Ἐξ οὗ δὲ ὡς ὕλης γίνεται ἔνια λέγεται ὅταν λέγηται οὐκ ἐκεῖνο ἀλλ' ἐκείνινον.

Δείξας ὅτι πᾶν τὸ γινόμενον ἔκ τινος γίνεται λέγει ὅτι ἔνια, ὅταν λέγηται, οὐ λέγεται ἐκεῖνο ἐξ οὗ γίνεται, ἀλλ' ἐκεῖνο μὲν ὅλως οὐ λέγεται οὐδὲν εἰ μὴ παρωνύμως, οἷον ὁ ἀνδριὰς ὅλως οὐ λέγεται λίθος ἀλλὰ λίθινος· οὐ γὰρ ἐγένετο ὁ λίθος ἀνδριάς. τὸ γὰρ γεγονός τι ἀλλοιωθὲν καὶ ἐκστὰν τοῦ ὃ ἦν πρότερον ἐγένετο ὃ οὐκ ἦν· ὁ δὲ λίθος πάλιν λίθος μένει τὸ εἶδος δεξάμενος τοῦ ἀνδριάντος, ὥστε οὔτε ἐγένετο ὁ λίθος ἀνδριὰς οὔτε λέγεται τοῦτο ἤτοι οὔτε λέγεται ἀνδριάς. ὥσπερ οὖν ὁ ἀνδριὰς ἐξ οὗ γέγονεν οὐ λέγεται ἐκεῖνο οἷον λίθος, οὕτως οὐδὲ ὁ ὑγιαίνων νοσῶν· καὶ οὗτος γὰρ ἐκ νοσοῦντος γεγονὼς ὑγιαίνων οὐ λέγεται νοσῶν. καὶ τινὰ μὲν ὅλως οὐ λέγεται ἐκεῖνο, τινὰ δὲ λέγονται μὲν ἐκ τῆς στερήσεως τινὰ δ' οὔ. καὶ χρὴ τοῦ σύμπαντος ῥητοῦ οὕτως ἀκούειν, ὅτι ἔνια μὲν ἐξ οὗ ὡς ὕλης ἐγένετο λέγεται οὐκ ἐκεῖνο ἀλλ' ἐκείνινον, οἷον ὁ ἀνδριὰς οὐ λί-

---

3 ἀρχὴ] sic etiam Metaph. libri duo: ἄρχει Metaph. vulg. 3. 4 τουτέστιν — τέχνης LFS: om. A: ἤτις pro his verbis inserit $A^2$ 6 μὲν LF: om. A 12 post ποιοῦν add. τὸ μέρος τῆς ὑγιείας LF 24 λέγηται ALF: γένηται S et Metaph. vulg. 25 ἀλλ' ἐκείνινον om. LF 26. 27 λέγηται $A^1$LFS: γένηται $A^2$

θος ἀλλὰ λίθινος· τούτου γάρ, λέγω δὴ τοῦ λίθινος, ἐστὶ δηλωτικὸν τὸ ἐκείνινον. καὶ ὁ ὑγιαίνων ὁμοίως οὐ λέγεται νοσῶν. καὶ τότε δεῖ προσθεῖναι ὅτι καὶ πάλιν τινὰ μὲν τῶν ὄντων λέγεται μὲν ἐκ τῆς στερήσεως, τινὰ δὲ οὐ λέγεται ἐξ ἐκείνης γίνεσθαι ἀλλ' ἐκ τῆς ὕλης. καὶ εἰ τοῦτο 20
5 προστεθείη, ἔσται τὸ ἐπαγόμενον σαφές, τὸ αἴτιον δὲ ὅτι γίνεται ἐκ τῆς στερήσεως καὶ τοῦ ὑποκειμένου. καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον· αἴτιον δὲ τοῦ τινὰ μὲν λέγεσθαι ἐξ οὗ γίνεται τινὰ δὲ μή, ὅτι γίνονται ἐκ τῆς στερήσεως, ἥτις συνέληπται τῇ ὕλῃ· καὶ ὅταν μὲν ὠνομασμένη ᾖ ἡ στέρησις, τότε λέγομεν ὅτι γέγονεν ἐκ τοῦδε. ὥσπερ φανὲν
10 ὅτι ὁ ὑγιαίνων γέγονεν ἐκ κάμνοντος ὑγιὴς διὰ τὸ κεῖσθαι ὄνομα τῇ στε- 25
ρήσει τῆς ὑγιείας, αὕτη δέ ἐστιν ἡ νόσος, καὶ οὐ λέγομεν ὅτι ὁ ὑγιαίνων ἐξ ἀνθρώπου γέγονεν, ὅστις ἀναλογεῖ ὕλῃ, ἀλλ' ἐκ κάμνοντος, διότι, ὡς εἴρηται, κεῖται ὄνομα τῇ στερήσει. ἐπ' ἐνίων δέ, οἷον ἐπὶ τοῦ ἀνδριάντος καὶ τῆς οἰκίας, διὰ τὸ μὴ κεῖσθαι ὄνομα τῇ στερήσει, ὥσπερ ἐνταῦθα
15 ὁ ὑγιὴς ἐκ κάμνοντος λέγεται γενέσθαι, οὕτως καὶ ὁ ἀνδριὰς καὶ ἡ οἰκία 30
ἐκ τῆς τοῦ ἀνδριάντος καὶ τῆς οἰκίας στερήσεως γίνονται, ἀλλὰ διὰ τὸ μὴ κεῖσθαι ὄνομα ταῖς στερήσεσι δοκεῖ ὅτι ὥσπερ ὁ | ὑγιὴς ἐκ κάμνοντος 461
γίνεται, οὕτως καὶ ὁ ἀνδριὰς καὶ ἡ οἰκία ἐκ χαλκοῦ ἢ λίθων· καὶ διὰ τοῦτό φαμεν ὅτι ἐκ χαλκοῦ γέγονεν ὁ ἀνδριὰς καὶ ἡ οἰκία ἐκ λίθων. καὶ
20 ἐπειδὴ ὥσπερ ὁ ὑγιαίνων ἐκ κάμνοντος γίνεται, οὕτως καὶ ὁ ἀνδριὰς ἐκ χαλκοῦ ἢ λίθου, οὐ λέγεται δὲ ὁ ὑγιὴς ἐκεῖνο ἐξ οὗ γέγονεν, οἷον οὐ λέγεται ὁ ὑγιὴς νοσῶν, οὕτω καὶ ὁ ἀνδριὰς οὐ λέγεται χαλκὸς ἢ λίθος, ἀλλὰ λίθινος ἢ χαλκοῦς. ὅτι δὲ ἀνώνυμος ἡ ἐν τῷ χαλκῷ στέρησις φανερόν. εἰ γὰρ δυνατὸν ὁρίσασθαι καὶ εἰπεῖν ὅτι τοῦδε τοῦ σχήματος ἔχει στέρη-
25 σιν, οἷον φέρε τοῦ ἀνδριάντος, ἵνα λέγωμεν ὅτι ὁ χαλκὸς στέρησιν ἔχων 5
ἀνδριάντος γέγονεν ἐκ τῆς τοιαύτης στερήσεως. λέγω δὴ ἐκ μὴ ἀνδριάντος· εἰ γὰρ τοῦτο λέγοι τις ὅτι ὁ χαλκὸς στέρησιν ἔχει τοῦ σχήματος τοῦ ἀνδριάντος, πρόχειρον ἐμοὶ λέγειν ὅτι οὐ τοῦ ἀνδριάντος ἀλλὰ λέβητος ἢ τρίποδος ἢ κιβωτίου ἢ ἵππου ἢ ἄλλου τινός. ὥστε διὰ τὴν ἀοριστίαν τοῦ
30 ποίου σχήματος ἔχει στέρησιν ὁ χαλκὸς καὶ διὰ τοῦτο καὶ ἀνωνυμίαν (τὰ 10
γὰρ ἀόριστα ἀνώνυμα) οὐ φαμεν τὴν στέρησιν ἀλλὰ τὴν ὕλην. ὁμοίως καὶ ἐπὶ τῶν λίθων· οὐδὲ τούτων γὰρ ἡ στέρησις ὠνομασμένη τυγχάνει, ἵνα λέγωμεν ὅτι ἐκ μὴ οἰκίας γέγονεν ἡ οἰκία. καὶ οὐ τοῦτό φαμεν ὅτι ἡ οἰκία ἐξ οὐκ οἰκίας οὐ γίνεται (μαχόμενα γὰρ ἂν ἐλέγομεν τοῖς ἐν τοῖς
35 Περὶ φύσεως διορισθεῖσι· φανερὸν γὰρ ὅτι ἐκ μὴ οἰκίας γέγονεν), ἀλλὰ ὅτι οὐ δυνατὸν λέγειν ὡς ἐκ τῆς ἐνούσης ἐν τῷ λίθῳ στερήσεως τῆς οἰκίας. 15
οὐ μόνον γὰρ ἐν τῷ λίθῳ στέρησις οἰκίας ἐστίν, ἀλλὰ καὶ ἀνδριάντος καὶ ἄλλων μυρίων. εἰπὼν δὲ ὅτι διὰ τὸ μὴ κεῖσθαι ὄνομα τῇ στερήσει ἐκεῖνο μὲν ὅλως ἐξ οὗ γέγονεν οὐ λέγεται, οἷον οὐ λέγεται λίθος ὁ ἀνδριάς, ἐξ

5 ἐκ LF: om. A 10 ὅτι LF: om. A 18 καὶ ἡ οἰκία LFS: om. A λίθων—χαλκοῦ ἢ (21) LFS: om. A 32 ἡ στέρησις LF: ἡ om. A 34 ἐλέγομεν F: ἐλέγωμεν L: λέγωμεν A 34. 35 ἐν τοῖς Περὶ φύσεως] Phys. A 7

ἐκείνου δὲ κατὰ τοῦτο, διὰ τὸ μὴ κεῖσθαι ὄνομα τῇ στερήσει (εἰ γὰρ ἔκειτο οὐκ ἂν τοῦτο ἐλέγομεν, ὥσπερ οὐδ' ἐπὶ τοῦ ἀνθρώπου· οὐ γὰρ λέγομεν ὅτι ἐξ ἀνθρώπου γέγονεν ὁ ὑγιής), καὶ ἄλλην αἰτίαν τίθησι τοῦ διὰ τί οὐ λέγεται ἐκ λίθου γίνεσθαι τὸν ἀνδριάντα, λέγων ἐπεὶ οὐδ' ὡς ἐκ ξύλου γίνεται ὁ ἀνδριὰς καὶ τὰ ἑξῆς. τὸ δὲ λεγόμενον τοῦτό ἐστιν. ἐάν τις σφόδρα καὶ ἀκριβῶς ἐπιβλέψῃ καὶ ἐπιστήσῃ τῇ τῶν πραγμάτων φύσει, οὐκ ἂν εἴποι ὅτι ἐκ ξύλου γίνεται ὁ ἀνδριὰς ἢ ἐκ χαλκοῦ, ὅτι τὸ μὲν ἔκ τινος γινόμενον ἐκεῖθεν ἐξ οὗ γίνεται μεταβάλλει καὶ ἐξίσταται τῆς ἐν ᾗ ἦν φύσεως καὶ γέγονεν ἄλλο τι· ὁ δὲ χαλκὸς ἀνδριὰς γεγονὼς πάλιν μένει χαλκός, ὃ οὐκ ἂν εἴποις ἐπὶ τοῦ ὕδατος γεγονότος ἀέρος· οὐκ ἄρα οὔτε γίνεται ἐκ χαλκοῦ ἀνδριὰς οὔτε λεχθήσεται τοῦτο ἐπὶ τοῦ ἀνδριάντος, λέγω δὴ ὅτι ἐκ χαλκοῦ γέγονεν. ἀλλὰ τὰ μὲν λεγόμενα, οἶμαι, τοιαῦτα. ἐν δὲ τῇ λέξει τῇ ὧν δ' ἡ στέρησις ἄδηλος καὶ ἀνώνυμος οἷον ἐν χαλκῷ | σχήματος ὁποιουοῦν τοιοῦτόν ἐστιν· ὧν δ' ἡ στέρησις 462
ἄδηλος καὶ ἀνώνυμος, ἐπὶ τούτων οὐ δοκεῖ ἐκ τῆς στερήσεως γίνεσθαι, ὥσπερ ἐκ κάμνοντος· ἐν γὰρ τῷ χαλκῷ οὐκ ἔστι δῆλον ποίου σχήματος στέρησιν ἔχει. ἡ μὲν δὴ τῶν λεγομένων ἔννοια τοιαύτη τις ἂν εἴη καὶ οὕτω δὴ κατ' ἐμὴν δύναμιν σεσαφήνισται· ἐπιζητήσειε δ' ἄν τις ποίαν τινὰ χρείαν τοῖς προσεχῶς δειχθεῖσι παρέχεται. δέδεικται γὰρ ὅτι πᾶν τὸ γινόμενον ἔκ τινος γίνεται. τίνα οὖν χρείαν πρὸς ταῦτα παρέχεται τὸ λέγειν ὅτι τινὰ μὲν λέγεται οὐκ ἐκεῖνο ἐξ οὗ γίνεται ἀλλ' ἐκείνινον; ἢ οὐδεμίαν ἄλλην, ἀλλ' ἐπειδὴ ἔδειξεν ὅτι πᾶν τὸ γινόμενον ἔκ τινος γίνεται, διαρθρῶσαι ἠθέλησε καὶ τὸ πῶς λέγονται τὰ γινόμενα.

p. 1033a24 Ἐπεὶ δ' ὑπό τινος γίνεται τὸ γινόμενον· τοῦτο δὲ λέγω, ὅθεν ἡ ἀρχὴ τῆς γενέσεώς ἐστι.

Προθέμενος δεῖξαι ὅτι τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι οὐ γίνεται, καὶ συνιδὼν ὅτι οὐδὲν αὐτῷ πρᾶγμα οὐδὲ δυσχερὲς εἰς τὸ τοῦτο δεῖξαι γενήσεται, εἰ πρότερον δείξει ὅτι πᾶν τὸ γινόμενον ἔκ τινος γίνεται, καὶ τοῦτο δείξας, νῦν τρέπεται εἰς τὴν δεῖξιν τοῦ ὅτι τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι οὐ γίνεται. καί φησιν ἐπειδὴ τὸ γινόμενον ὑπό τινος γίνεται (τοῦτο δὲ ὑφ' οὗ γίνεται τὸ γινόμενον ἐστὶ τὸ ποιητικόν· τούτου γάρ ἐστι δηλωτικὸν τὸ ὅθεν ἡ ἀρχὴ τῆς γενέσεως), καὶ ἔκ τινος γίνεται (καὶ ἔστω, φησίν, ἐξ οὗ γίνεται τὸ γινόμενον μὴ ἡ στέρησις ἀλλ' ἡ ὕλη· ἤδη γὰρ ὥρισται ὃν τρόπον τοῦτο λέγεται ὅτι ἐκ τῆς στερήσεως γίνεται, ἀλλὰ διὰ τὸ μὴ κεῖσθαι αὐτῇ ὄνομα λέγομεν ἐκ τῆς ὕλης), ἐπειδὴ οὖν τὸ γινόμενον ὑπό τε ποιητικοῦ γίνεται καὶ ἐκ τῆς στερήσεως ἢ καὶ ἐκ τῆς ὕλης, καὶ τὶ γίνεται, οἷον ἀν-

---

1 δὲ καὶ τοῦτο LF 7 εἴποι ὅτι LF: εἴποι τί A 10 ἐπὶ τοῦ ὕδατος LFS: om. A ἀέρος scripsi: ἀήρ LF; in lac. om. A 11 οὔτε γίνεται ἐκ LFS: om. A 12 ὅτι LF: καὶ A 16 δῆλον Brandis: δῆλα A: incerti LF 29 τοῦ LF: τοῦτο A 31. 32 τὸ γινόμενον—φησίν LFS: om. A 32 ἐξ οὗ LFS: τοῦτο δὲ ὑφ' οὗ A¹: ἐξ οὗ corr. et ante τοῦτο add. ἔκ τινος A²

θρωπος ἢ ἵππος ἢ σφαῖρα ἢ κύκλος ἢ ἄλλο τι. ὥσπερ οὐδὲ τὸν χαλκόν (λεγέσθω γὰρ ἐπὶ τούτου) ποιεῖ, οὕτως οὐδὲ τὴν σφαῖραν, οὐχὶ τήνδε τὴν μερικήν (φανερὸν γὰρ ὅτι ταύτην ποιεῖ), ἀλλὰ τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι σφαίρᾳ οὐ ποιεῖ, ἀλλὰ τίθησιν αὐτὸ περὶ τὸν χαλκόν· εἰ δὲ καὶ λέγεται σφαῖραν ποιεῖν, κατὰ συμβεβηκὸς τοῦτο λέγεται· διὰ γὰρ τὸ τὴν χαλκῆν σφαῖραν ποιεῖν λέγεται σφαῖραν ποιεῖν, ἀλλ' οὐχὶ διὰ τὸ τὸ εἶδος τῆς σφαίρας καὶ τὸ τί ἦν εἶναι, ὃ περὶ τὸν χαλκὸν τίθησιν· αὐτὸ γὰρ οὐ γίνεται. τὸ γὰρ τόδε τι ποιεῖν, τουτέστι τὸ γὰρ τήνδε τὴν μερικὴν σφαῖραν ποιεῖν, ἐστὶ τὸ ἐξ ὑποκειμένου τοῦ χαλκοῦ καὶ τοῦ εἴδους ποιεῖν τόδε τι ἤτοι σύνθετον. ποιεῖ γὰρ τὸ στρογγύλον ἐν τῷ χαλκῷ, τὸ δὲ στρογγύλον (αὐτὴν λέγω τὴν στρογγυλότητα τὴν ἐν τοῖς καθ' ἕκαστα τὸ εἶναι ἔχουσαν) οὐ ποιεῖ οὐδὲ τὸ εἶδος τῆς σφαίρας (ἔστι γάρ), ἀλλὰ τοῦτο τὸ εἶδος τῆς σφαίρας ποιεῖ ἐν ἄλλῳ καὶ περιτίθησιν αὐτὸ τῷ χαλκῷ. εἰ δὲ λέγει τις καὶ τὸ εἶδος ποι|εῖν τῆς σφαίρας ὥσπερ τὸ σύνθετον, ἐπειδὴ πᾶν 463 τὸ γινόμενον, ὡς δέδεικται, ἔκ τινος γίνεται, γενήσεται καὶ τοῦτο ἐξ ἄλλου κἀκεῖνο ἐξ ἄλλου καὶ τοῦτο εἰς ἄπειρον, ὅπερ ἀδύνατον. ὥσπερ γὰρ ὁ ποιῶν τὴν χαλκῆν σφαῖραν ἐκ τουδὶ τοῦ ὄντος ποιεῖ, οἷον ἐκ χαλκοῦ τοδὶ τὴν σύνθετον σφαῖραν ποιεῖ, οὕτω εἰ καὶ τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι σφαίρᾳ ποιεῖ, ἐξ ὑποκειμένου τινὸς ποιήσει, καὶ βαδιοῦνται αἱ γενέσεις εἰς ἄπειρον. ὥστε καὶ ἐκ τούτων φανερόν ἐστιν ὅτι οὐδὲ τὸ εἶδος, ἢ ὅ τι χρὴ καλεῖν τὴν μορφὴν τὴν ἐν τοῖς αἰσθητοῖς, γίνεται, οὐδὲ διὰ γενέσεως εἰς τὸ εἶναι ἄγεται, ἀλλὰ τῆς ὕλης ὑπὸ τῆς ἐν αὐτῇ φύσεως ἀλλοιουμένης καὶ γινομένης ἀχρόνως ἐπιγίνεται αὐτῇ καὶ ἐν ἀτόμῳ νῦν. οὐ μόνον δέ, φησί, φανερόν ἐστιν ὅτι τὸ ἐν τῷ αἰσθητῷ εἶδος οὐ γίνεται, ἀλλ' οὐδ' ἔστι τοῦτο, λέγω δὴ τὸ ἐν τῷ αἰσθητῷ εἶδος, τὸ τί ἦν εἶναι· τὸ γὰρ τί ἦν εἶναι καθόλου καὶ νοητόν, τοῦτο δὲ αἰσθητὸν καὶ μερικόν, ὃ καὶ γίνεται ἐν τῇ ὕλῃ ὑπὸ φύσεως ὥσπερ τὸ ἐν ἐμοὶ εἶδος καὶ τὸ ἐν τοῖς καθ' ἕκαστα, ὑπὸ τέχνης δὲ ὡς ἡ χαλκῆ σφαῖρα, ὑπὸ δυνάμεως δὲ ὡς αἱ ἀρεταί· εἴδη γάρ τινα καὶ αὗται κοσμοῦσαι τὴν ψυχὴν ὡς τὰ εἴδη τὴν ὕλην· αἵπερ ἀρεταὶ οὐ γίνονται, ὥσπερ οὐδὲ ἡ σφαῖρα, καὶ γίνονται ἐν ἄλλῳ, ἤτοι τῇ ψυχῇ, ὡς ἡ σφαῖρα ἐν τῷ χαλκῷ. καὶ τὴν μὲν χαλκῆν σφαῖραν ποιεῖ ἔκ τε τοῦ χαλκοῦ καὶ τοῦ εἴδους τῆς σφαίρας· ποιεῖ γὰρ τὴν σφαῖραν ἐν τῷ χαλκῷ, καί ἐστιν ὃ πεποίηκε σφαῖρα χαλκῆ· τὸ δὲ τί ἦν εἶναι σφαίρᾳ ὅλως οὐ ποιεῖ. εἰ γὰρ ἔσται γένεσις αὐτῆς, ἔκ τινος ἔσται· πᾶν γὰρ τὸ γεγονὸς διαιρεῖται εἰς τὸ ἐξ οὗ γέγονε καὶ εἰς τὸ ὃ ἐγένετο. καὶ εἴπερ ἐστὶ σφαῖρα σχῆμα τὸ πάντῃ ἴσον ἀπέχον τοῦ κέντρου, τούτου τοῦ σχήματος τὸ μὲν ἔσται ὑποκείμενον, ἐν ᾧ τὸ εἶδος ἔσται, ὃ ποιεῖ ὁ ποιῶν περὶ αὐτό, τὸ δὲ ἔσται εἶδος ἐν τῷ ὑποκειμένῳ

---

1 post ὥσπερ add. *efficiens* S 6 λέγεται — ποιεῖν LF: om. A διὰ τὸ τὸ Bonitz: διὰ τὸ ALF 8 τήνδε LF: om. A 14 τὸ σύνθετον LF: τὸ om. A 28 ὑπὸ δυνάμεως — οὐδὲ ἡ σφαῖρα (30) LFS: om. A 33 πεποίηκε LF: πέφυκε A 35 εἴς τε τὸ ἐξ LF τὸ ὃ LFS: τὸ οὗ A 36 ἐγένετο LFS: ἐγίνετο A

ὄν, τὸ δ' ἐκ τούτων ἔσται ἡ γεγονυῖα χαλκῆ σφαῖρα. καὶ λοιπὸν συμπεραίνεται λέγων φανερόν ἐστιν ἐκ τῶν εἰρημένων ὅτι τὸ μὲν λεγόμενον ὡς εἶδος ἢ ὡς οὐσία οὐ γίνεται, τὸ δὲ σύνθετον τὸ ἐκ τούτου καὶ τῆς ὕλης γίνεται (τοῦτο γὰρ εἶπεν ὅτι ἡ κατὰ ταύτην σύνοδος), καὶ ὅτι ἐν παντὶ τῷ γινομένῳ ὕλη ἔνεστι καί ἐστι τὸ μὲν ὡς εἶδος τὸ δ' ὡς ὕλη.

p. 1033b19 Πότερον δέ ἐστί τις σφαῖρα παρὰ τάσδε ἢ οἰκία παρὰ τὰς πλίνθους.

Δείξας ὅτι τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι οὐ γίνεται ἀλλ' ἔστι μέν, γίνεται δὲ περὶ τὸ ὑποκείμενον, εἰπὼν δὲ καὶ ὅτι τὸ εἶδος ἢ ἡ μορφὴ ἡ ἐν τῷ αἰσθητῷ οὐ διὰ γενέσεως γίνεται ἀλλ' ἀχρόνως καὶ ἐν ἀτόμῳ νῦν (λέγει δὲ εἶναι τὸ εἶδος οὐκ ἐνεργείᾳ καὶ καθ' αὑτό, ὥσπερ ἐγώ, ἀλλὰ τῇ ἐπινοίᾳ), ταῦτα δὴ δείξας ἐρωτᾷ πότερον ἔστι τις σφαῖρα παρὰ τάσδε ἢ οἰκία παρὰ τὰς πλίνθους αὐτὴ καθ' αὑτὴν καὶ ἁπλῶς ἄνθρωπος παρὰ τοὺς ἀν|θρώπους. καὶ ἐρωτήσας ἐπικρίνει λέγων ἢ οὐκ ἄν ποτε ἐγίνετο 464 τόδε καὶ αἰσθητόν· σύνηθες δὲ αὐτῷ τὸ τόδε τι ἐπὶ τῶν αἰσθητῶν καὶ εἰς δεῖξιν πιπτόντων καὶ ὅλως ἐπὶ τῶν καθ' αὑτὰ δυναμένων εἶναι λαμβάνειν. καὶ ἐν ταῖς Κατηγορίαις γὰρ εἶπεν ὅτι ἐπὶ μὲν τῶν πρώτων οὐσιῶν, πρώτας λέγων Σωκράτην καὶ ἁπλῶς τὰ ἄτομα, ἀναμφισβητήτως τόδε τι σημαίνει ἑκάστη. οὐκ ἂν οὖν, φησίν, εἰ οὕτως ἦν, τουτέστιν εἰ χωριστὰ καὶ καθ' αὑτὰ ἦν τὰ εἴδη, ἐγίνετο ἂν τόδε τι, ὥστε καὶ ἄλλου τινος ἀλλοιουμένου ἐπιγίνεσθαι τὸ εἶδος ἀχρόνως τῷ ἀλλοιουμένῳ· ἀλλ' εἴπερ ἄρα ἔμελλε γίνεσθαι ἐν τῇ ὕλῃ, κατὰ σύνθεσιν ἂν τοῦτο ἐγένετο. ὡς γὰρ οἱ λίθοι αὐτοὶ καθ' αὑτοὺς ὄντες συνθέσει ἀλλ' οὐ διὰ γενέσεως καὶ ὅλως ἀλλοιώσεως τῆς οἰκίας μέρη γίνονται καὶ ταύτην ἀπεργάζονται, οὕτως εἴπερ ἦσαν καὶ τὰ εἴδη καθ' αὑτά, συντιθέμενα μετὰ τῆς ὕλης τὰ ἄτομα ἂν ἐποίει, ἀλλ' οὐ διὰ γενέσεως καὶ ἀλλοιώσεως. καὶ ἄλλως, ὥσπερ ὁδὶ ὁ οἶνος καὶ τοδὶ τὸ μέλι καθ' αὑτὰ ὄντα τὸ οἰνόμελι πεποιηκότα οὐ δύνανται καὶ ἐν ἄλλοις εὑρίσκεσθαι, οὕτως εἴπερ καὶ ὁ ἄνθρωπος καθ' αὑτὸν ἦν συντεθεὶς τηδὶ τῇ ὕλῃ καὶ ποιήσας τὸν Σωκράτην, ἐν ἑτέρᾳ ὕλῃ οὐκ ἂν ἠδυνήθη γενέσθαι, ὥστε καὶ ἕτερον ἄνθρωπον ποιῆσαι, μέχρις οὗ ἐχωρίσθη τῆς ὕλης μεθ' ἧς τὸν Σωκράτην ἐποίησεν. ὅπερ οὐ συμβαίνει τοῖς μὴ χωριστὰ τὰ εἴδη λέγουσιν· οὐ γὰρ καθ' αὑτόν φασιν εἶναι τὸν ἄνθρωπον καὶ τὸ εἶδος τοῦ ἀνθρώπου, ἀλλὰ τῇ ἐπινοίᾳ τοῦτον χωρίζουσιν ἐκ τῶν πολλῶν, ἐν τοῖς μερικοῖς δὲ τὴν τοιάνδε φύσιν τὸ εἶναι διδόασιν. εἰ μὲν οὖν ἦν, φησί, τὰ εἴδη καθ' αὑτά, οὐκ ἂν ἐγίνετο τόδε τι· ἀλλὰ τὸ μὲν εἶδος τοιόνδε τι σημαίνει, τουτέστι ποιόν τι σημαίνει, οὐχ ἁπλῶς δὲ ποιόν, ἀλλὰ περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζει, ἤτοι οὐσίαν τινά

---

7 δέ] οὖν Metaph. 18 ἐν ταῖς Κατηγορίαις] c. 5 p. 3b10 ἐπὶ LF: ἐπεὶ A 27 ἄλλως M Bonitz: ἄλλως τε ALF 36 ἦν LF: om. A

ποιότητα ἔχουσαν, καὶ τοῦτο διαφέρει τῆς ὕλης ὅτι ἐκείνη ἄποιός ἐστιν. ἀλλὰ τοιόνδε μὲν τὸ εἶδος σημαίνει, τόδε δέ τι καὶ ὡρισμένον καὶ καθ' αὑτὸ δυνάμενον εἶναι οὐκ ἔστιν, ἀλλ' ὁ ποιῶν καὶ γεννῶν ἐκ τοῦδε τοῦ εἴδους ποιεῖ καὶ γεννᾷ τοιόνδε, ἤτοι τὸ ἐξ ὕλης καὶ εἴδους. καὶ ὅταν γεννηθῇ, ἔστι τόδε τοιόνδε, τουτέστι σύνθετος οὐσία ἐξ ὕλης καὶ εἴδους. τοῦτο δὲ τὸ τόδε ὂν τοιόνδε ἐστὶν ὁ Καλλίας ἢ ὁ Σωκράτης· ὥσπερ γὰρ ἡ σφαῖρα ἡ χαλκῆ ἡδὶ ἐξ ὕλης καὶ εἴδους ἐστίν, οὕτω καὶ ὁ ἄνθρωπος ὁδὶ καὶ ὅλως τὸ ζῷον ἐξ ὕλης εἰσὶ καὶ εἴδους. οὕτω μὲν οὖν τὸ εἶδος τὸ ἔνυλον ποιεῖ περὶ τὴν ὕλην, καὶ ὅταν ποιήσῃ ἢ γεννήσῃ, ἔστιν· εἶδος δὲ αὐτὸ καθ' αὑτὸ καὶ χωριστὸν οὐκ ἔστιν.

Φανερὸν ἄρα ἐκ τῶν εἰρημένων ὅτι τὸ αἰτιᾶσθαι τὰ εἴδη ὡς ποιητικὰ τῶν τῇδε καὶ διδόναι αὐτοῖς ὕπαρξιν διὰ τοῦτο, οὐδέν εἰσι χρήσιμα πρὸς τὰς γενέ|σεις καὶ τὸ ποιεῖν τὰς ἀτόμους οὐσίας· οὐδὲ εἶεν ἂν καθ' 465
αὐτὰς οὐσίαι διὰ τὸ ὡς εἴρηται τὰ τῇδε ποιεῖν. φανερὸν γάρ ἐστιν ἐπί τινων, οἷον ἐπ' ἐμοῦ καὶ τῶν κατὰ μέρος ἀνθρώπων, ὅτι ὁ γεννήσας με πατὴρ οἷος ἐγώ ἐστιν ἐξ ὕλης καὶ εἴδους, ἀλλ' οὐ χωριστὸν εἶδος. εἰ δ' ἦσαν τὰ εἴδη αἴτια γενέσεως, ἔδει τοῦ πατρός μου μὴ ὄντος γενέσθαι ἐμέ. οὐ πάντῃ δὲ οἷος ἐγώ ἐστιν ὁ πατήρ μου, ἀλλὰ τῷ μὲν εἴδει ὁ αὐτός, τῷ δ' ἀριθμῷ οὐκέτι. καὶ ἁπλῶς ἐπὶ τῶν φυσικῶν οἷον τὸ γεννῶν, τοιοῦτον καὶ τὸ γεννώμενον· ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου γεννᾶται καὶ ἵππος ἐξ ἵππου, εἰ μή τι παρὰ φύσιν γένηται, ὥσπερ ἵππος οὐ διόλου ἵππον γεννᾷ· ἵππον μὲν γὰρ γεννᾷ ἵππῳ θηλείᾳ συνδυασθείς, ἀλλὰ καὶ ἡμίονον ὄνῳ συνιών. ἀλλὰ καὶ ταῦτα, φησίν, ὁ ἵππος καὶ ἡ ὄνος κατά τι κοινὸν τὸν ἡμίονον γεννῶσιν· ὡς γὰρ ὁ Σωκράτης μετὰ τῆς Ξανθίππης κατὰ κοινόν τι τὸν ἄνθρωπον ἐγέννησε τοὺς αὐτοῦ παῖδας, οὕτω καὶ ὁ ἵππος μετὰ τῆς ὄνου κατὰ κοινόν τι τὸν ἡμίονον ἐγέννησεν· ἀλλὰ διὰ τὸ μὴ ὠνομάσθαι τὸ ἐγγύτατον γένος, τουτέστι τὸ κοινὸν καθ' ὃ τὸν ἡμίονον ἐγέννησεν, οὐ φαίνεται τοῦτο, εἴη δ' ἄν, φησίν, ἴσως τὸ κοινὸν οἷον ἡμίονος. ὥστε δῆλον ὅτι οὐ δεῖ ὡς παράδειγμα εἶδος κατασκευάζειν· μάλιστα γὰρ ἂν ἐν τούτοις ἐπεζητοῦντο, τουτέστιν αἱ ἐνέργειαι τῶν εἰδῶν μάλιστα ἐν τοῖς αἰσθητοῖς ἐφαίνοντο ἂν καὶ ἀτόμοις· ταῦτα γὰρ μάλιστα οὐσίαι. οὐ φαίνονται δ' οὐδὲν περὶ τὴν γένεσιν αὐτῶν ἐνεργοῦντα, ἀλλ' ἱκανόν ἐστι τὸ γεννῶν ποιῆσαι τὸ γεννώμενον μηδενὸς παραδείγματος φροντίζον· μήτε δὲ εἰς παράδειγμα ἀφορῶν τὸ γεννῶν γεννᾷ τὸ γεννώμενον, καί ἐστιν αἴτιον τὸ γεννῶν προσεχὲς τοῦ εἴδους τὸ εἶναι ἐν τῇ ὕλῃ· αὐτὸ γάρ ἐστι διὰ μέσης τῆς φύσεως τὸ τῷ εἴδει παρέχον τὸ εἶναι ἐν τῇ ὕλῃ, ἀλλ' οὐ τὸ εἶδος καὶ τὸ παράδειγμα. καὶ ἐστὶ τὸ ὑπὸ τοῦ γεννῶντος ἐν ταῖς σαρξὶ καὶ ὀστέοις καὶ νεύροις εἶδος γεγονὸς ὁ Καλλίας καὶ ὁ Σωκράτης τῷ μὲν εἴδει οἱ αὐτοί, τῷ δ' ἀριθμῷ ἕτεροι· ἑτέρα γὰρ ἡ ἑκάστου ὕλη· ὧν δὲ ἡ ὕλη ἑτέρα, καὶ αὐτὰ ἕτερα τῷ ἀριθμῷ.

---

6 τοῦτο—τόδε LF: τὸ τὸ δὲ A 16 χωριστοῦ εἴδους A[1] 22 ἵππῳ—συνιών LF: ἵππος θήλεια καὶ ἡμίονον ὄνῳ συμμιγεῖσα A 35 προσεχῶς LF τοῦ—εἶναι] τοῦ τὸ εἶδος εἶναι coni. Bonitz

p. 1034a9 Ἀπορήσειε δ' ἄν τις διὰ τί τὰ μὲν γίνεται καὶ τέχνῃ καὶ ἀπὸ ταὐτομάτου.

Ἐπειδὴ πολλὰ τῶν ὄντων γίνεται καὶ ἀπὸ τέχνης καὶ ἀπὸ ταὐτομάτου, ὥσπερ εἴρηται ἐπὶ τῆς ὑγιείας, τινὰ δὲ ἀπὸ τέχνης μὲν γίνεται ὡς ἡ οἰκία, ἀπὸ ταὐτομάτου δ' οὐδαμῶς (οὐδέποτε γὰρ ἀπὸ ταὐτομάτου μηδενὸς κινοῦντος συνετέθησαν οἱ λίθοι καὶ γέγονεν οἰκία), ζητεῖ διὰ τί τοῦτο γίνεται. καὶ εἰπὼν λέγει τὴν αἰτίαν τοῦ οὕτω ταῦτα γίνεσθαι, ὅτι τῶν μέν, φησίν, ἡ ὕλη ἡ ἄρχουσα τῆς γε|νέσεως, τουτέστιν ἡ ὡς ἀρχὴ καὶ 466 αἰτία ὑποκειμένη ἐν τῷ ποιεῖν ἤτοι ἐν τῷ ποιεῖσθαι καὶ γίνεσθαί τι τῶν ἀπὸ τέχνης, ἐν ᾗ ὕλῃ ὑπάρχει τι μέρος τοῦ πράγματος (εἶπε γὰρ καὶ πρότερον ὅτι ἡ θερμότης ἡ ἐν τῷ σώματι ἢ ὑγιεά ἐστιν ἢ ἕπεται αὐτῇ μέρος τι τῆς ὑγείας), ἡ ὕλη δὴ ἡ ὑποκειμένη ἐν τῷ γίνεσθαί τι τῶν ἀπὸ τέχνης ἡ μὲν τοιαύτη ἐστὶν ὡς δυναμένη κινεῖσθαι καὶ ὑφ' ἑαυτῆς ὡς ἂν κινηθείη καὶ ὑπὸ τοῦ τεχνίτου, ἡ δὲ οὔ, ἀλλ' ἔστιν ἀδύνατος κινηθῆναι ὑφ' ἑαυτῆς ὡς ὑπὸ τέχνης κινεῖται· τοῦτό ἐστι τὸ αἴτιον τοῦ τὰ μὲν γίνεσθαι καὶ ἐκ ταὐτομάτου τὰ δὲ μή. ἐπειδὴ δὲ πάντα φυσικήν τινα κίνησιν ἔχει (φέρεται γὰρ ὁ λίθος κάτω καὶ τὸ πῦρ ἄνω), λέγει ὅτι ὥσπερ καὶ τῶν ζῴων πολλὰ τὴν μὲν κατὰ τόπον κίνησιν κινοῦνται, ὡδὶ δὲ κινηθῆναι, οἷον φέρε εἰπεῖν ὀρχήσασθαι, οὐ δύνανται, οὕτω καὶ οἱ λίθοι καὶ τὰ ξύλα κάτω μὲν κινηθῆναι δύνανται φυσικῶς, ὡδὶ δὲ ὥστε ἀποτελέσαι οἰκίαν οὐδαμῶς, εἰ μὴ ὑπὸ τοῦ οἰκοδόμου, καὶ τὸ πῦρ ἄνω μὲν κινηθῆναι ὑφ' ἑαυτοῦ δύναται, ὡδὶ δὲ ὥστε τὸν χαλκὸν ἐκπυρῶσαι οὐδαμῶς, εἰ μὴ ὑπὸ τοῦ χαλκέως. διὰ ταύτας οὖν τὰς αἰτίας τὰ μέν, οἷον οἰκία καὶ πλοῖον καὶ τὰ τοιαῦτα, οὐκ ἔσται ἄνευ τῶν ἐχόντων τὴν τέχνην, τὰ δέ, ὥσπερ ἡ ὑγίεια, ἔσται. εἶτα διαρθρῶν τὸν λόγον λέγει ὅτι τὰ καὶ ὑφ' ἑαυτῶν δυνάμενα κινεῖσθαι οὐ μόνον ὑπὸ τῶν ἐχόντων τὴν τέχνην κινηθήσεται, ἀλλὰ καὶ κινηθήσεται ὑπὸ τῶν τοιούτων τῶν οὐκ ἐχόντων τὴν τέχνην. τρῖψις γάρ, ὡς πολλάκις εἴρηται, καὶ ὑπὸ τοῦ τεχνίτου γενήσεται καὶ ὑπὸ τοῦ τὴν τέχνην μὴ ἔχοντος. ἢ οὖν κινηθήσεται ὑπὸ τῶν τὴν τέχνην μὴ ἐχόντων, ἢ ἐκ μέρους, τουτέστιν ὑφ' ἑαυτῶν· ἐπειδὴ γὰρ δύναται κινεῖσθαι καὶ ὑφ' ἑαυτῶν, ποτὲ μὲν ὑπὸ τοῦ τεχνίτου κινηθήσεται, ποτὲ δὲ καὶ ὑπὸ τοῦ τὴν τέχνην μὴ ἔχοντος, ποτὲ δὲ καὶ ὑφ' ἑαυτῶν.

p. 1034a21 Δῆλον δ' ἐκ τῶν εἰρημένων καὶ ὅτι πάντα τρόπον τινὰ γίνεται ἐξ ὁμωνύμου.

Δείξας διὰ πλειόνων ὅτι οὐ μόνον ὁ ἄνθρωπος ἐξ ἀνθρώπου γίνεται ἀλλὰ καὶ ἡ οἰκία ἐξ οἰκίας (ἡ γὰρ τέχνη, καθ' ἣν ἡ οἰκία γίνεται, οὐδὲν

---

3 post τέχνης iterant γίνεται ALF 4 μὲν LF: om. A 20 κάτω μὲν κινηθῆναι LF: κινηθῆναι μὲν A

ἄλλο ἐστὶν ἀλλ' ἢ τὸ τῆς οἰκίας εἶδος), ὁμοίως καὶ ἡ ὑγίεια ἐξ ὑγιείας. λέγει ὅτι ἐκ τῶν εἰρημένων δῆλόν ἐστιν ὡς πάντα τρόπον τινὰ ἐξ ὁμωνύμου ἤτοι συνωνύμου γίνεται, εἰ μὴ κατὰ συμβεβηκός τι γίνεται. ἐκεῖνο γὰρ τὸ κατὰ συμβεβηκὸς γινόμενον οὐκ ἐκ συνωνύμου φήσει τις εἶναι, οἷον καθ' αὑτὸ γινομένης τῆς οἰκίας κατὰ συμβεβηκὸς γίνεται τῷδε μὲν 30
βλαβερὰ τῷδὶ δὲ ἡδεῖα. τὸ δὴ βλαβερὸν καὶ τὸ ἡδὺ οὔ φαμεν ἐκ συνωνύμου βλαβεροῦ καὶ ἡδέος γίνεσθαι· οὐ γὰρ ἔστι τέχνη τις αὐτῶν καὶ εἶδος. πάντα οὖν, φησί, τρόπον τινὰ ἐκ συνωνύμου γίνεται. τὸ δὲ τρόπον τινὰ καὶ μετ' ὀλίγον τὸ ἢ ἐκ μέρους ὁμωνύμου πρόσκειται διὰ τὰ ἀπὸ τέχνης. οὐ γὰρ | οὕτως ἐξ οἰκίας ἐνεργείᾳ οὔσης οἰκία γίνεται, 467
ὥσπερ ὁ ἄνθρωπος ἐξ ἀνθρώπου. ἔστιν οὖν ἡ οἰκία τρόπον τινὰ ἐκ συνωνύμου, ἢ ἐκ μέρους συνωνύμου, τουτέστι τρόπον μέν τινα ἐκ συνωνύμου (ὁ γὰρ λόγος τῆς οἰκίας κατηγορεῖται καὶ κατὰ τῆσδε τῆς οἰκίας), τρόπον δέ τινα οὐκ ἐκ συνωνύμου· οὐ γὰρ ὑφέστηκεν ἡ οἰκία ἐξ ἧς γίνεται· διὸ τρόπον τινὰ αὖθις οὐκ ἐκ συνωνύμων. εἰπὼν δὲ ὅτι ἡ οἰκία ἐξ οἰκίας, 5
ἐπειδὴ ὑπὸ τέχνης ἀλλ' οὐκ ἐξ οἰκίας ἡ οἰκία γίνεται, τὴν αἰτίαν τοῦ πῶς τοῦτο λέγεται ἐπήγαγεν εἰπὼν ἡ γὰρ τέχνη τὸ εἶδος, τουτέστιν ἡ τέχνη, ὑφ' ἧς ἡ οἰκία γίνεται, οὐκ ἔστιν ἄλλο τι ἀλλ' ἢ οἰκία· τὸ γὰρ εἶδος τῆς οἰκίας τὸ ἐν τῇ ψυχῇ ἀόλως ὂν τοῦ οἰκοδόμου ἐστὶν ἡ τέχνη, ὡς ἐν τῷ Γ τῶν Περὶ τῆς ψυχῆς δέδεικται. τὸ δὲ ἢ ἐκ μέρους συνωνύ- 10
μου ἢ ἔχοντός τι μέρος τοιαύτην ἔχει τὴν ἔννοιαν· τὸ γὰρ θερμόν, ἐξ οὗ γέγονεν ἡ ὑγίεια, ἢ μέρος τι τῆς ὑγιείας ἐστὶν ἢ ἔχει μέρος αὐτῆς. αὐτὸς δὲ λίαν ἐναργῆ τῶν λεγομένων τέθεικε παραδείγματα, εἰπὼν τὸ γὰρ αἴτιον τοῦ ποιεῖν πρῶτον καθ' αὑτὸ μέρος. ἡ θερμότης γὰρ ἡ διὰ τῆς κινήσεως καὶ τρίψεως ἐκτὸς γεγονυῖα θερμότητα ἐν τῷ σώματι 15
ἐποίησεν· αὕτη δὲ ἡ ἐν τῷ σώματι γεγονυῖα θερμότης ἐστὶν ἡ ὑγίεια ἢ μέρος ὑγιείας. ἢ κάλλιόν ἐστι λέγειν ὅτι ἀκολουθεῖ αὐτῇ τῇ θερμότητι μέρος τῆς ὑγιείας, ἢ οὐ μέρος αὐτῇ τῆς ὑγιείας ἀκολουθεῖ, ἀλλ' ἀκολουθεῖ τῇ θερμότητι αὐτὴ ἡ ὑγίεια. καὶ ἔστιν ἡ συναγωγὴ τοῦ λόγου τοιαύτη· ἡ θερμότης ἢ αὐτὴ ἡ ὑγιεία ἐστιν, ἢ εἴπερ οὐκ ἔστιν, ἀλλ' οὖν ἀκολου- 20
θεῖ αὐτῇ μέρος τι τῆς ὑγιείας ἢ αὐτὴ ἡ ὑγίεια. καὶ ἡ μὲν τῶν λεγομένων διάνοια αὕτη ἂν εἴη, καταστήσαις δ' ἂν τὴν λέξιν ὧδε· πάντα γίνεται ἐξ ὁμωνύμου, ὅταν μὴ κατὰ συμβεβηκὸς γένηται· εἶτα ἐπάγει ὥσπερ τὰ φύσει καὶ τὰ ἑξῆς. εἰπὼν δὲ ὅτι ἡ ἐν τῇ κινήσει θερμότης ἡ ὑγιεία ἐστὶν ἢ μέρος ὑγιείας ἢ ἀκολουθεῖ αὐτῇ μέρος ὑγιείας ἢ αὐτὴ ἡ ὑγίεια, ἐπήγαγε τὴν αἰτίαν τοῦ πῶς λέγεται ἡ ἐν τῇ κινήσει θερμότης ποιεῖν τὴν 25
ὑγίειαν εἰπὼν διὸ καὶ λέγεται ποιεῖν, ὅτι ἐκεῖνο ποιεῖ, τουτέστι διὰ τοῦτο λέγεται ποιεῖν ἡ τρῖψις ἢ ἡ ἐν τῇ τρίψει θερμότης ὑγίειαν, ὅτι ἐκεῖνο,

---

5. 6 τῷδε — τῷδὶ LF: τῷ — τῷ A 17 post ἡ τέχνη iterat τὸ εἶδος τουτέστιν ἡ τέχνη A 19. 20 ἐν τῷ Γ τῶν Περὶ τῆς ψυχῆς M Brandis Bonitz, cf. de an. Γ 5: ἐν τῷ δευτέρῳ τ. Π. τ. ψ. ALF 26 ἢ ὑγίεια coni. Bonitz 33 ἐπάγει LF: ἐπήγαγεν A 34 ἢ ὑγίεια coni. Bonitz 38 ὅτι ἐκεῖνο LS: post ὅτι add. ποιεῖ AF

ὅπερ ποιεῖ ἡ τρῖψις, ποιεῖ τὴν ὑγίειαν· ἔστι δὲ ὃ ποιεῖ ἡ τρῖψις ἡ ἐν τῷ σώματι θερμότης, ᾗτινι θερμότητι ἀκολουθεῖ ἢ συμβέβηκεν ἡ ὑγίεια. οὕτω γὰρ χρὴ τῆς λέξεως ἀκούειν διὸ καὶ λέγεται ποιεῖν, ὅτι ἐκεῖνο ποιεῖ τὴν ὑγίειαν. τί δέ ἐστιν ἐκεῖνο τὸ τὴν ὑγίειαν 30
5 ποιοῦν; ἡ θερμότης, ᾧ, ἤτοι τῇ θερμότητι, ἀκολουθεῖ καὶ συμβέβηκεν ἡ ὑγίεια. καὶ ὥσπερ ἐν τοῖς συλλογισμοῖς ἀρχαὶ καὶ αἰτιά εἰσιν οἱ ὅροι (τοῦτο γὰρ ἐδήλωσε | διὰ τοῦ οὐσία καὶ τί ἐστιν), αἴτιοι δ' εἰσὶ τῶν 468
συμπερασμάτων (ἐκ γὰρ τῶν ὅρων γίνονται αἱ ἀποδείξεις), οὕτω καὶ ἐπὶ τῶν ἀπὸ τέχνης αἰτιά εἰσιν αἱ γενέσεις αὐτῶν. ὁμοίως δὲ τούτοις ἔχει
10 τὰ ἀπὸ φύσεως· τὸ μὲν γὰρ σπέρμα ποιεῖ ὥσπερ ὁ τεχνίτης· ὥσπερ γὰρ ἐκεῖνος ἐν ἑαυτῷ ἔχει τὸ εἶδος τῆς οἰκίας ἢ ἄλλου τινὸς οὗ ἐστι ποιητής, 5
οὕτω καὶ τὸ σπέρμα ἔχει ἐν ἑαυτῷ δυνάμει τὸ εἶδος. ἀφ' οὗ δὲ τὸ σπέρμα, ἐστί πως ὁμώνυμον, τουτέστι συνώνυμον, τῷ γινομένῳ, ἐὰν μὴ πήρωμα ᾖ, ὡς ἐπὶ τοῦ ἡμιόνου· οὐ γάρ ἐστιν ὁ ἵππος, ἀφ' οὗ τὸ
15 σπέρμα τὸ τὸν ἡμίονον ποιῆσαν, συνώνυμος τῷ ἡμιόνῳ. καὶ τί λέγω συνώνυμος; ὅλως γὰρ οὐδὲ τοῦ ὀνόματος αὐτοῦ μεταλαμβάνει· οὐ γὰρ λέγεται ἡ ἡμίονος ἵππος. ὅτι δὲ πήρωμά ἐστιν ὁ ἡμίονος δῆλον ἐκ τοῦ μὴ 10
γίνεσθαι ἡμίονον ἐξ ἡμιόνου· εἰ γὰρ μὴ ἦν πήρωμα ἀλλά τι τῶν φύσει συνισταμένων, ἐγέννα ἄν. εἰπὼν δὲ ὅτι ἀφ' οὗ τὸ σπέρμα ἐστὶν ὁμώνυ-
20 μόν πώς ἐστι τῷ διὰ τοῦ σπέρματος γεγονότι, τίνος ἕνεκα τὸ πῶς προσέθηκεν ἐπήγαγεν οὐ γὰρ πάντα οὕτω δεῖ ζητεῖν ὡς ἐξ ἀνθρώπου ἄνθρωπος· καὶ γὰρ γυνὴ ἐξ ἀνδρός, ὡς ἂν εἰ ἔλεγεν ὅτι οὐ χρὴ ἐπὶ πάντων τὸ συνώνυμον ζητεῖν· ἰδοὺ γὰρ γυνὴ ἐξ ἀνδρὸς γίνεται, καὶ ὅμως οὐ λέγεται ἡ γυνὴ ἀνήρ. ὥστε καλῶς πρόσκειται τὸ πῶς διὰ τὸ τινὰ 15
25 μὲν συνωνυμεῖν τοῖς ἐξ ὧν γίνονται τινὰ δὲ μή. καὶ οἶμαι ὡς καὶ ἀνωτέρω, ὅτε ἔλεγεν ὅτι δῆλον ἐκ τῶν εἰρημένων ὅτι τρόπον τινὰ πάντα γίνεται ἐξ ὁμωνύμου ἢ μέρους ὁμωνύμου, διὰ τοῦτο προσετίθει ταῦτα, λέγω δὴ τὸ τρόπον τινὰ καὶ τὸ ἐκ μέρους· ὡς μὲν γὰρ ἄνθρωποι ὅ τε ἀνὴρ καὶ ἡ γυνὴ συνώνυμοί εἰσιν, ὡς δὲ ἀνὴρ καὶ γυνὴ οὐ συνώνυμοι·
30 ὥστε ἐκ μέρους συνωνυμοῦσιν. ὁ δὲ ἐξ ἀνδρὸς ἀνὴρ οὐκ ἐκ μέρους ἀλλ' 20
ὁλοκλήρως· καὶ γὰρ καὶ ὡς ἄνθρωποι καὶ ὡς ἄνδρες συνώνυμοί εἰσιν. καὶ περιέργως δὴ ἀνωτέρω ταῦτα ἐξηγούμεθα, καὶ δεῖ κἀκεῖνα ὥσπερ τὰ τῇδε λέγεται ἐκδέχεσθαι. ἀλλὰ ταῦτα μὲν οὕτως ἴσως λέγονται, τὴν δὲ λέξιν ὑπερβατῶς ἀναγνωστέον οὑτωσί· ἔστι γὰρ τὸ ἑξῆς καὶ ὑφ' οὗ τὸ
35 σπέρμα, ἐστί πως ὁμώνυμον, ἐὰν μὴ πήρωμα ᾖ· διὸ ἡμίονος 25
οὐκ ἐξ ἡμιόνου· εἶτα οὐ γὰρ πάντα οὕτω δεῖ ζητεῖν, ὡς ἐξ ἀνθρώπου ἄνθρωπος· καὶ γὰρ γυνὴ ἐξ ἀνδρός. εἰπὼν δὲ περὶ τῶν ἀπὸ τέχνης ἐκ ταὐτομάτου γινομένων λέγει καὶ περὶ τῶν ἀπὸ φύσεως, καί φησιν ὅσα δὲ ἀπὸ ταὐτομάτου ὥσπερ ἐκεῖ γίνεται, τὸ ὅσα ἀντὶ

---

7 οὐσία FS: οὐσίαν AL  δ' εἰσὶ M Bonitz: εἰσὶ AL  21 πάντα LFS: πως τὰ A
22. 23 ὡς — ἀνδρὸς LFS: om. A  26 ὅτε M: ὅταν AL  post δῆλον add. δὲ A²  29 οὐ συνώνυμοι A: οὐδαμῶς LF  35 πως] πρώτως LF  39 ὅσα δὲ LF: δὲ om. A

THE ARCHBISHOP MAKARIOS III FOUNDATION ST. MICHAEL'S COLLEGE LIBRARY

τοῦ ἐκεῖνα εἰπών. καὶ εἴη ἂν ὃ λέγει τοιοῦτον· ἐκεῖνα τῶν ἀπὸ φύσεως λέγομεν ἐκ ταὐτομάτου γίνεσθαι, ὅσων ἡ ὕλη οὐ μόνον ὑπὸ τοῦ ποιοῦντος σπέρματος ἀλλὰ καὶ ὑφ' ἑαυτῆς δύναται κινεῖσθαι τὴν κίνησιν ἣν τὸ σπέρμα κινεῖ. γίνεται γὰρ βοτάνη καὶ ἐκ σπέρματος καὶ χωρὶς σπέρματος διὰ τὸ δύνασθαι κινεῖσθαι τὴν τῆς βοτάνης ὅλην τὴν κίνησιν ἣν τὸ σπέρμα κινεῖ. ὅσων δὲ μὴ δύναται ἡ ὕλη καὶ ὑφ' ἑαυτῆς κινεῖσθαι | ὥσπερ ἐπὶ 469 ἀνθρώπου, ταῦτα ἀδύνατον γενέσθαι ἄλλως πως, ἀλλὰ γίνονται ἐξ αὐτῶν τῶν γεννώντων αὐτὰ καὶ οὐκ ἐκ ταὐτομάτου. ἐν τῇ λέξει δὲ τῇ ὅσα δὲ ἀπὸ ταὐτομάτου ὥσπερ ἐκεῖ, τὸ ὥσπερ ἐκεῖ ἀντὶ τοῦ ὥσπερ ἐν τοῖς ἀπὸ τέχνης.

p. 1034ᵇ7 Οὐ μόνον δὲ περὶ τῆς οὐσίας ὁ λόγος δηλοῖ τὸ μὴ γίνεσθαι τὸ εἶδος, ἀλλὰ περὶ πάντων ὁμοίως.

Δείξας ὅτι τὸ τῶν οὐσιῶν εἶδος ᾗ εἶδος οὐ γίνεται, ἀλλὰ γίνεται περί τι ὑποκείμενον, λέγω δὴ τὴν ὕλην, λέγει ὡς οὐ μόνον ὁ δεικνύων λόγος τὸ οὐσιῶδες εἶδος ἤτοι τὴν οὐσίαν δείκνυσι μὴ γίνεσθαι, ἀλλὰ καὶ τὰς λοιπὰς κατηγορίας, ποσὸν ποιὸν καὶ τὰ λοιπά. ὥσπερ γὰρ ἡ χαλκῆ σφαῖρα γίνεται ἀλλ' οὐ τὸ εἶδος τῆς σφαίρας, οὕτω καὶ λευκὸν ξύλον ἢ δίπηχυ γίνεται, ἀλλ' οὐ λευκότης ἢ ποσότης. καὶ ὁδὶ μὲν ὁ χαλκὸς γίνεται ἐξ ὑποκειμένου τινός, οἷον ὕδατος, τὸ δὲ εἶδος καὶ τὸ τί ἦν εἶναι χαλκὸς οὐ γίνεται. ἀλλ' εἰ μήτε ἡ οὐσία μήτε τὸ ποιὸν μήτε τὸ ποσὸν γίνεται, τί ἂν διαφέροι τούτων ἡ οὐσία; ἢ ὅτι ἐπὶ μὲν τῆς οὐσίας ἀναγκαῖον προϋπάρχειν ἑτέραν οὐσίαν· οἷον τοῦ Ἀλεξάνδρου, οὐσίας ὄντος, προϋπῆρχεν ὁ πατὴρ αὐτοῦ· ἐπὶ δὲ τοῦ λευκοῦ οὐκ ἀναγκαῖον προϋπάρχειν λευκόν, ἵνα ἐξ ἐκείνου γένηται, ἀλλὰ δυνάμει μόνον· τὸ γὰρ μὴ λευκὸν ξύλον δυνάμει ἐστὶ λευκόν.

p. 1034ᵇ20 Ἐπεὶ δὲ ὁ ὁρισμὸς λόγος ἐστί, πᾶς δὲ λόγος ἔχει μέρη.

Δύο τινὰ ζητεῖ θαυμαστὰ καὶ τῆς αὐτοῦ ἀγχινοίας ἐπάξια. ἔστι δὲ τῶν δύο τὸ πρῶτον τοιοῦτον· ἐπειδὴ πᾶς λόγος μέρη ἔχει, ὡς δὲ ὁ λόγος ἅπας καὶ ὁ ὁρισμὸς πρὸς τὸ ὁριστὸν ἅπαν ἔχει, οὕτω καὶ τὸ τοῦ ὁρισμοῦ μέρος πρὸς τὸ μέρος τοῦ ὁριστοῦ, πότερον δεῖ τὸν τῶν μερῶν λόγον ἤτοι αὐτὰ τὰ μέρη (ὁ γὰρ λόγος τοῦ μέρους αὐτὸ τὸ μέρος ἐστίν) ἐνυπάρχειν ἐν τῷ τοῦ ὅλου λόγῳ, ὡς εἶναι τυχὸν τοιοῦτον τὸν τοῦ ἀνθρώπου ὁρισμὸν ζῷον πεζὸν δίπουν χεῖρας ἔχον καὶ κεφαλήν, ἢ οὔ; καὶ τὴν αἰτίαν τοῦ πῶς ἂν τοῦτο ἀπορήσειέ τις ἢ ζητήσειεν ἐπήγαγεν εἰπὼν ἐπ' ἐνίων μὲν γὰρ φαίνονται ἐνόντα, ἐπ' ἐνίων δὲ οὔ. εἰ δὲ τοῦτο, ἀξίως τὴν

2 ὅσων M: ὅσον ALF 5 τὴν—ὕλην Brandis Bonitz: ἡ—ὕλη libri 13 περί LF: τὸ περί A 20 τί LF: ὅτι A 23 προϋπάρχειν λευκόν] *ut album actu praeexistat* S 24 μὴ λευκὸν ἐνεργείᾳ ξύλον coni. Bonitz

περὶ τούτου ζήτησιν ποιεῖται καὶ λέγει ἐπὶ τίνων μέν εἰσιν, ἐπὶ τίνων δ' οὔ. τοῦ μὲν γὰρ κύκλου, φησίν, ὁ λόγος οὐκ ἔχει τὸν τῶν τμημάτων λόγον ἤτοι τὰ τμήματα (οὐ γάρ φαμεν ὅτι κύκλος ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ γραμμῆς μιᾶς περιεχόμενον καὶ τὰ ἑξῆς τοῦ ὁρισμοῦ, ἔχον
5 δύο τμήματα), ὁ δὲ τῆς συλλαβῆς ἔχει τὸν λόγον τῶν στοιχείων (φαμὲν 30
γὰρ ὅτι συλλαβή ἐστι σύλληψις συμφώνου μετὰ φωνήεντος ἢ φωνηέντων, ὥστε ἔνεστι τὰ μέρη τῆς συλλαβῆς ἐν τῷ λόγῳ αὐτῆς), καὶ διαιρεῖται ὁ κύκλος εἰς τὰ τμήματα ὥσπερ καὶ ἡ συλλαβὴ εἰς τὰ στοιχεῖα· εἰ δὲ | διαιροῦνται ὁμοίως, διὰ τί ἐπ' ἐκείνου μὲν οὔκ εἰσιν, ἐπὶ δὲ ταύτης 470
10 εἰσί; ταῦτα εἰπὼν πρὶν ἢ τὴν λύσιν ἐπενέγκαι τίθησι καὶ τὴν ἄλλην ἀπορίαν καὶ οὕτως αὐτὰς λύει, καί φησι· πότερον τὰ μέρη πρότερα τοῦ ὅλου ἢ οὔ; εἰ μὲν οὖν πρότερα τὰ μέρη τοῦ ὅλου, ἐστὶ δὲ τῆς ὀρθῆς γωνίας μέρος ἡ ὀξεῖα (ἐλάσσων γὰρ ὀρθῆς ἡ ὀξεῖα) καὶ ὁ δάκτυλος τοῦ ζῴου, εἰ 5
δὴ τὰ μέρη τοῦ ὅλου πρότερά ἐστι, προτέρα ἂν εἴη ἡ ὀξεῖα τῆς ὀρθῆς
15 καὶ ὁ δάκτυλος τοῦ ἀνθρώπου. οὕτως εἰπὼν εὐθὺς λύει τὴν προσεχῶς ῥηθεῖσαν ἀπορίαν, λέγων 'οὐ δοκεῖ δὲ τὸ μέρος πρότερον εἶναι τοῦ ὅλου'. καὶ τὴν αἰτίαν συντόμως τέθεικεν εἰπὼν τῷ λόγῳ γὰρ λέγονται ἐξ ἐκείνων, τουτέστιν ἐν τῷ ὁρισμῷ τῶν μερῶν λαμβάνονται τὰ ὅλα, τὰ δὲ ἐν ὁρισμῷ τινος λαμβανόμενα πρότερά εἰσι τοῦ ὁριστοῦ· εἰ δὲ τοῦτο, πρό- 10
20 τερον ἄρα τὸ ὅλον τοῦ μέρους. ὅτι δὲ εἰς τὸν τῶν μερῶν ὁρισμὸν τὰ ὅλα παραλαμβάνεται, δῆλον· φαμὲν γὰρ ὁριζόμενοι τὴν ὀξεῖαν γωνίαν ὅτι ὀξεῖα γωνία ἐστὶν ἡ ἐλάσσων ὀρθῆς, ὥστε εἴληπται ἡ ὀρθὴ ἐν τῷ τῆς ὀξείας λόγῳ. καὶ πάλιν δάκτυλός ἐστι μέρος ἀνθρώπου τοιονδί. λύει δὲ ταύτην τὴν ἀπορίαν καὶ ἄλλως, λέγων καὶ τῷ εἶναι ἄνευ ἀλλήλων 15
25 πρότερα. τὸ δὲ λεγόμενόν ἐστιν ὡς εἰ ἔλεγε 'καὶ ἐκ τούτου πάλιν πιστεύσειεν ἄν τις ὅτι πρότερά ἐστι τὰ ὅλα τῶν μερῶν, ὡς συναναιροῦντα αὐτά· τοῦ μέρους γὰρ μὴ ὄντος τὸ ὅλον ἐστίν, εἰ καὶ κολοβόν, τοῦ ὅλου δὲ μὴ ὄντος τὸ μέρος εἶναι οὐ δύναται.' οὕτως οὖν τὴν δευτέραν ἀπορίαν θεὶς καὶ συντόμως αὐτὴν λύσας (λύσει δ' αὐτὴν μετ' ὀλίγον καὶ δι' ἄλλων
30 πολλῶν) ἐπανατρέχει ἐπὶ τὴν προτέραν τὴν λέγουσαν ὅτι διὰ τί ἐπὶ τινῶν 20
μὲν οἱ τῶν μερῶν λόγοι ἤτοι τὰ μέρη ἐνυπάρχει τῷ τοῦ ὅλου λόγῳ, ὥσπερ ἐπὶ τῆς συλλαβῆς ἐλέγετο. ἐπὶ τινῶν δὲ οὔ, ὡς ἐπὶ τοῦ κύκλου; οὐ γάρ ἐστιν ἐν τῷ λόγῳ αὐτοῦ τὰ τμήματα. καὶ λύει αὐτὴν πολυειδῶς. ἀλλὰ πρὸ τῆς τῶν λεγομένων κατὰ μέρος σαφηνείας καλῶς ἂν ἔχοι ἡμᾶς
35 διὰ βραχέων ὑπομνῆσαι τὸν ὅλον σκοπὸν τῆς λύσεως, δι' ἧς ἂν τὴν ἀπο- 25
ρίαν λύσειε διεξοδικώτερον. ἔστι δὲ οὗτος· φησὶ γὰρ ὅτι τῶν μερῶν ὅσα μὲν ὑλικὰ καὶ ὕλης λόγον ἐπέχοντα, ὥσπερ ὀστᾶ καὶ νεῦρα, τούτων οἱ λόγοι ἤτοι αὐτὰ τὰ μέρη οὐ ληφθήσεται ἐν τῷ τοῦ εἴδους λόγῳ· ὅσα δὲ τῶν μερῶν οὐχ ὑλικά ἐστιν ἀλλὰ τοῦ εἴδους, οἷον τὸ πεζὸν τὸ δίπουν
40 (ταῦτα γὰρ οὐκ ἔνυλα ὡς χεῖρες καὶ πόδες), ταῦτα δὴ λέγω τὰ τοῦ εἴδους 30
μέρη ληφθήσεται ἐν τῷ τοῦ ὅλου λόγῳ. ὥστε ἀπὸ τῆς ὁμωνυμίας τοῦ

---

7 καί] καίτοι Metaph. vulg. 10 ἐπενέγκαι M: ἐπενέγκη A: ἐπενέγκοι LF 24 εἶναι καὶ ἄνευ LF 36 οὗτος L: οὕτω A

μέρους ἡ ἀπορία ἐνεφύη· μέρος γὰρ τὸ μέν ἐστιν ὡς ὕλης τὸ δ' ὡς
εἴδους. καὶ ταῦτα μὲν προείρηται μετρίως πρὸς τὸ εἰς τὰ μέλλοντα ὑπ'
αὐτοῦ λέγεσθαι εὐπαρακολουθητοτέρους ἡμᾶς γενέσθαι. αὐτὸς δὲ μέλλων
τὴν ἀπορίαν | λύειν διαίρεσιν ποιεῖται τοῦ μέρους, καὶ λέγει ὅτι τὸ μέρος 471
5 πολλαχῶς λέγεται. ἕνα μὲν τρόπον τὸ μετροῦν τὸ ὅλον ὡς ὁ τρία ἀριθμὸς
τοῦ ἐννέα· καταμετρεῖ γὰρ τὸν ἐννέα. ἀλλὰ τοῦτο μέν, φησί, τὸ τὸ ὅλον
καταμετροῦν μέρος ἀφείσθω. ἐξ ὧν δὲ ἡ οὐσία ἐστὶ μερῶν. λέγων
οὐσίαν τὸ εἶδος, περὶ τούτου σκεπτέον. καὶ λέγει τὰ τῆς οὐσίας σημαινό- 5
μενα, ἵνα δείξῃ ὅτι ὥσπερ οὐσία λέγεται καὶ τὸ εἶδος, οὐσία δὲ καὶ ἡ ὕλη,
10 καὶ ἔτι μᾶλλον τὸ ἐξ ὕλης καὶ εἴδους, οὕτως καὶ τῶν μερῶν τὰ μέν ἐστι
τοῦ εἴδους τὰ δὲ τῆς ὕλης καὶ τὸ ὅλον τοῦτο ὑλικά. τὰ μὲν δὴ τοῦ
εἴδους μέρη, ὥσπερ εἴρηται, ληφθήσεται ἐν τῷ τοῦ ὅλου ἤτοι τοῦ εἴδους
λόγῳ, τὰ δὲ ὑλικὰ οὐδαμῶς. εἰ οὖν ἐστι, φησί, τὸ μὲν ὕλη τὸ δὲ
εἶδος τὸ δ' ἐκ τούτων, ἐξ ὕλης δηλαδὴ καὶ εἴδους, καὶ ἡ οὐσία ἥ τε 10
15 ὕλη καὶ τὸ εἶδος καὶ τὸ ἐκ τούτων, ἔστι μὲν ὡς καὶ ἡ ὕλη μέ-
ρος τινὸς λέγεται, ἔστι δ' ὡς οὔ. τοῦ μὲν γὰρ συνθέτου λέγεται
μέρος, τοῦ δὲ εἴδους οὐ λέγεται. ἀλλὰ μέρη λέγεται καὶ ἐστὶ τοῦ εἴδους
ἐξ ὧν ὁ λόγος ἐστὶν αὐτοῦ· ταῦτα δ' ἐστὶ τὰ γένη καὶ αἱ διαφοραί. εἰπὼν
δὲ ὅτι ἡ ὕλη τινὸς μὲν λέγεται μέρος, τινὸς δ' οὔ, τίθησι παραδείγματα
20 λέγων οἷον ἡ σὰρξ τῆς μὲν κοιλότητος οὐκ ἔστι μέρος, καίτοι οὖσα ὕλη 15
αὐτῆς καὶ πεφυκυῖα γίνεσθαι ἐν αὐτῇ, οὐκ ἔστι δὲ μέρος αὐτῆς ὅτι οὐχ
ὡρισμένον ἐστὶ τὸ ὃ ὑπόκειται τῇ κοιλότητι· κοῖλον γὰρ καὶ ἐν λίθοις
καὶ ἐν ξύλοις καὶ ἐν χαλκῷ καὶ ὅλως ἐν ἅπασιν ἢ τοῖς πλείστοις σώμασι
θεωρεῖται. τῆς δὲ σιμότητός ἐστι μέρος ἡ σάρξ· σιμότητα γὰρ ἐκτὸς
25 σαρκὸς εὑρηκέναι ἀμήχανον· πᾶν γὰρ σιμὸν ἐν σαρκὶ μόνῃ τὸ εἶναι ἔχει
καὶ ἐπὶ τούτῳ τυγχάνει οὖσα μέρος τῆς σιμότητος ἡ σάρξ. καὶ πάλιν τοῦ 20
μὲν αἰσθητοῦ τουδὶ καὶ μερικοῦ ἀνδριάντος ἐστὶ μέρος ὁ χαλκός, τοῦ δ'
ὡς εἴδους λεγομένου ἀνδριάντος οὐκ ἔστιν. εἰπὼν δὲ καὶ τὸ εἶδος τοῦ ἀν-
δριάντος ἀνδριάντα, καὶ τὸν χαλκοῦν τουτονὶ καὶ μερικὸν ἀνδριάντα εἰπὼν
30 δὴ καὶ αὐτὸν ἀνδριάντα, ἐπειδή τις ἴσως ἔμελλε λέγειν ὅτι τὸ μὲν τοῦ ἀν-
δριάντος εἶδος λέγειν ἀνδριάντα ἔστω, τὸν δὲ σύνθετον καὶ μερικὸν διὰ τί 25
ἀνδριάντα φαμὲν ἀλλ' οὐ χαλκόν; πρὸς ταῦτα ἁπαντῶν λέγει ὅτι λεκτέον
γὰρ τὸ εἶδος καὶ ᾗ εἶδος ἔχει ἕκαστον, τὸ δὲ ὑλικὸν οὐδέποτε
καθ' ἑαυτὸ λεκτέον. καὶ εἴη ἂν τὸ λεγόμενον ἴσον τῷ ἐπειδὴ τὰ
35 πράγματα ἀπὸ τοῦ εἴδους χαρακτηρίζεται ἀλλ' οὐκ ἀπὸ τῆς ὕλης, λεκτέον
ἐπὶ πάντων τὸ εἶδος καὶ ᾗ εἶδος ταῦτα λεγέσθω, εἰ μὲν ἀνδριάντος ἀν-
δριάς, εἰ δὲ τρίποδος τρίπους, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ἀλλ' οὐ τὴν 30
ὕλην, οὐδὲ ἀπὸ ταύτης ὀνομάζειν αὐτὰ χρή. εἰ γάρ ἐστιν ὁ χαλκὸς ἐξ
ὕδατος, οὐχ ὕδωρ αὐτὸν λέγειν δίκαιον, ἀλλ' ἀπὸ τοῦ εἴδους αὐτοῦ χαλκόν.
40 εἰπὼν δὲ ὅτι ἡ ὕλη ποτὲ μὲν μέρος γίνεταί τινος ποτὲ δ' οὔ, καὶ μεταξὺ
λύσας τὴν δυναμένην φέρεσθαι ἣν ἐξεθέμην ἀπορίαν, λέγει τὴν αἰτίαν 472

---

6 τὸν LF: τὰ A 18 αὐτοῦ LFS: αὐτῷ A 22 ὡρισμένως ἐστί τι ὃ LFS 25 εὑρηκέναι LFS: εἰρηκέναι A μόνῃ LF: om. A

τοῦ πῶς μὲν ἐπὶ τῆς συλλαβῆς ἐν τῷ λόγῳ αὐτῆς λαμβάνεται τὰ στοιχεῖα, ἐπὶ δὲ τοῦ κύκλου τὰ τμήματα οὐδαμῶς, καί φησιν ὅτι ἐπὶ μὲν τῆς συλλαβῆς λαμβάνεται τὰ στοιχεῖα διὰ τὸ μέρη εἶναι τοῦ κατὰ τὸν λόγον εἴδους αὐτῆς, ὥσπερ καὶ τὸ ζῷον πεζὸν δίπουν μέρη εἰσὶ ἀνθρωπείου εἴδους, τὰ δὲ τοῦ εἴδους μέρη ἐξ ἀνάγκης ἐν τῷ ὁρισμῷ αὐτοῦ παραλαμβάνεται· εἰ δὴ τὰ μέρη τοῦ εἴδους ἐξ ἀνάγκης ἐν τῷ λόγῳ αὐτοῦ λαμβάνεται, τὰ δὲ στοιχεῖα μέρη ἐστὶ τοῦ κατὰ τὸν λόγον εἴδους τῆς συλλαβῆς, εὐλόγως, μᾶλλον δ' ἀναγκαίως ἐν τῷ λόγῳ αὐτῆς τυγχάνει ὄντα. τὰ δὲ τμήματα τοῦ κύκλου οὐκ ἔστι μέρη τοῦ εἴδους τοῦ κύκλου, ἀλλὰ τὸ σχῆμα τὸ ἐπίπεδον τὸ περιεχόμενον ὑπὸ μιᾶς γραμμῆς, τὸ πάσας τὰς ἀπὸ τοῦ κέντρου εὐθείας πρὸς τὴν περιφέρειαν πιπτούσας ἴσας εἶναι ἀλλήλαις. οὐκ ἔστι δὴ τὰ τμήματα μέρη τοῦ εἴδους τοῦ κύκλου ἀλλὰ ὕλη, ὡς ὁ χαλκὸς ἀνδριάντος, καὶ διὰ τοῦτο οὐ λαμβάνεται ἐν τῷ λόγῳ αὐτοῦ. ἀλλὰ πῶς τὰ τμήματα ὑλικά ἐστι, τὰ δὲ στοιχεῖα τῆς συλλαβῆς οὐδαμῶς; ἢ ὅτι τὰ μὲν στοιχεῖα οὐκ ἀπεσύλησεν ἡ διάνοια ἀπὸ αἰσθητῶν τινων στοιχείων καὶ παρ' ἑαυτῇ ἔχει, τὰ δὲ τμήματα δῆλον ὡς ἀπὸ αἰσθητῶν τινων τμημάτων χωρίσασα ἐν ἑαυτῇ ἔχει. ἀλλ' εἴπερ αὐτὰ τῆς ὕλης ἐχώρισε, δῆλον ὡς οὔκ εἰσιν ὕλη οὐδ' ὅλως ὡς ὕλη τῷ κύκλῳ ὑπόκειται. ἢ καὶ οὕτως ὑλικά ἐστι· τὸ μὲν γὰρ εἶδος τοῦ κύκλου καὶ ἁπλῶς πᾶν εἶδος αὐτὸ καθ' αὑτὸ ἀμερὲς καὶ ἀσώματόν ἐστιν, εἰ καὶ συνδιίσταται τῇ ἐν ᾗ ἐστιν ὕλῃ καὶ ἐν διαστάσει δι' αὐτὴν γίνεται· τὰ μὲν δὴ εἴδη ἀδιάστατα πάντῃ πάντως καὶ ἀμερῆ τυγχάνει, τὰ δὲ τμήματα κἂν ἐκ τῶν αἰσθητῶν χωρισθῇ, ἀλλ' οὖν διάστημά τι νοεῖται ὑπὸ περιφερείας καὶ εὐθείας περιεχόμενον, τὸ δὲ διάστημα οὐκ ἄλλου ἀλλ' ἢ τῆς ὕλης ἐστίν· ἐπὶ δὲ τῶν στοιχείων οὐδεμίαν διάστασιν ἐννοεῖν ἔξεστιν. ὅμως, φησίν, εἰ καὶ μέρη ὡς ὕλη τὰ τμήματά ἐστι τοῦ κύκλου, ἀλλ' ἐγγύτερόν εἰσι τοῦ εἴδους καὶ μᾶλλον αὐτῷ πλησιάζει ἤπερ ὁ χαλκός, ὅταν ἡ στρογγυλότης τοῦ τμήματος ἢ καὶ τοῦ κύκλου ἐν χαλκῷ γένηται. τὸ γὰρ διάστημα τὸ ἐν τῷ χαλκῷ τμήματι ὂν οὐ ταὐτόν ἐστι τῷ ἐν τῷ χωρισθέντι νοουμένῳ, ὥστε τὸ χωρισθὲν τμῆμα μᾶλλον ἐγγίζει τῷ εἴδει ἤπερ τὸ ἀχώριστον καὶ ἐν ὕλῃ τινὶ καὶ ὑποκειμένῳ ὄν. ὅτι δὲ τὰ διάστασίν τινα ἔχοντα ὡς ὕλη εἰσὶ καὶ ἐπὶ τούτῳ ἐν τῷ ὁρισμῷ τῶν εἰδῶν οὐ λαμβάνεται, πιστοῦται τοῦτο καὶ ἐκ τῆς συλλαβῆς λέγων ὅτι οὐδὲ πάντα τὰ στοιχεῖα μέρη εἰσὶ τῆς κατὰ τὸν λόγον καὶ τὸ εἶδος συλλαβῆς· οὐ γὰρ καὶ τὰ κήρινα στοιχεῖα ἢ τὰ διὰ τοῦ μέλανος ἐν τῷ χάρτῃ 473
ἐγγραφέντα, διὰ τὸ καὶ ταῦτα διάστασιν ἔχειν καὶ μέρη γίνεσθαι τῆς συλλαβῆς ὡς ὕλη, ὥσπερ ὁ χαλκὸς τοῦ ἀνδριάντος. εἰπὼν δὲ οἷον τὰδὶ τὰ κήρινα ἐπήγαγεν ἢ τὰ ἐν τῷ ἀέρι. ἐπειδὴ γὰρ ἡ φωνὴ ἢ πληξίς ἐστιν ἀέρος ἢ πεπληγμένος ἀήρ. δῆλον ὅτι, ὅταν λέγωμεν, συσχηματίζεται ὁ ἀὴρ τοῖς λεγομένοις καὶ τρόπον τινὰ βῆτα καὶ γάμμα καὶ ἄλφα καὶ τὰ

1 λαμβάνεται τὰ στοιχεῖα LFS: post στοιχεῖα add. συμβαίνει A 10 τὰς LF: om. A
22 χωρισθῇ S Bonitz: ἐχωρίσθη ALF διάστημά τι S Bonitz: διαστήματι ALF 32 τοῦτο $A^2$LF: τοῦ $A^1$ 38 δῆλον ὅτι $A^2$S: in lac. om. $A^1$: δεῖ ὅτι LF 39 ἄλφα LF: τἄλφα A

λοιπὰ γίνεται. ἀλλὰ περὶ μὲν τοῦ ὅπως ὁ ἀὴρ συσχηματίζεται τοῖς λεγομένοις εἴρηται ἀκριβέστερον ἐν τῷ Β λόγῳ τῆς Περὶ ψυχῆς πραγματείας, ὅτε καὶ αὐτὸς ἐκεῖσε περὶ φωνῆς ἔλεγεν.

p. 1035a17 Καὶ γὰρ ἡ γραμμὴ οὐκ εἰ διαιρουμένη εἰς τὰ ἡμίση φθείρεται, ἢ ἄνθρωπος εἰς τὰ ὀστᾶ καὶ νεῦρα καὶ σάρκας, διὰ τοῦτο καὶ εἰσὶν ἐκ τούτων.

Εἰπὼν ὅτι τὰ τμήματα οὐ λαμβάνεται εἰς τὸν τοῦ κύκλου λόγον οὐδ' ὁ χαλκὸς εἰς τὸν τοῦ ἀνδριάντος, ὅτι ὡς ὕλη εἰσίν, ἀλλ' ἐκεῖνα δεῖ εἰς τοὺς τῶν εἰδῶν λόγους λαμβάνειν ἐξ ὧν τὸ εἶδός ἐστιν, οὐκ ἔστι δὲ ὁ ὡς εἶδος κύκλος ἐκ τῶν τμημάτων, οὐδὲ ὁ ἀνδριάς, αὐτὸ δὴ λέγω τὸ τοῦ ἀνδριάντος εἶδος, ἐκ τοῦ χαλκοῦ, ὁμοίως δὲ οὐδὲ τὸ τί ἦν εἶναι ἀνθρώπῳ ἐκ τῶν σαρκῶν καὶ ὀστῶν οὐδὲ γραμμή ἐστιν ἐκ τῶν ἡμίσεων, ἐπειδὴ ἔμελλέ τις πρὸς ταῦτα ἐνίστασθαι καὶ λέγειν, ὡς εἰ μή ἐστιν ἡ γραμμὴ ἐκ τῶν τμημάτων καὶ ὁ ἄνθρωπος ἐκ σαρκῶν καὶ νεύρων καὶ ὀστῶν, πῶς διαιρουμένη ἡ γραμμὴ εἰς τὰ ἡμίση καὶ ὁ ἄνθρωπος εἰς ὀστᾶ καὶ νεῦρα φθείρονται, ὥστε δηλονότι καὶ ὁ ἄνθρωπος ἐκ σαρκῶν ἐστι καὶ νεύρων καὶ ἡ γραμμὴ ἐκ τῶν ἡμίσεων καὶ ἁπλῶς πᾶν ἐκ τῶν εἰς ἃ διαιρεῖται· εἰ δὲ τοῦτο, καὶ ληφθήσονται ἄρα εἰς τοὺς ὁρισμοὺς αὐτῶν· πρὸς δὴ ταῦτα ἁπαντῶν λέγει, οὐ γὰρ εἰ διαιρεῖται ὁ ἄνθρωπος καὶ ἡ γραμμή, ἡ μὲν εἰς τὰ ἡμίση ὁ δὲ εἰς σάρκας καὶ ὀστᾶ, καὶ φθείρεται, ἤδη καὶ ἐκ τούτων εἰσὶν οὕτως ὡς ὄντων τῆς οὐσίας καὶ τοῦ εἴδους μερῶν, ἀλλ' ὡς ἐξ ὕλης, τουτέστιν ὑλικὰ μέρη ἐστὶ καὶ οὐ τοῦ εἴδους. καὶ τοῦ μὲν συνθέτου τοῦ ἐξ ὕλης καὶ εἴδους εἰσὶ μέρη, τοῦ δ' εἴδους, οὗ ἐστιν ὁ λόγος καὶ ὁ ὁρισμός, οὔκ εἰσιν. εἰ μὲν γὰρ ἦσαν οἱ λόγοι τῶν συνθέτων, εἰκὸς ἦν λαμβάνεσθαι καὶ ταῦτα εἰς τοὺς ὁρισμοὺς αὐτῶν· ἐπεὶ δὲ τῶν εἰδῶν εἰσι, πῶς ἂν ληφθήσεται ταῦτα; καὶ ἐπὶ τούτῳ εἰ μὲν τὸ σύνθετον κατὰ συμβεβηκὸς ὁρίσαιτό τις (κυρίως γὰρ τῶν εἰδῶν εἰσιν οἱ ὁρισμοί. τῶν δὲ συνθέτων, ὡς δείξει προϊών, οὔκ εἰσιν), ἐνέσται ἐν τοῖς λόγοις τῶν συνθέτων ὁ τῶν τοιούτων, χειρός φημι καὶ ὀστῶν καὶ τῶν τοιούτων, λόγος, τουτέστιν αὐτὰ τὰ μέρη ληφθήσεται ἐν τῷ τῶν συνθέτων λόγῳ. τοῖς δέ, ἤτοι ἐν τοῖς λόγοις τῶν μὴ συνθέτων ἤτοι τῶν εἰδῶν, οὐχ ὑπάρξει τὰ τοιαῦτα, ἐὰν μὴ ᾖ ὁ λόγος, ἐν ᾧ ταῦτα μέλλει ἐνεῖναι, τοῦ συνθέτου. καὶ ἔστιν ὡς ἐκ τούτων τὰ σύνθετα ὡς ἐξ ἀρχῶν καὶ φθείρονται εἰς αὐτά, τὰ δ' ἁπλᾶ, αὐτὰ δὴ τὰ εἴδη, | οὔτε εἰσὶν ἐκ τούτων ὡς ἐξ ἀρχῶν οὔτε φθείρεται εἰς αὐτά· καὶ διὰ τοῦτο οὐ φοβηθησόμεθα τὴν ἀπορίαν τὴν λέγουσαν ὅτι εἰ μή εἰσιν ἐξ αὐτῶν, πῶς εἰς αὐτὰ διαιρεῖται καὶ φθείρεται; οὐ γὰρ τὸ εἶδος εἰς αὐτὰ διαιρεῖται ἀλλὰ τὸ σύνθετον. εἰπὼν δὲ ὅτι ἔνια μὲν φθείρεται εἰς αὐτὰ ἔνια δ' οὐδαμῶς, λέγει τίνα μὲν τὰ φθειρόμενα εἰς αὐτὰ καὶ τίνα μή. ὅτι ὅσα μὲν οὖν συνειλημμένα τὸ εἶδος καὶ

474

2 τῆς Περὶ ψυχῆς πραγματείας] v. Bonitzii praef. p. XXII 12 οὐδὲ M: καὶ ALF 19 ἡ μὲν LF: εἰ μὲν A 27 et 31 εἰδῶν LF: ἰδεῶν A 39 οὖν LF: om. A

ἡ ὕλη ἐστί, τουτέστιν ὅσα μὲν ἐξ ὕλης καὶ εἴδους ἐστίν, οἷον τὸ σιμόν (τοῦτο γὰρ οὐδὲ τῷ λόγῳ τῆς ὕλης χωρίσαι δυνατόν) ἢ ὁ χαλκοῦς κύκλος (καὶ γὰρ οὗτος συνειλημμένος ἐστὶ τῇ ὕλῃ), ταῦτα φθείρεται εἰς αὐτὰ καὶ μέρος αὐτῶν ἐστιν ἡ ὕλη· ὅσα δὲ οὐ συνείληπται τῇ ὕλῃ, ἄνευ δὲ ὕλης ἐστίν, ὡς τὰ εἴδη, ὧν δὴ καὶ μόνων οἱ λόγοι εἰσί (τῶν γὰρ συνθέτων, ὡς δείξει, λόγοι οὐκ εἰσι), τούτων δὴ τῶν εἰδῶν οὔτε μέρη εἰσὶ ταῦτα, τὰ ὀστᾶ δηλονότι καὶ αἱ σάρκες, οὔτε φθείρεται εἰς αὐτά, ἢ ὅλως ἢ οὕτοι οὕτω γε. ὅλως μὲν οὖν οὐ φθείρεται ὁ ἄνθρωπος ἐμοῦ φθειρομένου, ὅτι μετὰ τὴν ἐμὴν φθορὰν ἐκεῖνος πάλιν ἐστίν· ἀλλ' ἐπειδὴ ἐγὼ ὑπ' ἐκεῖνόν εἰμι καὶ μέρος ὢν αὐτοῦ τυγχάνω, ἐμοῦ φθειρομένου φθείρεται κατὰ συμβεβηκὸς κἀκεῖνος. ὥστε τῶν συνθέτων ταῦτα τὰ ὡς ὕλη εἰσὶ μέρη καὶ ἀρχαί, τῶν δὲ εἰδῶν οὔτε μέρη οὔτε ἀρχαί. καὶ διὰ τὸ εἶναι τῶν συνθέτων ταῦτα μέρη φθείρονται πάλιν τὰ σύνθετα εἰς αὐτά, ὁ μὲν πήλινος ἀνδριὰς εἰς πηλὸν καὶ ἡ χαλκῆ σφαῖρα εἰς χαλκὸν καὶ ὁ Καλλίας εἰς σάρκα καὶ ὀστᾶ καὶ ὁ κύκλος εἰς τὰ τμήματα· ἐστὶ γὰρ ἐν τοῖς τμήμασιν ὅπερ ἐν αὐτοῖς συνείληπται ὡς ὕλη, τοῦτο δ' ἐστὶν ἣν νοοῦμεν, ὥσπερ εἴρηται, ὑπὸ εὐθείας καὶ περιφερείας περιεχομένην. εἰπὼν δὲ ὅτι καὶ ὁ κύκλος φθείρεται εἰς χαλκόν, ἐπειδὴ κύκλος λέγεται καὶ ὁ μερικὸς καὶ σύνθετος, λέγεται δὲ κύκλος καὶ τὸ τοῦ κύκλου εἶδος, αὐτὸ δὲ ὡς δέδεικται οὔτε γίγνεται οὔτε φθείρεται, ἐπήγαγεν ὁμωνύμως γὰρ λέγεται ὁ κύκλος ὅ τε ἁπλῶς καὶ ὁ καθ' ἕκαστον, δυνάμει λέγων ὅτι εἰπόντες ὡς ὁ κύκλος φθείρεται, οὐ δεῖ ταράττεσθαι καὶ κύκλον φθείρεσθαι ὑπολαμβάνειν ἡμᾶς λέγειν τὸν καθόλου καὶ τὸ εἶδος, ἀλλὰ τὸν μερικόν. ἐπὶ μὲν γὰρ τῶν καθ' ἕκαστα ἀνθρώπων, ἐπειδὴ κεῖται αὐτοῖς σὺν τῷ κοινῷ ὀνόματι τῷ ἄνθρωπος καὶ ἴδιον ὄνομα οἷον τὸ Καλλίας, τὸ Μίκαλλος, οὔ φαμεν ὅτι φθείρεται ἄνθρωπος ἀλλ' ὅτι Καλλίας ἢ Μίκαλλος· ἐπὶ δὲ τῶν κύκλων, ἐπειδὴ οὐκ ἐτέθη αὐτοῖς ὀνόματα ἀλλὰ καὶ ὁ καθόλου καὶ ὁδὶ ὁ μερικὸς κύκλοι λέγονται, ἐπὶ τούτῳ φαμὲν ὅτι φθείρεται ὁ κύκλος· εἰ δ' ὁ χαλκοῦς κύκλος ἱμάτιον φέρε εἰπεῖν ἐκαλεῖτο, οὐκ ἂν ἐλέγομεν ὅτι ὁ κύκλος φθείρεται ἀλλ' ὅτι τὸ ἱμάτιον, ὥσπερ οὐδὲ ἄνθρωπόν φαμεν φθείρεσθαι ἀλλὰ Καλλίαν ἢ Μίκαλλον. |

p. 1035b3 Εἴρηται μὲν οὖν καὶ νῦν τἀληθές, ὅμως δ' ἔτι σαφέστερον εἴπωμεν ἐπαναλαβόντες.

Διαρθροῖ καὶ τὴν ἑτέραν ἀπορίαν τὴν λέγουσαν πότερον τὰ μέρη εἰσὶ πρότερα ἢ τὰ ὅλα. λέγει δὴ ὅτι ὅσα μὲν μέρη εἰσὶ τοῦ εἴδους, ὥσπερ τὸ ζῷον καὶ τὸ πεζὸν καὶ τὸ δίπουν τοῦ ἀνθρώπου, ταῦτα πρότερα τοῦ ἀνθρώπου· ὅσα δὲ οὐκ ἔστι τοῦ εἴδους ἀλλὰ τοῦ συναμφοτέρου, ὡς τὰ

---

1 σιμόν LFS: ἐμόν A 5 ὧν δὴ καὶ LF: δὴ om. A 6 οὔτε LFS: ὅτι A
16. 17 ad ἣν νοοῦμεν inter lineas add. ἡ διάστασις A² 21 ὅ τε LFS: ὅτι A 26 ἢ FS: καὶ AL 27 οὐκ ἐτέθη LF: οὐ κατετέθη A 35 πρότερα—μέρη εἰσὶ LFS: om. A 36 ταῦτα LFS: ταῦτα γὰρ A

νεῦρα καὶ τὰ ὀστᾶ, ὕστερα· σὰρξ γὰρ καὶ ὀστᾶ τοῦ ὅλου ἤτοι τοῦ ἁπλῶς ἀνθρώπου ὕστερα. καὶ διὰ τοῦτο οὐκ ἔστιν ἡ ὀξεῖα γωνία προτέρα τῆς ὀρθῆς, ὅτι οὐ διαιρεῖται ὁ λόγος τῆς ὀρθῆς εἰς τὸν λόγον τῆς ὀξείας ὥσπερ ὁ τοῦ ἀνθρώπου εἰς τὸν τοῦ πεζοῦ καὶ δίποδος, ἀλλὰ μᾶλλον ὁ λόγος τῆς ὀξείας διαιρεῖται εἰς τὴν ὀρθήν· ὁ γὰρ ὁριζόμενος τὴν ὀξεῖαν χρῆται τῇ ὀρθῇ· ὀξεῖα γάρ ἐστιν ἡ ἐλάττων ὀρθῆς. ὁμοίως δὲ καὶ ὁ κύκλος καὶ τὸ ἡμικύκλιον ἔχουσιν. ὁ γὰρ ὁριζόμενος τὸ ἡμικύκλιον τῷ κύκλῳ αὐτὸ ὁρίζεται· ἡμικύκλιον γάρ ἐστι σχῆμα τὸ περιεχόμενον ὑπό τε τῆς διαμέτρου καὶ κύκλου περιφερείας. ὡσαύτως καὶ ὁ δάκτυλον τῷ ὅλῳ· δάκτυλος γάρ ἐστι τὸ τοιονδὶ τοῦ ἀνθρώπου μέρος. ἐπειδὴ οὖν τὰ μὲν μέρη ὁρίζονται ὑπὸ τῶν ὅλων, ταῦτα δὲ οὐ διὰ τῶν μερῶν, ἔστιν ἄρα τὰ ὅλα πρότερα τῶν μερῶν· τὸ γὰρ ὁριστὸν ὕστερον τῶν δι' ὧν ὁρίζεται. ἐπὶ δὲ τῶν εἰδῶν ἔμπαλιν ἔχει· ἐπειδὴ γὰρ αὐτὰ διὰ τῶν μερῶν ὁρίζεται, τὰ μέρη δὲ δι' ἐκείνων οὐδαμῶς, ὕστερα τὰ ὅλα ἤτοι τὰ εἴδη τῶν οἰκείων μερῶν. ὥστε ὅσα τῶν μερῶν ὡς ὕλη, ταῦτα ὕστερα τῶν ὅλων· ὅσα δὲ ὡς τοῦ λόγου καὶ τῆς οὐσίας τῆς κατὰ τὸν λόγον, τουτέστι τοῦ εἴδους, ταῦτα πρότερα τοῦ ὅλου.

p. 1035b14 Ἐπεὶ δὲ ἡ τῶν ζῴων ψυχή (τοῦτο γὰρ οὐσία τοῦ ἐμψύχου) ἡ κατὰ τὸν λόγον οὐσία καὶ τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι τῷ τοιῷδε σώματι.

Ἔτι τὰ περὶ τοῦ ὅλου καὶ μέρους διαρθροῖ καί φησιν ἐπειδὴ ἡ τῶν ζῴων ψυχή ἐστι τὸ εἶδος αὐτῶν (ἐντελέχεια γάρ ἐστι φυσικοῦ ὀργανικοῦ σώματος δυνάμει ζωὴν ἔχοντος, ὡς ἐν τῷ B τῶν Περὶ ψυχῆς εἴρηται), καὶ κατὰ τὴν ψυχὴν εἰδοποιεῖται τὰ ζῷα, καὶ αὕτη ἐστὶν ἡ κατὰ τὸν λόγον οὐσία καὶ τὸ εἶδος τῷ τοιῷδε σώματι· ὡς γὰρ τὸ σχῆμα τοῦ ἀνδριάντος ἐν ὕλῃ ἐστὶ τῷ χαλκῷ, οὕτω καὶ ἡ ψυχὴ τῶν ζῴων ἐν τῷ τοιῷδε σώματι ὡς εἶδος ἐν ὕλῃ ἐστίν. εἰπὼν δ' ὅτι ἡ ψυχὴ τὸ εἶδός ἐστι τῶν ζῴων, κατασκευάζει τοῦτο ἐκ τῶν μερῶν τῶν ζῴων, λέγων ἕκαστον γοῦν τὸ μέρος, ἐὰν ὁρίζηται καλῶς τὸ μέρος, οὐκ ἄνευ τοῦ ἔργου ὁριεῖται. εἰ γάρ τις καλῶς ὁρίζεται τὴν χεῖρα τοῦ ἀνθρώπου, οὐκ ἄνευ τοῦ ἔργου ὁριεῖται· τὸ δὲ ἔργον αὐτῆς ἄνευ αἰσθήσεως καὶ ψυχῆς οὐχ ὑπάρξει αὐτῇ. εἰ δὴ ἡ χεὶρ ἐν τῷ τὸ οἰκεῖον ἔργον ἀποτελεῖν εἰδοποιεῖται, τοῦτο δ' ἄνευ αἰσθήσεως καὶ ψυχῆς ἀδύνατόν ἐστιν αὐτῇ ὑπάρξαι, καὶ φανερὸν ὅτι εἶδος τῆς χειρὸς ἡ αἴσθησις ἢ ἡ ἀπὸ τῆς ψυχῆς χορηγουμένη αὐτῇ 476 δύναμις πρὸς τὸ τὸ οἰκεῖον ἔργον ἀποτελεῖν, φανερὸν ὅτι καὶ τῶν ζῴων ἡ κατὰ τὸν λόγον οὐσία καὶ τὸ εἶδος ἡ ψυχή ἐστιν. ἐπειδὴ οὖν, ὡς εἴρηται, ἡ τῶν ζῴων ψυχὴ τὸ εἶδός ἐστιν αὐτῶν, τὰ ταύτης μέρη ἢ πάντα

3 ὅτι LFS: καὶ ὅτι A 6 ἡ ἐλάττων LF: ἡ om. A 8 περιεχόμενον ὑπό LF: ante ὑπό add. μὲν A 9 δάκτυλον S: δακτύλῳ A: δάκτυλος LF 11 διὰ τῶν μερῶν LFS: διὰ τῶν μερικῶν A 12 δὲ LFS: γὰρ A 23 ἐν τῷ B τῶν Περὶ ψυχῆς] B 1 p. 412a27 28 ἑκάστου A 31 καὶ ψυχῆς LF: τῆς ψυχῆς A 33 δ' LFS: om. A

ἤ, ὅπερ καὶ ἀληθές, εἰ μὴ πάντα ἀλλ' οὖν ἔνια πρότερα τοῦ συνόλου ἐστὶ ζῴου· τὸ μὲν γὰρ θρεπτικὸν καὶ ὀρεκτικὸν τοῦ συναμφοτέρου, τὸ δὲ θεωρεῖν οὐ τοῦ συναμφοτέρου. ἀκριβέστερον δὲ περὶ τούτων εἴρηται ἐν τῇ Περὶ ψυχῆς. ἢ τὸ ἢ ἔνια πρόσκειται διὰ τὰ ἐξισάζοντα· τὸ μὲν γὰρ λογικὸν καὶ θνητὸν δῆλον ὡς πρότερόν ἐστι τοῦ ἀνθρώπου (ἐπὶ πλέον γάρ εἰσιν αὐτοῦ), τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν οὐκέτι, ἀλλ' ἐξισάζει, καὶ ἐπὶ τούτῳ οὐ πρότερον· εἴ τι γὰρ ἄνθρωπος, νοῦ καὶ ἐπιστήμης δεκτικόν, καὶ εἴ τι νοῦ καὶ ἐπιστήμης δεκτικόν, τοῦτο ἄνθρωπος. ὡς δὲ ἐπὶ τῶν ζῴων ἔχει, οὕτως καὶ ἐπὶ τῶν ἄλλων· τούτου γὰρ δηλωτικόν ἐστι τὸ καὶ καθ' ἕκαστον δὴ ὁμοίως. καὶ τὰ μὲν τοῦ εἴδους τῶν ζῴων μόρια πρότερα, τὸ δὲ σῶμα καὶ τὰ μόρια αὐτοῦ ὕστερα ταύτης τῆς οὐσίας, τουτέστι τοῦ εἴδους. καὶ διαιρεῖται εἰς τὸ σῶμα καὶ τὰ μόρια αὐτοῦ ὡς εἰς ὕλην τὸ σύνολον, ἀλλ' οὐχ ἡ οὐσία καὶ τὸ εἶδος διαιρεῖται εἰς τὰ τοῦ σώματος μέρη· καὶ ἔστι τὰ τοιαῦτα μόρια τοῦ συνθέτου· τοῦτο γὰρ λέγει σύνολον. τὸ δὲ σύνθετον τρόπον μέν τινα πρότερόν ἐστι τῶν μερῶν, τρόπον δέ τινα ὕστερον. ᾗ μὲν γὰρ τὰ μόρια χωριζόμενα οὐ δύναται εἶναι, τὸ δὲ μορίων τινῶν ἄνευ, εἰ καὶ μὴ πάντων, δύναται εἶναι, ἐστὶ πρότερον τὸ ὅλον τῶν μερῶν· ᾗ δὲ πάλιν τὸ ἔκ τινων συγκείμενον ὕστερόν ἐστι τῶν συντιθέντων αὐτό, σύγκειται δὲ τὸ ὅλον ἐκ τῶν μερῶν, ὕστερόν ἐστι τῶν μερῶν. εἰπὼν δὲ ὅτι τὰ μέρη χωριζόμενα οὐ δύναται εἶναι, τὴν αἰτίαν τοῦ πῶς οὐ δύναται εἶναι ἐπήγαγεν εἰπὼν οὐδὲ γὰρ ὁ πάντως ἔχων δάκτυλος ζῴου, ἴσον λέγων τῷ χωρισθεὶς ὁ δάκτυλος τοῦ ζῴου ὡς μὲν σῶμα δύναται εἶναι, ὡς δὲ δάκτυλος οὐδαμῶς. οὐ γὰρ ὡς ἔτυχεν ἔχων ὁ δάκτυλος λέγεται δάκτυλος, ἀλλ' ὁ τὸ ἔργον τοῦ δακτύλου ποιῶν, ὥστε ὁ τεθνηκὼς δάκτυλος ὁμωνύμως λέγεται δάκτυλος, κυρίως δ' οὐδαμῶς. καὶ ἔνια μὲν τῶν τοῦ ὅλου μορίων χωρισθέντα δύναται τὸ ὅλον ἄνευ ἐκείνων εἶναι, ἔνια δὲ χωρισθέντα εὐθὺς συναναιρεῖ τὸ ὅλον, ὅσα ἐστὶ κύρια καὶ ἐν οἷς πρώτοις ἐστὶν ὁ λόγος καὶ ἡ οὐσία, τουτέστιν ἡ ψυχή· ἡ ψυχὴ γὰρ τῶν ζῴων ἐστὶ τὸ εἶδος. εἴτε οὖν ἐστιν ἡ καρδία ἀρχὴ τῶν ζῴων καὶ ἐν ταύτῃ πρώτως ἐστὶν ἡ ψυχή, ὡς τούτῳ δοκεῖ, εἴτε ὁ ἐγκέφαλος, ὡς Ἱπποκράτει καὶ Πλάτωνι, ἅμα τῷ χωρισθῆναι τοῦ ὅλου φθείρουσιν αὐτά. | εἰπὼν δὲ οἷον εἰ τοῦτο καρδία ἢ ἐγκέφαλος ἐπήγαγε 477
διαφέρει γὰρ οὐδὲν πότερον τοιοῦτον, τουτέστι πότερον ἡ καρδία ἐστὶν ἐν ᾗ τυγχάνει οὖσα ἡ ψυχὴ εἴτε ὁ ἐγκέφαλος οὐδὲν διαφέρει πρὸς τὸ λεγόμενον· δῆλον γὰρ ὡς ὁποῖον ἂν εἴη ἐκ τούτων συμφθείρει τὸ ὅλον. ἀλλ' ὅτι μὲν ἡ ἐμὴ ὁλότης ἐν ἐμοὶ τυγχάνει οὖσα καὶ οὐκ ἔστιν ἐκτὸς καὶ χωρὶς τῶν ἐμῶν μορίων, δῆλον. ἐπεὶ δ' ἐγὼ καὶ Πλάτων καὶ Κάλλιππος καὶ ἁπλῶς οἱ κατὰ μέρος μέρη ἐσμὲν τοῦ καθόλου ἀνθρώπου, ἐκεῖ-

---

3. 4 ἐν τῇ Περὶ ψυχῆς] B 2 4 ἢ ἔνια LFS: ἢ om. A 9 οὕτως καὶ LFS: οὕτω τοῦτο καὶ A 13 οὐχ ὡς ἡ LF εἰς LF: om. A 14 ἔστι LFS: ὅτι A 15 τινα LF: ὡς A 29 τὸ εἶδος αὐτῶν· οἷον εἰ ἔστιν ἡ καρδία LF 30 καὶ LF: om. A 31 τοῦ ὅλου LF: τοῦ om A 32 αὐτά] fort. αὐτό 33 τουτέστιν εἴτε ἡ LF

νος δὲ ὅλον τί ἐστιν, ἆρά γε ἐν ἡμῖν ἔστιν ὡς ἡ ἐμὴ ὁλότης ἐν τοῖς
ἐμοῖς μέρεσιν, ἢ χωριστὸς καὶ καθ' αὑτόν; ἤ φησιν ὅτι ὁ δὲ καθόλου
ἄνθρωπος καὶ ἵππος καὶ τὰ οὕτως, τουτέστι καὶ ἁπλῶς τὰ καθόλου,
ἐπὶ τῶν καθ' ἕκαστα ἤτοι ἐν τοῖς καθ' ἕκαστά εἰσι, καθόλου δὲ οὐσία
5 καὶ εἶδος αὐτὸ καθ' αὑτὸ καὶ χωρὶς τῶν κατὰ μέρος οὐκ ἔστιν, ἀλλ' ὥσπερ
ὁ Σωκράτης ἐκ τουδὶ τοῦ εἴδους καὶ τησδὶ τῆς ὕλης ἐστίν, οὕτω καὶ ὁ
καθόλου ἄνθρωπος ἐκ τῆς ὕλης ἤτοι τοῦ γένους αὐτοῦ καὶ τοῦ εἴδους
ἤτοι τῶν διαφορῶν ἂν εἴη, οὐκ ἐν ὑπάρξει δὲ ἀλλ' ἐπινοίᾳ. εἶδος δὲ αὐ-
τὸ καθ' αὑτὸ χωρὶς ὕλης οὐδὲ ἐπινοίᾳ δύναται εἶναι· ἐπειδὴ γὰρ ἀπὸ τῶν
10 κατὰ μέρος ἀνθρώπων αὐτὸν ἀπεσόλησεν ἡ διάνοια, ταῦτα δ' ἐξ ὕλης ἐστὶ
καὶ εἴδους, φανερὸν ὅτι καὶ ὁ καθόλου ἄνθρωπος, ὡς ἂν ἔχοι τὸ εἶναι, ἐξ
ὕλης αὐτὸ καὶ εἴδους ἕξει, ἤτοι ἐκ γένους καὶ διαφορῶν. ταῦτα μεταξὺ
παρενθεὶς πάλιν ἐπανατρέχει ἐπὶ τὸν τῶν μερῶν καὶ τὸν τῶν ὅλων λόγον,
καί φησι μέρος μὲν οὖν ἐστι καὶ τοῦ εἴδους ὥσπερ καὶ τοῦ συνό-
15 λου τοῦ ἐξ ὕλης καὶ εἴδους. ἐπεὶ δὲ οἱ λόγοι καὶ οἱ ὁρισμοὶ τῶν εἰ-
δῶν εἰσι, τὰ μέρη δὲ τοῦ λόγου μόνου τοῦ εἴδους εἰσὶ μέρη, οὐ μὴν καὶ
τοῦ συναμφοτέρου, ὁ δὲ λόγος οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ καθόλου· ὁ γὰρ κύ-
κλος, ὅπερ ἐστὶ τὸ καθόλου, καὶ τὸ κύκλῳ εἶναι, ὅπερ ἐστὶν ὁ λόγος, καὶ
ψυχῇ εἶναι καὶ ψυχὴ ταὐτόν· οἱ μὲν οὖν λόγοι, ὥσπερ εἴρηται, τοῦ καθό-
20 λου εἰσί, τοῦ δὲ συνόλου, οἷον τοῦ καθ' ἕκαστα, εἴτε αἰσθητόν ἐστι τὸ
καθ' ἕκαστα εἴτε νοητόν (ἀντὶ τοῦ διανοητοῦ τὸ νοητὸν εἰπών, ταῦτα δ'
ἐστὶ τὰ μαθηματικά), τούτων οὐκ ἔστιν ὁρισμός. καὶ δειχθήσεται καὶ
τοῦτο μετ' ὀλίγον ἐν τῷ μετὰ χεῖρας βιβλίῳ. καὶ γνωρίζονται τὰ καθ'
ἕκαστα οὐ τῷ λόγῳ καὶ τῷ ὁρισμῷ ἀλλ' αἰσθήσει, ὥσπερ οἱ ξύλινοι κύ-
25 κλοι· ὅταν δὲ χωρισθῇ ὁ μερικὸς κύκλος τῆς ὕλης ὑπὸ τῆς διανοίας, τότε
ἐστὶ τῷ νοῖ ὁρατὸς καὶ ὅλως νοητός, ὥσπερ καὶ ἡ ὄψις δυνάμει ἐστὶν ὅταν
μὴ ὁρᾷ τὰ ὁρατά, ὡς ἐν τῇ Περὶ ψυχῆς εἴρηται, καὶ ἡ ἀκοὴ τὰ ἀκουστά,
ὅταν δὲ ὁρᾷ ταῦτα, ἐνεργείᾳ γίνεται ἐκεῖνα καὶ τελειοῦται ὑπ' αὐτῶν.
ἀπελθόντες δ' ἐκ τῆς ἐντελεχείας, τουτέστιν ἐκ τῆς ἐνεργείας καθ'
30 ἣν ὁρῶμεν αὐτὰ καὶ ἐνεργείᾳ ἐσμὲν ὁρατικοί ἀλλ' οὐ δυνάμει, παυθείσης 478
τε τῆς ἐνεργείας τῆς ὄψεως καθ' ἣν περὶ τὰ ὁρατὰ ἐνεργεῖ, ἄδηλόν ἐστιν
εἴτε εἰσὶν εἴτε καὶ μή, ἀλλὰ γνωρίζονται τῷ καθόλου. ὅταν γὰρ οὐχ ὁρῶ
τὸν μερικὸν καὶ αἰσθητὸν κύκλον, οὐκ ἔστι μοι δῆλον εἴτε ἐστὶν ἐν ὑπάρξει
τὸ τοιόνδε σχῆμα εἴτε οὐκ ἔστι, τῷ καθόλου δὲ γνωρίζω καὶ τὸ τοιόνδε
35 σχῆμα, ὅπερ πρότερον μὲν ἑώρων νῦν δὲ οὐχ ὁρῶ. εἰπὼν δὲ ὅτι καὶ γνω- 5
ρίζονται τῷ καθόλου λόγῳ, ἐπειδὴ καὶ ἡ ὕλη καθόλου ἐστίν, ἵνα μήτις
λέγῃ ὅτι εἰ τῷ καθόλου γνωρίζονται, ἔστι δὲ καὶ ἡ ὕλη καθόλου, διὰ τί
οὐ καὶ ταύτῃ γνωρίζομεν αὐτά; ἐπήγαγε τὸ ἡ δὲ ὕλη ἄγνωστος καθ'
αὑτήν. εἰ δ' αὐτὴ ἄγνωστός ἐστι, πῶς ἄλλοις αἰτία γνώσεως γενήσεται;

---

1 ἐν ἡμῖν LFS: ἐν om. A 2 χωριστὴ καὶ καθ' αὑτήν LF 8 ἐν ὑπάρξει S Bonitz: ἐνυπάρξει ALF 26 ὥσπερ καὶ M Bonitz: ἐπειδὴ LF: ἐπειδὴ δὲ καὶ A 27 ἐν τῇ Περὶ ψυχῆς] B 5 29 ἀπελθόντας Metaph. vulg. 30 ἐσμὲν M Bonitz: ἡ μὲν A: ὦμεν LF 38 τὸ LF: om. A

ἡ δὲ ὕλη, φησίν, ἡ μέν ἐστι νοητὴ ἡ δὲ αἰσθητή, αἰσθητὴ μὲν οἷον ξύλον καὶ ἁπλῶς ὅση κινητή, νοητὴ δὲ ἡ ἐν τοῖς κύκλοις ὑπάρχουσα, μὴ ᾗ δὲ αἰσθητοῖς· ἡ γὰρ διάστασις τοῦ κύκλου, ὃν χωρίσασα ἡ διάνοια τῆς ὕλης παρ' ἑαυτῇ ἔχει, ὕλη μέν ἐστι τοῦ τοιούτου κύκλου, ἀλλ' οὐκ αἰσθητὴ ἀλλὰ νοητή. ταῦτα εἰπὼν συμπεραίνεται τὸν λόγον καί φησι πῶς μὲν οὖν ἔχει περὶ μέρους καὶ ὅλου καὶ προτέρου καὶ ὑστέρου, εἴρηται.

p. 1036a 13 Πρὸς δὲ τὴν ἐρώτησιν ἀνάγκη ἁπαντᾶν, ὅταν τις ἔρηται, πότερον ἡ ὀρθή.

Ἔτι τὰ περὶ τοῦ ὅλου καὶ μέρους γυμνάζει καί φησιν ὅτι ὅταν τις ἔρηται πότερον τὸ ζῷον καὶ ἡ ὀρθὴ γωνία καὶ ὁ κύκλος πρότερα ἢ εἰς ἃ διαιροῦνται, τουτέστιν ἢ τὰ μόρια αὐτῶν (εἰς γὰρ τὰ μόρια αὐτοῦ τὸ ζῷον καὶ ὁ κύκλος καὶ ἡ ὀρθὴ γωνία διαιρεῖται) ὅταν οὖν τις ἔρηται πότερον τὰ ὅλα ἐστὶ πρότερα ἢ τὰ μόρια εἰς ἃ διαιροῦνται καὶ ἐξ ὧν εἰσιν, ἀνάγκη ἁπαντᾶν καὶ ἀποκρίνεσθαι ὅτι οὐχ ἁπλῶς, τουτέστιν ἀνάγκη πρὸς τὴν τοιαύτην ἐρώτησιν ἀποκρίνεσθαι ὅτι τὸ μέρος οὐχ ἁπλῶς καὶ μοναχῶς λέγεται ἀλλὰ πολλαχῶς. εἰ μὲν γὰρ τὸ μέρος τοῦ εἴδους λέγεις, πρότερόν ἐστι τοῦ ὅλου, ὡς πολλάκις εἴρηται· εἰ δὲ τοῦ συνθέτου τοῦ ἐξ ὕλης καὶ εἴδους, ὕστερον. ἀλλὰ ταῦτα μὲν τοῦ σαφοῦς χάριν προείρηται· αὐτὸς δὲ πάλιν τὸν τρόπον καθ' ὃν δεῖ ἀποκρίνεσθαι ὑφηγεῖται, λέγων εἰ μὲν γάρ ἐστι καὶ ἡ ψυχὴ τὸ ζῷον, τουτέστιν, εἰ μὲν γάρ ἐστιν ἡ ψυχὴ τὸ κατὰ τὸ εἶδος ζῷον, ἤτοι εἰ μέν ἐστιν ἡ ψυχὴ τὸ τοῦ ζῴου εἶδος καὶ τὸ τί ἦν εἶναι ζῴῳ, ἢ εἰ μή ἐστιν ἡ ψυχὴ τὸ ζῴῳ εἶναι, ἀλλ' ἔστι τὸ ζῴῳ εἶναι τὸ ἔμψυχον, ἢ εἰ μηδὲ τὸ ἔμψυχόν ἐστι τὸ ζῴῳ εἶναι, ἀλλ' ἔστιν ἕκαστον ἡ ἑκάστου ψυχή, καὶ κατὰ ταύτην εἰδοποιεῖται, οἷον ὁ ἄνθρωπος κατὰ τὴν ἑαυτοῦ, καὶ ὁ ἵππος ὁμοίως κατὰ τὴν οἰκείαν, καὶ ὅλως ἕκαστον κατὰ τὴν ἰδίαν· ὡσαύτως καὶ εἰ ἔστιν ὁ κύκλος τὸ κύκλῳ εἶναι καὶ ἡ ὀρθὴ τὸ ὀρθῇ εἶναι — εἰ δὴ τοῦθ' οὕτως ἔχει, τὶ μὲν καὶ τινὸς φατέον ὕστερον, οἷον τῶν ἐν τῷ λόγῳ, τουτέστι τὶ μὲν μέρος καὶ | τινὸς ὅλου χρὴ λέ- 479
γειν ὕστερον, τὶ δὲ οὐχ ὕστερον ἀλλὰ πρότερον τοῦ ὅλου. τὶ μὲν οὖν, φησί, τῶν ἐν τῷ λόγῳ. λόγον δὲ ἐνταῦθα οὐ τὸ εἶδος λέγει, ἀλλὰ παραδόξως τὸ ἐξ ὕλης καὶ εἴδους. τούτων οὖν τῶν ἐν τῷ λόγῳ τὶ φατέον ὕστερον τοῦ ὅλου. καὶ τοῦ ὅλου δὲ οὐχ ἁπλῶς· οὐ γὰρ καὶ τοῦ κατὰ τὸ εἶδος, ἀλλὰ τοῦ τινὸς καὶ συνθέτου, οἷον τῆς τινὸς ὀρθῆς τῆς μετὰ τῆς ὕλης. ὥσπερ γὰρ ὀρθή ἐστι τὸ εἶδος τῆς ὀρθῆς, οὕτως ἐστὶν ὀρθὴ καὶ ἡ μετὰ τῆς ὕλης ἤτοι ἡ χαλκῆ. οὐ μόνον δὲ πάλιν ἡ μετὰ τῆς ὕλης ὀρθή ἐστιν ἀλλὰ καὶ ἡ ἐν ταῖς γραμμαῖς ταῖς καθ' ἕκαστα· καὶ γὰρ καὶ

---

3 αἰσθητοί coni. Bonitz 10 τὰ LFS: τὸν A ὅτι LF: om. A 17 εἰ μὲν γὰρ LF: μὲν om. A 23 ἢ εἰ LFS: ἢ om. A ἡ LF: om. A 28. 30 et 32 τὶ scripsi: τί libri 29 τινὸς LF: τίνα A: τίνος S ὅλου LFS: om. A 37 ἡ LF: om. A

ἡ ὑπὸ τῶν καθ' ἕκαστα τούτων τῶν γραμμῶν περιεχομένη γωνία ὀρθή ἐστιν. ἡ μὲν οὖν μετὰ τῆς ὅλης γωνία ἢ σφαῖρα ἢ ὅ τι ἂν εἴη τῶν μορίων αὐτῆς προτέρα ἐστίν, ἡ δὲ ἄνευ ὅλης τῶν μὲν ἐν τῷ λόγῳ ὑστέρα, τῶν δὲ ἐν τοῖς καθ' ἕκαστα μορίων προτέρα. ἔστω δὲ ἐπὶ ἀνθρώπου σαφὲς τὸ λεγόμενον. ὁ μὲν οὖν κατὰ τὸ εἶδος ἄνθρωπος τοῦ μὲν ζῴου καὶ πεζοῦ καὶ δίποδός ἐστιν ὕστερος, τῆς δ' ἐν ἐμοὶ χειρὸς καὶ ποδὸς πρότερος· ὁμοίως ὁ μὲν κατὰ τὸ εἶδος κύκλος τοῦ μὲν σχήματος καὶ τοῦ ἐπιπέδου καὶ τῶν τοιούτων ὕστερος, τῶν δὲ τμημάτων τοῦ χαλκοῦ κύκλου καὶ ἁπλῶς τῶν μερῶν αὐτοῦ πρότερος. οὕτω μὲν δεῖ πρὸς τὴν ἐρώτησιν ἀπαντᾶν, ἁπλῶς δὲ καὶ ἀδιορίστως λέγοντι ὅτι τὸ μέρος πρότερον ἢ τὸ ὅλον οὐδαμῶς ἀποκριτέον. εἰπὼν δὲ ὅτι εἰ μὲν ἔστιν ἡ ψυχὴ ζῷον, τὰ μέρη αὐτῆς φατέον πρότερα τοῦ ζῴου, καὶ τὰ λοιπὰ ὅσα εἴρηται, τὴν ἀπόδοσιν τοῦ μέν συνδέσμου ποιεῖται λέγων εἰ δὲ μή ἐστιν ἡ ψυχὴ ζῷον, ὡς εἶναι τὴν τοῦ λόγου συνέχειαν τοιαύτην· εἰ μέν ἐστιν ἡ ψυχὴ ζῷον, τὰ μέρη αὐτῆς φατέον πρότερα τοῦ ὅλου, εἰ δὲ μή ἐστιν ἡ ψυχὴ ζῷον, ἤτοι τὸ κατὰ τὸ εἶδος ζῷον, καὶ οὕτω τὰ μὲν φατέον τῶν μερῶν πρότερα, τὰ δ' οὐ φατέον· ὁποῖον γὰρ ἂν εἴη τὸ τῶν ζῴων εἶδος, τὰ μέρη αὐτοῦ πρότερα ἔσονται τῆς αὐτοῦ ὁλότητος.

p. 1036a26 Ἀπορεῖται δ' εἰκότως καὶ ποῖά ἐστι τοῦ εἴδους μέρη καὶ ποῖα οὔ, ἀλλὰ τοῦ συνειλημμένου.

Ἐπειδὴ πολλαχοῦ περὶ μέρους καὶ ὅλου τὸν λόγον ποιούμενος ἔλεγεν ὡς τὰ μὲν τοῦ εἴδους μέρη πρότερά ἐστιν αὐτοῦ, τὰ δὲ τοῦ συνθέτου ὕστερα, λέγει ὡς εἰκότως ἂν ἀπορήσειέ τις καὶ ποῖά ἐστι τὰ τοῦ εἴδους μέρη καὶ ποῖα τοῦ συνθέτου· τὸ γὰρ συνειλημμένον τοῦ συνθέτου ἐστὶ δηλωτικόν. ἐπειδὴ γάρ, ὡς πολλάκις εἴπομεν, οἱ ὁρισμοὶ τῶν εἰδῶν εἰσιν, ἀγνοούμενα τίνα ἐστὶ τὰ τούτων μέρη οὐκ ἂν εἴη ὁρίσασθαι· ὥστε εἰ μὴ ἦ φανερὸν ποῖά ἐστι μέρη ὡς ὕλη καὶ ποῖα οὐκ ἔστιν, οὐδὲ ὁ λόγος τοῦ πράγματος ἔσται φανερός. ταῦτα εἰπὼν λέγει ὅτι ὅσα μὲν ἐπιγίνονται ἐφ' ἑτέρων τῷ εἴδει, τουτέστιν ἐν | διαφόροις εἴδεσιν, οἷον ἡ σφαῖρα 480 καὶ ἐν χαλκῷ καὶ ξύλῳ καὶ λίθῳ καὶ χρυσῷ καὶ ἐν μολίβδῳ καὶ ἐν ἄλλοις πολλοῖς διαφέρουσι τῷ εἴδει, τούτων τῶν ἐφ' ἕτερα τῷ εἴδει ἐπιγινομένων φανερά ἐστι τὰ ὡς ὕλη μέρη· ὁ γὰρ χαλκὸς καὶ τὸ ξύλον οὐκ ἔστι τῆς οὐσίας τοῦ κύκλου ἢ τῆς σφαίρας, τουτέστιν οὐκ ἔστι τῶν συνιστώντων τὸν κατὰ τὸ εἶδος κύκλον διὰ τὸ χωρίζεσθαι αὐτὸν τοῦ ξύλου καὶ τοῦ χαλκοῦ καὶ τῶν τοιούτων, τοῦ δὲ σχήματος καὶ τοῦ ἐπιπέδου καὶ ὅλως τῶν τὴν οὐσίαν αὐτοῦ συνιστώντων οὐδαμῶς χωρίζεται. ὅσα μὲν δὴ χωρίζεται καὶ ἐν διαφέρουσι τῷ εἴδει ὑποκειμένοις γίνεται, τούτων δῆλά ἐστι τὰ ὡς ἐν ὕλῃ μέρη. ὅσα δὲ μὴ χωρίζεται ἀλλ' ἀεὶ ἐν τοῖς αὐτοῖς γίνε-

---

1 ὑπὸ LF: ἀπὸ A 3 ὑστέρα LFS: ἑτέρα A 8 χαλκοῦ κύκλου LFS: χαλκοῦ καὶ κύκλου A 10 λέγοντι Brandis Bonitz: λέγειν libri 23 τις LF: om. A ἐστι τὰ LF: om. A 24 ποῖα LF: om. A 27 μέρη] τῶν μερῶν LF

ται, ὥσπερ ὁ ἄνθρωπος ἀεὶ ἐν ὀστοῖς καὶ σαρξὶ καὶ ἐν νεύροις, καὶ ὁ ἵππος παραπλησίως, καὶ ἁπλῶς τὰ ζῷα, τούτων οὐκ ἔστι προφανῆ τίνα τὰ ὡς ἐν ὕλῃ μέρη. ὅμως φησὶ καὶ ἐπὶ τούτων οὐδὲν κωλύειν ὁμοίως ἔχειν τῷ κύκλῳ· ὥσπερ γὰρ ὁ χαλκὸς καὶ τὸ ξύλον οὐδέν εἰσι τῆς τοῦ κατὰ τὸ εἶδος κύκλου οὐσίας, οὕτως οὐδ' αἱ σάρκες καὶ τὰ νεῦρα τῆς κατὰ τὸ εἶδος τοῦ ἀνθρώπου ἢ τοῦ ἵππου οὐσίας εἰσίν. ὥσπερ γὰρ κἂν οἱ κύκλοι πάντες ἦσαν χάλκινοι καὶ μὴ ἐνεδέχετο ἐν ἄλλῳ ὑποκειμένῳ τὸ τοῦ κύκλου εἶδος γενέσθαι, ἀλλ' ἀεὶ ἐν χαλκῷ ἦν, ἐφαίνετο ἂν χαλκὸς ὅτι τῆς οὐσίας αὐτοῦ ἐστι διὰ τὸ μὴ ἐν ἄλλῳ γίνεσθαι, ὅμως οὐκ ἂν ἦν οὐδὲ τότε ὁ χαλκὸς τῆς οὐσίας αὐτοῦ, εἴπερ οὐδὲ νῦν ἐστι, κἂν χαλεπὸν ἦν καὶ οὐ ῥᾴδιον τὸ χωρίσαι τοῦτον ἀπὸ τοῦ χαλκοῦ (νῦν γὰρ τοῦτο ὁρατόν ἐστιν, λέγω δὴ τὸ χωρίζειν αὐτὸν ἀπὸ τοῦ χαλκοῦ) οὕτω καὶ τὸ τοῦ ἀνθρώπου εἶδος εἰ καὶ ἀεὶ ἐν τοῖς αὐτοῖς γίνεται, ὅμως οὐδέν ἐστι τῆς οὐσίας αὐτοῦ τὰ ὀστᾶ καὶ αἱ σάρκες. καὶ ὃ μὲν εἰπεῖν βούλεται τοῦτό ἐστιν, αὐτὸς δὲ οὐ κατὰ ἀπόφασιν τὸν λόγον προήνεγκεν, ἀλλὰ κατ' ἐρώτησιν, λέγων οἷον τὸ τοῦ ἀνθρώπου εἶδος ἀεὶ ἐν σαρξὶ γίνεται καὶ ὀστοῖς· ἆρ' οὖν ἐστι ταῦτα μέρη τοῦ εἴδους καὶ τοῦ λόγου; καὶ ἐρωτήσας ἀποκρίνεται λέγων ἢ οὔ, τουτέστιν ἢ οὐκ εἰσι μέρη αὐτοῦ οὐδαμῶς, ἀλλ' ὕλη εἰσίν· ἀλλὰ διὰ τὸ μὴ καὶ ἐπ' ἄλλων ἐπιγίνεσθαι τὸ τοῦ ἀνθρώπου εἶδος, ὥσπερ τὸ τοῦ κύκλου, ἀδυνατοῦμεν χωρίσαι. ἐπεὶ δὲ τοῦτο μέν, λέγω δὴ τὸ εἶδος τοῦ ἀνθρώπου, χωρίζειν τῇ ἐπινοίᾳ τῶν σαρκῶν καὶ ὀστῶν ἐνδέχεται, ἄδηλον δέ ἐστι πότε χωρισθήσεται (οὐ γάρ ἐστι δῆλον ὥσπερ ἐπὶ τοῦ κύκλου), ἀπορροῦσί τινες (λέγων τινὰς τοὺς Πυθαγορείους), καὶ ἐπὶ τοῦ κύκλου καὶ τοῦ τριγώνου καὶ ἐπὶ τῆς γραμμῆς, λέγοντες ὡς οὐ χρὴ ταῦτα γραμμαῖς ὁρίζεσθαι καὶ λέγειν 'κύκλος ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον,' ἢ 'τρίγωνον τὸ ὑπὸ τριῶν γραμμῶν', ἢ πάλιν 'γραμμή ἐστι μῆκος συνεχὲς ἐφ' ἓν διαστατόν'· ἡ γὰρ γραμμὴ τῷ τε κύκλῳ καὶ | τῷ τριγώνῳ ὡς ὕλη ὑπόκειται, ὁμοίως δὲ 481 καὶ τὸ συνεχὲς τῇ γραμμῇ, ὥσπερ καὶ αἱ σάρκες καὶ τὰ ὀστᾶ τῷ ἀνθρώπῳ καὶ ὁ χαλκὸς τῷ ἀνδριάντι· εἰ οὖν τὸν ἄνθρωπον διὰ τῶν ὀστῶν καὶ σαρκῶν μὴ ὁριζόμεθα διὰ τὸ εἶναι μέρη ὑλικά, οὐδ' ἄρα τὸν κύκλον καὶ τὸ τρίγωνον διὰ τῆς γραμμῆς ὁρίζεσθαι χρή, οὔτε τὴν γραμμὴν διὰ τοῦ συνεχοῦς, καὶ διὰ τοῦτο, λέγω δὴ τὸ λέγειν ὅτι ἡ γραμμὴ καὶ τὸ συνεχὲς ὡς ὕλη εἰσὶ τῷ τριγώνῳ καὶ τοῖς λοιποῖς, ἀνάγουσι ταῦτα πάντα εἰς τοὺς ἀριθμούς, διὰ τὸ ἀόλους αὐτοὺς εἶναι καὶ μὴ ἔχειν ὑποκείμενόν τι ὡς ὕλην, ἀλλ' αὐτοὺς καθ' αὑτοὺς εἶναι, καί φασιν ὅτι ὁ λόγος τῆς γραμμῆς ἐστιν ὁ τῆς δυάδος. ἐπειδὴ γὰρ δυάς ἐστι τὸ πρῶτον διαστατόν (εἰς πρώτην γὰρ τὴν δυάδα ἡ μονὰς διέστη, καὶ οὕτως εἰς τὴν τριάδα καὶ τοὺς ἑξῆς ἀριθμούς), εἴπερ ὁριζόμεθα, φασί, τὴν γραμμήν, οὐ χρὴ λέγειν

---

3 ὅμως—κωλύειν LF: καὶ ἐπὶ τούτων οὖν φησιν οὐδὲν κωλύειν A 6 post κἂν addendum εἰ coni. Bonitz 14 ὃ μὲν βούλεται εἰπεῖν, οἶμαι, τοῦτο LF 16 γίνεται] φαίνεται Metaph. 20 τὸ LF: om. A 21 δὴ LF: om. A 24 καὶ τοῦ τριγώνου καὶ S: καὶ τοῦ καιροῦ A: καὶ—τριγώνου om. LF 29 ὥσπερ LFS: in lac. om. A 34 εἰσὶ LF: εἰς A, qui post λοιποῖς add. εἰσίν

αὐτὴν ποσὸν ἐφ' ἓν διαστατόν, ἀλλὰ γραμμή ἐστι τὸ πρῶτον διαστατόν· τὸ γὰρ πρῶτον οὐχ ὡς ὕλη ἐστὶ καὶ ὑπόκειται τῇ γραμμῇ, ὥσπερ τὸ συνεχές. καὶ τῶν τὰς ἰδέας λεγόντων οἱ μέν φασιν ὅτι ἡ αὐτογραμμὴ ἤτοι τὸ εἶδος τῆς γραμμῆς, ὅπερ ἐστὶν ἕτερον παρὰ τὰς καθ' ἕκαστα γραμμάς, ἡ δυάς ἐστιν, οἱ δὲ λέγουσιν ὅτι οὐκ ἔστιν ἡ αὐτογραμμὴ ἡ δυάς, ἀλλ' αὐτογραμμή ἐστι τὸ εἶδος τῆς γραμμῆς. καί φασιν οἱ οὕτω λέγοντες ὅτι τινὰ μὲν τό τε εἶδος καὶ τὸ οὗ ἐστιν εἶδος ταὐτά ἐστιν, οἷον ὁ ἄνθρωπος καὶ ὁ Σωκράτης, οὗ ἐστιν εἶδος ὁ ἄνθρωπος, ταὐτόν εἰσι, καὶ ἡ αὐτοδυὰς καὶ ἥδε ἡ δυάς, ἧς ἐστιν εἶδος ἡ αὐτοδυάς, ταὐτά ἐστιν· ἐπὶ δὲ τῆς γραμμῆς τοῦτο οὐ συγχωροῦσιν, ἀλλὰ τὴν μὲν γραμμὴν τήνδε τὴν μερικὴν εἶναι γραμμὴν λέγουσιν, τὸ δὲ εἶδος αὐτῆς μὴ εἶναι γραμμὴν ἀλλὰ δυάδα. καὶ ἐνίσταται εὐθὺς πρὸς τὸν λέγοντα λόγον μὴ εἶναι γραμμὴν τὴν ὡς εἶδος γραμμήν, ἀλλὰ δυάδα, λέγων συμβαίνει δὴ ἓν τῶν πολλῶν εἶδος εἶναι, τουτέστιν ἐκ τούτου τοῦ λόγου συμβαίνει ἓν εἶδος εἰδικώτατον πολλῶν καὶ διαφερόντων τῷ εἴδει εἶναι· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ ὧν τὸ εἶδος φαίνεται ἕτερον. εἰ γὰρ ἡ αὐτὴ δυάς ἐστιν εἶδος τῶν κατὰ μέρος γραμμῶν, ἔστι δὲ ἡ αὐτὴ εἶδος καὶ τῶν κατὰ μέρος δυάδων, αἱ δὲ μερικαὶ γραμμαὶ καὶ δυάδες διαφέρουσι τῷ εἴδει, ἔστιν ἄρα ἓν εἶδος δύο διαφερόντων τῷ εἴδει. εἰ δὲ τοῦτο, διὰ τί οὐκ ἔσται ἡ αὐτὴ δυὰς εἶδος καὶ τῶν μερικῶν ἀνθρώπων καὶ ἵππων καὶ βοῶν καὶ ἁπλῶς ἁπάντων; τίς γὰρ ἡ ἀποκλήρωσις δυοῖν μὲν εἶναι εἶδος διαφερόντοιν τῷ εἴδει, τῶν δὲ ἄλλων μὴ εἶναι; ὥστε συμβαίνει ἐκ τούτου ἓν πάντων εἶναι εἶδος καὶ μὴ εἶναι πολλὰς ἰδέας, καὶ ἔσονται πάντα ἓν καὶ μιᾶς φύσεως οἵ τε ἄνθρωποι καὶ οἱ ἵπποι καὶ τὰ ἄλλα πάντα· ὧν γὰρ τὸ εἶδος ἕν, καὶ ἡ φύσις αὐτῶν μία.

p. 1036b21 Ὅτι μὲν οὖν ἔχει τινὰ ἀπορίαν τὰ περὶ τοὺς ὁρισμούς, καὶ διὰ τίνα αἰτίαν, εἴρηται. διὸ καὶ τὸ πάντα ἀνάγειν οὕτω. 482

Συμπεραίνεται τὰ πολλάκις ῥηθέντα καί φησιν ὅτι μὲν οὖν ἔχει τινὰ ἀπορίαν τὰ περὶ τοὺς ὁρισμούς, καὶ διὰ τίνα αἰτίαν· εἶπε γὰρ ὅτι διὰ τί ἐπὶ μὲν τῆς συλλαβῆς λαμβάνομεν τὰ στοιχεῖα ἐπὶ δὲ τοῦ κύκλου τὰ τμήματα οὐδαμῶς, καὶ ἄλλα ἄττα εἴρηται. τὸ δὲ πάντα ἀνάγειν καὶ ἰδέας ποιεῖν χωρίζοντας τὴν ὕλην περίεργον. ἐπ' ἐνίων γὰρ φανερὸν ὅτι τόδε ἐν τῷδέ ἐστιν, οἷον τὸ εἶδος ἐν τῇ ὕλῃ· τὸ γὰρ τῆς οἰκίας εἶδος ἐν λίθοις καὶ ξύλοις ἐστὶ καὶ τὸ τοῦ ἀνδριάντος ἐν χαλκῷ, ἀλλ' οὐ χωριστὰ αὐτὰ καθ' αὑτά. καὶ τοῦτο ὁμολογοῦσι καὶ οἱ τὰς ἰδέας τιθέμενοι. εἰ δὲ τοῦτο, τίνος ἕνεκα αὐτῶν μὲν ἰδέαι οὐκ εἰσιν; τὸ δ' ἴσως πρόσκειται ἢ διὰ φιλόσοφον εὐλάβειαν, ἢ ὅτι τοῦτο δείξει μετ' ὀλίγον, λέγω δὴ τὸ μὴ εἶναι ἰδέας, ἢ καὶ διὰ τὰ προδεδειγμένα ἐν τῷ μείζονι A καὶ τοῖς

---

13. 14 ἕν τε πολλῶν Metaph. 16 εἰ γὰρ ἡ LFS: ἡ γὰρ A εἶδος LFS: om. A 21 εἶναι M: οὖσαν ALF 31 ἄττα LFS: ἄττα A 36. 37 πρόσκειται ἢ LS: ἢ om. et post πρόσκειται add. εἰπεῖν A 37 δὴ L: δὲ A

ἐφεξῆς. εἰπὼν δὲ ὅτι ἔνια τόδε ἐν τῷδε ἔστιν, ἐπήγαγεν ἢ ὡδὶ ἔχοντα· ἡ γὰρ τοιαδὶ σύνθεσις τῶν λίθων καὶ τὸ ὡδί πως ἔχειν ἀλλὰ μὴ ὡδί ἐστιν ἡ οἰκία. ταῦτα εἰπὼν αἰτιᾶται τὸν νεώτερον Σωκράτην ὡς οὐ καλῶς ἐκ τῆς ἐπαγωγῆς κατασκευάζοντα τὸ εἶναι ἰδέας. νεώτερον δὲ Σωκράτην 15
5 ἢ τὸν Πλάτωνα λέγει, ἤ, ὃ καὶ μᾶλλον, τὸν ὁμώνυμον τῷ τοῦ Πλάτωνος διδασκάλῳ Σωκράτην. ποιεῖται γάρ τινα Σωκράτην ὁ Πλάτων προσδιαλεγόμενον μετὰ τοῦ γηραιοῦ Σωκράτους. οὗτος δὴ ὁ Σωκράτης ἀπό τινος ἀληθοῦς κατασκευάζειν ἐπειρᾶτο ὅτι ἔστιν ἄνθρωπος ἄνευ μερῶν ὑλικῶν· ἔλεγε γὰρ ὅτι ὥσπερ ἄνευ χαλκοῦ καὶ ἄνευ λίθου καὶ ξύλου δύναται εἶναι
10 κύκλος, οὕτως καὶ ἄνθρωπος χωρὶς σαρκῶν καὶ ὀστῶν. ἀλλ' ἐπὶ μὲν τοῦ 20
κύκλου τοῦτο ἀληθὲς ὅτι οὐκ ἔστιν ὡρισμένον τοῦτο τὸ ὑποκείμενον τῷ κύκλῳ, ἀλλὰ πέφυκε τὸ τοιοῦτον σχῆμα γίνεσθαι καὶ ἐν χρυσῷ καὶ ἐν ξύλῳ καὶ ἐν παντὶ στερεῷ σώματι. ἐπὶ δὲ τοῦ ἀνθρώπου οὐκ ἀληθές. ὥσπερ γὰρ οὐκ ἔστιν εὑρεῖν κύκλον ὅλως ἄνευ σώματος, κἂν εἰ ἐν παντὶ
15 στερεῷ καὶ οὐχ ὡρισμένῳ πέφυκε γίνεσθαι σώματι, οὕτως οὐδ' ἄνθρωπον 25
ἄνευ σαρκῶν καὶ ὀστῶν ἐν ὑποστάσει δύναταί τις εὑρεῖν, ἀλλὰ χωρίζει μὲν αὐτὸν τῇ ἐπινοίᾳ ἀπὸ τῶν κατὰ μέρος ἀνθρώπων, ὥσπερ καὶ τὸν κύκλον, ἐν ὑποστάσει δὲ ὡς ὁ Ἀλέξανδρος οὐ δύναται εἶναι, ἀλλ' εἰ καὶ τῶν καθ' ἕκαστα αὐτὸν ἀποσυλᾷ, ἀλλ' οὖν πάλιν μετὰ σαρκὸς καὶ ὀστῶν
20 περιφαντάζεται αὐτόν. οὐκ ἔστιν οὖν, φησίν, ὅμοιον τὸ ἐπὶ τοῦ κύκλου παρὰ τοῦ νεωτέρου Σωκράτους λεγόμενον καὶ τὸ ἐπὶ τοῦ ζῴου· αἰσθητὸν 30
γάρ τι τὸ ζῷον καὶ ἄνευ κινήσεως (λέγει δὲ κίνησιν τὴν ὕλην) καὶ ὑποκειμένου οὐκ ἔστιν ὁρίσασθαι, ἤτοι οὐκ ἔστι τὸ αἰσθητὸν ζῷον οἷον ἂν καὶ εἴη ἄνευ ὑποκειμένου καὶ ὕλης ὁρίσασθαι, εἴπερ τις ἀκριβῶς ὁρίζοιτο.
25 ἐπεὶ οὖν οὐκ ἔστιν αὐτοζῷον, ὡς δέδεικται καὶ δειχθήσεται, ἀλλὰ πᾶν
ζῷον ὕπαρ|ξιν ἔχον αἰσθητόν ἐστιν (τὸ γὰρ καθόλου ζῷον οὐκ ἐν ὑπάρξει, 483
ἀλλ' ἐπινοίᾳ), πῶς ἂν ζῷον αἰσθητὸν ἄνευ ὕλης ὁρισθείη; ἀλλὰ τὰ μὲν καθόλου χωρὶς ὕλης ὁρίζεται ἅτε ἐπινοίᾳ ὄντα, τὰ δὲ καθ' ἕκαστα οὐδαμῶς. δύναται διὰ τοῦ αἰσθητὸν γάρ τι τὸ ζῷον καὶ ἄνευ κινήσεως
30 οὐκ ἔστιν ὁρίσασθαι δηλοῦν τὸ πᾶν ζῷον αἰσθητόν ἐστι, πᾶν δὲ ζῷον 5
αἰσθητὸν οὐ δύναται ὁρισθῆναι ἤτοι ὕπαρξιν ἔχειν ἄνευ σαρκῶν καὶ ὀστῶν· οὐ δύναται οὖν ζῷον αἰσθητὸν ἄνευ τῶν μερῶν αὐτοῦ ἐχόντων πως ἢ εἶναι ἢ ὅλως ὁρισθῆναι. εἰπὼν δὲ διὸ ἄνευ τῶν μερῶν ἐχόντων πως, ἐξηγεῖται τίνος ἕνεκε τὸ πῶς προσέθηκε λέγων οὐ γὰρ πάντως τοῦ
35 ἀνθρώπου μέρος χείρ. οὐ γάρ, εἰ καὶ κατεξηραμμένη ἐστὶ καὶ ὅλως 10
ἀκίνητος, λεχθείη ἂν αὐτοῦ μέρος, ἀλλὰ τότε λεχθήσεται αὐτοῦ μέρος, ὅταν τὸ ἔργον αὐτῆς ἀποτελῇ. τὸ δ' ἔργον αὐτῆς ποιήσει καὶ μέρος τοῦ ἀνθρώπου λεχθήσεται, ὅταν κατὰ φύσιν ἔχῃ· ὅταν δὲ μὴ ἔχῃ ἀλλ' ἔστιν οἷον ἄψυχος, οὔτε τὸ ἔργον αὐτῆς ποιήσει οὔτε μέρος λεχθήσεται.

---

1 τόδε LS: τάδε A ὡδὶ ταδὶ ἔχοντα Metaph. 5 τῷ L: om. A 6 ὁ Πλάτων] cf. Theaet. p. 147 C Soph. p. 218 B Pol. p. 257 C 7 δὴ L: δὲ A 11 τοῦτο τὸ] τι L 17 τῇ ἐπινοίᾳ LF: ἡ ἐπίνοια A 20 αὐτόν LS: αὐτῶν A 24 ὑποκειμένου L: τοῦ ὑποκειμένου A 33 post διὸ addendum οὐδ' 37 ἀποτελέση LF

p. 1036b32 Περὶ δὲ τὰ μαθηματικά, διὰ τί οὔκ εἰσι μέρη οἱ λόγοι τῶν λόγων, οἷον τοῦ κύκλου τὰ ἡμικύκλια;

Εἰπὼν πρότερον ὅτι ἐπὶ μὲν τῷ τῆς συλλαβῆς λόγῳ λαμβάνεται τὰ στοιχεῖα διὰ τὸ μὴ εἶναι ὕλης μέρη ἀλλ' εἴδους, ἐπὶ δὲ τοῦ κύκλου οὐ λαμβάνεται τὰ ἡμικύκλια, ὅτι ἔνυλά εἰσι καὶ μέρη ὕλης, συνεῖδεν ἔνστασίν τινα δυναμένην πρὸς τὸν λόγον φέρεσθαι, ἣν παρατίθησι καὶ λύει. ἔφθημεν δὲ ἡμεῖς εἰπόντες ὅτε περὶ τῆς συλλαβῆς ἔλεγεν, ὅπως τὰ μὲν ἡμικύκλια ὕλης εἰσὶ μέρη, τὰ δὲ στοιχεῖα οὔκ εἰσιν· καὶ οἶμαι καὶ ταῦτα ἐκείνοις ἔδει συντάττεσθαι, καὶ ἴσως ὑπὸ μὲν Ἀριστοτέλους συντέτακται (ἐν οὐδεμιᾷ γὰρ τῶν ἄλλων αὐτοῦ πραγματειῶν εὑρίσκεται τοιοῦτόν τι πεποιηκὼς ὁποῖα ἐνταῦθα φαίνεται), ὑπὸ δὲ τοῦ Εὐδήμου κεχώρισται. ἔστι δὲ ἡ ἔνστασις τοιαύτη· διὰ τί οὔκ εἰσιν οἱ λόγοι τῶν ἡμικυκλίων ἤτοι τὰ ἡμικύκλια μέρη τοῦ λόγου τοῦ κύκλου; οὐ γάρ ἐστιν αἰσθητά, ὡς ὁ χαλκὸς καὶ τὰ ὀστᾶ καὶ αἱ σάρκες, ἵνα ὡς ὕλης μέρη ταῦτα λέγηται. εἰ δ' οὔκ εἰσιν ὑλικά, διὰ τί οὐκ ἐν τῷ τοῦ κύκλου λόγῳ ἐλήφθη; καὶ λύει ταύτην λέγων ἢ οὐδὲν διαφέρει; κἄν τε γὰρ αἰσθητά ἐστι τὰ ἡμικύκλια κἄν τε μὴ αἰσθητά, ὕλης εἰσὶ μέρη καὶ ὕλη· οὐ γὰρ πᾶσα ὕλη αἰσθητὴ οὐδὲ πάλιν μόνον τῶν αἰσθητῶν ἐστιν ὕλη, ἀλλ' ἔστι καὶ ὕλη μὴ αἰσθητή, ἔστι καὶ ὕλη μὴ αἰσθητῶν, καὶ οὐδὲν κωλύει μὴ αἰσθητῶν ὄντων τῶν τμημάτων εἶναι αὐτῶν ὕλην οὐκ αἰσθητήν. καὶ ἁπλῶς παντός, ὃ μή ἐστι τί ἦν εἶναι καὶ εἶδος αὐτὸ καθ' αὑτό, ἔστι τούτου ὕλη· ὥστε δῆλον ἐκ τούτου ὅτι καὶ ὁ καθόλου ἄνθρωπος ἐπειδὴ μή ἐστι καθ' αὑτόν, ἔστι καὶ αὐτοῦ ὕλη, ἀλλὰ νοητή· ἡ μὲν γὰρ τῶν ὑλῶν αἰσθητή ἐστιν ἡ δὲ νοητή. ὥστε δῆλον ὅτι τοῦ μὲν καθόλου κύκλου τὰ 484 ἡμικύκλια οὐκ ἔσται μέρη οὐδὲ ληφθήσεται ἐν τῷ λόγῳ αὐτοῦ· τῶν δὲ καθ' ἕκαστα ἔσται μέρη ταῦτα, ὥσπερ εἴρηται. πῶς δὲ τὰ ἡμικύκλια, κἂν νοητὰ ᾖ, ὕλη εἰσίν, εἴπομεν ἱκανῶς, ὅτι ἡ διάστασις, ἣν ὅτι ἔχει νοοῦμεν, ὕλης ἐστίν· τὸ γὰρ εἶδος ἀδιάστατον καὶ ἀμερές. τὴν δὲ διάστασιν ἔχει διὰ τὴν ἐν ᾗ ἐστιν ὕλην. ἐκ πάντων δὴ δῆλόν ἐστιν ὅτι ἡ μὲν ψυχὴ οὐσία ἐστὶν ἡ πρώτη, τουτέστι τὸ εἶδος, τὸ δὲ σῶμα ὕλη. περὶ δὲ τούτων ἀκριβῶς ἐρρέθη ἐν τῷ B τῶν Περὶ ψυχῆς, ὅτι τὸ μὲν σῶμά ἐστιν ὕλη, ἡ δὲ ψυχὴ εἶδος, ὁ δὲ καθόλου ἄνθρωπός ἐστι τὸ ζῷον τὸ ἐξ ἀμφοῖν, τοῦ τε καθόλου σώματος καὶ τῆς καθόλου ψυχῆς. Σωκράτης δὲ καὶ Κορίσκος, φησίν, εἰ μέν ἐστι καὶ ἡ ψυχὴ αὐτοῦ εἶδος αὐτοῦ καὶ εἰδοποιεῖται κατ' αὐτήν, ἔσται διττὸν ζῷον ἐκ ψυχῆς καὶ σώματος ἤτοι ἐξ εἴδους καὶ ὕλης· καὶ οἱ μὲν τῶν ἀνθρώπων ἐροῦσι τὸν Σωκράτην ὡς ψυχήν, τουτέστιν ὡς εἶδος, ἀφορῶντες εἰς τὴν ψυχὴν αὐτοῦ μόνην, οἱ δὲ ἐροῦσιν αὐτὸν ὡς τὸ

---

2 ἡμίκυκλα A 7 ὅτε LS: ὅτι A 25 μέρη—ἔσται (26) LFS: om. A 26 post εἴρηται inter lineam add. ὁ μὲν γὰρ καθόλου κύκλος ἤτοι τὸ εἶδος τοῦ κύκλου τὸ νοητὸν ἀμερὲς καὶ ἀδιάστατον, ὁ δὲ καθ' ἕκαστα κύκλος μέρη ἔχει καὶ διαστατόν ἐστιν A: om. LFS 29 δὴ L: δὲ A 31 ἐν τῷ B τῶν Περὶ ψυχῆς] c. 1. 2

σύνολον, ἤτοι ἐκ ψυχῆς καὶ σώματος, ἀποβλέποντες εἰς ἀμφότερα. εἰ δὲ ἁπλῶς ἡ ψυχὴ ἥδε καὶ σῶμα τόδε, τουτέστιν εἰ δέ τις τὴν τοῦ Σωκράτους ψυχὴν οὐκ εἶδος τοῦ Σωκράτους λέγει ἁπλῶς, ὡς ἔχει ἡ καθόλου ἀνθρώπειος ψυχὴ πρὸς τὸ καθόλου ἀνθρώπειον σῶμα, ἕξει καὶ ἡ καθ' ἕκαστα πρὸς τὸ καθ' ἕκαστον. εἰ μὲν οὖν ἐστιν εἶδος τοῦ καθόλου ἀνθρωπείου σώματος ἡ καθόλου ἀνθρώπειος ψυχή, ἔσται καὶ ἡ τοῦ Σωκράτους ψυχὴ πρὸς τὸ τοῦ Σωκράτους σῶμα εἶδος. εἰ δὲ μή ἐστιν ἡ καθόλου ἀνθρώπειος ψυχὴ τοῦ καθόλου ἀνθρωπείου σώματος εἶδος, οὐδ' ἡ καθ' ἕκαστα τοῦ καθ' ἕκαστα. ἐπεὶ δὲ τῆς φυσικῆς ἐστι τὸ περὶ τῶν ἐνύλων εἰδῶν θεωρεῖν, ἀλλ' οὐ τῆς προκειμένης πραγματείας, αὐτὸς δὲ δι' ὅλου τοῦ βιβλίου περὶ τῶν ἐνύλων εἰδῶν τὴν σκέψιν ἐποιήσατο, ὥσπερ ἑαυτῷ ἀπολογίαν ποριζόμενός φησι πότερον ἔστι τι παρὰ τὴν ὕλην τῶν τοιούτων οὐσιῶν ἄλλη, τουτέστι παρὰ τὴν ἔνυλον οὐσίαν ἤτοι παρὰ τὸ ἔνυλον εἶδος, καὶ δεῖ ζητεῖν τοιαύτην οὐσίαν οἷον ἀριθμούς (λέγει δὲ ἀριθμοὺς τὰς ἰδέας) ἤ τι τοιοῦτον· καί φησιν ὅτι ὕστερον ἐπισκεψόμεθα περὶ τούτου. καὶ ζητήσει καὶ ἐν τῷ παρόντι βιβλίῳ, ζητήσει δὲ 485 μάλιστα καὶ ἐν τῷ M. διὰ γὰρ τὸ γνῶναι, φησίν, εἴτε εἰσὶν εἴδη παρὰ τὰ ἔνυλα εἴτε μή, περὶ τῶν αἰσθητῶν οὐσιῶν (λέγων αἰσθητὰς οὐσίας τὰ ἔνυλα εἴδη), πειρώμεθα διορίζειν. οὐ γὰρ τῆς προκειμένης καὶ πρώτης φιλοσοφίας ἐστὶ τὸ περὶ τῶν τοιούτων θεωρεῖν, ἀλλὰ τῆς φυσικῆς καὶ δευτέρας φιλοσοφίας ἡ περὶ τὰς αἰσθητὰς οὐσίας. οὐ μόνον γὰρ τοῦ φυσικοῦ ἐστι τὸ περὶ τῆς ὕλης θεωρεῖν, ἀλλὰ καὶ περὶ τοῦ ἐνύλου εἴδους, καὶ μάλιστα, ὡς ἐν τῷ B τῆς Φυσικῆς ἀκροάσεως ἔγνωμεν. ἀλλὰ καὶ περὶ τῶν ὁρισμῶν, φησί, πῶς ἐστι μέρη τὰ ἐν τῷ ὁρισμῷ τοῦ ὁρισμοῦ, καὶ πῶς εἷς ἐστιν ὁ ὁρισμὸς ἐκ πλειόνων ὑπάρχων, ἐκ γὰρ γένους καὶ διαφορῶν (δῆλον γὰρ ὅτι ἐπειδὴ τὸ πρᾶγμα, οἷον τὸ ὁριστόν, ἕν ἐστι, καὶ αὐτὸς εἷς ἐστιν· πᾶν δὲ πρᾶγμα ἔχον μέρη δῆλον ὥς τινι ἑνοῦντι αὐτό ἐστιν ἕν), περὶ τούτων δὴ σκεπτέον ὕστερον, καὶ ἐρεῖ περὶ τούτων πρὸ πάντων, ὅσον οὔπω.

Ταῦτα εἰπὼν ἀνακεφαλαιοῦται τὰ διὰ πλειόνων λεχθέντα καί φησι τί μὲν οὖν ἐστι τὸ τί ἦν εἶναι, ὅτι ἐστὶν ἡ συγκατατεταγμένη τοῖς καθ' ἕκαστα οὐσία καὶ συνῃρημένως νοουμένη, καὶ πῶς αὐτὸ καθ' αὑτὸ τὸ τί ἦν εἶναι ἔστιν, εἴρηται καθόλου περὶ παντός, καὶ διὰ τί τῶν μὲν ὁ λόγος τοῦ τί ἦν εἶναι ἔχει τὰ μόρια τοῦ ὁριζομένου, ὡς ἐπὶ τῆς συλλαβῆς ἐλέγομεν, τῶν δ' οὔ, ὡς ἐπὶ τοῦ κύκλου· καὶ ὅτι ἐν τῷ τῆς οὐσίας καὶ τοῦ εἴδους λόγῳ τὰ ὡς ὕλη μόρια οὐκ ἐνέσται, ὡς ἐπὶ τοῦ ἀνθρώπου· οὐ γάρ εἰσιν ἐν τῷ λόγῳ αὐτοῦ σάρκες καὶ ὀστᾶ· οὐδὲ

---

3 post ἁπλῶς inter lineam add. ἀλλὰ ἁπλῶς λέγει Σωκράτην οὐ Κορίσκον A²: om. LFS 4 ἕξει LF: ἔχει A 5 τὸ καθ' ἕκαστον M: τὸν καθ' ἕκαστον ALF 12 τι] τις coni. Bonitz 18 ἔνυλα LF: ἔνυλα εἴδη A 21 ante ἡ add. ἔργον LF post οὐσίας addendum θεωρία coni. Bonitz 23 ἐν τῷ B τῆς Φυσ. ἀκρ.] c. 1. 2 27 τινι LFS: om. A 28 τούτων (ante πρὸ) LFS: τούτου A 29 post οὔπω aliquid excidisse coni. Bonitz: *ut quae hactenus indiscussa fuerint* S

γάρ εἰσιν ἐκείνης τῆς οὐσίας καὶ τοῦ εἴδους αἱ σάρκες καὶ τὰ ὀστᾶ μόρια, ἀλλὰ τῆς συνόλου, λέγω δὴ τῆς συθέτου τῆς ἐξ ὕλης καὶ εἴδους. τῆς δὲ συνθέτου οὐσίας τρόπον μέν τινα ἔστιν ὁρισμός, τρόπον δέ τινα οὐκ ἔστιν· κατὰ μὲν γὰρ τὴν ὕλην τὴν ἐν αὐτῇ, οἷον σαρκῶν καὶ ὀστῶν καὶ νεύρων, οὐκ ἔστιν (ἀόριστον γὰρ ἡ ὕλη, τῶν δ' ἀορίστων οὐκ ἔστιν ὁρισμός), κατὰ δὲ τὴν πρώτην οὐσίαν καὶ τὸ εἶδος ἔστιν. ἐπειδὴ γὰρ ὁ Σωκράτης ὑπὸ τὸν ἄνθρωπον, ἔστι δὲ τοῦ ἀνθρώπου ὁρισμός, ἔσται καὶ τοῦ Σωκράτους τρόπον τινά. εἰπὼν δὲ ὅτι κατὰ τὴν πρώτην οὐσίαν ἔστιν, τίς ἐστιν ἡ πρώτη οὐσία ἐπήγαγεν· ἡ οὐσία γάρ ἐστι τὸ εἶδος τὸ ἑνόν, ἴσον λέγων, οὐδὲν ἄλλο ἐστὶν ἡ πρώτη οὐσία ἢ τὸ εἶδος τὸ ἐνυπάρχον τῇ ὕλῃ. τὸ δὲ μεταξὺ τεθέν, οἷον ἀνθρώπου ὁ τῆς ψυχῆς λόγος, τοιοῦτον ἂν εἴη· τὸ εἶδος τοῦ ἀνθρώπου ὁ λόγος ἐστὶν τῆς ψυχῆς ἤτοι αὐτὴ ἡ ψυχή· ἐξ ἧς ψυχῆς καὶ τῆς ὕλης ἡ συνόλη καὶ σύνθετός ἐστιν οὐσία. παράδειγμα δὲ τοῦ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους παρέθετο τὴν κοιλότητα· ἐκ ταύτης γάρ, φησί, καὶ τῆς ῥινὸς ἡ σιμὴ ῥίς, καὶ ὅλως ἡ σιμότης ἐν τῇ ῥινί ἐστιν. εἰπὼν δὲ ἀνωτέρω ὅτι τῆς συνόλου οὐσίας εἴρηται ὅτι | ἔστι καὶ οὐκ ἔστιν ὁρισμὸς καὶ μεταξὺ πολλὰ ἐπεμβαλὼν 486
ἐπάγει νῦν τὴν αἰτίαν τοῦ ὅπως οὐκ ἔστι τῶν συνθέτων ὁρισμός, λέγων δὶς γὰρ ἐν τούτοις ὑπάρξει ἡ ῥίς, τουτέστιν εἴρηται ἡμῖν καὶ περὶ τῶν συνθέτων ὅτι εἰ ἔστι τούτων ὁρισμός, συμβαίνει δὶς τὸ αὐτὸ λέγειν. ἐν δὲ τῇ ῥινὶ τῇ σιμῇ ἢ τῷ Καλλίᾳ ἔνεστι καὶ ὕλη καὶ εἶδος· ἀλλ' εἰ τοῦτο, οὐκ ἂν εἴη ὁρισμὸς αὐτοῖν· συμβήσεται γὰρ δὶς τὸ αὐτὸ λέγειν. οὐ μόνον δὲ περὶ τούτων εἴρηται, ἀλλ' ὅτι καὶ ἕκαστον καὶ τὸ τί ἦν εἶναι αὐτῷ ἐπί τινων ταὐτόν ἐστιν, ὥσπερ ἐπὶ τῶν πρώτων οὐσιῶν, ἐξηγεῖται τίς ποτέ ἐστιν ἡ πρώτη οὐσία, φάσκων λέγω δὲ πρώτην ἢ μὴ λέγεται τῷ ἄλλο ἐν ἄλλῳ εἶναι ὑποκειμένῳ ὡς ὕλῃ. ὅταν μὲν γὰρ εἴπω λευκόν, εὐθὺς ἄλλο ἐν ἄλλῳ ὑποκειμένῳ λέγω, καὶ ἔστιν ὡς μὲν ὑποκείμενον καὶ ὕλη ὁ ἄνθρωπος ἢ τὸ ξύλον, ὡς δ' ἐν ὑποκειμένοις τούτοις τὸ λευκόν· ὅταν δ' εἴπω ἄνθρωπον, οὐκ ἄλλο ἐν ἄλλῳ λέγῳ, ἀλλὰ λέγω πρᾶγμα καθ' αὑτὸ δυνάμενον εἶναι καὶ ὄν. καὶ ἐπὶ μὲν τῶν οὐσιῶν ἕκαστον καὶ τὸ τί ἦν εἶναι ἑκάστῳ ἐστὶ ταὐτόν· ὅσα δὲ ὡς ὕλη ἢ ὡς συνειλημμένα τῇ ὕλῃ, οὐ ταὐτό. ὡς ἐν ὕλῃ δὲ ἢ ὡς ἐν συνειλημμένῳ τῇ ὕλῃ τῷ Σωκράτει ἐστὶ τὸ μουσικόν· ὡς ὕλη γὰρ ὑπόκειται ὁ Σωκράτης τῷ μουσικῷ. καὶ ἐπὶ τούτῳ ὁ Σωκράτης καὶ τὸ μουσικὸν καθ' αὑτὸ μὲν οὔκ εἰσι ταὐτόν, κατὰ συμβεβηκὸς δέ.

---

2 συνόλου F et fort. A: συνόδου LS 9 τίς ἐστιν ἡ πρώτη LFS: τί ἐστιν ἡ A 12 ἐστὶν LF: om. A 14 καὶ τοῦ εἴδους LS: om. A 24 ante ἐξηγεῖται addendum καὶ censet Bonitz 26 εἶναι MS: om. ALF εἶναι καὶ ὑποκειμένῳ e S coni. Bonitz 27 λευκόν LFS: ἄνθρωπον λευκόν A 32. 33 ὡς συνειλημμένα τῇ LF

p. 1037ᵇ8 Νῦν δὲ λέγωμεν πρῶτον ἐφ' ὅσον ἐν τοῖς ἀναλυτικοῖς περὶ ὁρισμῶν μὴ εἴρηται.

Εἰπὼν πρὸ ὀλίγου ὅτι "ἐπὶ δὲ τῶν ὁρισμῶν πῶς μέρη τὰ ἐν τῷ λόγῳ καὶ διὰ τί εἷς λόγος ὁρισμός (δῆλον γὰρ ὅτι τὸ πρᾶγμα ἕν, τὸ δὲ πρᾶγμα τινὶ ἕν, μέρη γε ἔχον) σκεπτέον ὕστερον," νῦν περὶ τούτου τὴν ζήτησιν ποιεῖται, λέγων ὅτι ἐπειδὴ ἐν τοῖς ἀναλυτικοῖς (λέγει δὲ ἀναλυτικὰ τὸ Β τῶν Ὑστέρων ἀναλυτικῶν), ἐπειδὴ οὖν ἐν ἐκείνοις τὴν περὶ ὁρισμῶν ζήτησιν οὐ τελείαν πεποιήκαμεν, ὅπερ ἐν ἐκείνοις μὴ εἴρηται, νῦν λέγωμεν· ἡ γὰρ ἐν ἐκείνοις ἀξία ζητηθῆναι ἀπορία καὶ μὴ ζητηθεῖσα, εἰ νῦν λεχθείη, προύργου καὶ μέγα συντελέσει τοῖς περὶ τῆς οὐσίας καὶ τοῦ εἴδους λόγοις. ἡ δὲ ἀπορία, φησίν, ἐστί, διὰ τί ποτε τὸ ὁριστόν, οὗ τὸν λόγον φαμὲν εἶναι ὁρισμόν, ἐκ πλειόνων ὂν ἕν ἐστιν ἀλλ' οὐ πολλά. οἷον ἔστω, φησί, τοῦ ἀνθρώπου ὁρισμὸς τὸ ζῷον δίπουν· διὰ τί δὴ τὸ ζῷον δίπουν ἕν ἐστι καὶ οὐ δύο, καὶ τί τὸ ταῦτα ἑνοῦν καὶ ἓν αὐτὰ ποιοῦν; ὁ μὲν γὰρ ἄνθρωπος, φησί, καὶ τὸ λευκὸν πολλά ἐστιν ὅταν ᾖ κεχωρισμένα ἀπ' ἀλλήλων καὶ μὴ ὑπάρχῃ τὸ λευκὸν ἐν | τῷ ἀνθρώπῳ μηδὲ μετέχῃ αὐτοῦ ὁ 487
ἄνθρωπος· ὅταν δὲ μετέχῃ τοῦ λευκοῦ καὶ ὑπάρχῃ ἐν αὐτῷ τὸ λευκὸν καὶ πάθῃ τι καὶ ποιωθῇ ὑπ' αὐτοῦ, τότε ἓν καὶ γίνεται καὶ ἔστιν ὁ λευκὸς ἄνθρωπος, οὐ καθ' αὑτὸ δὲ ἀλλ' ᾗ πεποίωται. ἐνταῦθα δ' οὐ μετέχει τὸ ζῷον τοῦ δίποδος, ἵνα ᾖ τὸ ζῷον δίπουν ἕν. εἰ δὲ λέγοι τις μετέχειν αὐτοῦ, μεθέξοι ἂν καὶ τοῦ πολύποδος καὶ ἔσονται ἅμα τὰ ἐναντία ἐν τῷ αὐτῷ· ὁμοίως εἰ μετέχοι τὸ ζῷον τοῦ θνητοῦ, μετέχοι ἂν καὶ τοῦ ἀθανάτου, ὅπερ ἀδύνατον τὸ τἀναντία ἐν τῷ αὐτῷ ὑπάρχειν. αἱ γὰρ διαφοραὶ ἐναντίαι, αἷς τὸ γένος διαφέρει, τουτέστιν αἷς διαιρεῖται τὸ γένος. ᾗ γένος ἐνταῦθα λέγοι ἂν τὸ εἶδος, καὶ εἴη ἂν λέγων ὅτι αἱ διαφοραί, αἷς τὰ εἴδη διαφέρει, ἐναντίαι εἰσίν. πολλαχοῦ δὲ αὐτῷ σύνηθες τὸ τὰ εἴδη γένη λέγειν. ἐνστὰς οὖν ὅτι τῶν διαφορῶν ἐναντίων οὐσῶν οὐ μετέχει τὰ γένη, λύει τοῦτο κατὰ ἀντιπαράστασιν, λέγων εἰ δὲ καὶ μετέχει, ὃ δὴ ἐλλιπῶς λίαν εἴρηται· ἐξ ὧν δὲ ἐπάγει τοῦτο, οἶμαι, βούλεται λέγειν. εἰ δέ τις φῇ 'ἀλλ' οὐ μετέχει τὸ γένος τῶν ἐναντίων διαφορῶν, ἀλλὰ τοῦ πεζοῦ καὶ τοῦ δίποδος καὶ τοῦ ἀπτέρου, ἅπερ οὔκ εἰσιν ἐναντία', εἰ δὴ τούτων μετέχει, ὁ αὐτὸς πάλιν λόγος, εἴπερ αἱ διαφοραὶ πλείους, διὰ τί ταῦθ' ἓν ἀλλ' οὐ πολλά; εἰ γὰρ εἰκός ἐστι λέγειν ὅτι διὰ τὸ ἐνυπάρχειν τῷ γένει εἰσὶν ἕν, συμβήσεται τῷ λόγῳ τούτῳ πᾶν τὸ ἐν ᾧ ὑπάρχει τινὰ μετὰ τῶν ἐνυπαρχόντων αὐτῷ εἶναι ἕν, καὶ ἔσται ὁ οἶνος καὶ ὁ ἀμφορεὺς ἕν, καὶ ὁ μέδιμνος καὶ οἱ πυροί. οὐ μόνον δὲ τοῦτο, ἀλλ' εἴπερ ἕν ἐστι τὸ ζῷον καὶ τὸ πεζὸν καὶ τὸ δίπουν καὶ τὸ ἄπτερον, διὰ τὸ ἐνυπάρχειν αὐτὰ τῷ ζῴῳ, ἔσται τὸ ζῷον ἓν καὶ μετὰ πάντων τῶν ἄλλων

---

1 λέγωμεν LFS: λέγω A 2 ὁρισμοῦ Metaph. μὴ LFS: om. A 3 πρὸ ὀλίγου] Metaph. p. 1037ᵃ17 6 δὲ LF: δ' ἂν A 15 τὸ λευκὸν LF: τὸ om. A 26 εἴδη M: om. AL 38 πάντων] πασῶν coni. Bonitz

διαφορῶν, καὶ οὕτως ἔσται πάντα ἕν. ἵνα δὲ μή τις εἴπῃ ὅτι 'ἀλλ' οὐκ ἔσται τὸ ζῷον καὶ πεζὸν καὶ δίπουν ἕν', ἐπήγαγε τὸ δεῖ δέ γε ἓν εἶναι ὅσα ἐν τῷ ὁρισμῷ. ὁ γὰρ ὁρισμὸς λόγος τίς ἐστιν εἷς καὶ μιᾶς οὐσίας. εἰ δὲ ἧς ὁ ὁρισμός ἐστιν ἕν τί ἐστι καὶ τόδε τι σημαίνει, ὥσπερ λέγομεν (τὸ γὰρ τί ἦν εἶναι καὶ ἡ συγκατατεταγμένη φύσις ἑκάστοις, ἧς ἐστιν ὁ ὁρισμός, τόδε τί ἐστι καὶ ἕν), εἰ δὲ τοῦτο, καὶ ὁ λόγος αὐτῆς εἷς ἐστιν· ἀλλ' εἰ τοῦτο, δεῖ καὶ τὰ ἐν τῷ λόγῳ ἓν εἶναι. ἀλλὰ δεῖ πάλιν μικρόν τι παρεκβάντας ὑπομνῆσαι ἡμᾶς περὶ τοῦ τί ἦν εἶναι καὶ τοῦ καθόλου εἴδους. ἰστέον δὴ ὅτι τὸ τί ἦν εἶναι καὶ τὸ εἶδος ταὐτόν ἐστι, πλὴν οὐχ ὡς νοεῖται καὶ ἔστιν, ἀλλὰ νοεῖται μὲν ἄλλο τι παρὰ τὰ ὑπ' αὐτὸ ἄτομα, ἐν αὐτοῖς δέ ἐστι κατατεταγμένον καὶ οὐδέποτε χωρὶς αὐτῶν ἐστιν, ἢ ὅλως χωρὶς ὕλης· ὁ δὲ ὁρισμός ἐστιν ὁ λόγος τοῦ τί ἦν εἶναι καὶ τοῦ εἴδους. καὶ περὶ μὲν τούτων ταῦτα προϋπομνησθῆναι ἡμᾶς χρή· αὐτὸς δὲ οὕτωσὶ τὴν ἀπορίαν θεὶς καὶ τὴν λύσιν ἀσαφῶς καὶ λίαν μεμελανωμένως ἐπαγαγών, διὰ τὸ καὶ | ἐν τῷ δευτέρῳ τῶν Περὶ ψυχῆς ταύτην 188 λελυκέναι, μετὰ πολλὰ καὶ ἐνταῦθα σαφῶς λύσας οὐ δοκεῖ λελυκέναι. ὅμως ὅπως καὶ ἐνταῦθα ταύτην λύει, κἂν μὴ δοκῇ, τὴν λέξιν ἐπερχόμενοι λέξομεν. οὐδὲν δὲ ἴσως χεῖρόν ἐστι καὶ νῦν διὰ βραχέος ὑπομνῆσαι τὴν ταύτης λύσιν· ἴσμεν γὰρ ὡς οὐδεὶς εὖ ἔχων ζητήσειε διὰ τί ἕν ἐστιν ὅ τε χαλκὸς καὶ ἡ περὶ αὐτὸν σφαῖρα· ἡ γὰρ ἐν τῷ χαλκῷ σφαῖρα οὐδὲν ἄλλο ἐστὶν ἀλλ' ἢ στρογγύλος χαλκός, καὶ ἔστιν ὁ μὲν χαλκὸς ὡς ὕλη, τὸ δὲ στρογγύλον ὡς εἶδος, πέφυκε δὲ τὸ εἶδος καὶ ἡ ὕλη ἓν εἶναι μηδενὸς συνεχίζοντος αὐτά· τοῦτο γάρ ἐστι τῇ ὕλῃ τὸ ὕλῃ εἶναι καὶ τῷ εἴδει τὸ εἴδει, ἵνα ὅταν ᾖ ἡ ὕλη καὶ τὸ εἶδος, ὃ πέφυκε δέχεσθαι, εὐθὺς ἑνοῦσθαί τε ᾖ καὶ ἓν εἶναι. ὡς οὖν ἐπὶ τούτων ἔχει, οὕτω καὶ ἐπὶ τῶν φυσικῶν, λέγω δὴ γένους καὶ διαφορῶν· εἴρηκε γὰρ ἐν τῇ Ἀποδεικτικῇ, εἴ τι μέμνημαι, ὅτι πᾶσαι αἱ πρὸ τῆς τελευταίας διαφορᾶς διαφοραὶ μετὰ τοῦ γένους ὕλη ἀναλογοῦσιν, εἶδος δέ ἐστιν ἡ τελευταία διαφορά, οἷον τὸ ζῷον λογικὸν ὕλη ἐστὶ τοῦ ἀνθρωπείου εἴδους, ὁμοίως καὶ τὸ ζῷον λογικὸν θνητόν, τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν τὸ εἶδος· ὥστε ἐπειδὴ τὸ ζῷον λογικὸν θνητὸν ὕλη ἐστί, τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν εἶδος, πέφυκε δὲ τὸ εἶδος καὶ ἡ ὕλη ἓν εἶναι, διὰ τοῦτο ταῦτα ἕν εἰσιν. ὅτι δὲ ἡ τελευταία διαφορά ἐστι τὸ εἶδος, τὰ δὲ πρὸ αὐτῆς ὕλη, καὶ αὐτὸς μετ' ὀλίγον ἐρεῖ. παραπλησίως δὲ τούτοις καὶ τὸ μὲν ζῷον πεζὸν ὕλη ἐστί, τὸ δὲ δίπουν εἶδος. ἀλλ' ἡ μὲν λύσις, ἥν, ὡς εἴπομεν, ἐπάξει μέν, οὐ δοκεῖ δέ, αὕτη ἐστίν. ἀλλ' ἐπὶ τὰ ἑξῆς ἰτέον.

---

4 ἧς LS: εἷς AF 11 κατατεταγμένον LS: κατεσταγμένον A 15 ἐν τῷ δευτέρῳ τῶν Περὶ ψυχῆς] c. 2 23 συνεχίζοντος L: συνηχίζοντος A 25 τε ᾖ Brandis Bonitz: εἶναι A: om. L 26 ἐν τῇ Ἀποδεικτικῇ] fort. respicit Anal. post. B 13 30 τὸ δὲ—τὸ δὲ (31) LF, qui tamen post prius τὸ δὲ addunt ζῷον λογικὸν θνητόν: om. A: τὸ δὲ—ἐπειδὴ habet etiam S, omissis quae sequuntur τὸ ζῷον—εἶδος et δὲ post πέφυκε 32 ταῦτα LS: om. A

p. 1037ᵇ27 Δεῖ δὲ σκοπεῖν πρῶτον περὶ τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν.

Θεὶς τὴν ἀπορίαν τρέπεται ἐπὶ τὴν λύσιν. λέγει οὖν ὡς δεῖ δὲ σκοπεῖν πρῶτον περὶ τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν, τουτέστιν ὅπως οἱ ἐκ διαιρέσεως ὁρισμοὶ γίνονται. οὐδὲν γάρ, φησίν, ἐν τῷ ὁρισμῷ πλὴν τὸ πρῶτον λεγόμενον γένος καὶ ἡ διαφορά. δεῖ δὲ προσυπακούειν τοῦ τελευταία, ἵνα ᾖ λέγων ὅτι ἐν τῷ ὁρισμῷ ἤτοι ὁ ὁρισμὸς καὶ ἔτι τὸ ὑπ' αὐτοῦ δηλούμενον εἶδος οὐδὲν ἕτερόν ἐστιν ἢ τὸ πρῶτον γένος καὶ ἡ τελευταία διαφορά. οἷον ὁ ὡς εἶδος ἄνθρωπος τὸ ζῷόν ἐστι καὶ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, τὰ δ' ἄλλα τὰ τῷ ζῴῳ ἐχόμενα (ἔστι δὲ ταῦτα τὸ λογικὸν ζῷον καὶ τὸ θνητόν), γένη εἰσίν. εἰ δὲ τὰ γένη ὕλη εἰσὶν ἢ ἀνάλογόν γε ὕλη, τὸ μὲν ζῷον λογικὸν θνητόν εἰσιν ὕλη καὶ γένος, τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν εἶδος. καὶ ὅρα ὅπως διὰ τούτων αἰνιγματωδῶς τὴν τῆς ἀπορίας εἴρηκε λύσιν. εἰ γὰρ ἡ ὕλη καὶ τὸ εἶδος, ὅτε εἰσίν, ὑφ' αὐτῶν πεφύκασιν ἑνοῦσθαι καὶ ἓν | γίνεσθαι, ἔστι δὲ ὕλη μὲν τὸ 489
ζῷον λογικὸν θνητὸν καὶ γένος, εἶδος δὲ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, δῆλόν ἐστιν ὅπως ἓν ἐστι τὸ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν καὶ τὸ ζῷον πεζὸν δίπουν, ἀλλ' οὐ πολλά. καὶ ὅρα τὴν τοῦ Ἀριστοτέλους ἀρχίνοιαν, ὅπως ἐν ταὐτῷ καὶ τὴν λύσιν ἡμῖν τῆς ἀπορίας σκιωδῶς ἐμφαίνει καὶ τὴν διαίρεσιν τῶν γενῶν καὶ διαφορῶν ὅπως χρὴ ποιεῖσθαι ἀπαγγέλλει καὶ θαυμαστῶς ἀνακαλύπτει. εἰπὼν δὲ ὅτι τὸ εἶδος οὐκ ἄλλο τι ἐστὶν ἀλλ' ἢ τὸ πρῶτον γένος (πρῶτον γένος λέγων τὸ ζῷον, ἔστω γὰρ ἐπὶ τούτου ὁ λόγος, ὡς πρὸς ἀντιδιαστολὴν τοῦ λογικοῦ ζῴου καὶ τοῦ λογικοῦ καὶ θνητοῦ ζῴου· καὶ ταῦτα γὰρ γένη ἐστὶν ἀλλ' ἐχόμενα καὶ μετὰ τὸ πρῶτον), τοῦτο δὴ εἰπὼν ἐπὶ παραδείγματος σαφηνίζει τὸ λεγόμενον, οἷον τὸ πρῶτον γένος ἐστὶ τὸ ζῷον, τὸ δ' ἐχόμενον καὶ ὡς εἰπεῖν μετὰ τοῦτο τὸ ζῷον δίπουν, τὸ δ' ἔτι μετὰ ταῦτά ἐστι τὸ ζῷον δίπουν ἄπτερον· εἰπὼν δὲ τὰ τρία τὸ πεζὸν καὶ δίπουν καὶ ἄπτερον λέγει ὁμοίως δὲ κἂν διὰ πλειόνων κἂν δι' ἐλαττόνων λέγηται, ἢ καὶ ὅλως διὰ δυοῖν· τουτέστιν εἰ μέν εἰσι πλείονα τὰ λεγόμενα, τὸ πρῶτον γένος μετὰ τῆς τελευταίας διαφορᾶς ἐστι τὸ εἶδος, εἰ δὲ δύο, καὶ οὕτω τὸ μὲν ἔσται γένος τὸ δὲ διαφορὰ καὶ εἶδος· οἷον εἰ ἔστι τὸ ζῷον δίπουν, τὸ μὲν ζῷον ἔσται γένος, τὸ δὲ δίπουν διαφορὰ καὶ ὅλως εἶδος. ταῦτα εἰπὼν ἐπαναλαμβάνει τὸν λόγον καί φησιν εἰ οὖν τὸ γένος ἁπλῶς μή ἐστι παρὰ τὰ ὡς γένους εἴδη (τουτέστιν εἰ τὸ ζῷον μή ἐστι παρὰ τὰ εἴδη αὐτοῦ αὐτὸ καθ' αὑτὸ καὶ χωριστόν, ὡς οἱ τὰς ἰδέας τιθέμενοι ἔλεγον, ἀλλ' ἐν αὐτοῖς ἐστιν, ὡς οὕτος καὶ ἡ ἀλήθεια βούλεται), ἢ κἂν χωριστόν

---

1 δ' ἐπισκοπεῖν Metaph. vulg. 3 Θεὶς — ὁρισμῶν (4) LFS: om. A 9 ὁ ὡς LS: ὁ εἰς A 10 τὰ τῷ L: τὰ om. A 16 καὶ γένος LS: om. A 17 δῆλον — δεκτικὸν (18) LS: om. A 27 ἔτι LS: ὅτι A 31 μετὰ LFS: καὶ μετὰ A 32 εἰ ἔστι LFS: εἰ ἕτερόν ἐστι A

ἐστιν, ὅμως ὡς ὕλη ἐστίν (καὶ σαφηνίζει αὐτὸ ἐπὶ παραδείγματος, ὅπως ὡς ὕλη τὸ γένος ἔστιν· ἡ μὲν γὰρ φωνὴ γένος ἐστὶ καὶ ὕλη, αἱ δὲ διαφοραὶ μετ' αὐτῆς εἰσι τὰ εἴδη, εἴδη δὲ φωνῆς τὰ ὀνόματα καὶ τὰ ῥήματα καὶ τὰ στοιχεῖα, τό τε ἄλφα καὶ βῆτα καὶ τὰ ἑξῆς· καὶ γὰρ καὶ αὐτὰ εἴδη εἰσὶ τῆς φωνῆς ὡς ἐξ ὕλης αὐτῆς καὶ διαφορᾶς ὄντα· κατὰ διαφορὰς γάρ τινας καὶ αὐτὰ ἐκφωνεῖται), εἰ δὴ τὸ γένος ὡς ὕλη ἐστίν, εἶδος δὲ ἡ διαφορά, φανερὸν ἄρα ὅτι ὁ ὁρισμός ἐστιν ὁ ἐκ τῶν διαφορῶν λόγος. εἰ δὲ ἡ ὕλη καὶ τὸ εἶδος αὐτοφυῶς ἕν εἰσιν, ἔστι δ' ὁ λόγος καὶ ὁ ὁρισμὸς γένος καὶ διαφορὰ ἤτοι ὕλη καὶ εἶδος, δῆλον ἄρα ἡμῖν ἐστιν ὅπως τὸ ζῷον πεζὸν δίπουν ἕν ἐστι καὶ οὐ πολλά. οὕτως δὴ τὴν ἀπορίαν λύσας, καὶ ὡς συμπέρασμα, ὡς οἶμαι, τῆς λύσεως ἐπαγαγὼν τὸ φανερὸν ὅτι ὁ ὁρισμός ἐστιν ὁ ἐκ τῶν διαφορῶν λόγος, ὡς εἰ ἔλεγεν ὅτι φανερόν ἐστιν ὅπως τὸ ζῷον πεζὸν δίπουν ἕν ἐστιν, ὅτι γένος ἐστὶ καὶ διαφορὰ ἤτοι ὕλη καὶ εἶδος, τρέπεται καὶ ἐπὶ τὴν διδασκαλίαν τοῦ ὅπως δεῖ τὰς τῶν γενῶν καὶ | διαφορῶν ποιεῖσθαι διαιρέσεις, λέγων καὶ δεῖ διαιρεῖσθαι τὴν τῆς διαφορᾶς διαφοράν, ἴσον λέγων τῷ ὅτι εἰ μέλλοιμεν μετὰ τοῦ πρώτου γένους καὶ τῆς τελευταίας διαφορᾶς τοὺς ὅρους ποιεῖσθαι, δεῖ διαιρεῖν τὰς διαφορὰς εἰς τὰς οἰκείας αὐτῶν διαφοράς, ᾗ διαφοραί εἰσιν. οἷον εἰ τὸ ζῷον διαιρεῖται εἰς ὑπόπουν καὶ ἄπουν, τὸ ζῷον ὑπόπουν δεῖ διαιρεῖν εἰς τὴν οἰκείαν διαφοράν, ᾗ ὑπόπουν ἐστί, καὶ μὴ λέγειν ὡς τοῦ ὑπόποδος τὸ μὲν πτερωτόν ἐστι τὸ δὲ ἄπτερον, εἰ μέλλομεν καλῶς διαιρεῖν· οὐ γάρ εἰσι τοῦ ὑπόποδος αὗται διαφοραί. ἀλλὰ δεῖ διαιρεῖν αὐτὸ ᾗ ὑπόπουν ἐστὶ καὶ λέγειν ὅτι τοῦ ὑπόποδος τὸ μέν ἐστι σχιζόπουν τὸ δὲ ἀσχιστόπουν· αὗται γάρ εἰσιν αἱ ποδὸς διαφοραί· ἡ γὰρ σχιζοποδία ποδότης τίς ἐστιν, ὡς καὶ τὸ λογικὸν ζῷον ζῷόν τι. ὅμως διὰ τὸ ἀδυνατεῖν ἐνίους καὶ μὴ δυναμένους συνορᾶν τὰς ἑκάστου διαφοράς, ποιοῦσι τοῦτο, λέγω δὴ τὸ διαιρεῖν αὐτὰ εἰς τὰς μὴ οἰκείας. δεῖ δὴ τὸ ὑπόπουν, κἂν εἴ τι ἄλλο ἐστί, διαιρεῖν εἰς τὰς οἰκείας, μέχρις ἂν ἔλθῃ εἴς τινα ἀδιάφορα, ἅπερ μηκέτι δύναται τέμνεσθαι εἰς ἑτέρας διαφοράς. καὶ τότε ἔσονται τοσαῦτα εἴδη ποδὸς ὅσαιπερ αἱ τελευταῖαι διαφοραὶ τοῦ ὑπόποδος καὶ μὴ τεμνόμεναι εἰς ἄλλας. εἰ γάρ, ὡς πολλάκις εἴρηται, τὸ γένος μετὰ τῆς τελευταίας διαφορᾶς ἐστι τὸ εἶδος, δῆλον ὅτι ὅσαι αἱ τελευταῖαι διαφοραὶ τυγχάνουσι, καὶ τὰ ὑπόποδα ζῷα ἴσα ἔσται αὐταῖς· καὶ εἰ ταῦτα οὕτως ἔχει, φανερὸν ὅτι ἡ τελευταία διαφορά ἐστιν ἡ τοῦ πράγματος οὐσία καὶ ὁ ὁρισμός, καὶ ταύτην μόνην χρὴ καὶ τὸ γένος εἰς τοὺς ὁρισμοὺς παραλαμβάνειν, εἰ μὴ μέλλοιμεν τὸ αὐτὸ πλεονάκις λέγειν καὶ ἀδολεσχεῖν. εἰ γὰρ τὰ μερικώτερα συνεισφέρει τὰ καθολικώτερα καὶ ταῦτα τοῖς μερικωτέροις ἕπεται, ὁ εἰπὼν νοῦ καὶ ἐπιστήμης δεκτικὸν καὶ λογικὸν καὶ θνητὸν λέγει, ὥσπερ ὁ εἰπὼν ἄνθρωπον καὶ ζῷον· εἰ δὲ τοῦτο, οὐ χρὴ λέγειν ὅτι ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν·

---

5 εἰσὶ LFS: om. A διαφορῶν ὄντα LF 9 δῆλον LF: δῆλα A 14 τρέπεται LFS: τρέχεται A[1]: ἔρχεται A[2] 16 τῷ LF: τὸ A 22 δεῖ LFS: om. A 33 αὐταῖς F: αὐτοῖς A: αὐτῆς L 38 καὶ λογικὸν LFS: om. A

συμβαίνει γὰρ λέγειν ὅτι ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπι- 25
στήμης δεκτικὸν λογικὸν θνητόν. καὶ πάλιν εἴ τις ὁριζόμενος λέγει ζῷον
ὑπόπουν δίπουν, ἐπειδὴ ἔνεστιν ἐν τῷ δίποδι τὸ ὑπόπουν, ἔδει εἰπεῖν
μόνον ζῷον δίπουν· προσθεὶς δὲ καὶ τὸ ὑπόπουν οὐκ ἄλλο τι ἔφησεν ἢ
5 ζῷον πόδας ἔχον δύο πόδας ἔχον. ἀλλὰ κἂν τὸ δίπουν διέλῃς, εἰς τὸ
σχιζόπουν φέρε καὶ ἄσχιστον, καὶ ἐρεῖς ζῷον ὑπόπουν δίπουν σχιζόπουν,
τοῦτο λέγεις ὅτι ζῷον πόδας ἔχον, δύο πόδας ἔχον, σχιστοὺς πόδας ἔχον·
καὶ ὁσάκις ἂν τὴν διαφορὰν τῶν διαφορῶν ἐρεῖ, τοσαυτάκις συμβαίνει καὶ 30
ὑπόπουν λέγειν καὶ δίπουν καὶ τὰ λοιπά.

10 p. 1038a25 Ἐὰν μὲν δὴ διαφορᾶς διαφορὰ γένηται, μία ἔσται ἡ τελευταία τὸ εἶδος καὶ ἡ οὐσία.

Εἰπὼν ὅτι τὸ γένος μετὰ τῆς τελευταίας διαφορᾶς ἐστι τὸ εἶδος καὶ
ἡ οὐσία, εἴ τις καλῶς διαιρεῖ, πάλιν λέγει ὡς εἰ γένηται | τῆς διαφορᾶς 491
διαφορά, τουτέστιν εἰ τὴν διαφοράν τις ᾗ διαφορὰ διαιροίη καὶ εἰς τὰς
15 οἰκείας αὐτῇ διαφοράς, ἡ τελευταία διαφορά, μετὰ τοῦ γένους δηλαδή, ἔσται
τὸ εἶδος καὶ ἡ οὐσία· εἰ δὲ μὴ καθ' αὑτὸ μηδ' εἰς τὰς οἰκείας διαφορὰς
διαιρῇ αὐτὴν ἀλλὰ κατὰ συμβεβηκός, ὥστε λέγειν ὅτι τοῦ ὑπόποδος τὸ
μέν ἐστι λευκόν, τὸ δὲ μέλαν, τοσαῦται ἔσονται αἱ διαφοραὶ αἱ παραληφ- 5
θησόμεναι εἰς τὸν τοῦ εἴδους καὶ τὸν τῆς οὐσίας λόγον, ὅσαι ἂν ὦσιν αἱ
20 τομαί. ἔστω δὲ τὸ λεγόμενον σαφὲς ὧδε· εἴ τις τὸν ἄνθρωπον ὁρίσαι
βουληθεὶς λέγει ὡς ὁ ἄνθρωπος ἢ ὑπόπουν ἐστὶν ἢ ἄπουν, ἀλλὰ μὴν οὐκ
ἄπουν, ὑπόπουν ἄρα· καὶ πάλιν τοῦ ὑπόποδος τὸ μέν ἐστι πτερωτὸν τὸ δ'
ἄπτερον, ἀλλὰ μὴν ὁ ἄνθρωπος οὐ πτερωτόν, ἄπτερον ἄρα· πάλιν τοῦ 10
ἀπτέρου τὸ μέν ἐστι δίπουν, τὸ δὲ πολύπουν, ἀλλὰ μὴν ὁ ἄνθρωπος οὐ
25 πολύπουν, δίπουν ἄρα· ὁ ἄνθρωπος ἄρα ἐστὶ ζῷον ὑπόπουν ἄπτερον δί-
πουν· φανερὸν οὖν ὅτι τριῶν οὐσῶν τῶν διαιρέσεων καὶ τομῶν τοσαῦται καὶ
εἰς τὸν ὁρισμὸν παρελήφθησαν διαφοραί. ὥστε καὶ τὸ εἰς τὸν τοῦ ἀν-
θρώπου ὁρισμὸν παραληφθῆναι τὸ λογικὸν καὶ θνητὸν καὶ τὸ νοῦ καὶ ἐπι- 15
στήμης δεκτικὸν ἐκ τοιαύτης γέγονεν αἰτίας. εἰ δὲ καλῶς ἐγένετο ἡ διαί-
30 ρεσις, ἤρκει τὸ ζῷον καὶ τὸ τοῦ νοῦ δεκτικόν. τὸ δὲ τὸν ὁρισμὸν ἐκ τοῦ
γένους εἶναι καὶ τῆς τελευταίας διαφορᾶς δῆλον ἂν εἴη, φησί, καὶ ἄν τις
μετατάξῃ τοὺς τοιούτους ὁρισμούς, οἷον τὸν τοῦ ἀνθρώπου λέγων ζῷον
δίπουν ὑπόπουν· περίεργον γὰρ τὸ ὑπόπουν τοῦ δίποδος λεχθέντος· ἐν γὰρ
τῷ δίποδι ἔνεστι τὸ ὑπόπουν. ἵνα δὲ μή τις λέγῃ ὅτι διὰ τὸ δεῖν τάξιν
35 τινὰ ἔχειν τὰ ἐν τῷ ὁρισμῷ καὶ τὸ μὲν δεῖν πρῶτον τάττεσθαι τὸ δὲ 20
μετὰ τοῦτο καὶ ἑξῆς, ἐπὶ τούτῳ συνέβη τὸ περίεργον, ἐπήγαγε τὸ τάξις
δ' οὐκ ἔστιν ἐν τῇ οὐσίᾳ, οὐδὲ διὰ τοῦτο συνέβη τὸ ἄλογον· πῶς
γὰρ δεῖ νοῆσαι τὸ μὲν ὕστερον τὸ δὲ πρῶτον; ἐπειδὴ γὰρ τὰ πρὸ

---

3 ἐπειδὴ—ὑπόπουν LFS: om. A 8 διαφορὰν] διαίρεσιν LF ἐρεῖ] sic ALF: *dixeris* S: εἴπῃς coni. Bonitz 10 γίγνηται Metaph. vulg. 13 τῆς διαφορᾶς LF: τῆς om. A 14 ᾗ διαφορὰν LF 23 πάλιν LFS: πᾶσι A 26 τῶν διαιρέσεων LF; τῶν om. A 37 ἄλογον LF: ἄνευ λόγου A

τῆς τελευταίας διαφορᾶς ὕλη ἐστίν, ἐν δὲ τῇ ὕλῃ ἡ ὕλη οὐκ ἔστι τὸ πρότερον καὶ τὸ ὕστερον (οὐδὲ γὰρ ἐν τῷ χαλκῷ τῷ ἐν τῷ ἀνδριάντι τὸ μὲν αὐτοῦ χαλκὸς καὶ ἡ ὕλη πρότερόν ἐστι τὸ δὲ ὕστερον), πῶς ἔξεστι λέγειν τῶν ἐν τῷ ὅρῳ τὸ μὲν πρῶτον τὸ δ' εὐθὺς μετ' ἐκεῖνο. οὐκ ἐπὶ τούτῳ δὴ συνέβη τὸ ἄλογον, ἀλλ' ὅτι ἥρκει ἡ τελευταία διαφορὰ μετὰ τοῦ γένους εἰς τὸ εἶδος καὶ τὴν οὐσίαν, καὶ οὐκ ἔδει τὸ ὑπόπουν παραλήψεσθαι. καὶ συμπεραίνεται λοιπὸν λέγων περὶ μὲν οὖν τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν τοσαῦτα εἰρήσθω τὴν πρώτην (ἐρεῖ γὰρ πάλιν περὶ αὐτῶν), ὁποῖοί τινές εἰσιν.

p. 1038b1 Ἐπεὶ δὲ περὶ τῆς οὐσίας ἡ σκέψις ἐστί, πάλιν ἐπανέλθωμεν.

Τὸ προκείμενόν ἐστι δεῖξαι ὡς οὐδὲν τῶν καθόλου οὐσία ἐστίν· οὔτε γὰρ ὁ καθόλου ἄνθρωπος ἢ ὁ καθόλου ἵππος, οὔτε ἄλλο οὐδέν· ἀλλ' ἕκαστον αὐτῶν διανοίας ἀπόμαξίς ἐστιν ἀπὸ τῶν καθ' ἕκαστα | καὶ 492
πρώτως καὶ μάλιστα λεγομένων οὐσιῶν καὶ ὁμοίωμα. καὶ λέγει ὅτι ἐπειδὴ περὶ τῆς οὐσίας καὶ τοῦ κυρίως ὄντος (τούτου γὰρ καὶ τὰ αἴτια ζητεῖται) ἡ σκέψις ἐστί, πάλιν ἐπανέλθωμεν. καί φησιν ὅτι λέγεται δ' ὥσπερ τὸ ὑποκείμενον οὐσία (ὑποκείμενον δ' ἂν εἴη λέγων ἤτοι τὴν προσεχῆ ἑκάστῳ ὕλην, ἢ ὅλως τὴν ὕλην καὶ τὸ σύνθετον, οἷον Σωκράτης), ὡς οὖν οὐσία λέγεται τὸ ὑποκείμενον, ὡσαύτως δὲ οὐσία λέγεται καὶ τὸ σύνθετον, οἷον ὁ Σωκράτης, λέγεται δ' οὐσία καὶ τὸ τί ἦν εἶναι, λέγεται γὰρ οὐσία καὶ τὸ ἐκ τῆς ὕλης καὶ τοῦ τί ἦν εἶναι· οὕτω λέγεται οὐσία καὶ τὸ καθόλου, τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον. καὶ περὶ μὲν τῶν δύο, τοῦ τε τί ἦν εἶναι καὶ τοῦ ὑποκειμένου εἴρηται, εἴρηται δὲ καὶ ὅτι τὸ ὑποκείμενον διττόν, ἢ τὸ τόδε τι ὄν, ὥσπερ τὸ ζῷον, Σωκράτης, Πλάτων, οὗτοσὶ ὁ ἵππος ὑπόκειται τοῖς πάθεσι τῷ τε λευκῷ καὶ τῷ θερμῷ καὶ τοῖς ὁμοίοις, ἢ ἡ ὕλη, ἥπερ ὑπόκειται τῇ ἐντελεχείᾳ καὶ τῷ εἴδει. τὸ δὲ καθόλου, φησίν, ὅπερ τινὲς χωρὶς ὕλης λέγουσι, δοκεῖ τισιν αἴτιον εἶναι μάλιστα καὶ ἀρχή· διὸ ἐπέλθωμεν καὶ περὶ τούτου, καὶ ἴδωμεν εἰ δυνατὸν εἶναι αὐτὸ ἀρχὴν ἢ ὅλως οὐσίαν. ἔοικε γὰρ ἀδύνατον οὐσίαν εἶναι ὁτιοῦν τῶν καθόλου. καὶ συλλογίζεται λέγων· ἡ ἑκάστου οὐσία ἴδιός ἐστιν ἑκάστῳ καὶ ἄλλῳ οὐχ ὑπάρχει, τὸ δὲ καθόλου κοινὸν καὶ πλείοσιν ὑπάρχει (τοῦτο γὰρ λέγεται καθόλου τὸ πεφυκὸς πλείοσιν ὑπάρχειν), τὸ καθόλου ἄρα οὐκ ἔστιν οὐσία. ὅτι δὲ ἡ ἑκάστου οὐσία ἴδιός ἐστιν ἑκάστῳ καὶ ἄλλοις οὐχ ὑπάρχει, δῆλον· ἡ γὰρ Ἀλεξάνδρου οὐσία ἴδιός ἐστιν Ἀλεξάνδρῳ καὶ ἄλλῳ τῳ οὐχ ὑπάρχει, ἀλλ' ἐν αὐτῷ ἐστιν· εἰ δ' ἦν καὶ τὸ καθόλου οὐσία, ἴδιος ἂν ἦν ἡ οὐσία αὐτοῦ καὶ ἐν αὐτῷ ἂν ἦν καὶ ἄλλῳ οὐκ ἂν ὑπῆρχε· νῦν δὲ ὑπάρχει πάνυ

---

4 τῶν L: τὸ A 5 ἄλογον LF: ἄνευ λόγου A 7 καὶ συμπεραίνεται L: καὶ om. A
10 ἐπεὶ δὲ LFS: ἐπειδὴ A 21. 22 λέγεται γὰρ — ὕλης] καὶ τὸ ἐκ τούτων ἤτοι τῆς ὕλης F 29 μάλιστα—ἐπέλθωμεν LFS: μάλιστα καὶ ἐπέλθωμεν ἀρχή· διὸ ἐπανέλθωμεν A
35. 36 δῆλον — οὐχ ὑπάρχει LFS: om. A

πολλοῖς· οὐκ ἄρα ἐστὶν οὐσία ἀλλ' ὁμοιότης τις ἐκ τῶν καθ' ἕκαστα ἀποσυληθεῖσα, ἐν αὐτοῖς δ' οὖσα, ὁμοιότητα δ' οὐδὲν κωλύει ἐν πλείοσιν εὑρίσκεσθαι. ὅλως δὲ τίνος ἂν εἴη τὸ καθόλου οὐσία; ἢ γὰρ ἁπάντων ἢ οὐδενός. ἁπάντων δ' οὐχ οἷόν τε· δέδεικται γὰρ ὅτι ἡ ἑκάστου 25
5 οὐσία ἴδιός ἐστιν ἑκάστου καὶ ἐν ἄλλῳ οὐχ ὑπάρχει. εἰ δὲ τοῦτο, πῶς οἷόν τε τὸ καθόλου εἴπερ ἐστὶν οὐσία, τὴν τούτου οὐσίαν ἐν Ἀλεξάνδρῳ καὶ ἐν Σωκράτει καὶ ἐν ἄλλοις εἶναι; δεῖ δέ, ἐπειδήπερ ἐν τούτοις ἐστίν. ἀλλὰ μὴν οὐδὲ ἑνὸς οἷόν τε τὴν τοῦ καθόλου οὐσίαν ὑπάρχειν. εἰ γάρ ἐστιν ὁ καθόλου ἄνθρωπος οὐσία καὶ τὸ ἐγκατατεταγμένον τοῖς κατὰ μέρος
10 τί ἦν εἶναι, ὑπάρχει δὲ ἑνί τινι, οἷον φέρε Σωκράτει, ὑπάρξουσι καὶ οἱ 30
ἄλλοι ὅ τε Πλάτων καὶ ὁ Ἀλέξανδρος Σωκράτει. καίτοι πῶς τοῦτο δύναται καὶ πλασθῆναι τὸ πάντας εἶναι Σωκράτη; | ἀλλ' ὡς εἴρηται τὸ 493
καθόλου ὁμοιότης τίς ἐστιν ἐπὶ πολλῶν θεωρουμένη. ἔτι οὐσία λέγεται ὃ μὴ καθ' ὑποκειμένου τινὸς λέγεται, ὡς ἐν ταῖς Κατηγορίαις δέ-
15 δεικται, τὸ δὲ καθόλου καθ' ὑποκειμένου λέγεται, τὸ καθόλου ἄρα οὐκ ἔστιν οὐσία.

Ἀλλ' ἄρα, φησίν, οὕτω μὲν τὸν καθόλου ἄνθρωπον οὐκ ἐνδέχεται εἶναι ὡς τὸ τί ἦν εἶναι, ἐνυπάρχει δὲ ἐν τούτῳ τῷ καθόλου ἀνθρώπῳ ἢ ἵππῳ 5
οὐσία τις, οἷον τὸ ζῷον. οὐκοῦν δῆλον ὡς ἔστι τις λόγος τοῦ ζῴου· δια-
20 φέρει δ' οὐδέν, κἂν μὴ πάντων ᾖ λόγος τῶν εἰς ὁρισμόν τινος παραλαμβανομένων· οὐδὲν γὰρ ἧττον τὸ ζῷον οὐσία ἔσται τινός, οἷον τοῦ ἀνθρώπου καὶ τοῦ ἵππου, ἐν οἷς ὑπάρχει. εἰ δή ἐστιν ὁ καθόλου ἄνθρωπος οὐσία, διὰ τί οὐκ ἔσται τὸ ζῷον οὐσία; εἰ δ' ἐστὶ τὸ ζῷον οὐσία καὶ 10
ἐνυπάρχει τῷ ἀνθρώπῳ, ἡ δὲ οὐσία ἐν ᾧ ἐστιν οὐκ ἄλλου ἐστὶν οὐσία
25 ἀλλὰ τοῦ ἐν ᾧ ἐστιν, ἔστιν ἄρα τὸ ζῷον οὐσία τοῦ ἐν ᾧ ἐστιν, οἷον τοῦ ἀνθρώπου, ἐν ᾧ ὡς ἴδιον ὑπάρχει τὸ ζῷον· ὥστε ἔσται οὐσία οὐσίας· ὥστε ἔσται μὲν τοῦ Σωκράτους, ὄντος οὐσίας, οὐσία ὁ καθόλου ἄνθρωπος, καὶ τούτου τὸ ζῷον. εἰ δ' ἔστιν ἐν τῷ ζῴῳ τὸ ἔμψυχον καὶ τὸ αἰσθη- 15
τικόν, ἔσονται πάλιν αὐτὰ τοῦ ζῴου ἤτοι οὐσίας οὐσίαι, καὶ πάλιν τὰ ἐν
30 τῷ ἐμψύχῳ ὄντα καὶ αἰσθητικῷ ἔσονται οὐσίαι τοῦ ἐμψύχου καὶ τοῦ αἰσθητικοῦ, ἤτοι τῶν οὐσιῶν· ὥστε συμβαίνει σμῆνος οὐσιῶν εἶναι ἐν τῷ Σωκράτει. ὅπερ ἀδύνατον· ἐν ἑκάστῳ γὰρ μία οὐσία ἐστὶν ἡ ἐνοῦσα αὐτῷ. εἰ γὰρ ἡ οὐσία τοῦ Ἀλεξάνδρου ὁ Ἀλέξανδρός ἐστιν, ὁ δὲ Ἀλέξανδρος πολλοὶ εἶναι οὐ δύναται, οὐδ' ἄρα οὐσίαι ἐν αὐτῷ πολλαὶ ἔσονται.
35 εἰπὼν δὲ ὅτι εἰ ἔστιν ἐν τῷ καθόλου ἀνθρώπῳ τὸ ζῷον, ἔστι δ' ὁ καθό- 20
λου ἄνθρωπος οὐσία, ἔσται ἄρα καὶ τὸ ζῷον οὐσία, κατασκευάζει αὐτὸ λέγων ἔτι δὲ καὶ ἀδύνατον καὶ ἄτοπον τὸ τόδε καὶ τὴν οὐσίαν, ὥσπερ λέγουσιν οἱ λέγοντες τὸν καθόλου ἄνθρωπον, εἰ ἔστιν ἐκ ζῴου, μὴ εἶναι τὸ ζῷον οὐσίαν καὶ τόδε τι ἀλλὰ ποιόν. εἰ γὰρ τὰ συνιστῶντά τι

---

7 δεῖ δέ LFS: δεῖ καὶ A 14 ἐν ταῖς Κατηγορίαις] 5 p. 2a11 17 εἶναι LF: om. A 18 ἐνυπάρχει LFS: ἐνυπάρχειν A τούτῳ τῷ LF: τούτοις τὸ A 24 ἐστὶν οὐσία LF: ἐστὶν ἡ οὐσία A 27 ἔσται S Bonitz: ἔστι ALF ὄντος e S add. Bonitz 30 οὐσίαι LFS: οὐσία A

πρότερά ἐστι τοῦ ὃ συνιστῶσιν, ὁ δὲ ἄνθρωπος κατὰ τοὺς λέγοντας οὐσία
ὧν συνίσταται ἐκ τοῦ ζῴου, εἴπερ ἐστὶ τὸ ζῷον ποιόν, συμβήσεται τὸ 25
ποιὸν καὶ τὸ συμβεβηκὸς πρότερον εἶναι τῆς οὐσίας καὶ τοῦ τόδε τι. τοῦτο
δὲ ἀδύνατον· οὔτε γὰρ λόγῳ οὔτε χρόνῳ οὔτε γενέσει τὰ πάθη εἰσὶ
5 πρότερα τῆς οὐσίας. συμβήσεται γάρ, εἴπερ εἰσὶ πρότερα αὐτῆς, εἶναι
χωρὶς αὐτῆς καθ' αὑτά, ὅπερ ἄλογον. οὐσία ἄρα ἐστὶ τὸ ζῷον. ἀλλ'
εἴπερ ἐστὶν οὐσία τὸ ζῷον, ἔσται πάλιν οὐσίας οὐσία, καὶ ἁπλῶς ὅσαπερ 30
ἐρρήθη. ἢ τὸ ἔτι δὲ ἀδύνατον καὶ ἄτοπον τὸ τόδε τι καὶ οὐσίαν
οὐκ ἐπὶ τοῦ καθόλου ἀνθρώπου εἴρηται ἀλλ' ἐπὶ τοῦ μερικοῦ. καὶ εἴη
10 ἂν τὸ | λεγόμενον ὅτι ἐπειδὴ ὁ καθόλου ἄνθρωπος δέδεικται μὴ ὢν 494
οὐσία ἀλλὰ ποιόν, ἀδύνατον τὸν Σωκράτην ἐκ τοῦ καθόλου εἶναι ἀνθρώ-
που, τουτέστι τὴν οὐσίαν ἐκ μὴ οὐσίας. οἶμαι δὲ ἄμεινον τὸ πρότερον·
ἔτι γὰρ περὶ τοῦ μὴ εἶναι τὸν καθόλου ἄνθρωπον οὐσίαν ὁ λόγος ἐστίν.
ἔτι τῷ Σωκράτει οὐσίᾳ ὄντι ἐνυπάρξει οὐσία, ὥστε δυοῖν ἔσται 5
15 ὁ Σωκράτης οὐσία, ἤτοι δύο ἔσονται ἐν τῷ Σωκράτει οὐσίαι, ὅπερ
ἄτοπον· ἕκαστον γὰρ μία ἐστὶν οὐσία ἀλλ' οὐ δύο ἢ πλείους. ὅλως δέ,
φησί, συμβαίνει, εἰ ἔστιν οὐσία ὁ ἄνθρωπος, ἄνθρωπον ἐνταῦθα
λέγων τὸν μερικὸν καὶ ἄτομον, ὅλως δή, εἰ ἔστιν οὐσία ὁ ἄτομος ἄνθρω-
πος, καὶ ὅσα οὕτω λέγεται, τουτέστιν ἄτομα, μηδὲν τῶν ἐν τῷ λόγῳ
20 αὐτοῦ εἶναι οὐσίαν, μηδὲ χωρὶς ὑπάρχειν αὐτῶν τῶν ἀτόμων. εἰ γὰρ μή 10
ἐστιν οὐσία αὐτὸ καθ' αὑτὸ τὸ ζῷον, μηδὲ τὸ πεζὸν μηδὲ τὸ δίπουν,
δηλονότι οὐκ εἰσὶ χωρὶς τῶν ἀτόμων, οὔτε μὴν ἐν ἄλλῳ, ἤτοι τῇ ἰδέᾳ,
ἀλλ' ἐν τοῖς ἀτόμοις. ἐξηγούμενος δὲ τὸ μηδὲ χωρὶς ὑπάρχειν αὐτῶν
ἐπήγαγε λέγω δὴ οὐκ εἶναί τι ζῷον παρὰ τά τινά, ὡς ἂν εἰ ἔλεγεν,
25 τοῦτο λέγω τὸ μηδὲ χωρὶς ὑπάρχειν αὐτῶν τὸ μὴ εἶναι ζῷόν τι παρὰ 15
τὰ τινὰ καὶ καθ' ἕκαστα ζῷα, οὐδὲ δίπουν παρὰ τά τινά, οὐδὲ πεζὸν
παρὰ τὰ τινά, οὐδ' ἄλλο τῶν ἐν τοῖς λόγοις εἰλημμένων οὐδέν· δέδεικται
γὰρ ὡς οὐδὲν τῶν καθόλου οὐσία ἐστίν. εἰ δὲ μή εἰσιν οὐσίαι, δῆλον ὡς
οὐδὲ δύνανται χωρὶς καὶ καθ' αὑτὰς εἶναι ἀλλ' ἐν τοῖς μερικοῖς.
30 Οὕτως δὴ δείξας ὅτι ὁ καθόλου ἄνθρωπος οὐκ ἔστιν οὐσία, συμπε-
ραίνεται λοιπὸν καί φησιν ἔκ τε δὴ τούτων θεωροῦσι φανερὸν ὅτι 20
οὐδὲν τῶν καθόλου ὑπαρχόντων οὐσία ἐστί, καὶ ὅτι οὐδὲν τῶν
κοινῇ κατηγορουμένων σημαίνει τὸ τόδε τι ἀλλὰ τοιόνδε καὶ
ποιόν. εἰ δέ τις οὐσίαν αὐτὸν λέγει καὶ τόδε τι, συμβήσεται πάλιν ὁ
35 τρίτος ἄνθρωπος. εἰ γάρ ἐστιν οὐσία τις ὁ ἄνθρωπος, ἔστι δὲ καὶ ὁ Σω-
κράτης οὐσία καὶ οἱ καθ' ἕκαστον, ἐπὶ τῶν πολλῶν δέ ἐστι τὸ κοινῶς
κατ' αὐτῶν λεγόμενον, ἔσται ἄρα τρίτος τις πάλιν ἄνθρωπος, ὃς κατηγο-
ρηθήσεται τοῦ καθόλου ἀνθρώπου οὐσίας ὄντος καὶ τῶν λοιπῶν. ἔτι δέ,
φησί, καὶ ὧδε δῆλον ὡς ἀδύνατόν ἐστιν οὐσίαν ἐξ οὐσιῶν εἶναι ἐνεργείᾳ 25
40 ὑπαρχουσῶν καὶ τόδε τι. δύο γὰρ οὐσίαι ἐνεργείᾳ οὖσαι οὐδέποτε μίαν

---

6 ἐστὶ τὸ LFS: οὐκ ἔστι A 7 ὅσαπερ LS: ὥσπερ A 17 εἰ LFS: om. A ὁ ἄνθρωπος LF: ὁ om. A 18 οὐσία ὁ ἄτομος LF: post οὐσία add. αὐτὸ καθ' αὑτὸ τὸ ζῷον ἤτοι AS 26. 27 οὐδὲ πεζὸν — τινά LF: om. A 29 καὶ LF: om. A 30 δὴ LF: δεῖ A

οὐσίαν ἐνεργείᾳ εἶναι δυναμένην ποιοῦσιν, οἷον ὅδε ὁ ἄνθρωπος τῷδε τῷ ἀνθρώπῳ εἰς ἑνὸς ἀνθρώπου συμπλήρωσιν συντεθῆναι οὐ δύναται, ἀλλ' ἐὰν δυνάμει ᾖ δύο τινὰ οὐσίαι, τότε συντίθενται καὶ ἀποτελοῦσι μίαν οὐσίαν ἐντελεχείᾳ. καὶ πάλιν εἰ ἔσται διπλάσιον ἐκ δύο ἡμίσεων, οὐκ ἐξ 30
5 ἐνεργείᾳ ἡμίσεων ἔσται ἀλλ' ἐκ δυνάμει· ἡ γὰρ ἐντελέχεια χωρίζει καὶ οὐκ ἐᾷ αὐτὸ ἓν εἶναι. ἅμα γὰρ τῷ τὰ ἡμίση ἐνεργείᾳ γενέσθαι ἡμίση, εὐθὺς διῄρηται τὸ διπλάσιον καὶ οὐκέτι μένει ἕν. ὥστε καὶ ἡ οὐσία, εἰ ἔστιν ἕν, οὐκ ἔσται ἐξ οὐσιῶν ἐνυπαρχουσῶν ἐνεργείᾳ οὐσιῶν, ἀλλ' ἐκ δυνάμει οὐσιῶν. | καὶ φανερὸν ὅτι καὶ ἡ χεὶρ μετὰ τοῦ ὅλου οὖσα δυ- 495
10 νάμει ἐστὶ καὶ οὐκ ἐνεργείᾳ, ὅταν δὲ χωρισθῇ, καὶ τότε οὐχ ἁπλῶς, ἀλλ' εἴπερ καθ' ὑπόθεσιν χωρισθεῖσα τοῦ ὅλου ἐδύνατο τὸ οἰκεῖον ἔργον ἀποτελεῖν, ἦν ἂν οὐσία. ἡ γὰρ οὐσία οὐ τὸ σχῆμα τὸ τοιονδί ἐστιν, ἀλλ' ἡ ἑκάστου ἐνέργεια. ὡς γὰρ ὁ Δημόκριτος ἔλεγεν ὅτι ἀδύνατον ἐκ δύο ἀτό- 5
15 μων μίαν γενέσθαι (ἀπαθεῖς γὰρ αὐτὰς ὑπετίθετο) ἢ ἐκ μιᾶς δύο (ἀτμήτους γὰρ αὐτὰς ἔλεγεν), οὕτως καὶ ἡμεῖς φαμεν ὡς ἀδύνατον ἐκ δύο ἐνεργείᾳ οὐσῶν οὐσιῶν μίαν οὐσίαν γενέσθαι, ἀλλ' ἐκ δυνάμει μόνον. ἐπεὶ δὲ ἐνέπιπτεν ἡ ἐπὶ τῶν ἀριθμῶν ἔνστασις, λύει καὶ ταύτην. εἶπε γὰρ ἄν τις ὅτι ὥσπερ ὁ ἓξ ἀριθμὸς ἐκ τοῦ τρία καὶ τρία ἐστὶν ἢ ἐκ τοῦ δύο καὶ τέσσαρα ἐνεργείᾳ ὄντων ἀριθμῶν, τί κωλύει καὶ μίαν οὐσίαν ἐκ δύο 10
20 οὐσιῶν εἶναι ἐνεργείᾳ οὐσῶν; λύει οὖν λέγων ὅτι καὶ ἡ δυὰς οὐκ ἔστιν ἐνεργείᾳ ἀριθμὸς ἐν τῷ ἓξ οὖσα ἀλλὰ δυνάμει· δύναται γὰρ χωρισθεῖσα εἶναι ἀριθμός, μετὰ τοῦ ἓξ δὲ οὖσα οὐδαμῶς. ἀλλ' αὐτὸς οὐκ ἐπὶ τοῦ ἓξ ποιεῖται τὸν λόγον, ἀλλ' ἐπὶ τῆς δυάδος, λέγων αἱ μονάδες ἐν τῇ δυάδι οὔκ εἰσιν ἐνεργείᾳ μονάδες ἀλλὰ δυνάμει, ἕως δὴ ὑπόκειται ἡ δυὰς ὅτι
25 ἀριθμός ἐστιν· ἢ γάρ, φησίν, οὐχ ἓν ἡ δυάς, τουτέστιν ἢ οὐκ ἔστιν ἡ δυὰς ἀριθμός τις εἷς, ἢ εἴπερ ἐστὶν ὅλως ἀριθμός, οὔκ εἰσιν ἐν αὐτῇ αἱ μονάδες ἐνεργείᾳ ἀλλὰ δυνάμει. 15

p. 1039a14 Ἔχει δὲ τὸ συμβαῖνον ἀπορίαν. εἰ γὰρ μήτε ἐκ τῶν καθόλου οἷόν τε εἶναι μηδεμίαν οὐσίαν.

30 Δείξας ὅτι τὸ καθόλου οὐκ ἔστιν οὐσία καὶ ὅτι ἐξ αὐτῶν οὐκ ἐνδέχεται εἶναι οὐσίαν διὰ τὸ μὴ ἐνδέχεσθαι τὴν οὐσίαν ἐκ μὴ οὐσιῶν εἶναι, λέγει ὅτι τὸ συμβαῖνον ἐκ τῶν ἀποδειχθέντων ἔχει ἀπορίαν, καὶ τίθησι τί ποτέ ἐστι τὸ συμβαῖνον. εἰ γὰρ μήτε, φησίν, ἐκ τῶν καθόλου οἷόν τε 20
μηδεμίαν εἶναι οὐσίαν διὰ τὸ τοιόνδε ἤτοι ποιὸν σημαίνειν ἀλλὰ μὴ τόδε
35 καὶ οὐσίαν, ἐκ ποιοῦ δὲ οὐσίαν οὐκ ἐνδέχεται εἶναι, εἰ δὴ τοῦτο μὴ ἐνδέχεται, μήτε πάλιν ἐξ οὐσιῶν ἐνεργείᾳ αὐτῶν καθ' αὑτὰς οὐσῶν, ὥσπερ

---

1 ὅδε ὁ LF: ὁ om. A 4. 5 καὶ πάλιν—ἐντελέχεια LFS: om. A 6 αὐτὸ scripsi: αὐτὸν AL et fort. F 13 post γὰρ add. φησίν LF ὅτι LF: ἔτι A 14. 15 ἀτμήτους MS: ἄτμητος A: ἄτμητα L 15. 16 ἐνεργείᾳ LFS: ἐνεργειῶν A 17 εἴποι coni. Bonitz 21. 22 ἀλλὰ—ἓξ δὲ οὖσα LF: om. AS 24 ὅτι—δυάς (26) LFS: om. A 26 ἐν αὐτῇ LFS: ἐν αὐτῷ A 35 ἐνδέχεται] fort. ἐνδέχεσθαι

ὁ μερικὸς ἄνθρωπος, δυνατόν ἐστιν οὐσίαν σύνθετον εἶναι (δέδεικται γὰρ καὶ τοῦτο), συμβαίνει μηδεμίαν οὐσίαν σύνθετον εἶναι. εἰ γὰρ ἐνδέχεται τὴν σύνθετον οὐσίαν εἶναι ἢ ἐξ οὐσιῶν ἐνεργείᾳ οὐσῶν ἢ ἐκ συμβεβηκότων, κατ' οὐδένα δὲ τρόπον τοῦτο εἶναι δύναται, ἀσύνθετος ἂν εἴη πᾶσα οὐσία. ἀλλ' εἰ τοῦτο, οὐδεμιᾶς οὐσίας ἂν εἴη λόγος· οἱ γὰρ ὁρισμοὶ τῶν ἔκ τινων οὐσιῶν εἰσιν ἀλλ' οὐ τῶν ἁπλῶν, ὥσπερ ὁ τοῦ ἀνθρώπου, ὄντος αὐτοῦ ἐκ τοῦ ζῴου καὶ πεζοῦ καὶ δίποδος. ἀλλὰ μὴν δοκεῖ γε ὅτι οἱ ὁρισμοὶ ἢ μόνων τῶν οὐσιῶν εἰσιν, ἢ εἴπερ εἰσὶ καὶ τῶν ἄλλων, ἀλλὰ μάλιστα τῶν οὐσιῶν εἰσιν. νῦν δὲ συμβαίνει μηδὲ τῶν οὐσιῶν εἶναι· οὐκ ἄρα ἐστὶν οὐδεμιᾶς ὁρισμός. καὶ εἰπὼν οὐ λύει τὴν ἀπορίαν νῦν, ἐπαγγέλλεται δὲ ἐρεῖν, λέγων ὅτι τρόπον μέν τινα ἔστι τῶν οὐσιῶν ὁρισμός, τρόπον δέ τινα οὐκ ἔστιν. | καὶ πῶς τοῦτο συμβαίνει, ἐρεῖ καὶ ἐν τῷ παρόντι βιβλίῳ καὶ 496
ἐν τῷ μετὰ τοῦτο.

p. 1039a24 Φανερὸν δὲ ἐξ αὐτῶν τούτων τὸ συμβαῖνον καὶ τοῖς τὰς ἰδέας λέγουσιν χωριστάς τε οὐσίας εἶναι.

Δείξας ὅτι τὰ καθόλου οὔκ εἰσιν οὐσίαι, ἐκ τούτων, φησί, φανερόν ἐστι τὸ συμβαῖνον τοῖς τὰς ἰδέας λέγουσι χωριστάς τε οὐσίας εἶναι καὶ ἅμα ποιοῦσι τὸ εἶδος, λέγων εἶδος τὴν ἰδέαν, ἐκ τοῦ γένους καὶ τῶν διαφορῶν. εἰ γάρ εἰσιν ἰδέαι καὶ ἔστι τὸ ζῷον ἐν τῷ αὐτοανθρώπῳ καὶ αὐτοίππῳ καὶ ταῖς λοιπαῖς ἰδέαις, ἤτοι ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ ἐστιν, ὥσπερ ἐστὶν ὁ Ἀλέξανδρος εἷς καὶ ὁ αὐτὸς τῷ ἀριθμῷ, τὸ ὑπάρχον ζῷον ἔν τε τῷ αὐτοανθρώπῳ καὶ αὐτοίππῳ καὶ ταῖς λοιπαῖς ἰδέαις, ἢ ἕτερον; καὶ ἐρωτήσας πρὸ τοῦ ἀπαντῆσαι πρὸς τὴν ἐρωτηθεῖσαν ἀντίφασιν λέγει ὅτι εἰ τῷ ἀριθμῷ τις μὴ λέγει ἕν, ἀλλ' οὐν τῷ μὲν λόγῳ δηλονότι ἕν ἐστι τὸ ἐν ταῖς ἰδέαις ζῷον· ὁ γὰρ ὁριζόμενος τὸν αὐτὸν ἐν πᾶσιν ἐρεῖ λόγον, ἀλλ' οὐκ ἄλλον μὲν τὸν τοῦ ἐν τῷ αὐτοίππῳ ζῴου ἀποδώσει, ἕτερον δὲ τοῦ ἐν τῷ αὐτοανθρώπῳ. τοῦτο δὴ εἰπὼν πάλιν ἀνατρέχει ἐπὶ τὸ πρότερον, λέγων εἰ οὖν ἔστι τις ἄνθρωπος αὐτὸς καθ' αὑτὸν καὶ τόδε τι κεχωρισμένον, ὥσπερ ὁ Σωκράτης καὶ ὁ Καλλίας, ἀνάγκη καὶ τὸ ζῷον καὶ τὸ πεζὸν καὶ τὸ δίπουν, ἐξ ὧν ἐστιν ὁ αὐτοάνθρωπος, εἶναι χωριστὰ καὶ οὐσίας αὐτὰς καθ' αὑτάς· τίς γὰρ ἡ ἀποκλήρωσις αὐτοάνθρωπον μὲν εἶναι, αὐτοζῷον δὲ καὶ αὐτοδίπουν μὴ εἶναι; εἰ δὲ τοῦτο, ἔσται οὐσία τις ἐξ οὐσιῶν ἐνεργείᾳ καὶ καθ' αὑτὰς οὐσῶν, ὅπερ δέδεικται ἀδύνατον. καὶ οὐ τοῦτο μόνον ἀλλ' ἔσται καὶ ἰδέα ἐξ ἰδεῶν, καὶ ἔσονται ἰδέαι τό τε αὐτοπεζὸν καὶ αὐτοζῷον καὶ αὐτοδίπουν πρότεραι τοῦ αὐτοανθρώπου, τουτέστιν ἔσονται ἄλλαι ἰδέαι ἄλλων πρότεραι· ὅπερ οὔ φασιν οἱ ταύτας τιθέμενοι. οὕτως οὖν διὰ μέσου τὸ ἀδύνατον τοῦτο αἰνιξάμενος ἐπανατρέχει εἰς τὴν τῆς ἀντιφάσεως ἐρώτησιν, καὶ λέγει ὅτι εἰ μὲν τὸ ἐν τῷ αὐτοίππῳ καὶ αὐτοανθρώπῳ ζῷον τὸ αὐτὸ καὶ ἕν ἐστι τῷ ἀριθμῷ ὥσπερ αὐτὸς σαυτῷ

---

15 λέγουσιν οὐσίας τε καὶ χωριστὰς εἶναι Metaph. vulg. 28. 29 τι καὶ κεχωρισμένον LF 30 τὸ δίπουν LF: τὸ om. A 38 ὅτι LF: om. A

εἷς εἶ τῷ ἀριθμῷ, πῶς τὸ ἓν ἐν τοῖς οὖσι χωρὶς ἀπ' ἀλλήλων ἓν ἔσται τῷ ἀριθμῷ; καὶ διά τί, εἰ τὰ χωρὶς ὄντα ἕν εἰσι τῷ ἀριθμῷ, οὐκ ἔσται αὐτὸ τὸ ζῷον καὶ χωρὶς αὐτοῦ; εἰ γὰρ ἕν εἰσι τῷ ἀριθμῷ τὰ ἐν ἄλλῳ καὶ ἄλλῳ ὄντα ζῷα, δηλονότι δυνήσεται τὸ ζῷον καὶ χωρὶς αὐτοῦ εἶναι. ἔπειτα, φησί, πῶς ἔσται τὸ δίπουν ἐν τῷ ζῴῳ, μεθέξει ἢ ἄλλως πως; εἰ μὲν οὖν μεθέξει, δῆλον ὡς οὐ τοῦ δίποδος μόνον μετέχει, τῶν δ' ἄλλων διαφορῶν οὐδαμῶς· τί γὰρ τὸ αἴτιον τοῦ τούτου μὲν μετέχειν, ἄλλου δὲ οὔ; εἰ οὖν μεθέξει τοῦ δίποδος καὶ τοῦ πολύποδος τὰ εἴδη ποιεῖ, συμβήσεται τὰ ἐναντία | ὑπάρχειν ἐν τῷ αὐτῷ καὶ ἑνὶ καὶ τῷδέ τινι ὄντι. εἰ 497
δ' οὐ μετέχει, τίς ὁ τρόπος καὶ πῶς ἐν αὐτῷ εὑρίσκεται ταῦτα, ὅταν λέγωμεν ζῷον δίπουν ἢ ζῷον πεζὸν ἢ ζῷον ἄπουν; ἀλλ' ἴσως ἐρεῖ τις ὅτι ἐν τῷ αὐτοανθρώπῳ ὄντα σύγκειται καὶ μέμικται ὥσπερ σωρὸς τὸ ζῷον καὶ αἱ διαφοραί. ἀλλὰ πάντα ταῦτα ἄτοπα· ὁρῶμεν γὰρ ἐνταῦθα ὅτι τὰ ζῷα οὐ κατὰ σύνθεσιν καὶ ἁφὴν εἰσιν, ἀλλὰ συνεχῆ καὶ ὡς εἰπεῖν κατὰ ἀνάκρασιν.

Εἰ μὲν οὖν ἓν καὶ ταὐτόν τις ἐρεῖ τῷ ἀριθμῷ τὸ ἐν τῷ χωριστῷ ἀνθρώπῳ καὶ ἵππῳ καὶ τοῖς λοιποῖς ζῷον, ταῦτά τε συμβαίνει καὶ πλείω τούτων· εἰ δὲ ἕτερον τὸ ἐν ἑκάστῳ, δῆλον ὡς οὐχὶ τῷ μὲν ἀριθμῷ ἕτερα ταῦτα ἐροῦσι, τῷ εἴδει δὲ τὰ αὐτά (ἔσται γὰρ πάλιν τῶν ἰδεῶν ἰδέα), ἀλλὰ καὶ τῷ ἀριθμῷ καὶ τῷ εἴδει ἕτερα. καὶ πρῶτον μέν, ὧν ἡ οὐσία ζῷον, ἄπειρα ἔσονται καὶ ἕτερα, ὥσπερ ὁ μύρμηξ τοῦ ἵππου καὶ οὗτος λέοντος καὶ οὗτος βοὸς καὶ οὗτος ἄλλου· καὶ πῶς οἷόντε τοῦτο; ἔπειτα εἰπάτωσαν τίς ἡ φύσις τοῦ ἐν τῷ ἀνθρώπῳ ζῴου καὶ τοῦ ἐν τῷ ἵππῳ, ἐπειδὴ καὶ τῷ ἀριθμῷ καὶ τῷ εἴδει εἰσὶν ἕτερα. εἰπὼν δὲ ὅτι οὐκοῦν ἄπειρα ὡς ἔπος εἰπεῖν ἔσται ὧν ἡ οὐσία ζῷον, πῶς τὸ ζῷον οὐσίαν εἴρηκεν ἐπήγαγεν οὐ γὰρ κατὰ συμβεβηκὸς ἐκ ζῴου ὁ ἄνθρωπος, ἀλλὰ δῆλον ὡς ἐξ οὐσίας, ὥστε ἐστὶ τὸ ζῷον οὐσία. ἐπειδὴ δὲ οἱ τὰς ἰδέας τιθέμενοι καὶ αὐτοουσίαν ἔλεγον αὐτὴν καθ' αὑτήν, ἔστι δὲ καὶ τὸ αὐτοζῷον οὐσία, πολλὰ ἔσται τὸ ζῷον· οὐσία τε γὰρ τὸ ἐν ἑκάστῳ ζῷόν ἐστίν· οὐ γὰρ ὥσπερ λευκὸν εἰπόντες ἄλλο τι λέγομεν, ξύλον φέρε ἢ ἄνθρωπον, οὕτω καὶ τὸ ζῷον οὐσίαν λέγοντες ἄλλο τί φαμεν καὶ κατ' ἐκεῖνο τὸ ἄλλο τοῦτο οὐσίαν λέγομεν, ἀλλὰ καθ' αὑτό ἐστιν οὐσία· ὥστε ἐστὶ τὸ ζῷον πολλὰ ἔκ τε οὐσίας αὐτῆς καθ' αὑτὴν οὔσης καὶ ἐκ ζῴου. εἰ δέ τις λέγει ὅτι οὐ καθ' αὑτό ἐστι τὸ ζῷον οὐσία, ἀλλὰ κατ' ἄλλο, ἐξ ἐκείνου, καθ' ὃ τὸ ζῷον οὐσία λέγεται, ἔσται ὁ ἄνθρωπος, καὶ ἐκεῖνο ἔσται γένος τοῦ ἀνθρώπου, ἀλλ' οὐ τὸ ζῷον. ἔτι ἐπειδὴ ὁ ἄνθρωπος χωριστὸς καὶ καθ' αὑτόν ἐστι, καὶ τὸ δίπουν δηλονότι καὶ τὸ πεζὸν καθ' αὑτά εἰσι καὶ ἰδέαι. οὐκοῦν οὐκ ἄλλου μέν εἰσιν ἰδέαι τό τε ζῷον καὶ τὸ πεζόν, ἄλλου δὲ οὐσίαι, ἀλλ' αὐτὰ ἑαυτοῖς εἰσι καὶ ἰδέαι καὶ οὐσίαι, ὥσπερ ἐγὼ οὐκ ἄλλου μέν εἰμι ἄτομος, ἄλλου δὲ ἄνθρωπος· ἀδύνατον γὰρ τὸ ἄλλου εἶναι ἐμὲ ἄνθρωπον, ἀλλὰ μὴ ἐμαυτοῦ· οὕτω καὶ τὸ ζῷον αὐτὸ ἑαυτῷ ἐστι καὶ

---

3 et 4 αὐτοῦ libri 18 μὲν L: om. A 23 τῷ ἵππῳ L: τῷ om. A 25 ἔπος L: om. A

οὐσία καὶ ἰδέα, εἰ καὶ ἐν τῷ αὐτοανθρώπῳ ἐστίν, ὥσπερ καὶ ἐγὼ αὐτὸς ἑαυτῷ ἄνθρωπός εἰμι καὶ ἄτομον, εἰ καὶ ἐν τόπῳ τυγχάνω. ὥστε εἰ αὐτὸ ἑαυτῷ τὸ ζῷον καὶ οὐσία ἐστὶ καὶ ἰδέα, δῆλον ὅτι ἕκαστον τῶν ἐν τοῖς ζῴοις ἤτοι ἐν τῷ αὐτοανθρώπῳ καὶ τοῖς λοιποῖς αὐτοζῷόν ἐστι καὶ ἰδέα. τὰ δὲ εἴδη ἑτέρων εἰσὶ φύσεων, ὥσπερ καὶ ὁ ἄνθρωπος καὶ ὁ ἵππος· καὶ τὰ αὐτοζῷα ἄρα τὰ ἐν τοῖς | εἴδεσιν ἑτέρων εἰσὶ φύσεων· ὅπερ ἄτοπον. 198 ἔτι εἰ τῶν πολλῶν καὶ διαφερόντων τῷ ἀριθμῷ ἐστιν ἰδέα, τῷ δ' ἀριθμῷ διαφέρει, ὡς δέδεικται, τὸ ἐν τῷ αὐτοίππῳ ζῷον καὶ αὐτοανθρώπῳ καὶ τοῖς λοιποῖς (πᾶσα γὰρ ἰδέα μία τῷ ἀριθμῷ), ἔσται καὶ ἐκείνων ἰδέα· ὥστε ὥσπερ ἐστὶν ἄλλος ἄνθρωπος καθ' αὑτὸν παρὰ τοὺς καθ' ἕκαστα καὶ αἰσθητούς, οὕτως ἔσται καὶ τῶν αὐτοζῴων καὶ τῶν ἰδεῶν ἄλλη τις ἰδέα καὶ ἄλλο αὐτοζῷον. καὶ πῶς ἐκ τοῦ τοιούτου αὐτοζῴου ἔσται τὸ ἐν τῷ αὐτοανθρώπῳ αὐτοζῷον; ἔτι εἴπερ τῶν αἰσθητῶν εἰσιν αἱ ἰδέαι, ταῦτά τε ἅπερ εἴρηται συμβαίνει καὶ τούτων ἀτοπώτερα. ἐπειδὴ γὰρ ἀνάγκη ἐστὶν ἐξ ὧν λέγουσιν εἶναι καὶ αὐτοζῷον αὐτὸ καθ' αὑτό, ὥσπερ οὖν ὁ αὐτοάνθρωπος ἕτερός ἐστι παρὰ τοὺς καθ' ἕκαστα, οὕτω καὶ τὸ αὐτοζῷον ἕτερον ὀφείλει εἶναι παρὰ ζῷα τὰ τινά, ἃ οὔτε ἄνθρωπός εἰσιν οὔτε ἵππος οὔτε ἄλλο οὐδέν, ἀλλὰ τοῦτο αὐτό, ζῷα· εἰ δὲ μή εἰσί τινα ζῷα ἅπερ τοῦτο αὐτό εἰσι, ζῷα, ὥσπερ οἱ ἄνθρωποι τοῦτο αὐτό, ἄνθρωποι (τίς γάρ πω ἐθεάσατο ζῷον ὃ μήτε ἄνθρωπός ἐστι μήτε μύρμηξ μήτε ἄλλο τι), οὐδὲ αὐτοζῷόν ἐστιν· ἡ γὰρ ἰδέα τινῶν ἐστιν ἰδέα. εἰ δὲ μή ἐστιν αὐτοζῷον, φανερὸν ὡς οὐδὲ αὐτοάνθρωπος οὐδ' ὅλως ἰδέα. εἰ δὲ λέγοι τις ὡς ἔστι μὲν αὐτοζῷον, ἀλλ' οὐκ ἔστιν ἰδέα ζῴων τοῦτο αὐτὸ ζῴων ὄντων, ἀλλὰ τοῦ ἐν τοῖς ἀνθρώποις ζῴου καὶ ἵπποις καὶ βουσί, ψεῦδος ἐρεῖ· τοῦ γὰρ ἐν τοῖς ἀνθρώποις ζῴου καὶ ἁπλῶς τῶν ἀνθρώπων ὅλων ὡς ὅλων ὁ αὐτοάνθρωπός ἐστιν ἰδέα ὅλος ὡς ὅλος· ὡσαύτως καὶ ὁ αὐτοίππος ὅλος ὡς ὅλος ἐστὶν ἰδέα τῶν κατὰ μέρος ἵππων ὅλων ὡς ὅλων· ὥστε εἴπερ ἔστιν αὐτοζῷον καὶ ἰδέα, ζῴων ὀφείλει εἶναι ἰδέα μηδὲν ἄλλο ὄντων ἢ τοῦτο αὐτό, ζῷα. οὕτω δὴ ἐνστὰς πρὸς τοὺς τὰς ἰδέας τιθεμένους καὶ ἐλέγξας αὐτοὺς συμπεραίνεται λέγων εἰ δὴ ἀδύνατον οὕτως ἔχειν, ἀδύνατον εἴδη εἶναι τῶν καθ' ἕκαστα, ὥς τινές φασιν.

p. 1039b20 Ἐπεὶ δὲ ἡ οὐσία ἑτέρα τό τε σύνολον καὶ ὁ λόγος· λέγω δ' ὅτι ἡ μὲν οὕτως ἐστὶν οὐσία σὺν τῇ ὕλῃ.

Εἰπὼν πρότερον ὅτι οἱ λόγοι τοῦ τί ἦν εἶναί εἰσι καὶ τῶν εἰδῶν, τῶν δὲ καθ' ἕκαστα ὁρισμὸς οὐκ ἔστι, καὶ ἐπαγγειλάμενος τοῦτο δείξειν, νῦν τὴν ὑπόσχεσιν ἐκπληροῖ καὶ δείκνυσιν ὅτι τῶν καθ' ἕκαστα οὐκ εἰσιν ὁρισμοί.

---

3 τῶν LF: τὸν A 6 ταῖς ἰδέαις L ὅπερ LS: ὅπως γὰρ A 18 αὐτό, ζῷα LS: αὐτοζῷα A 19 αὐτό, ἄνθρωποι LS: αὐτοάνθρωποι A 20 ὅ] ἵνα LF 22 λέγοι S: λέγει A et fort. L ὡς L: om. A 28 ζῴων S Bonitz: ζῷον AL ὀφείλει εἶναι ἰδέα LS: ὁ φύσει εἶναι A 29 δὴ LF: δὲ A 35 ὁρισμὸς LF: ὁ ὁρισμὸς A δείξειν LF: δεῖξαι A

πρότερον δὲ ποιεῖται διαίρεσιν τῆς οὐσίας ποσαχῶς λέγεται, ἵνα δείξῃ ποίας οὐσίας οὐκ ἔστιν ὁρισμός. λέγει δὴ ὅτι ἐπειδὴ | ἡ οὐσία ἑτέρα τό τε 499
σύνολον καὶ ὁ λόγος, λέγω δὲ ὅτι ἡ μὲν οὕτως ἐστὶν οὐσία ὁ λόγος συνειλημμένος τῇ ὕλῃ, ἡ δὲ λόγος ὅλως καὶ τί ἦν εἶναι, ὅσαι μὲν
5 οὖν εἰσιν οὐσίαι συνειλημμέναι τῇ ὕλῃ καὶ ὅλως σύνθετοι, τούτων ἔστι φθορὰ καὶ γένεσις, τοῦ δὲ λόγου καὶ τοῦ εἴδους οὐκ ἔστι φθορὰ οὐδὲ γένεσις· οὐ γὰρ γίνεται τὸ οἰκίᾳ εἶναι καὶ τὸ εἶδος τῆς οἰκίας, ἀλλ' ἥδε ἡ κατὰ μέρος οἰκία, ἐν ᾗ τὸ εἶδος ἀχρόνως καὶ ἄνευ γενέσεως γίνεται καὶ φθείρεται. καὶ διὰ τοῦτο οὐκ ἔστι τῶν αἰσθητῶν οὐσιῶν καὶ καθ' ἕκαστα
10 οὔθ' ὁρισμὸς οὔτε ἀπόδειξις, ὅτι ἔχουσιν ὕλην, ἧς ἡ φύσις διὰ τὸ ἐνδέχεσθαι καὶ εἶναι καὶ μὴ εἶναι, τουτέστιν διὰ τὸ μὴ δύνασθαι ἀεὶ τὸ αὐτὸ στέγειν εἶδος ἀλλ' ἄλλοτε δεκτικὴν εἶναι ἄλλων, φθαρτὰ πάντα τὰ καθ' ἕκαστα αὐτῶν. ταῦτα θεὶς τρέπεται εἰς τὴν τοῦ μὴ εἶναι τῶν καθ' ἕκαστα ὁρισμοὺς δεῖξιν. γυμνάζει δὲ τὸν λόγον ἐπὶ τὰς ἰδέας (καὶ αὗται γὰρ
15 καθ' ἕκαστά εἰσιν) ἐκ τοῦ μᾶλλον τὴν δεῖξιν ποιούμενος. εἰ γὰρ αὗται, αἳ δοκοῦσιν εἶναι ἀΐδιοι, ὅμως διὰ τὸ τῶν καθ' ἕκαστα εἶναι οὐκ εἰσιν αὐτῶν ὁρισμοί, πολλῷ μᾶλλον οὐκ ἔσονται τῶν καθ' ἕκαστα καὶ αἰσθητῶν. τέως δὲ πρῶτον συλλογίζεται λέγων μὴ εἶναι τῶν αἰσθητῶν καὶ καθ' ἕκαστα ὁρισμοὺς μηδὲ ἀπόδειξιν δυνάμει ὧδε. οἱ ὁρισμοὶ καὶ αἱ ἀπο-
20 δείξεις τῶν ἀναγκαίων καὶ τῶν μὴ ἐνδεχομένων ἄλλως ἔχειν εἰσί, τὰ καθ' ἕκαστα ἐνδέχεται ἄλλως ἔχειν, τῶν καθ' ἕκαστα ἄρα οὔθ' ὁρισμὸς οὔτε ἀπόδειξίς ἐστιν. ὥσπερ γάρ, φησίν, οὐκ ἐνδέχεται τὴν ἐπιστήμην ποτὲ μὲν εἶναι ἐπιστήμην ποτὲ δ' ἄγνοιαν, ὥσπερ οὐδὲ τὸν ἄνθρωπον ποτὲ μὲν ζῷον εἶναι ποτὲ δὲ μή (δόξα γάρ ἐστι τὸ ποτὲ μὲν ὡς ἐπιστήμη ὄν, ποτὲ δ'
25 ὡς ἄγνοια), οὕτως οὐδὲ ἀπόδειξιν οὐδ' ὁρισμὸν ἐνδέχεται εἶναι τῶν ἐνδεχομένων ἄλλως ἔχειν, ἀλλὰ δόξαν. κατασκευάζει δὲ τὸ μὴ ὁρισμὸν μηδ' ἀπόδειξιν εἶναι τῶν καθ' ἕκαστα καὶ ἄλλως λέγων ἄδηλά τε γὰρ τὰ φθειρόμενα τοῖς ἔχουσιν ἐπιστήμην ὅταν ἐκ τῆς αἰσθήσεως ἀπέλθῃ· εἰ δὲ ὧν ἐστιν ἐπιστήμη καὶ ὁρισμὸς δῆλά ἐστι κατὰ πάντα
30 τρόπον, τὰ δὲ καθ' ἕκαστα ὅταν ἐκ τῆς αἰσθήσεως ἀπέλθῃ ἄδηλά ἐστι. τῶν καθ' ἕκαστα ἄρα οὔτε ἀπόδειξίς ἐστιν οὔθ' ὁρισμός. καὶ ἄλλως· ὧν ἐστιν ἀπόδειξις καὶ ὁρισμός, τούτων ἡ ἀπόδειξις ἀπόλλυται εἴτε τοῦ ἔχοντος τὴν ἀπόδειξιν φθαρέντος, εἴτε τοῦ οὗ ἐστιν ἀπόδειξις, ἢ ἀμφοτέρων, καὶ τοῦ ἔχοντος τὴν ἀπόδειξιν καὶ τοῦ ἀποδεικτοῦ, ὡς ἐν τῷ Α τῶν
35 Ὑστέρων ἀναλυτικῶν εἴρηται. ἐπὶ δὲ τῶν καθ' ἕκαστα συμβαίνει σωζομένου καὶ τοῦ ἀποδεικτοῦ καὶ τοῦ ἔχοντος τὸν λόγον καὶ τὴν ἀπόδειξιν καὶ τοῦ λόγου τοῦ ἐν τῇ ψυχῇ καὶ μὴ λήθης γεγονυίας μὴ εἶναι μήτε | ὁρισμὸν μήτε ἀπόδειξιν· ὅταν γὰρ ἐκ τῆς αἰσθήσεως ἀπέλθῃ οὗ τὸν λό- 500
γον ἔχομεν, σωζομένου ἐμοῦ καὶ τοῦ πράγματος οὗ τὸν λόγον ἔχω καὶ

---

2 λέγει MS Bonitz: λέγω AL 11 ἀεὶ LFS: om. A 13 τῶν LFS: τοῦ A
14 ἐπὶ τῶν ἰδεῶν coni. Bonitz coll. p. 531,11 22 ἐστιν LFS: εἰσιν A 23 εἶναι LF: om. A 25 εἶναι—ἀπόδειξιν (27) LFS: om. A 34. 35 ἐν τῷ A τῶν Ὑστέρων ἀναλυτικῶν] fort. respicit c. 18

αὐτοῦ τοῦ λόγου καὶ λήθης μὴ μεσολαβησάσης, ἀγνοῶ εἰ ὅλως ἐστίν. διὸ δεῖ τῶν πρὸς ὅρον, τουτέστι τῶν πρὸς ὅρον τινὸς πραγματευομένων, ἤτοι δεῖ ἕκαστον τῶν περὶ ὅρον τινὸς ἀτόμου πράγματος σκοπούντων καὶ ζητούντων ἀποδοῦναι αὐτοῦ τὸ τί ἐστι, μὴ ἀγνοεῖν ὅτι ἀεὶ ἀναιρεῖν ἔστιν ἤτοι ἀναιρεθήσεται αἰεὶ ὁ τοιοῦτος ὁρισμός· παντὸς γὰρ ἀναιρεῖν ἔστι τὸν ὁρισμὸν τοῦ καθ' ἕκαστα. ὥστε ὁ τὸ καθ' ἕκαστον ὁριζόμενος οὐδὲν ἄλλο ποιεῖ ἢ αἰτίας δίδωσιν τοῦ ἀναιρεῖν ἑκάστῳ τῶν βουλομένων αἰεί τι ἀναιρεῖν καὶ ἀνασκευάζειν.

p. 1040a8 Οὐδὲ δὴ ἰδέαν οὐδεμίαν ἔστιν ὁρίσασθαι· τῶν γὰρ καθ' ἕκαστον ἡ ἰδέα.

Ἐπὶ τῶν ἰδεῶν, ὡς εἴπομεν, γυμνάζει τὸν λόγον, δεικνὺς ὅτι τῶν ἰδεῶν οὔκ εἰσιν ὁρισμοὶ διὰ τὸ τῶν καθ' ἕκαστα εἶναι αὐτάς. εἰ δὲ τούτων μή εἰσι, σχολῇ γ' ἂν τῶν αἰσθητῶν εἶεν. ἅμα δὲ δείκνυσιν ὅτι εἴδη αὐτὰ καθ' αὑτὰ καὶ χωριστὰ οὔκ εἰσιν. λέγει γὰρ ὅτι εἴπερ ἔστιν ὁρισμὸς αὐτοανθρώπου (ἔστω γὰρ ἐπὶ τούτου ὁ λόγος), ἀναγκαῖόν ἐστιν ὀνόμασι χρήσασθαι· ἄνευ γὰρ ὀνομάτων πράγματα σημαινόντων οὐκ ἔστιν ὁρισμός. εἰ δ' ἀναγκαῖόν ἐστι τὸν ὁριούμενον τὸν αὐτοάνθρωπον ὀνόμασι χρήσασθαι, ἢ συνήθεσι καὶ γνωρίμοις ὀνόμασι χρήσεται, λέγω δὴ Ἑλληνικοῖς, ἢ ὀνόματα ἕτερα θήσεται καὶ ἄγνωστα. ἀλλὰ μὴν ὀνόματα οὐ ποιήσει ἕτερα παρὰ τὰ συνήθη· ὁ γὰρ ἀλλοτρίοις ὀνόμασι καὶ ἀγνώστοις χρώμενος ταὐτὸν ποιεῖ τῷ μὴ χρωμένῳ ὀνόμασι μηδὲ ὅλως λέγοντι, καὶ ὥσπερ ὁ μὴ χρώμενος ὀνόμασι μηδὲ λέγων οὐχ ὁρίζεται, οὕτω καὶ ὁ ἀλλοτρίοις ὀνόμασι χρώμενος ποιεῖ. λείπεται ἄρα χρήσασθαι συνήθεσιν ὀνόμασι καὶ γνωρίμοις· τὰ δὲ γνώριμα καὶ κείμενα κοινὰ πᾶσίν ἐστι καὶ ὑπάρχει πολλοῖς. οἷον εἴ τις ὁριζόμενος τὸν Ἀλέξανδρον λέγει Ἀλέξανδρός ἐστι ζῷον ἰσχνὸν λευκὸν ἢ ἕτερόν τι, τὸ ζῷον ἰσχνὸν λευκὸν οὐ μόνῳ τῷ Ἀλεξάνδρῳ ὑπάρχει, ἀλλὰ καὶ ἄλλοις πολλοῖς· ὥστε πάλιν οὐχ ἑνός ἐστιν οὗτος ὁ ὁρισμὸς ἀλλὰ καὶ ἄλλων πολλῶν. οὐκ ἄρα ἔστιν ὁρισμὸς τῶν καθ' ἕκαστα. τοῦτο δὴ συμβήσεται καὶ ἐπὶ τῶν ἰδεῶν. εἰ γάρ τις λέγει ὅτι αὐτοάνθρωπός ἐστι ζῷον πεζόν, οὗτος ὁ ὁρισμὸς καὶ ἄλλοις ὑπάρχει. οὐκ ἄρα ἔστιν ὁρίσασθαι τὴν ἰδέαν. εἰ οὖν οἱ ὁρισμοὶ μόνοις ἐκείνοις ὑπάρχουσιν ὧν εἰσιν ὁρισμοί, καὶ ἀντιστρέφουσι τὰ ὁριστὰ πρὸς τοὺς ὁρισμοὺς καὶ οὗτοι πρὸς ἐκεῖνα, εἴπερ ἐστὶ τοῦ αὐτοανθρώπου μόνου τὸ ζῷον πεζὸν ὁρισμός, οὐχ ὑπάρξει καὶ ἄλλοις καὶ ἀντιστρέψει· ἀλλ' ὑπάρχει καὶ οὐκ ἀντιστρέφει. οὐκ ἄρα ἔστι τὴν ἰδέαν ὁρίσασθαι. εἰ δέ τις, φησί, λέγοι ὅτι τὸ ζῷον καὶ τὸ ἰσχνὸν καὶ τὸ λευκὸν χωρὶς μὲν ὑπάρξει πολλοῖς, ἅμα δὲ οὐδενὶ εἰ μὴ μόνῳ τῷ Ἀλεξάνδρῳ, | ὁμοίως καὶ τὸ ζῷον καὶ τὸ πεζὸν χωρὶς μὲν καὶ 501

7 τοῦ ἀναιρεῖν LF: om. A 9 ὁρίσασθαι MS: ἀναιρεῖν AL 13 δὲ L: om. A 16. 17 ἄνευ — χρήσασθαι LS: om. A 16 ὁρισμός S: ἀριθμός L 17 ὁριούμενον scripsi (*qui debet definire* S): ὁρισμένον L 18 ante συνήθεσι add. οὖν A δὴ L: δὲ A 21 ὀνόμασι LS: ὀνόματι A 21. 22 μηδὲ ὅλως — ὀνόμασι LS: om. A

ἄλλοις, ἅμα δὲ τῷ αὐτοανθρώπῳ μόνῳ, ὥσπερ καὶ τὸ ζῷον καὶ τὸ πεζὸν καὶ τὸ δίπουν χωρὶς μὲν ἕκαστον πολλοῖς ὑπάρχει, ἅμα δὲ μόνῳ τῷ ἀνθρώπῳ· εἰ δὴ ταῦτά τις λέγοι, πρῶτον μέν, φησί, λεκτέον ὅτι καὶ ἀμφοῖν, οἷον τὸ ζῷον δίπουν ὑπάρξει τῷ ζῴῳ καὶ πάλιν τὸ ζῷον δίπουν τῷ δίποδι, ὥστε πάλιν οὐχ ἑνὶ ὑπάρξει τὸ ζῷον δίπουν ἀλλὰ δυσίν· ἐπειδὴ γὰρ τὸ ζῷον ἕτερόν ἐστι τοῦ δίποδος, τὸ ζῷον δίπουν ὑπάρξει τῷ δίποδι χωρὶς καὶ πάλιν τὸ ζῷον δίπουν τῷ ζῴῳ χωρίς. ἔσται δὲ τὸ λεγόμενον ἐκδηλότερον ἐπὶ τοῦ Ἀλεξάνδρου· ἐπειδὴ γὰρ ὁ Ἀλέξανδρός ἐστιν ἰσχνὸς φιλόσοφος λευκὸς Ἀφροδισιεύς, τὸ ἰσχνὸν καὶ φιλόσοφον καὶ λευκὸν ἕτερα ὄντα τοῦ Ἀφροδισιέως (ἅπαντα γάρ εἰσιν ὁ Ἀλέξανδρος, οὐ μὴν τὰ τρία μόνα), ὑπάρξουσι τῷ Ἀφροδισιεῖ Ἀλεξάνδρῳ. πάλιν ἐπειδὴ ὁ Ἀφροδισιεὺς καὶ τὸ ἰσχνὸν καὶ φιλόσοφον ἕτερά εἰσι τοῦ λευκοῦ Ἀλεξάνδρου, ὑπάρξουσι τῷ λευκῷ Ἀλεξάνδρῳ. πάλιν ἐπειδὴ τὸ φιλόσοφον καὶ ὁ λευκὸς καὶ ὁ Ἀφροδισιεὺς ἕτερά εἰσι τοῦ ἰσχνοῦ Ἀλεξάνδρου, ὑπάρξουσι τῷ ἰσχνῷ Ἀλεξάνδρῳ· ὥστε ὁ ὁρισμὸς ὁ λέγων ὅτι Ἀλέξανδρός ἐστιν ἰσχνὸς φιλόσοφος λευκὸς Ἀφροδισιεύς, οὐχ ἑνός ἐστιν, ἀλλὰ τοῦ ἰσχνοῦ Ἀλεξάνδρου καὶ τοῦ λευκοῦ Ἀλεξάνδρου καὶ τοῦ φιλοσόφου Ἀλεξάνδρου καὶ τοῦ Ἀφροδισιέως Ἀλεξάνδρου, οἵπερ εἰσὶν ἕτεροι· ὁ γὰρ ἰσχνὸς Ἀλέξανδρος, ᾗ ἰσχνός, ἕτερός ἐστι τοῦ λευκοῦ Ἀλεξάνδρου. οὐκ ἄρα ἔστι τῶν καθ' ἕκαστα ὁρισμός. αὕτη δὲ ἡ ἐπιχείρησις ἔνδοξός ἐστι καὶ οὐ πραγματώδης, ὡς αἱ λοιπαί· ἐκεῖναι γὰρ ἀναγκαῖαι καὶ ἀληθεῖς. εἰπὼν δὲ ὅτι τὸ ζῷον δίπουν ὑπάρξει καὶ ἀμφοῖν, τῷ τε ζῴῳ καὶ τῷ δίποδι, ἐπήγαγε καὶ τοῦτο ἐπὶ μὲν τῶν ἀιδίων ἀνάγκη εἶναι πρότερά γε ὄντα καὶ μέρη τοῦ συνθέτου, τουτέστιν ἀναγκαῖόν ἐστιν ὑπάρχειν τὸ ζῷον δίπουν ἔν τε τῷ δίποδι χωρὶς καὶ ἐν τῷ ζῴῳ πάλιν ἰδίως. ἐπειδὴ γὰρ καθ' αὑτά εἰσι τό τε αὐτοζῷον καὶ τὸ αὐτοδίπουν, εἶτα συνελθόντα γεγόνασι μέρη τοῦ συνθέτου, οἷον τοῦ αὐτοανθρώπου, ἀνάγκη καὶ τὸ ζῷον δίπουν κατηγορεῖν τοῦ δίποδος τοῦ καθ' αὑτὸ ὄντος καὶ πάλιν τοῦ ζῴου· καὶ αὐτὸ γὰρ καθ' αὑτό ἐστιν. δύναται τὸ καὶ τοῦτο ἐπὶ μὲν τῶν ἀιδίων ἀνάγκη εἶναι πρότερά γε ὄντα καὶ μέρη τοῦ συνθέτου συντάττεσθαι τῷ ἀνάγκη ἄρα ὑπάρχειν καὶ ἄλλῳ ταῦτα, τουτέστιν ἀνάγκη τὸ ζῷον καὶ τὸ δίπουν ἀίδια ὄντα καὶ κοινὰ καὶ ἄλλοις ὑπάρχειν. οὐ μόνον δὲ τὸ ζῷον καὶ τὸ δίπουν πρότερά ἐστι τοῦ αὐτοανθρώπου, ἀλλὰ καὶ χωριστὰ αὐτὰ καθ' αὑτά, εἴπερ καὶ ὁ αὐτοάνθρωπος· ᾗ γὰρ οὐδὲν ἔσται χωριστόν, ᾗ εἴπερ ἔστιν ὁ αὐτοάνθρωπος, ἀνάγκη εἶναι καὶ τὸ ζῷον χωριστὸν καὶ καθ' αὑτό. εἰπὼν δὲ ᾗ γὰρ οὐδὲν ᾗ ἄμφω, πάλιν ἐπανέλαβε τὸν λόγον καί φησιν εἰ μὲν οὖν μηδέν ἐστι χωριστόν, οὐκ ἔσται τὸ ζῷον παρὰ τὰ εἴδη, ἀλλ' ἐν αὐτοῖς· εἰ δέ ἐστι καὶ τὸ εἶδος καὶ τὸ γένος χωριστόν, δῆλον ὡς καὶ ἡ διαφορά, καὶ ἔσονται πρότερα τοῦ αὐτο|ανθρώπου, καὶ συναναιρήσουσιν ἀλλ' οὐκ ἂν 502
συναναιρεθῶσι τῷ αὐτοανθρώπῳ· τούτου γάρ ἐστι δηλωτικὸν τὸ ταῦτα δ' οὐκ ἀνταναιρεῖται. ἔσονται ἄρα πρότεραι τῶν ἰδεῶν ἰδέαι. εἰπὼν δὲ

---

21 δὲ LS: om. A 27 αὐτοανθρώπου LFS: ἀνθρώπου A 28 τοῦ ζῴου Bonitz: τὸ ζῷον ALFS 37 ζῷον] γένος Metaph. vulg. 40 συναναιρεθεῖεν coni. Bonitz

ἀνωτέρω ὅτι εἰ δέ τις λέγοι ὅτι χωρὶς μὲν πολλοῖς ὑπάρξει, ἅμα δὲ μόνῳ τούτῳ, καὶ εἰπὼν λεκτέον πρῶτον μὲν ὅτι καὶ ἀμφοῖν, οὐκ ἐποιήσατο τὴν ἀπόδοσιν τοῦ μέν συνδέσμου, εἰπὼν ὅτι ἔπειτα δέ. ἀλλ' εἶπεν ὅτι ἔτι ἐξ ἰδεῶν ἰδέαι· ἀσυνθετώτερα γάρ· ὡς εἶναι τὸ ἔτι ἀντὶ τοῦ ἔπειτα. εἰ γάρ ἐστιν ἰδέα ὁ ἄνθρωπος, πολλῷ μᾶλλον ἔσται τὸ ζῷον καὶ τὸ δίπουν, ὅσῳ καὶ ἀσυνθετώτερα. ἔτι τὸ ζῷον καὶ τὸ δίπουν ἢ ὅ τι ἂν ἄλλο εἴη, ὅπερ ληφθήσεται εἰς τὸν τῆς ἰδέας ὁρισμόν, δεήσει ἐπὶ πολλῶν κατηγορεῖσθαι· εἰ γὰρ μή, πῶς γνωρισθήσεται; εἰ γὰρ αἱ ἰδέαι ἐκ τῶν τῇδέ εἰσι γνώριμοι, εἰ μὴ κατηγοροῦνται ἅπερ, ὡς εἴρηται, παραληφθήσεται εἰς τὸν τῆς ἰδέας ὁρισμὸν ἐπὶ πολλῶν, πῶς γνωρισθήσονται; εἰ δὲ λέγονται ἐπὶ πολλῶν, δῆλον ὡς οὐκ εἰσιν ἑνὸς ἀλλὰ πολλῶν. οὐκ ἄρα εἰσὶ τῶν καθ' ἕκαστα ὁρισμοί. ἀλλ' οὐ κατηγορηθήσονται ἐπὶ πολλῶν, φαίη ἄν τις, τὰ εἰς τὸν τῆς ἰδέας λόγον παραληφθησόμενα. ἀλλ' εἰ μὴ κατηγοροῦνται, ἐπειδὴ δέδεικται ὅτι ἐξ ὧν αἱ ἰδέαι κἀκεῖνα ἰδέαι εἰσίν, ἔσονται ἰδέαι ἅπερ οὐ κατηγορηθήσονται ἐπὶ πλειόνων· οὐ δοκεῖ δὲ τοῖς ταύτας τιθεμένοις, ἀλλὰ πᾶσαν ἰδέαν μεθεκτὴν φασι καὶ ἐπὶ πλειόνων.

p. 1040a27 Ὥσπερ οὖν εἴρηται, λανθάνει ὅτι ἀδύνατόν ἐστιν ὁρίσασθαι ἐν τοῖς ἀιδίοις.

Δείξας ὅτι τῶν καθ' ἕκαστα οὔθ' ὁρισμός ἐστιν οὔτ' ἀπόδειξις λέγει ὅτι, ὥσπερ εἴρηται, λανθάνει ὡς ἀδύνατόν ἐστιν ὁρίσασθαι τὰ ἀίδια διὰ τὸ μοναδικὰ εἶναι· καὶ μάλιστα, φησίν, ὅσα ἐστὶ μοναχά, οἷόν ἐστιν ὁ ἥλιος, ἡ σελήνη, ἡ γῆ· οὐ μόνον γὰρ ἁμαρτάνουσι τοιαῦτα λαμβάνοντες εἰς τὸν τοῦ ἡλίου ὁρισμόν, ὧν ἀφαιρουμένων πάλιν ἔσται ὁ ἥλιος· καίτοι οὐ δοκεῖ τῶν εἰς ὁρισμόν τινος παραλαμβανομένων ἑνὸς τούτων ἀφαιρουμένου εἶναι τὸ ὁριστόν· ἂν γὰρ τοῦ ἀνθρώπου ἢ τὸ πεζὸν ἢ τὸ δίπουν ἀφέλῃς ἢ τὸ ζῷον, οὐκέτι ἔσται ὁ ἄνθρωπος· ὥστε εἴπερ ἦσαν τὰ εἰς ὁρισμὸν τοῦ ἡλίου παραλαμβανόμενα συστατικὰ τῆς οὐσίας αὐτοῦ, ἑνὸς τούτων ἀφαιρουμένου οὐκέτι ἂν ἦν ἥλιος. ἀλλὰ δύναται εἶναι. πόθεν δὲ τοῦτο γίνεται; ἐκ τοῦ πειρᾶσθαι ὁρισμοὺς τῶν καθ' ἕκαστα ἀποδιδόναι, ὧν οὐκ εἰσιν ὁρισμοί. οὐκ ἄρα καλῶς ὁρίζονται. οὐ μόνον δὲ τοιαῦτα λαμβάνουσιν ἀλλ' ἀγνοοῦσι καὶ ὅτι οὐκ ἔστι τῶν καθ' ἕκαστα ὁρισμός. εἰ γὰρ τοῦτο ᾔδεσαν, οὐκ ἂν ὅλως ὁρίσαι ταῦτα ἐπεχείρουν, ἐξ οὗ καὶ τοιαῦτα λαμβάνειν αὐτοῖς συμβαίνει. καὶ τίθησι τίνα ἔστι τὰ εἰς τὸν τοῦ ἡλίου ὁρισμὸν παραλαμβανόμενα μὴ καλῶς, | τό τε περὶ γῆν ἰὸν καὶ τὸ 503 νυκτικρυφές· ἐπειδὴ γὰρ τὸ περὶ γῆν ἰέναι ἢ τὸ ἐν νυκτὶ κρύπτεσθαι εἰς ὁρισμὸν τοῦ ἡλίου παραλαμβάνουσι, δῆλον ὅτι συστατικά εἰσι τῆς τοῦ ἡλίου οὐσίας, ὥστε ἄν τις ἀφέληται τοῦ ἡλίου τὸ περὶ γῆν ἰέναι ἢ τὸ νυκτικρυφές, οὐκέτι ἔσται ὁ ἥλιος. ἢ ὅλως ἐὰν στῇ ὁ ἥλιος, οὔτε περὶ γῆν διε-

3 ἔτι] ἔπειτα δὲ εἰ Metaph. vulg. 4 ἀσυνθετώτερα FS: συνθετώτεραι A: συνετώτεραι L 30 δὲ LF: om. A 32 οὐκ ἂν LS: οὐ γὰρ κἂν A

λεύσεται οὔτε τῇ νυκτὶ κρυφήσεται· εἰ δὲ τοῦτο, οὐκ ἔσται. ἀλλ' ἄτοπον εἰ μὴ ἔστι διὰ τὸ ἵστασθαι ἢ διὰ τὸ μὴ ὑπὸ γῆν διιέναι ἢ ἐν νυκτὶ κρύπτεσθαι· οὐσία γάρ τίς ἐστιν ὁ ἥλιος, τὸ δὲ κρύπτεσθαι συμβεβηκός· πῶς οὖν τοῦ συμβεβηκότος ἀναιρουμένου ἀναιρεθήσεται οὐσία; ἄλλως τέ εἰσί τινες τόποι κατὰ τὸν βόρειον πόλον, καθ' οὓς ὁ ἥλιος οὐ κρύπτεται καὶ ὅμως ἔστιν. οὐκ ἔδει δὲ εἶναι, εἴπερ τὸ κρύπτεσθαι εἰς τὴν οὐσίαν καὶ τὸ τί ἦν εἶναι ἡλίῳ συνέτεινεν. ἔτι, φησίν, ὅσα ἐπ' ἄλλου ἐνδέχεται, τουτέστιν, ἔτι εἴπερ ἦσαν ἐκτὸς τοῦδε τοῦ κόσμου ἄλλοι κόσμοι, ὡς ὁ Δημόκριτος ἔφασκε, δῆλον ὅτι καὶ οἱ ἐν ἐκείνοις τοῖς κόσμοις ἥλιοι περὶ γῆν ἂν διήρχοντο ἢ τῇ νυκτὶ ἐκρύπτοντο, ὥστε ὁ λόγος ὁ τοῦδε τοῦ ἡλίου κοινὸς ἂν ἦν καὶ ἥρμοζε κἀκείνοις. ἀλλ' ὑπέκειτο εἷς εἶναι ἥλιος, ὥσπερ Κλέων ἢ Καλλίας, καὶ μόνου τοῦδε εἶναι τὸν λόγον· εἰ δὴ ὁ τοιοῦτος λόγος, φημὶ δὴ τὸ νυκτικρυφὲς καὶ τὸ περὶ γῆν ἰόν, καὶ ἐπ' ἄλλοις ἐφαρμόζει, δῆλον ὅτι οὐκ ἔστιν ὁρισμὸς τῶν καθ' ἕκαστα. οὕτως δὴ δείξας ὅτι τῶν καθ' ἕκαστα ὁρισμὸς οὐκ ἔστι, μαρτύρεται καὶ τοὺς τὰς ἰδέας τιθεμένους, λέγων ὅτι διὰ τί οὐδεὶς αὐτῶν ὅρον λέγει τινὸς ἰδέας, ἀλλὰ πάσας ἀορίστους καταλιμπάνουσι καί φασι μὴ εἶναι ὁρισμὸν τῶν ἰδεῶν; ἢ δῆλον διὰ τὸ καὶ ἐκείνους ὑπολαμβάνειν μὴ εἶναι ὁρισμοὺς τῶν καθ' ἕκαστα. ὥστε, φησί, γένοιτ' ἂν καὶ ἐκ τῶν τὰς ἰδέας λεγόντων ἀληθὲς τὸ νῦν εἰρημένον, τοῦτο δ' ἐστὶ τὸ μὴ εἶναι ὁρισμοὺς τῶν καθ' ἕκαστα.

p. 1040ᵇ5 Φανερὸν δ' ὅτι καὶ τῶν δοκουσῶν εἶναι οὐσιῶν αἱ πλεῖσται δυνάμεις εἰσί.

Ἐπειδὴ γὰρ οὐσίας ἐκεῖνά φαμεν ὅσα καθ' αὑτὰ ὄντα δύναται τὸ οἰκεῖον ἔργον ἀποτελεῖν (οὐσία γὰρ οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ ἀφ' οὗ τὸ ἑκάστου ἔργον ἐκπληροῦται· οὐσία γὰρ καὶ εἶδος Σωκράτους ἡ τοῦ Σωκράτους ψυχή, ἀφ' ἧς αὐτῷ τὸ τοῦ ἀνθρώπου ᾗ ἄνθρωπος ἔργον ἐκπληροῦν), λέγει ὅτι καὶ τὰ μέρη τῶν ζῴων, χεῖρες καὶ πόδες, ἅπερ μάλιστα δοκοῦσιν εἶναι οὐσίαι, φανερόν ἐστιν ἐκ τούτων ὡς οὐκ εἰσὶν οὐσίαι ἀλλὰ δυνάμεις. οὐσίας γάρ ἐστι τὸ καθ' αὑτὴν οὖσαν τὸ καθό ἐστιν αὐτῆς ἔργον ἐκπληροῦν, ἡ δὲ χεὶρ τοῦ ὅλου χωρισθεῖσα τὸ ἔργον αὐτῆς ᾗ χεὶρ οὐκ ἐκπληροῖ, καίτοι καθ' αὑτὴν οὖσα. οὐ γὰρ ἐν τῷ τοιονδὶ σχῆμα ἔχειν χείρ ἐστιν, ἀλλ' ἐν τῷ ἐκπληροῦν τὸ ἑπόμενον τῷ τοιονδὶ σχῆμα ἔχοντι ἔργον· ἐπεὶ εἴ γε κατὰ τὸ τοιονδὶ σχῆμα ἕκαστον οὐσίωτο, ἦν ἂν καὶ ἡ τοῦ ἀνδριάντος χεὶρ χείρ (οὐκ ἔστι δέ), καὶ ὁ ἀνδριὰς | ἄνθρωπος. ἀλλ' εἰ μετὰ τοῦ ὅλου ὄντα τὰ μέρη τῶν ζῴων οὐκ εἰσὶν ἐνεργείᾳ οὐσίαι ἀλλὰ δυνάμει (ἐκεῖνα γὰρ ἐλέγετο εἶναι ἐνεργείᾳ οὐσίαι, ἅπερ εἰσὶν αὐτὰ καθ' αὑτὰ καὶ ἐκπληροῦσι τὸ οἰκεῖον ἔργον), ἆρά γε χωρισθέντα 504

---

4 τέ L: τό A 11 ἥλιος L: ὁ ἥλιος A 13 τὸ περὶ L: τὸ om. A
15 μαρτύρεται LFS: μαρτύρεσθαι A 18 καὶ LFS: om. A 30 ᾗ χεὶρ LF: ᾗ χεῖρον A

καὶ καθ' αὑτὰ ὄντα λέγονται οὐσίαι; ἤ, ὡς πολλάκις εἴρηται, ἐπειδὴ οὐκ
ἐν τῷ τοιῳδὶ σχήματι ἡ χεὶρ καὶ ὁ ποὺς οὐσίωται, ἀλλ' ἐν τῇ ἀπὸ τῆς
ψυχῆς αὐτοῖς ἥ τοιαῦτά ἐστιν ἐνδιδομένη δυνάμει, ὥστε τὸ οἰκεῖον ἔργον
ἐκπληροῦν, εἰ μὲν τοῦ ὅλου χωρισθέντα ἠδύναντο τὴν ἀπὸ τῆς ψυχῆς ἐν-
διδομένην αὐτοῖς δύναμιν δέχεσθαι καὶ διὰ ταύτης ἐκπληροῦν τὸ οἰκεῖον
ἔργον, ἐλέγοντο ἂν οὐσίαι· ἐπεὶ δὲ τοῦτο ἀδύνατόν ἐστι γενέσθαι, ὄντα μὲν
μετὰ τοῦ ὅλου λέγονται δυνάμει οὐσίαι, ὅταν δὲ χωρισθῶσιν, οὐ λέγονται
οὐσίαι σύνθετοι, καίτοι σύνθετοι οὖσαι· ἀλλ' ὡς τὸ πῦρ πρὸς αὐτά (ὕλη
γὰρ αὐτῶν τὸ πῦρ), οὕτω ταῦτα πρὸς τὸν Σωκράτην. ὕλη γὰρ καὶ αὐτὰ
τοῦ ἐκ ψυχῆς καὶ σώματος Σωκράτους· τὸ γὰρ σῶμα ὕλη, ἡ δὲ ψυχὴ τὸ
εἶδος. καὶ δῆλον ὡς τῆς χειρὸς καὶ τῶν τοιούτων οὐ πάντῃ ἀποφάσκει
τὴν οὐσίαν. ἀλλὰ τὴν μὲν ὡς ὕλην λεγομένην οὐσίαν δίδωσιν αὐτοῖς, τὴν
δ' ὡς ἐξ ὕλης καὶ εἴδους οὐ συγχωρεῖ, διὰ τὸ ἕκαστον εἰδοποιεῖσθαι τῇ
οἰκείᾳ ἐνεργείᾳ, ταῦτα δὲ ἐστερῆσθαι αὐτῆς. ὅταν οὖν, φησί, χωρισθῇ
τὰ μόρια τοῦ ὅλου καὶ ὦσι καθ' αὑτά, ὡς ὕλη πάντα εἰσί, καὶ ὡς γῆ
καὶ πῦρ καὶ ἀήρ. καὶ τὴν αἰτίαν τοῦ ὅπως καὶ μετὰ τὸ χωρισθῆναι οὐκ
εἰσιν οὐσίαι προσέθηκεν εἰπὼν οὐδὲν γὰρ αὐτῶν ἕν ἐστιν, ἴσον λέγων
τῷ ὅτι ἡ οὐσία σὺν τῷ τὸ οἰκεῖον ἔργον ἐκπληροῦν καὶ ἓν εἶναι ὀφείλει ἐνερ-
γείᾳ· τὰ δὲ μόρια ἐπειδὰν χωρισθέντα σωρηδὸν κέηται, οὐκ εἰσιν ἐνεργείᾳ
ἓν ἀλλὰ δυνάμει. ὥσπερ γὰρ ὁ σωρὸς τῶν χρυσίνων ἢ τῶν καττιτερίνων
ψηγμάτων δυνάμει ἐστὶν ἕν, ὅταν δὲ τὸ πῦρ τήξῃ πάντα καὶ ὡς εἰπεῖν
πέψῃ καὶ ἓν γένηται, τότε εἰσὶν ἐνεργείᾳ ἕν, οὕτω καὶ τὰ μόρια σωρηδὸν
καὶ κατὰ παράθεσιν κείμενα δυνάμει εἰσὶν ἕν, ἀλλ' οὐκ ἐνεργείᾳ. τινὰ δὲ
τῶν ἀντιγράφων ἔχει ὁ ὀρρός· καὶ εἴη ἂν λέγων ὅτι ὥσπερ ὁ ὀρρὸς πρὶν
ἢ πεφθῇ, τουτέστι πρὶν ἢ παγῇ καὶ ὅλως τυρωθῇ, οὐ λέγεται ἓν ἐνεργείᾳ
ἀλλὰ δυνάμει, ἐπειδὰν δὲ τυρωθῇ τότε λέγεται ἕν, οὕτω καὶ ἐπὶ τῶν μο-
ρίων. μάλιστα δέ, φησίν, ὑπολάβοι ἄν τις τὰ τῶν ἐμψύχων μόρια, καὶ
τούτων οὐ πάντων ἀλλά τινων, ὁμοίως δὲ καὶ τῆς ψυχῆς, πάρεγγυς τοῦ
καὶ ἐνεργείᾳ μετὰ τοῦ ὅλου ὄντα οὐσίας αὐτὰ λέγειν καὶ δυνάμει· ἐπειδὴ
γὰρ καὶ μετὰ τὸ χωρισθῆναι καὶ καθ' αὑτὰ εἶναι δύναται κινεῖσθαι καὶ
αἰσθάνεσθαι, δόξειεν ἂν εἶναι καὶ ἐνεργείᾳ καὶ δυνάμει· δυνάμει μὲν γάρ
ὅτε μετὰ τοῦ ὅλου εἰσίν, ἐνεργείᾳ δὲ ὅτι, ἐπειδὴ χωρισθέντα κινεῖται καὶ
αἰσθάνεται, δοκεῖ ὡς καὶ | μετὰ τοῦ ὅλου ὅταν ᾖ καθ' αὑτά ἐστι καὶ 505
οὐ συνέχει τῷ ὅλῳ. ὅτι δὲ πολλὰ μόρια τῶν ζῴων χωρισθέντα κινεῖται,
δῆλον· οἱ γὰρ ὄφεις δίχα τεμνόμενοι κινοῦνται; ἀλλὰ καὶ πόδες ἀκρίδων
καὶ φαλαγγίων. ἃ καὶ σηψιδακῆ λέγει. καὶ ἄλλων πολλῶν χωρισθέντων.
ἐπειδὰν χωρισθέντα ἠρεμῇ, εἴ τις αὐτῶν ἅψοιτο, αἰσθάνεται καὶ κινεῖται.
εἰπὼν οὖν ὅτι σύνεγγυς τοῦ δυνάμει καὶ ἐντελεχείᾳ εἰσί, λέγει ὅτι ὅμως
κἂν χωρισθέντα κινῆται καὶ αἰσθάνηται, ἀλλ' οὐν ὅταν μετὰ τοῦ ὅλου

---

1 λέγονται] ἔσονται LF 2 ἀλλ' LS: in lac. om. A 15 ὦσι M: εἰσὶ AL
17 ἕν LF: om. A 18 τῷ ὅτι M: τῷ om. ALF 19 κέηται Brandis: κεῖται
ALF 23 δὲ L: om. A 25 ἢ πεφθῇ L: ἐπεφθῇ A 38 ὅτι (post οὖν) LF:
om. A

ὑπάρχῃ καὶ ὦσιν ἓν καὶ συνεχῆ, δυνάμει εἰσὶν οὐσίαι καὶ οὐκ ἐνεργείᾳ. ἐπειδὴ δέ τινα παρὰ φύσιν εἰσὶ συνεχῆ, ὥσπερ πολλῶν δάκτυλοι συνημμένοι καὶ οὐ διακεκριμένοι, ἐπήγαγε τὸ ἀλλὰ μὴ βίᾳ ἢ συμφύσει, ἴσον λέγων τῷ ἐκεῖνά φημι κυρίως ἕν, ὅσα ἐκ φύσεώς εἰσι συνεχῆ, ἀλλὰ μὴ βίᾳ καὶ συμφύσει· ταῦτα γὰρ πηρώματά ἐστιν, ἀλλ' οὐ κατὰ φύσιν.

p. 1040b16 Ἐπειδὴ δὲ τὸ ἓν λέγεται ὥσπερ καὶ τὸ ὄν, καὶ οὐσία ἡ τοῦ ἑνὸς μία, καὶ ὧν μία ἀριθμῷ ἓν ἀριθμῷ.

Δείξας ὅτι ὁ καθόλου ἄνθρωπος καὶ ἁπλῶς πᾶν εἶδος οὐκ ἔστιν οὐσία, δείκνυσιν ὅτι οὐδὲ τὸ ἓν ἢ τὸ ὄν, ὥσπερ ἔλεγον οἱ τὰ εἴδη τιθέμενοι τὸ αὐτοὲν καὶ αὐτοόν, ἐστὶν οὐσία. λέγει δὴ ὅτι ἐπειδὴ τὸ ὂν λέγεται ὥσπερ καὶ τὸ ἕν (ἔδειξε γὰρ ἐν τῷ Γ τῇσδε τῆς πραγματείας ὡς ἀκολουθεῖ ἀλλήλοις τό τε ἓν καὶ τὸ ὄν, καὶ εἴ τι ἕν, τοῦτο καὶ ὄν ἐστι, καὶ ἔμπαλιν εἴ τι ὄν, τοῦτο καὶ ἕν), ἐπειδὴ τοίνυν λέγεται τὸ ἓν ὥσπερ καὶ τὸ ὄν, καὶ ἡ οὐσία ἡ τοῦ ἑνὸς μία (ἐμοῦ γὰρ ἑνὸς ὄντος καὶ ἡ οὐσία ἡ ἐμὴ μία ἐστίν· οὐδὲν γὰρ ἄλλο τί εἰμι ἀλλ' ἢ ἡ οὐσία μου), καὶ ἔμπαλιν ὧν μία τῷ ἀριθμῷ ἡ οὐσία, ἐκεῖνα ἕν εἰσι τῷ ἀριθμῷ, δῆλον ὡς οὔτε τὸ ἓν οὔτε τὸ ὄν ἐστιν οὐσία τῶν πραγμάτων, ἀλλὰ κατηγορήματα μόνον καὶ ὀνόματα λεγόμενα κατὰ πραγμάτων. ὥσπερ γὰρ τοῦ πυρὸς κατηγορεῖται τὸ στοιχεῖον (λέγομεν γὰρ τὸ πῦρ στοιχεῖον), ὁμοίως καὶ ἡ ἀρχή, καὶ οὐ δήπου ἂν εἴποι τις ὅτι οὐσία τοῦ πυρὸς τὸ στοιχείῳ εἶναί ἐστιν, ἀλλ' οὐσία μὲν αὐτοῦ ἐστι τὸ θερμὸν καὶ ξηρόν, τὸ δὲ στοιχεῖον καὶ ἡ ἀρχὴ κατηγορήματά τινα καὶ ὀνόματα κατὰ τοῦ πυρὸς λεγόμενα, οὕτω καὶ τὸ ὂν καὶ τὸ ἓν ὀνόματά εἰσι ψιλὰ κατὰ πραγμάτων λεγόμενα, οὐ μὴν οὐσίαι καὶ φύσεις τῶν πραγμάτων εἰσίν. εἰ γὰρ ἦν οὐσία τῶν πραγμάτων τὸ στοιχεῖον ἢ τὸ ἓν ἢ τὸ ὄν, οὐκ ἂν ἀκούσαντες στοιχεῖον ἢ ἓν ἐζητοῦμεν τί ἐστι τὸ ὑπὸ τοῦ ἑνὸς δηλούμενον ἢ ὑπὸ τοῦ στοιχείου, ἀλλ' ἐν ἠρεμίᾳ ἦμεν· νῦν δὲ ἓν ἀκούσαντες ἢ ὂν ἢ στοιχεῖον ζητοῦμεν, ἵνα εἰς γνωριμώτερόν τι ἀναγάγωμεν, καὶ εἰπόντος φέρε ὅτι τὸ λεγόμενον ἓν πῦρ ἐστιν ἢ τὸ λεγόμενον στοιχεῖον ὕδωρ, γνωριμώτερόν τι ἀκηκόαμεν, καὶ ὁ ἀκούσας ἠρέμησε μηδὲν ἔτι πολυπραγμονῶν ἢ ζητῶν. μᾶλλον μὲν οὖν, φησί, τὸ ἓν καὶ τὸ ὂν οὐσίαι εἰσὶ τοῦ στοιχείου καὶ τῆς ἀρχῆς, | τουτέστι μᾶλλον μὲν δηλωτικά εἰσι τὸ ἓν καὶ ὂν οὐσίας καὶ σημαίνουσιν οὐσίαν ἤπερ τὸ στοιχεῖον· πρῶτον μὲν ὅτι τὸ ἓν καὶ τὸ ὂν καὶ ἐν τοῖς νοητοῖς καὶ αἰσθητοῖς καὶ ἁπλῶς ἐν πᾶσι θεωρεῖται, τὸ δὲ στοιχεῖον οὐδὲ ἐν τοῖς αἰσθητοῖς πᾶσιν· ὡσαύτως οὐδὲ ἡ ἀρχὴ ἐν ἅπασι θεωρεῖται· ἔπειτα ὅτι τὸ στοιχεῖον τῶν πρός τι ἐστὶ τὸ δὲ ἓν τῶν καθ' αὑτό, τὰ δὲ καθ' αὑτὸ μᾶλλον σημαντικά εἰσιν οὐσιῶν καὶ ὡς εἰπεῖν ἐγγίζει τῇ οὐσίᾳ ἤπερ τὰ πρός τι. ὅμως δὲ εἰ καὶ μᾶλλον οὐσίας δηλωτικά ἐστιν, ἀλλ' οὖν οὐκ εἰσιν οὐσίαι,

1 ὦσιν M: εἰσὶν ALF 11 γάμμα M: βῆτα ALFS; cf. Γ 2 15 οὐδὲν L: οὐδὲ A 17. 18 ἀλλὰ — πραγμάτων LS: om. A 21 ξηρόν L: τὸ ξηρόν A

εἴπερ μηδ' ἄλλο μηδὲν τῶν κοινῶν οὐσία. καὶ συλλογίσαιτ' ἄν τις οὕτως. οὐδὲν τῶν κοινῶν καὶ κατὰ τῶν πολλῶν λεγομένων οὐσία ἐστί (τοῦτο γὰρ δέδεικται)· τὸ ἓν καὶ τὸ ὄν τῶν κοινῶν καὶ κατὰ πολλῶν λεγομένων εἰσί· τὸ ἓν ἄρα καὶ τὸ ὄν οὔκ εἰσιν οὐσίαι. καὶ ἄλλως· οὐδεμία οὐσία οὐδενὶ ἑτέρῳ ὄντι παρ' αὐτὴν ὑπάρχει, ἀλλ' αὐτὴ ἐν αὐτῇ ἐστι καὶ τῷ ἔχοντι αὐτήν· καὶ τὸ ἓν καὶ τὸ ὄν ἑτέροις ὑπάρχει· τὸ ἓν ἄρα καὶ τὸ ὄν οὔκ εἰσιν οὐσίαι. ὅτι δὲ ἡ οὐσία οὐκ ἐνυπάρχει ἑτέρῳ ἀλλ' ἐν αὐτῇ ἐστι, δῆλον. ἐγὼ γὰρ οὐσία ὢν οὐχ ὑπάρχω τινὶ ἀλλ' ἐν ἑαυτῷ εἰμι καὶ ἡ ἐμὴ οὐσία ἐν ἐμοί ἐστιν· οὐδὲν γὰρ ἄλλο ἐστὶν ἡ ἐμὴ οὐσία ἢ ἐγώ. ἔτι τὸ ἕν, φησί, πολλαχῇ οὐκ ἂν εἴη ἅμα, τουτέστιν ἡ μία οὐσία, ὁ Σωκράτης φημὶ ἢ ὁ Καλλίας, οὐ δύναται ἅμα εἶναι καὶ ἐν Λυκείῳ καὶ ἐν ἀγορᾷ· τὸ δὲ κοινὸν ἓν τὸ κατὰ τῶν ἑνῶν κατηγορούμενον διὰ τὸ ὁμοίωμα τυγχάνειν τῶν καθ' ἕκαστα, αὐτό τε καὶ πᾶν καθόλου ἅμα πολλαχῇ ἐστιν· ἓν γὰρ καὶ ἐν Ἀθήναις καὶ ἐν Θήβαις καὶ ἐν Λιβύῃ καὶ ὅλως πανταχῇ ἐστι· τὸ ἓν ἄρα τὸ κοινὸν οὐκ ἔστιν οὐσία. γράφεται δὲ καὶ ἔτι τὸ ὄν, καὶ εἴη ἂν διὰ ταύτης τῆς γραφῆς λέγων ὅτι τὸ ὄν, τουτέστι τὸ ὑπάρχον οὐσίᾳ, πολλαχῇ ἅμα οὐ δύναται εἶναι· τὸ δὲ κοινὸν ἓν καὶ ὂν ἅμα πολλαχῇ εἰσι· τὸ ἓν ἄρα καὶ ὂν οὔκ εἰσιν οὐσίαι. ὥστε δῆλον ὡς εἴπερ αἱ οὐσίαι χωρὶς καθ' αὑτὰς δύνανται εἶναι, τὰ δὲ καθόλου δέδεικται ὅτι οὔκ εἰσιν οὐσίαι ἀλλὰ τῶν κατὰ μέρος ὁμοιώματα, φανερὸν ὡς οὐδὲν τῶν καθόλου ὑπάρχει παρὰ τὰ καθ' ἕκαστα καὶ χωρίς, ἀλλ' ἐν αὐτοῖς τὸ εἶναι ἔχει.

p. 1040b27 Ἀλλ' οἱ τὰ εἴδη λέγοντες εἶναι τῇ μὲν ὀρθῶς λέγουσι χωρίζοντες αὐτά.

Ἐπειδὴ τὸ τῆς οὐσίας ἐξαίρετόν ἐστι τὸ εἶναι καθ' αὑτήν, οἱ δὲ τὰ εἴδη λέγοντες οὐσίας αὐτὰ ἔλεγον, κατ' αὐτὸ τοῦτο χωρίζοντες καὶ καθ' αὑτὰ λέγοντες εἶναι ἔλεγον ὀρθῶς· τῷ ὄντι γὰρ εἴπερ ἦσαν τὰ εἴδη οὐσίαι, χωριστὰ καὶ καθ' αὑτὰ εἴησαν ἄν. ᾗ μὲν οὖν οὐσίας τὰ εἴδη λέγοντες χωριστὰ καὶ καθ' αὑτὰ ἐτίθεντο, ἔλεγον ὀρθῶς· ᾗ δὲ πάλιν τὸ ἓν εἶδος, οἷον τὸν αὐτοάνθρωπον, οὐσίαν λέγοντες ἐπὶ πολλῶν ἐκατηγόρουν, οὐκ ἔλεγον ὀρθῶς· οὐδεμία γὰρ οὐσία, ὡς δέδεικται, ἐπὶ πολλῶν λέγεται. εἶτα καὶ τὴν αἰτίαν τίθησι τοῦ πῶς τὰ εἴδη οὐσίας | λέγοντες κατὰ πολλῶν 507 ἐκατηγόρουν αὐτά, λέγων Αἴτιον δὲ τοῦ ταῦτα οὐσίας λέγοντας κατηγορεῖν κατὰ πολλῶν· ἐρωτώμενοι γὰρ τίνες εἰσὶν αἱ τοιαῦται οὐσίαι, αἵπερ εἰσὶν ἄφθαρτοι καὶ παρὰ τὰς καθ' ἕκαστα καὶ αἰσθητάς, καὶ μὴ ἔχοντες ἀποδοῦναι καὶ εἰπεῖν, παρῆγον τὸν Καλλίαν καὶ Κάλλιππον καὶ Φαίδωνα, λέγοντες ὡς ὁ καθόλου ἄνθρωπος οὗτοι οὔκ εἰσιν, τῇ δὲ αὐτοανθρώπου μεθέξει οὗτοι ὑπάρχουσι· μετέχουσι γὰρ οἱ κατὰ μέρος ἅπαντες ἄνθρωποι

1 μηδὲν M Bonitz: οὐδὲν AL 4 ἄρα LS: ἀλλὰ A 8 τινὶ ἄλλῳ ἀλλ' e S coni. Bonitz 12 ἑνῶν] ἕνων A: ἔνων L 28 καθ' αὑτὰ LF: καθ' αὑτὰς A οὖν L: φησὶν A 37 οὔκ M: om. ALFS δὲ M: γὰρ ALFS

τοῦ αὐτοανθρώπου.' ποιοῦσιν οὖν ταύτας τὰς ἰδέας, τὸν αὐτοάνθρωπον καὶ αὐτοῖππον, τὰς αὐτὰς τῷ εἴδει τοῖς φθαρτοῖς· προστιθέντες γὰρ τῷ αἰσθητῷ ἀνθρώπῳ τὸ αὐτό (τοῦτο γὰρ εἶπε ῥῆμα καταχρηστικῶς), χειροτονοῦσι καὶ ποιοῦσι καθόλου ἄνθρωπον, λέγοντες αὐτοάνθρωπον καὶ αὐτοῖππον. τῷ γὰρ ἀνθρώπῳ, ὡς εἴρηται, εἰ προστεθείη τὸ αὐτό, γίνεται αὐτοάνθρωπος. καίτοι κἂν κατ' ἀλήθειαν ἦσαν αἱ ἰδέαι καὶ ἐν ὑπάρξει ὑπῆρχον, κἂν ἡμεῖς μὴ ἑωράκειμεν, ἦσαν ἄν. τίς οὖν ἀνάγκη ἦν δεικνύναι αὐτὰς ἐν τοῖς αἰσθητοῖς; ἔδει γὰρ αὐτοὺς ἐρωτωμένους τίνες εἰσὶν αὗται αἱ οὐσίαι, πρὸς τὸν πυνθανόμενον ἀποκρίνεσθαι ὅτι νοοῦμεν μὲν αὐτοάνθρωπον, ἀλλ' οὖν ἐν τῷ νοητῷ κόσμῳ ὄντα οὐ δυνάμεθα αὐτὸν δεῖξαι, οὐ μὴν παράγειν τοὺς καθ' ἕκαστα καὶ λέγειν ὡς ὁ αὐτοάνθρωπος οὗτοί εἰσιν· ἐν τούτοις γάρ ἐστι, καὶ τῇ μετουσίᾳ ἐκείνου οὗτοί εἰσιν. ἀλλ' ὡς ἔοικε τοῦτο ἐκεῖνοι ἐποίουν δεδιότες, ὡς εἰ μὴ θεασάμενοι τύχοιμεν αὐτό, οὐδὲ δύναται εἶναι. καίτοι καὶ τῶν ἀστέρων πολλούς, οἷον τὸν Κάνωβον, οὐχ ὁρῶμεν, ἀλλ' ὅμως οὐδὲν ἧττόν ἐστιν οὐσία παρ' οὓς ἡμεῖς ὁρῶμεν. οὕτως οὖν τί ἐκώλυεν, εἴπερ ἦν ὁ αὐτοάνθρωπος, καὶ ἡμῶν μὴ ἑωρακότων εἶναι. ὥστε καὶ νῦν εἰ μὴ ἔχομεν ἰδεῖν τὰ εἴδη, ἀλλ' οὖν, φησίν, εἶναί τινας οὐσίας, οὐχ οἵας οἱ τὰς ἰδέας τιθέμενοι ἔλεγον ἀλλ' ἀσωμάτους καὶ νοερᾶς, ἀναγκαῖον. τὸ δὲ ἴσως πρόσκειται διὰ τὸ μήπω τοῦτο δεῖξαι, λέγω δὴ τὸ εἶναί τινας οὐσίας παρὰ τὰς αἰσθητάς, κἂν μὴ ἡμεῖς ταύτας ἰδεῖν δυνώμεθα. ταῦτα εἰπὼν καὶ δείξας συμπεραίνεται λέγων ὅτι μὲν οὖν οὔτε τῶν καθόλου λεγομένων οὐδέν ἐστιν οὐσία οὔτε ἐστὶν οὐσία οὐδεμία ἐξ ἐνεργείᾳ οὐσιῶν δῆλον.

p. 1041a6 Τί δὲ χρὴ λέγειν καὶ ὁποῖόν τι τὴν οὐσίαν πάλιν ἄλλην ἀρχὴν ποιησάμενοι λέγωμεν.

Ἴσως γάρ, φησίν, ἐκ τούτων τῶν οὐσιῶν δῆλον ἔσται καὶ περὶ ἐκείνης τῆς οὐσίας τῆς ἀσωμάτου καὶ κεχωρισμένης τῶν αἰσθητῶν. καὶ ὅρα τὸ εὐμέθοδον τοῦ θαυμαστοῦ τοῦδε ἀνδρὸς καὶ ἀγχινούστατον, ὅπως ἀνιχνεύει δαιμονίως ἄγαν καὶ ποικίλως τὴν τῆς πρώτης οὐσίας εὕρεσιν, τοῦ πολυτιμήτου φημὶ καὶ πολυποθήτου καὶ πάντων πατρὸς θεοῦ· ζητεῖ γὰρ ἐνταῦθα ὅτι τί ποτέ | ἐστι τὸ τὴν ὕλην κινῆσαν εἰς τὸ τὰ εἴδη εἰληφέναι, καὶ 508 δείκνυσιν ὅτι τὸ πρῶτον εἶδός ἐστιν, ὅπερ καὶ οὐσίαν χρὴ λέγειν. ἀλλ' εἰ τὸ εἶδος τὸ ἐν τοῖς καθ' ἕκαστά ἐστι τὸ κινοῦν τὴν ὕλην καὶ τάττον αὐτήν, δῆλον ὡς ἔστι τι εἶδος τὸ κινοῦν καὶ τάττον καὶ ποιοῦν ἔχειν τὰ τῇδε ὅπως ἔχει, καὶ ἔστι τοῦτο ὁ πολυύμνητος θεός.

---

5 εἰ LFS: om. A 6 κἂν εἰ coni. Bonitz 13 τύχοιμεν M: τύχωμεν ALF 14. 15 ἀλλ' ὅμως—ὁρῶμεν LF: om. AS 20. 21 δυνώμεθα Brandis Bonitz: δυνάμεθα ALM 29. 30 πολυτιμήτου FM: πολυτίμου AL 33. 34 ἐστι—εἶδος LS: om. A

p. 1041a9 Ἐπεὶ οὖν ἡ οὐσία ἀρχὴ καὶ αἰτία τίς ἐστιν, ἐντεῦθεν μετιτέον.

Ὥσπερ εἶπον, διὰ τούτων ἐπιζητεῖ τί ποτέ ἐστιν τὸ τὴν ὕλην κινοῦν εἰς τὸ γίνεσθαι τὰ πράγματα, καί φησιν ὅτι ἐπειδὴ ἡ οὐσία, λέγων οὐσίαν τὸ εἶδος, ἀρχὴ καὶ αἰτία ἐστίν (καὶ ὅρα πῶς ἐκ προοιμίων τὸ οἰκεῖον ὑποφαίνει βούλημα), ἐντεῦθεν μετιτέον. δεῖ δὲ πρὸ τῆς τῶν λεγομένων σαφηνείας ὑπομνησθῆναι ἡμᾶς ὅτι τὸ διὰ τί ἐπὶ μὴ ὄντων οὐ ζητεῖται ἀλλ' ἐπὶ ὄντων. ὁ γὰρ ζητῶν διὰ τί τοῦτο, ζητεῖ διὰ τί τόδε ὑπάρχει τῳδί, ὥστε τὸ διὰ τί καὶ ἐπὶ ὄντων ζητεῖ καὶ ἐπὶ ὑπαρχόντων ἄλλων ἐν ἄλλοις. ζητεῖται οὖν, φησί, τὸ διὰ τί, ὅτι διὰ τί ἄλλο ἐν ἄλλῳ ὑπάρχει. τὸ γὰρ ζητεῖν ὅτι διὰ τί ὁ μουσικὸς ἄνθρωπος μουσικὸς ἄνθρωπός ἐστιν, ἢ τὸ αὐτὸ ζητεῖν ἐστι, τουτέστι διὰ τί αὐτὸ ἐν ἑαυτῷ ἐστιν, ἢ ἄλλο. εἰ μὲν οὖν λέγει τις, διὰ τί ὁ μουσικὸς ἄνθρωπος τοῦτο αὐτὸ μουσικὸς ἄνθρωπός ἐστιν, οὐδέν ἐστι ζητεῖν. εἰ δὲ διὰ τῆς τοῦ διὰ τί ὁ μουσικὸς ἄνθρωπος μουσικὸς ἄνθρωπός ἐστι ζητήσεως τοῦτο λέγει, ὅτι διὰ τί ὁ μουσικὸς ἄνθρωπος μουσικός ἐστι καὶ διὰ τί τὸ μουσικὸν ἐν τῷ ἀνθρώπῳ ὑπάρχει, μὴ προστιθεὶς τὸ ἄνθρωπος, εὔλογος ἡ ζήτησις· ζητεῖ γὰρ διὰ τί ἄλλο ἐν ἄλλῳ ὑπάρχει. τὸ μὲν οὖν διὰ τί αὐτό ἐστιν αὐτό, τουτέστι τὸ μὲν διὰ τί ὁ ἄνθρωπος ἄνθρωπός ἐστι ζητεῖν, οὐδέν ἐστι ζητεῖν· αἱ γὰρ ζητήσεις περὶ φύσεως ἑτέρων ἐν ἑτέροις ὑπαρχόντων εἰσίν, οἷον διὰ τί ὁ ἄνθρωπος ζῷον· τὸ γὰρ ζῷον ἕτερόν ἐστι παρὰ τὸν ἄνθρωπον, ὥστε περὶ ἑτέρων αἱ ζητήσεις ἀλλ' οὐ περὶ ἑαυτῶν. εἰπὼν δὲ ὅτι αἱ ζητήσεις περὶ ἄλλων ἐν ἄλλοις ὄντων εἰσίν, ἐπήγαγε δεῖ γὰρ τὸ ὅτι καὶ τὸ εἶναι ὑπάρχειν δῆλα ὄντα, ἴσον λέγων ὅτι ἐπειδὰν ζητῆται τὸ διὰ τί, δῆλον εἶναι ὀφείλει ὡς ὑπάρχει τόδε ἐν τῳδὶ καὶ ὅτι εἰσίν· ἐπὶ γὰρ τῶν μὴ ὄντων τὸ διὰ τί οὐ ζητεῖται. εἰ γὰρ ζητεῖται ὅτι διὰ τί ἡ σελήνη ἐκλείπει, δῆλον εἶναι χρὴ ὅτι ὑπάρχει τῇ σελήνῃ τὸ ἐκλείπειν. θεὶς οὖν τοῦτο μεταξὺ πάλιν ἐπανέδραμεν ἐπὶ τὸ πρότερον, λέγων αὐτὸ δὲ ὅτι αὐτό, 509
εἷς λόγος καὶ μία αἰτία ἐπὶ πάντων. καὶ εἴη ἂν λέγων ὅτι τὸ μὲν οὖν ζητεῖν διὰ τί ὁ ἄνθρωπος μουσικός ἐστιν, εὔλογος ἡ ζήτησις, τὸ δὲ λέγειν ὅτι αὐτὸ διὰ τί αὐτό, τουτέστιν ὅτι ὁ ἄνθρωπος διὰ τί ἐστιν ἄνθρωπος, καὶ ὁ ἵππος διὰ τί ἵππος, καὶ ὁ βοῦς διὰ τί βοῦς, εἷς λόγος καὶ μία αἰτία ἐπὶ πάντων. ἐρεῖ γὰρ ὁ προσδιαλεγόμενος διότι ἄνθρωπός ἐστι καὶ διότι ἵππος καὶ διότι βοῦς. ὧν δὲ ἡ αἰτία μία, καὶ ἐκεῖνα ἕν· ὥστε ἔσται ὁ βοῦς καὶ ὁ ἄνθρωπος ἓν τῷ ἀριθμῷ. εἰ δέ γε τοῦτο ἄλογον καὶ ἀδύνατον, οὐ χρὴ ζητεῖν διὰ τί ὁ ἄνθρωπος ἄνθρωπός ἐστιν. ἴσως δέ, φησίν, ἐρωτηθείς τις διὰ τί ὁ ἄνθρωπος ἄνθρωπός ἐστι καὶ ὁ ἵππος ἵππος, οὐκ ἐρεῖ διότι ἄνθρωπός ἐστι καὶ διότι ἵππος, ἀλλ' ὅτι διὰ

---

3 τούτων LFS: τοῦτο A 7 ὑπομνησθῆναι LF: ὑπομνῆσαι A 8 ζητῶν τὸ διὰ τί LF 10 ὅτι διὰ τί om. F 20 ἑτέραις LF 22 περὶ αὐτῶν coni. Bonitz 29 αἰτία MS: om. ALF

τοῦτο ὁ ἄνθρωπος ἄνθρωπός ἐστι καὶ ὁ ἵππος ἵππος, ὅτι ἀδιαίρετός ἐστιν ἕκαστος πρὸς ἑαυτόν. τὸ δὲ λέγειν ὅτι διὰ τοῦτο ἄνθρωπος ἄνθρωπός ἐστιν ὅτι ἀδιαίρετός ἐστιν ἕκαστος πρὸς ἑαυτόν, οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ λέγειν ὅτι διότι εἷς ἐστιν. ἀλλ' αὕτη ἡ αἰτία κοινὴ κατὰ πάντων καὶ σύν-
5 τομος τυγχάνει καὶ οὐδεμίαν ἔχει δυσχέρειαν· εὔκολον γὰρ ἐστιν ἐρωτωμένων ἡμῶν, διὰ τί τὸ λευκὸν λευκόν ἐστι, λέγειν διότι ἕν ἐστι, καὶ διὰ 15
τί ὁ βοῦς βοῦς ἐστι, διότι εἷς ἐστιν· ὧν δὲ ὁ λόγος, ὥσπερ εἴρηται, εἷς, καὶ αὐτὰ ἕν. εἰ δὲ ταῦτα ἄτοπα καὶ ἀδύνατα, οὐ χρὴ οὕτω προτείνειν τὰς ἐρωτήσεις καὶ ζητήσεις, ἀλλὰ ζητεῖν διὰ τί ὁ ἄνθρωπός ἐστι ζῷον
10 τοιονδί, τουτέστι διὰ τί ὁ ἄνθρωπός ἐστι φέρε εἰπεῖν ζῷον λευκὸν ἢ δίπουν. ὁ δὴ τοῦτο ζητῶν φανερὸν ὡς οὐ ζητεῖ διὰ τί ὁ ἄνθρωπος ἄν- 20
θρωπός ἐστιν, ἀλλὰ ζητεῖ, ὅτι τὸ δίπουν καὶ τὸ λευκόν, ἕτερον ὂν τοῦ ἀνθρώπου, διὰ τί ὑπάρχει τῷ ἀνθρώπῳ. τοῦτο δ' ὅπερ ζητεῖ διὰ τί ὑπάρχει τῷ ἀνθρώπῳ δεῖ δῆλον εἶναι ὅτι ὑπάρχει αὐτῷ· εἰ γὰρ ἄδηλόν ἐστιν ὅτι
15 ὑπάρχει, οὐδέν ἐστι ζητεῖν. θεὶς οὖν κἀνταῦθα μεταξὺ τὸ ὅτι δ' ὑπάρχει δεῖ δῆλον εἶναι, πάλιν λέγει παραδείγματα τοῦ ὅπως αἱ ζητήσεις ἄλλα κατ' ἄλλων ζητοῦσι, λέγων οἷον διὰ τί βροντᾷ; ὅταν γὰρ ζητῶμεν 25
διὰ τί βροντᾷ, τοῦτο ζητοῦμεν διὰ τί ψόφος ἐν τοῖς νέφεσι γίνεται· ὁ δὲ ψόφος τῶν νεφῶν ἕτερος, καὶ ζητεῖται ἄλλο κατ' ἄλλου, ὁ ψόφος κατὰ
20 τοῦ νέφους. καὶ πάλιν ὅταν ζητῶμεν διὰ τί οἱ πλίνθοι καὶ οἱ λίθοι οἰκία ἐστίν, ἄλλο κατ' ἄλλου ζητοῦμεν. ζητοῦμεν γὰρ διὰ τί τὸ εἶδος ἐν τῇ ὕλῃ ἐστίν. οὕτως οὖν δείξας ὅπως χρὴ τὰς ζητήσεις ἐπὶ παντὸς τοῦ πράγ- 30
ματος ποιεῖσθαι, λέγει ὅτι φανερόν ἐστιν, ὅταν ζητῶμεν διὰ τί ψόφος ἐν τῷ νέφει ἐστίν, ἢ οἰκία ἐν λίθοις καὶ ξύλοις, οὐδὲν ἄλλο | ζητοῦμεν ἢ 510
25 τὸ αἴτιον. λέγοντες γὰρ ὅτι διὰ τί τόδε ἐν τῳδί, τοῦτό φαμεν τί τὸ αἴτιον τὸ κινῆσαν τὴν ὕλην γενέσθαι τόδε, οἷον οἰκία ἢ ἄνθρωπος ἢ βροντή. ὃ δὴ αἴτιον τὸ τὴν ὕλην κινοῦν ἐπ' ἐνίων, φησίν, ἐστὶ τὸ τίνος ἕνεκα καὶ τὸ τέλος ἤτοι τὸ εἶδος· τὸ γὰρ εἶδος τέλος, οἷον ἐπὶ οἰκίας ἢ κλίνης· τέ- 5
λος γὰρ οἰκίας τὸ τὰ ἐν αὐτῇ ἀνεπίβατα κλέπταις διατηρεῖν, τοῦτο δ' αὐ-
30 τῇ ὑπάρχει ἐκ τοῦ τοιουδὶ εἴδους· κλίνης πάλιν τέλος ἐστὶ τὸ τὸν ἄνθρωπον ἀναπαύεσθαι ἐπ' αὐτῆς. ἐπ' ἐνίων δὲ τὸ κινῆσαν, οἷον τὸ ποιητικόν. (αἴτιον γὰρ καὶ τοῦτο)· ὥστε δῆλον ὅτι ἐπὶ τῆς οἰκίας καὶ τῆς κλίνης οὐ μόνον τὸ τίνος ἕνεκα ζητεῖται, ἀλλὰ καὶ τὸ κινῆσαν. ζητηθήσεται γὰρ τί τὸ κινῆσαν τοὺς Ἕλληνας στρατεύεσθαι ἐπὶ τὴν Τροίαν, τοῦτο δ' ἐστὶ τὸ 10
35 τὸν Ἀλέξανδρον ἁρπάσαι τὴν Ἑλένην· καὶ πάλιν τὸ κινῆσαν τοὺς λίθους καὶ τὰ ξύλα καὶ ποιῆσαν οἰκίαν. καὶ οἶμαι τὸ ἴσως διὰ τοῦτο πρόσκειται τῷ οἷον ἴσως ἐπὶ οἰκίας, ὡς εἰ ἔλεγε ποτὲ μὲν ἴσως ζητηθήσεται τὸ τίνος ἕνεκα, ποτὲ δὲ τὸ κινῆσαν. τὸ δὲ τοῦτο δ' ἐστὶ τὸ τί ἦν εἶναι, ὡς εἰπεῖν λογικῶς, παρέλκον ἐστὶ καὶ ὑπό τινος ἐνταῦθα παρρριφθέν·

---

12 τὸ δίπουν MS Brandis Bonitz: τοδὶ τὸ δίπουν ALF 13 ζητεῖ διὰ τί M Bonitz: post ζητεῖ add. ὅτι ALF 16 δεῖ LS: in lac. om. A ὅπως L: ὅπερ A 19 ἕτερος LFS: ἕτερον A 20 ζητῶμεν LFS: ζητήσωμεν A
32 ὅτι ὡς ἐπὶ LF

περὶ γὰρ τούτου μετ' ὀλίγον ἐρεῖ. εἰπὼν δὲ αἴτιον γὰρ καὶ τοῦτο οἷον τὸ ποιητικόν, λέγει ἀλλὰ τὸ τοιοῦτον μέν (τοιοῦτον λέγων τὸ ποιητικὸν αἴτιον), ἐπὶ τῶν γινομένων καὶ φθειρομένων ζητεῖται· ἐπὶ γὰρ τῆς γινομένης οἰκίας ζητεῖται τὸ ποιητικόν, ὁμοίως καὶ ἐπὶ τῆς φθειρομένης τὸ κινοῦν τοιωσδὶ τοὺς λίθους, θάτερον δέ, οἷον τὸ εἰδικόν, καὶ ἐπὶ τῶν γινομένων καὶ ἐπὶ τῶν ἤδη ὄντων. καὶ ἐπὶ τοῦ γινομένου γὰρ ἀνθρώπου ζητεῖται τί τὸ αἴτιον τοῦ τοιωσδὶ τὴν ὕλην κινεῖσθαι, καὶ ἐπὶ τοῦ ὄντος ὁμοίως τί τὸ αἴτιον τὸ τὴν ὕλην κινῆσαν καὶ ποιῆσαν αὐτὴν εἶναι τόδε τι, οἷον Σωκράτη ἢ Πλάτωνα.

p. 1041a32 Λανθάνει δὲ μάλιστα τὸ ζητούμενον ἐν τοῖς μὴ καταλλήλως λεγομένοις.

Εἰπὼν ὅτι ἡ τοῦ διὰ τί ζήτησις αἰτίου ζήτησίς ἐστιν, ὅτι τί τὸ κινῆσαν τὴν ὕλην εἰς τὸ γεγονέναι τόδε τι καὶ ὅπερ ἐστί, λέγει ὅτι ἐν τοῖς μὴ καλῶς καὶ καταλλήλως λεγομένοις λανθάνει τοῦτο καὶ δοκεῖ ὅτι ἡ τοῦ διὰ τί ζήτησις οὐκ ἔστιν αἰτίου ζήτησις, οἷον ὅταν ζητῆται τί ἐστιν ἄνθρωπος, τουτέστι διὰ τί ἐστιν ἄνθρωπος; τὸ γὰρ τί ἀντὶ τοῦ διὰ τί νῦν εἴληπται. ὅταν οὖν ζητῆται διὰ τί ἐστιν ἄνθρωπος, φησί, διὰ τὸ ἁπλῶς λέγεσθαι οὐ δοκεῖ ὅτι τοῦτο ζητεῖται, λέγω δὴ ὅτι τί ἐστι τὸ τὴν ὕλην κινῆσαν ὡς ἂν ἄνθρωπος γένηται; διὰ οὖν τὸ ἁπλῶς λέγεσθαι καὶ μὴ διορίζειν ὅτι τάδε τόδε, οὐ δοκεῖ· δεῖ δὲ διαρθρώσαντας ζητεῖν, οἷον λέγειν ὅτι διὰ τί τάδε, χεῖρές φημι καὶ πόδες καὶ σάρκες, τόδε εἰσίν, ἤτοι ἄνθρωπος; καὶ ὅταν τοῦτο λέγωμεν, | δῆλόν ἐστιν ὅτι ζητοῦμεν τί ἐστι τὸ 511
τὴν ὕλην κινῆσαν καὶ ἐγένετο ἄνθρωπος. εἰ δὲ μὴ διορίζει τις καὶ λέγει ὅτι διὰ τί αἱ σάρκες καὶ τὰ ὀστᾶ καὶ νεῦρα ἄνθρωπός ἐστιν, ἀλλὰ διὰ τί ὁ ἄνθρωπος ἄνθρωπός ἐστι, ζητεῖν καὶ μὴ ζητεῖν ἐστιν. ᾗ μὲν γὰρ ὅλως ζητεῖ, ζητεῖ· ᾗ δὲ μὴ καλῶς, οὐ ζητεῖ. γράφεται δὲ καὶ λανθάνει δὲ μάλιστα τὸ ζητούμενον ἐν τοῖς κατ' ἀλλήλων λεγομένοις, τουτέστιν ἐν τοῖς κατ' ἄλλων κατηγορουμένοις, ὅταν μὴ καλῶς κατηγορηθῇ, λανθάνει ὅτι τὸ αἴτιον ζητεῖται. ἐπειδὴ δὲ δεῖ τὸν ζητοῦντα περί τινος ἔχειν καὶ γινώσκειν ὅτι ὑπάρχει τόδε τῷδε, ἐστὶ δῆλον ὡς ὅταν ζητῇ τὸ διὰ τί, τὴν ὕλην ζητεῖ πῶς καὶ ὑπὸ τίνος κινηθεῖσα γέγονεν ὅπερ ἐστίν. οἷον ὅταν λέγῃ, διὰ τί ὁ ἄνθρωπος τοδί ἐστιν, ἢ μὴ τοῦτο, ἀλλ' ὅτι διὰ τί τὸ σῶμα τουτὶ τοδὶ ἔχον ἐστί, τοῦτο ζητεῖ, τί τὸ αἴτιον τὸ κινῆσαν τοδὶ τὸ σῶμα ὧδὶ ἔχειν; καὶ πάλιν ὅταν λέγῃ ὅτι διὰ τί ἡ οἰκία τοδί, ἤτοι διὰ τί τὰ ξύλα καὶ οἱ λίθοι οἰκία ἐστί, τοῦτο ζητεῖ ὅτι διὰ τί ταδὶ ὑπάρχει ὃ ἦν οἰκία, τουτέστι τί τὸ κινῆσαν ταδὶ καὶ ποιῆσαν αὐτὰ οἰκίαν;

---

1 ἐρεῖ LFS: λέγει A 10 τὸ ζητούμενον S Bonitz, cf. 27: τὸ om. AL 12 τοῦ διὰ τί MS, cf. p. 542,1: τοῦ διὰ τί ἐστι AL 13 ὕλην καὶ γεγονυῖαν τόδε τι L 20 τάδε τόδε $A^2$LS: τάδε om. $A^1$ 22. 23 τί ἐστι — κινῆσαν καὶ ἐγένετο ἄνθρωπος] *quid—moverit et hominem effecerit* S 27 καταλλήλως L 31 τὸ σῶμα LF: τὸ om. A

ὥστε δῆλον ὅτι ἡ τοῦ διὰ τί ζήτησις ἐξαιρέτως ἐπὶ τῶν φυσικῶν αἰτίου ἐστὶ ζήτησις. τοῦτο δὲ τὸ αἴτιόν ἐστι τὸ εἶδος ᾧ τι ἔστι, τουτέστιν ἐν ᾧ ἡ ὕλη ἐστίν, τοῦτο δὲ τὸ εἰδός ἐστιν ἡ οὐσία. δῆλον ἄρα γέγονε τί ποτε ἐστὶν ἡ οὐσία, ὅτι τὸ εἶδος. εἰ δή, ὥσπερ εἴρηται, τὸ εἰδός ἐστι τὸ τάττον καὶ ποιοῦν, φανερὸν ὅτι ἔστι τι εἶδος τὸ κοσμοῦν καὶ ποιοῦν ἔχειν τὸν κόσμον, ὥσπερ ἔχει. ἐπειδὴ οὖν τὸ διὰ τί ζήτησίς ἐστιν ἄλλου ἐν ἄλλῳ ὑπάρχοντος, δῆλον ὅτι ἐπὶ τῶν ἁπλῶν καὶ μόνως εἰδῶν οὐκ ἔστι ζήτησις, οὐδὲ τὸ διὰ τί, ἀλλ' ἕτερος τρόπος ζητήσεως. καὶ ἐρεῖ, ὅταν περὶ ἐκείνων λέγῃ, τίς ὁ τρόπος τῆς τῶν ἁπλῶν ζητήσεως.

p. 1041ᵇ11 Ἐπεὶ δὲ τὸ ἔκ τινος σύνθετον οὕτως ὥστε ἓν εἶναι τὸ πᾶν.

Τὸ προκείμενόν ἐστι δεῖξαι ὅτι τὸ εἶδος ἕτερόν ἐστι τῆς ὕλης, καὶ ὅλως τὸ σύνθετον. λέγει δὴ ὅτι ἐπειδὴ τὸ ἔκ τινος σύνθετόν ἐστιν οὕτως ὥστε ἓν εἶναι τὸ πᾶν, μὴ ὡς σωρὸς κατὰ ἁφὴν ἀλλ' ὡς ἡ βα συλλαβή, δῆλον ὡς ἡ συλλαβὴ ἤτοι τὸ εἶδος τῆς συλλαβῆς τὸ συντεταγμένον μετὰ τῆς ὕλης (αὕτη δ' ἐστὶ τὰ στοιχεῖα τό τε βῆτα καὶ ἄλφα) ἕτερόν ἐστι παρὰ τὰ στοιχεῖα, καὶ οὐκ ἔστιν ἡ συλλαβὴ τὰ στοιχεῖα, οὐδέ ἐστι τὸ β καὶ τὸ α ταὐτὸν τῇ βα συλλαβῇ. διαλυθείσης γὰρ τῆς συλλαβῆς τὸ μὲν β καὶ α ἔστιν, ἡ δὲ βα συλλαβὴ οὐκ ἔστιν, ὥστε ἕτερόν ἐστι τὸ τῆς συλλαβῆς εἶδος καὶ ἕτερα τὰ στοιχεῖα. εἰ δ' ἦν ταὐτά, προτιθεμένου τοῦ α εἶτα τοῦ β ἦν ἂν τὸ αβ πάλιν βα συλλαβή. ἀλλ' οὐκ ἔστιν. οὐκ ἄρα ταὐτόν ἐστι τὸ εἶδος καὶ ἡ ὕλη. ὡσαύτως | οὐδὲ ἡ γῆ καὶ τὸ πῦρ ταὐτόν ἐστι τῇ σαρκὶ καὶ τῷ σαρκείῳ εἴδει· τῆς γὰρ σαρκὸς διαλυθείσης πῦρ καὶ γῆ ἐστι, σὰρξ δὲ οὐκ ἔστιν. ἐκ δὴ τούτων φανερόν ἐστιν ὅτι οὐ μόνον τὸ φωνῆεν ἤτοι τὸ ἄλφα καὶ τὸ σύμφωνον τὸ βῆτα ἔστιν, ἢ τὸ πῦρ καὶ ἡ γῆ, ἀλλ' ἔστι τι καὶ παρὰ ταῦτα ἥ τε συλλαβὴ καὶ ἡ σάρξ. οὕτως οὖν δαιμονίως δείξας ὅτι τὸ εἶδος ἕτερόν ἐστι παρὰ τὴν ὕλην καὶ ἔστι τι, δείκνυσιν ὅτι ἀρχὴ μὲν καὶ αἴτιόν ἐστιν, στοιχεῖον δὲ οὐκ ἔστι τὸ εἶδος, ἀλλὰ μόνον ἡ ὕλη. τὸ εἶδος οὖν, φησίν, ἀνάγκη ἢ στοιχεῖον εἶναι ἢ ἐκ στοιχείων. εἰ μὲν οὖν λέγοι τις ὅτι στοιχεῖόν ἐστιν (ἔστω δὲ ἐπὶ σαρκὸς ὁ λόγος) ἐπειδή, ὡς δέδεικται ὅτι τὸ εἰδός ἐστι τὸ κινοῦν τὴν ὕλην καὶ γινόμενον ὅπερ ἐστίν, εἴπερ ἐστὶν ἡ σὰρξ καὶ τὸ εἶδος στοιχεῖον, δῆλον ὅτι κινηθήσεται, ἐπειδὴ στοιχεῖόν ἐστιν, αὐτή τε καὶ τὸ πῦρ ὑπό τινος εἴδους, καὶ γενήσεταί τι ἐξ αὐτῶν. ἐκεῖνο δὴ τὸ εἶδος τὸ κινῆσαν αὐτὰ πάλιν ἢ στοιχεῖόν ἐστιν ἢ ἐκ στοιχείων. εἰ μὲν οὖν στοιχεῖον, ἐπειδὴ στοιχεῖόν ἐστιν αὐτό τε καὶ ἡ σὰρξ καὶ τὸ πῦρ, κινηθήσονται ὑπ' ἄλλου εἴδους καὶ γενήσονταί τι· πάλιν οὖν ἐκεῖνο ἢ στοιχεῖον ἢ ἐκ στοιχείων,

---

5 τὸ κοσμοῦν LF: το om. A 10 ὥστε Metaph., cf. 14: ὡς τὸ AL: ὡς M 19 ἡ δὲ βα F: δὲ om. L: βα om. A 32 γινόμενον] *efficiens* S 32 ἡ LF: om. A τὸ εἶδος LF: om. A 35 μὲν L: om. A 37 ἐκ στοιχείων LF: ἐκ τῶν στοιχείων A

καὶ τοῦτο εἰς ἄπειρον. ἐκ τούτου οὖν, φησί, τούτου λέγων τοῦ κινή- 15
σαντος, καὶ πυρὸς καὶ γῆς ἔσται ἡ σάρξ· καὶ πάλιν ἐξ ἐκείνου καὶ
τῆς σαρκὸς καὶ εἴ τινος ἄλλου ἔσται ἄλλο. ὥστε δῆλον ὅτι τὸ εἶδος οὐκ
ἔστι στοιχεῖον. εἰ δ' ἐστί, φησίν, ἐκ στοιχείων, τὸ δὲ ἐκ στοιχείων οὐχ
5 ἁπλοῦν ἐστιν ἀλλὰ σύνθετον, ὥστε οὐχ ἑνὸς ἀλλ' ἐκ πλειόνων ἐστὶν ἢ
ἐκεῖνο (ἐκεῖνο γὰρ ἕν ἐστιν), ὥστε παρ' ἐκεῖνό εἰσι τὰ ἐξ ὧν ἐστιν. τὸ
δὲ παρὰ τὸ ἓν δῆλον ὅτι ἢ δύο ἐστὶν ἢ τρία ἢ ἄλλος τις ἀριθμός. ὥστε 20
εἴπερ ἐστὶν ἐκ στοιχείων, ἐπειδὴ τὸ ἐκ στοιχείων ὑπό τινος γίνεται τοῦτο
ὅπερ ἐστίν, ἐκεῖνο τὸ ποιῆσαν αὐτὸ στοιχεῖον οὐκ ἔσται (δέδεικται γὰρ ὅτι
10 τὸ ποιοῦν τὸ εἰδός ἐστιν, τὸ δὲ εἶδος στοιχεῖον οὐκ ἔστιν· καὶ τοῦτο γὰρ
ἤδη δέδεικται)· εἰ ἔσται ἄρα κἀκεῖνο ἐκ στοιχείων, πάλιν οὖν τὸ ποιῆσαν
ἐκεῖνο ἔσται ἐκ στοιχείων, καὶ τοῦτο εἰς ἄπειρον. ὃ δὲ ἐπὶ τῆς σαρκὸς
εἴρηται, τοῦτο ἐπὶ τῆς συλλαβῆς καὶ ἐπὶ πάντων ῥηθήσεται. οὐκ ἄρα 25
οὔτε στοιχεῖόν ἐστι τὸ εἶδος οὔτε ἐκ στοιχείων· ὥστε ἔστι τι τοῦτο τὸ τὴν
15 ὅλην κινοῦν καὶ ποιοῦν σάρκα καὶ συλλαβήν· τοῦτο δέ ἐστι τὸ εἶδος καὶ
ἡ ἑκάστου οὐσία. τοῦτο γὰρ πρῶτον αἴτιον τοῦ εἶναι τὰ πράγματα ὅπερ
εἰσί. δείξας οὖν ὅτι τὸ εἶδος οὔτε στοιχεῖόν ἐστιν οὔτε ἐκ στοιχείων συμ-
περαίνεται λέγων ἐπεὶ δ' ἔνια οὐκ οὐσίαι τῶν πραγμάτων (τὸ γὰρ
ἐν τῷ ἀνθρώπῳ λευκὸν οὐκ ἔστιν οὐσία τοῦ ἀνθρώπου), ἀλλ' ἐκεῖνά εἰσι 30
20 τῶν πραγμάτων οὐσίαι ὅσα κατὰ φύσιν καὶ ὑπὸ φύσεως καὶ εἰς τὸ τί ἦν
εἶναι αὐτοῖς συμβάλλεται, φανερὸν ἄρα ὅτι αὕτη ἡ φύσις (λέγοι δ' ἂν φύσιν
τὸ εἶδος) ἐστὶν οὐσία, ἥτις στοιχεῖον οὐκ ἔστιν ἀλλ' ἀρχή. στοιχεῖον δ' |
ἐστὶν εἰς ὃ ἐνυπάρχον ὡς ὕλη διαιρεῖται τὸ πρᾶγμα· στοιχεῖον γάρ ἐστι 513
τῆς συλλαβῆς τὸ α καὶ β, εἰς ἃ διαιρεῖται. ὥστε δῆλον γέγονεν ὅπερ ἐξ
25 ἀρχῆς ἐζητοῦμεν, τοῦτο δ' ἦν ὅτι τίνα ἐστὶ τὰ τῶν οὐσιῶν αἴτια· εὕρηται
γὰρ ὅτι τὰ εἴδη.

---

1. 2 κινήσαντος scripsi: κινήσοντος LF: κινηθέντος A 4 δ' ἐστί LF: δέ τίς A
5 ἐστὶν ἢ LFS: εἰσὶν ἢ A 6 ἕν LFS: om. A 9 ὅπερ S Bonitz: εἴπερ
ALF 11. 12 πάλιν — στοιχείων LFS: om. A 23 "lege ὕλην" Bonitz
23. 24 τὸ πρᾶγμα — διαιρεῖται LF: om. AM 25 ἀρχῆς ἐζητοῦμεν LF: ἐκείνου ζητοῦ-
μεν AM

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Η ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ

Τὰ ἐν τῷ πρὸ τούτου βιβλίῳ καὶ τῷ πρὸ ἐκείνου λεχθέντα, οὐχὶ πάντα (ἦ γὰρ ἂν πάλιν τὰ αὐτὰ συνέβη λέγειν) ἀλλὰ τὰ κυριώτερα (ταῦτα γὰρ καὶ κεφαλὴν εἶπεν), ἀνακεφαλαιοῦται, καὶ τὴν αἰτίαν τοῦ τίνος ἕνεκεν ἐκεῖνα εἶπε λέγει. λέγει δὲ ὅτι συλλογίσασθαι δεῖ, καὶ τί τὸ συλλογίσασθαι σημαίνει ἐπήγαγεν ὅτι συναγαγεῖν τὸ κεφάλαιον ἤτοι τὰ κυριώτερα καὶ τέλος ἐπιθεῖναι. καλῶς δὲ τὸ τέλος εἶπεν· ἀπὸ γὰρ τοῦ μετὰ τοῦτο βιβλίου ἀρχὴν ποιεῖται λέγειν περὶ δυνάμεώς τε καὶ ἐνεργείας καὶ τῶν λοιπῶν, περὶ ὧν τὸν λόγον ποιήσεται. ἐπανακεφαλαιοῦται δὴ λέγων εἴρηται δὴ ὅτι τῶν οὐσιῶν ζητεῖται τὰ αἴτια καὶ ἀρχαὶ καὶ στοιχεῖα, αἴτια μὲν λέγων τὰ εἴδη, ἀρχὰς δὲ τὸ ποιητικὸν καὶ τελικόν, στοιχεῖα δὲ τὴν ὕλην. ἀλλὰ τῶν οὐσιῶν αἱ μέν εἰσιν ὑπὸ πάντων ὁμολογούμεναι, περὶ δὲ ἐνίων ἴδια τινὲς ἀπεφήναντο. καὶ τίνα ταῦτα ἐφεξῆς καταλέγει. οὐρανὸν δὲ ἤτοι τὸν ξύμπαντα κόσμον λέγει, μόρια δ' αὐτοῦ τὰς σφαίρας καὶ τὸ πῦρ καὶ τὴν γῆν καὶ τὰ ζῷα· ἢ οὐρανὸν λέγει τὸ κυκλοφορικὸν ἅπαν σῶμα, μόρια δὲ τοὺς ἐν αὐτῷ ἐμπεπηγμένους ἀστέρας. λέγει δὲ καὶ τίνα ἐστὶν ἅπερ ἴδια ἀπεφήναντό τινες, λέγων τινὰς τοὺς περὶ Πλάτωνα, ὅτι αἱ ἰδέαι καὶ τὰ μαθηματικά. ἄλλας δὲ πάλιν, φησίν, οὐσίας εἶναι ἐκ τῶν λόγων συμβαίνει, τὸ τί ἦν εἶναι καὶ τὸ ὑποκείμενον, λέγων ὑποκείμενον τὴν ὕλην. καλῶς δὲ τὸ ἐκ τῶν λόγων εἶπεν· ὁ λόγος γὰρ τὸ εἶδος ἀπὸ τῆς ὕλης χωρίζει· αὐτὸ γὰρ καθ' αὑτὸ εἶναι ἐνεργείᾳ χωρὶς τῆς ὕλης ἀδύνατον. ἔτι ἄλλως, φησί, συμβαίνει τὸ γένος εἶναι μᾶλλον οὐσίαν ἤπερ τὰ εἴδη καὶ τὸ καθόλου τῶν καθ' ἕκαστα. τοῦτο δὲ οὐχ ὡς ἀρεσκόμενος λέγει· αὐτὸς γάρ ἐστιν ὁ δείξας ὅτι τὰ γένη καὶ τὰ εἴδη καὶ ἁπλῶς τὰ καθόλου οὐκ εἰσιν οὐσίαι, ἀλλ' ὁμοιώματα τῶν κατὰ μέρος καὶ ὅλως ποιά· οὐκ ἀρεσκόμενος οὖν τοῦτο λέγει, ἀλλ' ὡς εἰ ἔλεγεν, ἔτι ἄλλως τὰ γένη τῶν εἰδῶν οὐσίαι μᾶλλον κατὰ τοὺς τοῦτο δοξάζοντας. καὶ ὅτι

---

1 Tit. σχόλιον εἰς τὸ ἦτα τῶν μετὰ τὰ φυσικά. τοῦτο τὸ βιβλίον περὶ τοῦ καθ' αὑτὸ ὄντος A: σχόλια εἰς τὸ ἦτα τῶν ἀριστοτέλους μετὰ τὰ φυσικά M: tit. om. LF 2 καὶ τοῖς μετ' ἐκεῖνο λεχθέντα LF 6 κυριώτερα MS: καιριώτερα ALF 13 ἰδίᾳ Metaph. vulg. 13. 14 ταῦτα σαφῶς καταλέγουσιν LF 16 κυκλοφορητικὸν LF 20 τὸ ἐκ LF: τὸ om. A 21 ἐνεργείᾳ LF: om. A 23 οὐσίαν LFS: οὐσίας A

οὐκ ἀρεσκόμενος τοῦτό φησιν ἀλλὰ συγχωρῶν διὰ τὸ μήπω δεῖξαι κυρίως ὅτι οὔκ εἰσιν ἰδέαι (δείξει δὲ ἐν τῷ M), δῆλον πεποίηκε μετ' | ὀλίγον 514
εἰπὼν ἔτι τοίνυν οὔτε τὸ καθόλου οὐσία οὔτε τὸ γένος. εἰπὼν δὲ ὅτι ἔτι ἄλλως τὸ γένος μᾶλλον τῶν εἰδῶν καὶ τὸ καθόλου τῶν καθ' ἕκαστα ἐπήγαγε τῷ δὲ καθόλου καὶ τῷ γένει καὶ αἱ ἰδέαι συνάπτουσιν, καὶ δεῖ ὑποστίζειν εἰς τὸ τῷ γένει. καὶ εἴη λέγων ὅτι καὶ αἱ ἰδέαι συνάπτουσιν ἤτοι κοινωνοῦσι τῷ καθόλου καὶ τῷ γένει· ὥσπερ γὰρ τὸ καθόλου καὶ τὸ γένος ἓν ὂν ἐπὶ πολλῶν θεωρεῖται, οὕτω καὶ οἱ τὰς ἰδέας τιθέμενοι περὶ αὐτῶν λέγουσιν· ὁ γὰρ αὐτοάνθρωπος, φασίν, ἐν τοῖς κατὰ μέρος ἐστίν. τοῦτο γὰρ δηλοῖ τὸ κατὰ τὸν αὐτὸν λόγον οὐσίαι δοκοῦσιν εἶναι, ἤτοι ἐπίσης γὰρ καὶ τὸ καθόλου ἐπὶ πολλῶν θεωρεῖται καὶ ἡ ἰδέα. ἀλλὰ μὴν τὰ καθόλου οὐ καθ' αὑτὰ οὐδ' οὐσίαι· οὐδ' ἄρα αἱ ἰδέαι. ἀλλ' ἐπειδὴ τὰ αἴτια τῶν οὐσιῶν ζητεῖται, οὐσία δὲ καὶ τὸ τί ἦν εἶναι, τούτου δέ ἐστιν ὁ λόγος ὁρισμός, διὰ τοῦτο διώρισται καὶ περὶ ὁρισμοῦ καὶ τοῦ καθ' αὑτό. ἐπεὶ δὲ πάλιν ὁ ὁρισμὸς λόγος, ὁ δὲ λόγος μέρη ἔχει, ἀναγκαῖον ἦν καὶ περὶ μερῶν ἰδεῖν, ποῖά τέ ἐστι τὰ τῆς οὐσίας καὶ τοῦ εἴδους μέρη καὶ ποῖα οὐκ ἔστι τοῦ εἴδους ἀλλὰ τῆς ὕλης. οὐ μόνον δὲ περὶ τούτων ἀναγκαῖον ἦν ἰδεῖν, ἀλλὰ καὶ περὶ τῶν μερῶν τοῦ ὁρισμοῦ καὶ τοῦ ὡρισμένου, ἤτοι τοῦ τί ἦν εἶναι, εἰ ταὐτὰ ἢ ἕτερά ἐστιν. ἔτι, φησί, δέδεικται ὅτι οὔτε τὸ καθόλου ἐστὶν οὐσία οὔτε τὸ γένος. περὶ δὲ τῶν ἰδεῶν καὶ τῶν μαθηματικῶν ὕστερον ἐπισκέψασθαι ἐπαγγέλλεται. ἐπειδὴ γὰρ οὐσίας ταύτας παρὰ τὰς αἰσθητάς φασιν εἶναι οἱ τιθέμενοι αὐτάς, ἄξιόν ἐστιν ἰδεῖν εἴτε εἰσὶν εἴτε καὶ μή. ἀλλὰ περὶ μὲν τούτων ὕστερον ἐπισκεπτέον, νῦν δὲ περὶ τῶν ὁμολογουμένων παρὰ πᾶσιν οὐσιῶν ἐπέλθωμεν. αἱ δὲ ὁμολογούμεναι παρὰ πᾶσιν οὐσίαι εἰσὶν αἱ αἰσθηταί, πᾶσαι δὲ αἱ αἰσθηταὶ οὐσίαι ὕλην ἔχουσιν. ἔστι δὲ οὐσία τὰ ὑποκείμενα ἤτοι τὰ προκείμενα, τουτέστιν αἱ αἰσθηταὶ οὐσίαι περὶ ὧν ὁ λόγος. ἄλλως μὲν ἡ ὕλη, ἄλλως δὲ ὁ λόγος· ἡ μὲν γὰρ ὕλη ἐστὶν οὐσία ὡς ὑποκείμενον καὶ ἀόριστον, ὁ δὲ λόγος καὶ τὸ εἶδος ὡς κατηγορούμενον καὶ ὁριστικόν. εἰπὼν δὲ ὅτι ἄλλως μὲν ἡ ὕλη ἄλλως δὲ ὁ λόγος, τί λέγει ὕλην ἐξηγεῖται λέγων λέγω δὲ ὕλην ἣ μὴ τόδε τι οὖσα ἐνέργειᾳ δυνάμει ἐστὶ τόδε, καὶ οὐ λέγει τὴν πρώτην μόνην καὶ ἀνείδεον ἀλλὰ σὺν ἐκείνῃ καὶ τὰς ἄλλας. ὡς γὰρ ἐκείνη οὐκ ἔστι τόδε τι ἐνεργείᾳ ἀλλὰ δυνάμει, οὕτω καὶ ὁ χαλκὸς οὐκ ἔστι τόδε τι, οἷον φέρε ἀνδριάς, [καὶ] ἐνεργείᾳ ἀλλὰ δυνάμει, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. ἄλλως μὲν οὖν ἐστιν ἡ ὕλη οὐσία καὶ ἄλλως ὁ λόγος καὶ ἡ μορφή, ὃ τόδε τι ὂν τῷ λόγῳ ἐστὶ χωριστόν, ἀλλ' οὐ κατ' ἐνέργειαν. τρίτη δ' ἐστὶν οὐσία τὸ σύνθετον τὸ ἐξ ὕλης καὶ εἴδους, οὗ μόνον ἐστὶ γένεσις, ὡς δέδεικται, καὶ φθορά, καὶ χωριστὸν κυρίως καὶ καθ' αὑτὸ ὄν, ἀλλ' οὐ τῷ λόγῳ

---

5 τῷ δὲ LFS: τὸ δὲ A  αἱ ἰδέαι F: αἱ om. AL  11 τὸ c. S Bonitz: ὁ ALF
12 τὰ LFS: τὸ A  26 αἱ (post εἰσὶν et δὲ) LF: om. A  27 τὰ ὑποκείμενα LF: τὸ ὑποκείμενον A Metaph. vulg.  28 δὲ ἡ ὁ λόγος LF  33 ἐκείνῃ FM: ἐκείνοις A: ἐκεί L  35 καὶ c. S del. Bonitz  38 τὸ ἐξ LFS: καὶ τὸ ἐξ A  δέδεικται] Z S

μόνῳ, ὥσπερ τὸ εἶδος. | εἰπὼν δὲ ὅτι τὸ εἶδος τῷ λόγῳ μόνον ἐστὶ χω- 515
ριστόν, λέγει ὅτι τῶν κατὰ τὸν λόγον οὐσιῶν (κατὰ λόγον οὐσίας, ὡς
πολλάκις εἴρηται, λέγων τὰ εἴδη) αἱ μὲν αἱ δ' οὔ, τουτέστιν αἱ μέν εἰσι
τῷ λόγῳ χωρισταί, αἱ δὲ καὶ ἁπλῶς. ἐπειδὴ γὰρ τὸ ἑκάστου εἶδος ἡ
5 ἑκάστου ψυχὴ τυγχάνει (ἡ μὲν γὰρ τοιάδε μορφὴ οὐδέποτε χωρίς ἐστι
τῆς ὕλης), ἡ δὲ ψυχὴ οὐ πᾶσα ἀλλ' ἡ λογικὴ χωρίζεται, διὰ τοῦτο τὰς 5
μέν φησι χωρίζεσθαι τὰς δ' οὔ. μήποτε δὲ οὐ περὶ τῆς μορφῆς τοῦτο
εἴρηται (καίτοι καὶ τούτου ἀληθοῦς ὄντος· οὐδέποτε γὰρ ἡ βρότειος μορφὴ
ἄνευ ὕλης εἶναι δύναται), ἀλλὰ περὶ τῶν ἀλόγων ψυχῶν, ὅτι αὗται μὲν οὐ
10 χωρίζονται, ἀλλὰ μόναι αἱ λογικαί.

p. 1042a32 Ὅτι δ' ἐστὶν οὐσία καὶ ἡ ὕλη δῆλον. 10

Εἰπὼν ὅτι οὐσία ἐστὶ τὸ εἶδος καὶ ἡ ὕλη καὶ τὸ ἐκ τούτων, δείκνυσιν
ἐκ τῆς τῶν ὁμολογουμένων οὐσιῶν ἀναλογίας ὅτι ἡ ὕλη οὐσία ἐστίν. ὥσπερ
γὰρ οὐσίαν φαμὲν τὸν Σωκράτην ὅτι ὑπόκειται ταῖς ἀντικειμέναις μετα-
15 βολαῖς καὶ ἔστιν ἐκείνων γινομένων καὶ ἀπογινομένων, οὕτως ἐπεὶ καὶ ἡ
ὕλη τῶν εἰδῶν γινομένων ἐν αὐτῇ καὶ ἀπογινομένων ἡ αὐτὴ μένει καὶ
ἔστιν, ἐκεῖνα δὲ οὐκ ἔστι, φανερὸν ὅτι οὐσία ἐστὶ καὶ μᾶλλον τοῦ εἴδους 15
οὐσία κατά γε τοῦτο, εἰ καὶ τὰ πρεσβεῖα ἄλλως τῷ εἴδει ἀπονέμεται, εἴ
γε ὁρίζει αὐτὴν καὶ εἰ κατὰ τὸ εἶδος τὰ πράγματα λέγεται. ὥσπερ οὖν
20 τῇ κατὰ τόπον μεταβολῇ ὑπόκειται ὁ Σωκράτης καὶ νῦν μέν ἐστιν Ἀθή-
ναζε πάλιν δὲ Θήβαζε, καὶ νῦν μὲν αὔξεται ἄλλοτε δὲ φθίνει, καὶ νῦν μὲν
ὑγιαίνει πάλιν δὲ νοσεῖ, ὁμοίως τούτῳ καὶ ἡ ὕλη ὑπόκειται τῇ κατὰ γέ-
νεσιν οὐσίᾳ, καὶ νῦν μέν ἐστιν ἐν γενέσει καὶ γίνεται τόδε τι ἀπολαβοῦσα 20
τόδε τὸ εἶδος, πάλιν δ' ἐστὶν ἐν φθορᾷ καὶ ἀποβολῇ τοῦ ὅπερ πρότερον
25 ἀπειλήφει εἴδους· καὶ νῦν μέν ἐστιν ὑποκείμενον ὡς τόδε τι· ὅταν μὲν γὰρ
μετὰ τοῦ εἴδους ᾖ, ἐπειδὴ τὸ σύνθετόν ἐστι τὸ ὑποκείμενον τῷ λευκῷ
καὶ μέλανι καὶ τῇ νόσῳ καὶ ὑγιείᾳ, λέγομεν ὅτι ἡ ὕλη ὑπόκειται τούτοις
ὡς τόδε τι· ὅταν δὲ χωρὶς εἴδους νοῆται, ὑποκεῖσθαι λέγεται τῷ εἴδει ὡς 25
στέρησις. εἰπὼν δὲ ὅτι ἡ ὕλη νῦν μὲν ἐν γενέσει ἐστὶ νῦν δὲ ἐν φθορᾷ,
30 λέγει ὅτι καὶ ἀκολουθοῦσι ταύτῃ αἱ ἄλλαι μεταβολαί· καὶ εἴη ἂν λέγων
ὅτι ὅσα μὲν ἔχει ὕλην γενητὴν καὶ φθαρτήν, τουτέστι γενέσει καὶ φθορᾷ
ὑποκειμένην, ἐκεῖνα ἔχει ὕλην καὶ αὐξήσεως καὶ μειώσεως καὶ τῆς κατὰ
τόπον μεταβολῆς καὶ ἀλλοιώσεως. τὸ γὰρ εἶδος (τοῦτο γάρ ἐστιν, ὡς ἐν
τῇ Περὶ γενέσεως καὶ φθορᾶς δέδεικται, τὸ αὐξόμενον καὶ φθῖνον, ἀλλ' 30
35 οὐχὶ ἡ ὕλη) τὸ δὴ εἶδος ὡς ὕλη ὑπόκειται τῇ αὐξήσει καὶ φθίσει. ἀλλὰ
καὶ τόπον τὰ τοιαύτην ὕλην ἔχοντα ἀμείβει καὶ ἀλλοιοῦται, τὰ μὲν οὖν
ἔχοντα ὕλην γενητὴν καὶ φθαρτήν. ταύτῃ τῇ | ὕλῃ, τουτέστιν αὐτοῖς 516

---

6. 7 διὰ—τὰς δ' οὔ MS: om. ALF 16 ἐν αὐτῇ LFS: om. A 18. 19 εἴ γε et 19 καὶ εἰ A: ἤ τε et καὶ ἤ LF 23 ἀπολαβοῦσα c. S Bonitz: ἀποβάλλουσα libri 24 πρότερον LF: om. A 26 ᾖ Bonitz: ἦ M: ἐστίν LF: om. A 33. 34 ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς] A 5 34 φθῖνον L: φθινόμενον A

τοῖς ἔχουσιν αὐτήν, ἕπονται καὶ αἱ ἄλλαι μεταβολαί. τῶν δ' ἄλλων ἢ μιᾷ ἢ δυσὶν αὕτη οὐκ ἀκολουθεῖ, τουτέστι τῶν δ' ἄλλων μεταβολῶν ἢ μιᾷ μεταβολῇ οὐκ ἀκολουθεῖ ἢ δυσίν· ὅπερ ἴσον ἐστὶ τῷ τοῖς δ' ἔχουσι τὰς ἄλλας μεταβολὰς ἢ ἑνὶ ἀκολουθεῖ ἢ δυσίν, οὐ μὴν πᾶσι. τῷ μὲν δὴ ἔχοντι ὕλην αὐξήσεως καὶ μειώσεως ἐξ ἀνάγκης ἕπεται τὸ ἔχειν ὕλην καὶ γενέσεως καὶ φθορᾶς, τὸ δ' ἔχον ὕλην τῆς κατὰ τόπον μεταβολῆς οὐκ ἀνάγκη ἐστὶν ἔχειν γενέσεως καὶ φθορᾶς. ὁ γὰρ ἥλιος ὕλην μὲν τῆς κατὰ τόπον μεταβολῆς ἔχει (μεταβαίνει γὰρ ἀπὸ βορείων ἐπὶ τὰ νότια καὶ ἀπὸ τούτων ἐπὶ τὰ βόρεια), γενητὴν δὲ καὶ φθαρτὴν ὕλην οὐκ ἔχει· ἄφθαρτος γὰρ καὶ ἀγένητος. ἡ δὲ σελήνη ὕλην ἔχουσα τῆς κατὰ τόπον μεταβολῆς ἔχει καὶ τῆς κατ' ἀλλοίωσιν· τὸ γὰρ δέχεσθαι τοὺς φωτισμοὺς ἐκ τοῦ ἡλίου αὐτὸ τοῦτο ἀλλοίωσίς ἐστι· γενητὴν δὲ ὕλην καὶ φθαρτὴν οὐκ ἔχει. ὥστε ταῖς δυσὶν οὐχ ἕπεται ἡ γένεσις καὶ ἡ φθορά, τῇ τε κατὰ τόπον καὶ τῇ κατ' ἀλλοίωσιν, καὶ ταύταις οὐ πάσαις ἀλλά τισιν. τῇ δὲ αὐξήσει καὶ μειώσει ἕπεται αὕτη. αὐτὸς δὲ τῇ μὲν κατὰ τόπον εἰπὼν ἕπεσθαι τῇ ἀλλοιώσει παρέλιπεν.

p. 1042b7 Τίς μὲν οὖν διαφορὰ τοῦ ἁπλῶς γίνεσθαι καὶ μὴ ἁπλῶς ἐν τοῖς Φυσικοῖς εἴρηται.

Δείξας ὅτι καὶ ἡ ὕλη οὐσία ἐστίν, εἰπὼν δὲ καὶ ὅτι τὰ ἔχοντα ὕλην γενητὴν καὶ φθαρτὴν ἔχουσι καὶ αὐξήσεως καὶ φθίσεως καὶ τῶν λοιπῶν μεταβολῶν, οὐ μὴν τὰ ἔχοντα ὕλην τοῦ κατὰ τόπον κινεῖσθαι ἀνάγκη ἔχειν καὶ γενητὴν καὶ φθαρτήν, ⟨ἐπεὶ⟩ εἰκὸς ἦν ζητεῖν καὶ τί ἐστι τὸ ἁπλῶς γίνεσθαι καὶ τί τὸ μὴ ἁπλῶς καὶ ὅλως τίς ἡ τούτων διαφορά, φησὶν ὅτι περὶ τούτων εἴρηται ἐν τοῖς Φυσικοῖς. εἶπε γὰρ καὶ ἐν τῇ Φυσικῇ ἀκροάσει, μάλιστα δὲ ἐν τῇ Περὶ γενέσεως, ὅτι ἡ ἀπὸ τῶν χειρόνων εἰδῶν μεταβολή, οἷον ἡ ἀπὸ ἀέρος εἰς πῦρ, ἐπὶ τὰ κρείττω ἁπλῆ μέν ἐστι γένεσις τὶς δὲ φθορά, ἡ δὲ ἀπὸ τοῦ κρείττονος εἴδους ἐπὶ τὸ χεῖρον ἁπλῆ μὲν φθορὰ τὶς δὲ γένεσις. ἀπολογίαν δὲ πεποιηκὼς περὶ τούτων λέγει ὅτι

p. 1042b9 Ἐπειδὴ ἡ μὲν ὡς ὑποκειμένη καὶ ὡς ὕλη ὁμολογεῖται οὐσία εἶναι.

Καὶ γὰρ δέδεικται. ἢ λέγοι ἂν ὅτι ἐπειδὴ ἡ μὲν ὡς ὑποκειμένη καὶ ὡς ὕλη οὐσία, ἥτις πάντα ἐστὶ δυνάμει, ὁμολογεῖται παρὰ πάντων καὶ λέγεται καὶ ἔγνωσται (πάντες γὰρ τὴν ὑλικὴν αἰτίαν εἶπον καὶ μνείαν αὐτῆς πεποιήκασιν οἱ φυσικοί, τῆς δὲ εἰδικῆς οὐδεὶς ἐφρόντισεν, ἢ ἐπ' ὀλίγον), λοιπόν ἐστιν εἰπεῖν | καὶ περὶ τῆς ἐνεργείᾳ οὐσίας τῶν αἰσθητῶν, τίς ἐστιν· ἐνεργείᾳ οὐσίαν τῶν 517

6 οὐκ—μεταβολῆς (8) LFS: om. A[1]: ταύτην μὲν τὴν ὕλην pro his inserit A[2] 15 αὐτὸς—παρέλιπεν] *cum loci mutationem non consequi generationis et interitus mutationem dixisset illud, neque alterationem, praetermisit* S 19 δὲ καὶ ὅτι LF: δὲ ὅτι καὶ A 22 ἐπεὶ c. S addidi 23. 24 φησὶν—τούτων LFS: om. A 24 ἐν τῇ Φυσικῇ ἀκροάσει] E 1 25 ἐν τῇ Περὶ γενέσεως] A 3 33 ὑλικὴν LFS: ὕλην A

αἰσθητῶν λέγων τὸ ἑκάστου εἶδος. καὶ πρῶτον, ὡς ἔθος αὐτῷ, τὰς τῶν παλαιοτέρων ἃς εἶχον περὶ τοῦ εἴδους δόξας ἐπισκέπτεται, καὶ οὕτω τὸ οἰκεῖον τίθησι βούλημα. λέγει δὴ ὅτι Δημόκριτος μὲν τὸ μὲν ὑποκείμενον καὶ τὴν ὕλην ἓν ἔλεγε (τὰς γὰρ ἀτόμους ὑπετίθετο ὡς ὑλικὰ αἴτια), εἰδο- 5
5 ποιοὺς δὲ διαφορὰς τρεῖς, τὸν ῥυσμὸν ὅ ἐστι σχῆμα, καὶ τὴν τροπὴν ὅ ἐστι θέσις, καὶ τὴν διαθιγὴν ὅ ἐστι τάξις. θεὶς οὖν τοῦτο εὐθὺς ἐλέγχει αὐτὸν ὡς οὐ καλῶς οἰόμενον τρεῖς μόνας εἶναι τὰς εἰδοποιοὺς διαφοράς. φαίνονται γάρ, φησίν, ὅτι οὐ μόνον αἱ παρ' αὐτοῦ λεγόμεναι διαφοραί εἰσιν, ἀλλὰ καὶ ἄλλαι πλείους αἵπερ οὐκ ἀνάγονται ὑπὸ τὰς Δημοκρίτου
10 διαφοράς, οἷον τὸ μὲν μελίκρατον, φησί, συνθέσει τοῦ ὕδατος καὶ τοῦ μέ- 10
λιτος εἰδοποιεῖται, καὶ ἔστιν ἡ σύνθεσις εἰδοποιὸς τοῦ μελικράτου, ἥτις σύνθεσις οὔτε σχῆμά ἐστιν οὔτε τάξις οὔτε θέσις. ἄλλο γὰρ θέσις καὶ ἄλλο σύνθεσις· θέσις μὲν γὰρ λέγεται ὅταν ἄνω ἢ κάτω κέηται ἢ ἐπ' εὐθείας ἢ ἄλλως πως, σύνθεσις δὲ ὅταν ἕτερά τινα ἅμα συγκραθῶσιν,
15 ἕτερα δὲ ἢ τῷ εἴδει ἢ τῷ ἀριθμῷ. ὅτι δὲ σύνθεσίς ἐστιν ἐν τῷ μελι- 15
κράτῳ δῆλον· ἐπειδὴ γὰρ σύνθετόν ἐστι, δῆλον ὡς ἔστιν ἐν αὐτῷ σύνθεσις. τὰ μὲν οὖν συνθέσει εἰδοποιεῖται τὰ δὲ δεσμῷ· τοῦ γὰρ φακέλου εἶδος ὁ δεσμός ἐστιν· τὰ δὲ εἰδοποιεῖται κόλλῃ, ὡς τὸ κοντάκιον ἢ καὶ τὸ βιβλίον, τὰ δὲ γόμφῳ, ὡς τὸ κιβώτιον· τὰ δὲ γόμφῳ ἅμα καὶ δεσμῷ καὶ ὅλως
20 ἐν πλείοσιν. τὰ δὲ εἰδοποιεῖται θέσει ὥσπερ ὁ οὐδὸς καὶ τὸ ὑπέρθυρον· 20
τούτων γὰρ εἶδος ἡ τοιαύτη θέσις ἐστίν. εἰ γὰρ οὐδὸς τεθείη ἔνθα τὸ ὑπέρθυρον κεῖται, καὶ τὸ ὑπέρθυρον ὅπου ὁ οὐδός, γενήσεται τὸ μὲν ὑπέρθυρον οὐδὸς καὶ ὁ οὐδὸς ὑπέρθυρον, ὥστε τῇ τοιᾳδὶ θέσει καὶ τῷ ὡδί πως κεῖσθαι εἰδοποιεῖται. εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν τεθὲν ἄλλως ἢ ὡς κεῖ-
25 ται ἀπέβαλε τὸ οὐδὸς εἶναι· ὥστε εἰδός ἐστι τοῦ οὐδοῦ ἡ τοιαδὶ θέσις. τὰ δὲ εἰδοποιεῖ ὁ χρόνος, τό τε δεῖπνον καὶ τὸ ἄριστον· ταῦτα γὰρ τῷ χρόνῳ 25
μόνῳ διαφέρει. τὰ δὲ εἰδοποιεῖται τῷ τόπῳ, ὡς τὰ πνεύματα· ἀπὸ γὰρ τῶν τόπων ἐξ ὧν πνέουσιν, οἱ μὲν λέγονται ἀπαρκτίαι οἱ δὲ νότοι, ἄλλοι δὲ ζέφυροι καὶ ἄλλοι ἀπηλιῶται. κατὰ γὰρ τὴν ὕλην ἀδιάφοροι τυγχά-
30 νουσιν· ὕλη γὰρ παντὸς ἀνέμου ἡ ξηρὰ ἀναθυμίασις, ὡς ἐν τοῖς Μετεώροις δέδεικται. τὰ δὲ εἰδοποιεῖται ταῖς αἰσθηταῖς ποιότησι, σκληρότητι μαλακότητι καὶ τοῖς ὁμοίοις· καὶ τὰ μὲν ἐνίοις τούτων (καὶ γὰρ τὸ ὕδωρ ὑγρό- 30
τητι καὶ ψυχρότητι), τὰ δὲ καὶ ἐν πλείοσι, καὶ ὅλως ὑπεροχῇ καὶ ἐλλείψει. ἡ μὲν γὰρ μάνωσις ὑπεροχή | τις, ἡ δὲ πύκνωσις ἔλλειψίς τις. ὥστε, 518
35 φησί, δῆλον ὅτι καὶ τὸ ἔστιν ἤτοι τὸ εἶναι ἑκάστῳ καὶ τὸ εἶδος αὐτοῖς τοσαυταχῶς λεχθήσεται· εἶδος γὰρ οὐδοῦ καὶ τὸ εἶναι οὐδῷ τὸ οὕτως αὐτὸν κεῖσθαί ἐστι, καὶ τὸ κρυστάλλῳ εἶναι τὸ οὕτω πεπυκνῶσθαι. καὶ ἁπλῶς πᾶσι τούτοις τὰ μὲν ὁρισθήσεται τῷ ὡδὶ μεμῖχθαι, ὥσπερ τὸ μελίκρατον,

---

4 ἔλεγε A²LFS: λέγει A¹ 9 δημοκριτείους LF 10 συνθέσει LFS: σύνθετον ἐκ A 13 κέηται Bonitz: κῆται F: κεῖται AL 14 ἅμα LF: ἃ μὲν A 20 et 33 ἐν πλείοσιν ALF: sic etiam Metaph. p. 1042ᵇ18 cod. Aᵇ: πλείοσιν ἑνός M Bonitz 23 τοιαδὶ LF: τοιαύτῃ A 30 ἐν τοῖς Μετεώροις] Meteor. B 4 34 ἡ μὲν—ἔλλειψίς τις] sic libri omnes 37 κρυστάλλῳ M: κρύσταλλον ALF 38 ὥσπερ—ταύτῃ γὰρ (p. 549,1) LFS: om. A

τὰ δὲ τῷ ὠδὶ δεδέσθαι ὡς φάκελος καὶ χείρ· ταύτῃ γὰρ τὸ εἶναί ἐστι τῷ ὠδὶ δεδέσθαι· καὶ τὰ λοιπὰ ὁμοίως. ταῦτα εἰπὼν λέγει ὅτι δεῖ λαβεῖν τὰ τῶν διαφορῶν γένη· αὗται γὰρ ἀρχαὶ καὶ αἰτίαι ἔσονται ἑκάστοις τοῦ εἶναι τοῦθ' ὅπερ εἰσίν, οἷον τοῖς μὲν ἀρχὴ ἔσται εἰδοποιοῦν τὸ μᾶλλον, ὥσπερ Θαλῆς ἔλεγεν ὅτι τὸ ὕδωρ μᾶλλον μανωθὲν γίνεται ἀὴρ καὶ ὅτι μᾶλλον πῦρ. ταῦτα δέ, φησί, πάντα τό τε μᾶλλον καὶ τὸ ἧττον καὶ μανὸν καὶ πυκνὸν καὶ τὰ τοιαῦτα ὑπεροχή ἐστι καὶ ἔλλειψις. εἰ δέ τι, φησίν, ἐστὶν εἰδοποιούμενον σχήματί τινι, ὥσπερ τὰ μαθηματικά (ταῦτα γὰρ τοῖς σχήμασιν εἰδοποιεῖται, ὕλη δὲ αὐτῶν τὸ μαθηματικὸν σῶμα), ἢ εἰ μὴ σχήματι ἀλλὰ λειότητι ὡς τὰ κάτοπτρα (ταῦτα γὰρ τῇ λειότητι εἰδοποιεῖται), ἢ εἰ μὴ λειότητι ἀλλὰ τραχύτητι ὡς αἱ μυλίαι λίθοι, εἰ οὖν ἐστί τινα τούτοις εἰδοποιούμενα, ταῦτα τὰ εἰδοποιοῦντα πάντα ἥ τε λειότης καὶ τὸ σχῆμα καὶ ἡ τραχύτης ἀναχθήσονται εἰς τὸ εὐθὺ καὶ καμπύλον· λεῖον γὰρ λέγεται τὸ ἐπ' εὐθείας πως ἔχον τὰ μόρια κείμενα, τραχὺ δὲ τὸ μὴ οὕτως ἀλλὰ κοιλότητάς τινας ἢ ὅλως καμπυλότητας καὶ ἀνωμαλίας. ἄλλοις δὲ πάλιν τὸ εἶναί ἐστι τὸ μεμῖχθαι, ὡς τῷ μελικράτῳ, τὸ δὲ μὴ εἶναι τὸ μὴ μεμῖχθαι. ὥστε δῆλον ὡς εἴπερ ἡ οὐσία καὶ τὸ εἶδος αἴτιόν ἐστι τοῦ εἶναι ἕκαστον τοῦθ' ὅπερ ἐστίν, ἐν τούτοις ζητητέον τί τὸ αἴτιον τοῦ εἶναι ἕκαστον· οἷον εἰ ζητοίη τις τί τὸ αἴτιον τοῦ τὸ κάτοπτρον εἶναι τοῦθ' ὅπερ ἐστίν, ἐν τῷ εὐθεῖ καὶ καμπύλῳ καὶ τοῖς λοιποῖς ζητείτω καὶ εὑρήσει ἐν ἐκ τούτων ὅτι αἴτιον· ἐν γὰρ ἐκ τούτων αἴτιόν ἐστι τοῦ εἶναι τὸ κάτοπτρον τοῦθ' ὅπερ ἐστί, τὸ εὐθύ· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. εἰπὼν δὲ ὅτι εἴπερ ἡ οὐσία αἰτία τοῦ εἶναι ἕκαστον ἐν τούτοις ζητητέον, λέγει ὅτι οὐσία μὲν οὖν οὐδὲν τούτων, λέγων τὴν λειότητα τὴν τραχύτητα τὸν οὐδόν, οὐχὶ τὸ ξύλον (τοῦτο γὰρ δῆλον ὅτι οὐσία ἐστίν) ἀλλὰ τὸ τοῦ οὐδοῦ εἶδος. εἰ γὰρ ἦν οὐσία τὸ εἶδος τοῦ οὐδοῦ, οὐκ ἂν μετατεθεὶς εὐθὺς ἀπέβαλε τὸ εἶναι οὐδός, μηδὲν παθὼν ἀλλὰ μόνον τὸ μεταπεσεῖν ἀφ' οὗπερ ἔκειτο. οὔτε οὖν καθ' αὑτὸ τὸ τοῦ οὐδοῦ εἶδος νο|ούμενόν ἐστιν 549
οὐσία, οὔτε συνδυασθὲν μετὰ τοῦ ξύλου. ὁμοίως δὲ πᾶν τεχνητὸν εἶδος οὐκ ἔστιν οὐσία. ὅμως δέ, φησίν, ἐπειδὴ ἀναλογίαν ἔχουσι πρὸς τὰς οὐσίας (ὃν γὰρ λόγον ἔχει τὸ ἀνθρώπειον εἶδος καὶ ἵππειον πρὸς τὴν ὑποκειμένην αὐτοῖς ὕλην, τοῦτον ἔχει καὶ ἡ τοιαδὶ θέσις, τοῦτο δ' ἐστὶ τὸ τοῦ οὐδοῦ εἶδος, πρὸς τὸ ὑποκείμενον αὐτῷ ξύλον καὶ τὸ τοῦ ἀνδριάντος πρὸς τὸν χαλκὸν καὶ τὸ τοῦ κατόπτρου πρὸς τὸν σίδηρον· ὁμοίως δὲ καὶ τὰ λοιπὰ πρὸς τὰ ὑποκείμενα αὐτοῖς ἔχει), ἐπειδὴ οὖν τὸν αὐτὸν ἔχουσι λόγον, ὥσπερ ἐπὶ τῶν οὐσιῶν τοὺς ὁρισμοὺς ἀποδιδόντες οὐ τὸ σύνθετον ὁριζόμεθα ἀλλὰ τὸ εἶδος, οὕτω χρὴ καὶ ἐπὶ τούτων ποιεῖν καὶ ὁρίζεσθαι μὴ τὰ σύνθετα ἀλλὰ τὰ εἴδη. διὸ εἰ οὐδὸν δέοι ὁρίσασθαι, τὸ εἶδος αὐτὸ

---

4 τοῦθ' LF: om. A  τὸ μᾶλλον LFS: τὸ μᾶλλον καὶ ἧττον A  10. 11 ὡς τὰ — τραχύτητι LFS: om. A  12 εἰδοποιούμενα ταῦτα τὰ LFS: om. A  ἥ τε λειότης LFS: ἡ τελειότης A  24 οὖν LFS: om. A  29 τεχνητὸν LF: τεχνικὸν A  31 ἔχει LF: om. A  38 ἀλλὰ LFS: om. A  διὸ LFS: οἷον A

τοῦ οὐδοῦ ὁριστέον, καὶ οἰκίας οἷον ὅτι σκέπασμα κωλυτικὸν ὄμβρων καὶ πνευμάτων. ἐπ' ἐνίων δέ, φησίν, οὐ τὸ εἶδος ὁρίζεται ἀλλὰ τὸ οὗ ἕνεκα, οἷον εἰ λέγοιμεν ὅτι κιβώτιόν ἐστιν ἀγγεῖον χρημάτων φυλακτικόν, τὸ οὗ ἕνεκα ἀποδεδώκαμεν· ἕνεκα γὰρ τοῦ τὰ χρήματα φυλάττεσθαι τὸ κιβώτειον εἶδος τῇ τοιᾳδὶ ὕλῃ ὁ τεχνίτης περιτέθεικε. τοῦτο δὴ θεὶς μεταξὺ πάλιν λέγει ὅτι εἰ δὲ κρύσταλλον ὁριζόμεθα ἐροῦμεν ὕδωρ πεπηγὸς ἢ πεπυκνωμένον ὠδί, εἰ δὲ συμφωνίαν, εἴποιμεν ἂν ὅτι συμφωνία μῖξίς ἐστι τοιαδὶ ὀξέων καὶ βαρέων φθόγγων. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. καὶ ἡ μὲν τῶν λεγομένων διάνοια τοιαύτη τις ἂν εἴη. ἡ δὲ λέξις ἡ ὅμως δὲ τὸ ἀνάλογον ἐν ἑκάστῳ, καὶ ὡς ἐν ταῖς οὐσίαις τὸ τῆς ὕλης κατηγορούμενον αὐτὴ ἡ ἐνέργεια, καὶ ἐν τοῖς ἄλλοις ὁρισμοῖς μάλιστα ἔχει τινὰ ἀσάφειαν. ὃ δὲ λέγει τοιοῦτον ἂν εἴη. οὐδὲν τούτων οὐσία ἐστὶν οὐδὲ συνδυαζόμενον τῇ ὕλῃ· ὅμως ἐν ἑκάστῳ τούτων ἤτοι τοῦ οὐδοῦ καὶ τῶν ἄλλων τὸ ἀνάλογόν ἐστι, τουτέστιν ἔχουσιν ἀναλογίαν πρὸς τὰς οὐσίας, καὶ ὥσπερ ἐν ταῖς οὐσίαις τὸ κατηγορούμενον τῆς ὕλης οὐδὲν ἕτερόν ἐστιν ἢ αὐτὴ ἡ ἐνέργεια, τουτέστιν αὐτὸ τὸ εἶδος, ὃ δὴ καὶ ὁριζόμεθα (τοῦτο γὰρ δεῖ προσυπακούειν), οὕτω καὶ ἐν τοῖς ἄλλοις ὁρισμοῖς, τοῖς μὴ οὐσιῶν οὖσιν ἀλλὰ τεχνητῶν, τὰ εἴδη ὁριστέον.

p. 1043a12 Φανερὸν δὴ ἐκ τούτων ὅτι ἡ ἐνέργεια ἄλλη ἄλλης ὕλης.

Ἐπειδὴ γὰρ ὕλη κρυστάλλου μὲν ὕδωρ ἐστὶν ἀλλ' οὐ σῖτος, σωροῦ δὲ σῖτος ἀλλ' οὐχ ὕδωρ, οἰκίας δὲ ξύλα καὶ λίθοι ἀλλ' οὐχ ὕδωρ καὶ μέλι (ταῦτα γὰρ ὕλη τοῦ μελικράτου), δῆλον ὡς ἄλλη ἐνέργεια καὶ εἶδος ἄλλην ὕλην ἔχει καὶ ἄλλη ἄλλην, καὶ ἔμπαλιν ἄλλης ὕλης ἄλλη τυγχάνει οὖσα ἐνέργεια καὶ ἄλλης ἄλλη. τοῦ μὲν ὕδατος καὶ μέλιτος ἐνέργεια καὶ εἶδος ἡ σύνθε|σις, τῶν δὲ σίτων καὶ κριθῶν μῖξις καὶ ἄλλων ἄλλη. καὶ διὰ τὸ 520 πᾶν εἶδος φυσικόν τε καὶ τεχνητὸν ἐν ὕλῃ τὸ εἶναι ἔχειν τινὲς ὁριζόμενοι τὴν ὕλην ἀποδιδόασιν, ὥσπερ οἱ λέγοντες οἰκία ἐστὶ ξύλα καὶ λίθοι καὶ πλίνθοι, ἢ ὀργή ἐστι ζέσις τοῦ περὶ τὴν καρδίαν αἵματος. οἱ δὴ οὕτως ὁριζόμενοι τὴν δυνάμει οἰκίαν καὶ τὴν δυνάμει ὀργὴν ὁρίζονται· ὕλη γὰρ τῆς μὲν οἰκίας τὰ ξύλα καὶ οἱ λίθοι, τῆς δὲ ὀργῆς τὸ αἷμα, ἃ δὴ δύνανται τὰ μὲν οἰκία, τὸ δὲ ὀργὴ γενέσθαι. οἱ δὲ λέγοντες ὅτι οἰκία ἐστὶν ἀγγεῖον σκεπαστικὸν χρημάτων καὶ σωμάτων, ἢ ἄλλο τι τοιοῦτον προσθέντες, τὸ εἶδος καὶ τὴν ἐνέργειαν ὁρίζονταί τε καὶ λέγουσιν. οἱ δὲ φάσκοντες ὡς οἰκία ἐστὶ ξύλα καὶ λίθοι ἀγγεῖον σκεπαστικὸν χρημάτων καὶ σωμάτων, τὴν ἐξ ὕλης καὶ εἴδους οἰκίαν ὁρίζονται. ὁ μὲν γὰρ ἐκ τῶν διαφορῶν λόγος ἐστὶν ὁ τοῦ εἴδους, ὁ δ' ἐκ τῶν ξύλων καὶ λίθων τῆς ὕλης, ὁ δ' ἐξ ἀμφοῖν τῆς συνθέτου οἰκίας, ὁποίας καὶ Ἀρχύτας ἀπεδέχετο τὰς ἐκ τῶν

---

1 καὶ οἰκίας οἷον] *si domum, domus formam, in hunc modum* S 6 ἐροῦμεν LFS: αἱροῦμεν A 9 ante διάνοια add. οἶμαι LF 9. 10 ἡ δὲ LF: εἰ δὲ A 17 δεῖ LFS: δὴ A 24 τοῦ μὲν—μέλιτος ALFS: inter lineam scriptum ἤτοι μελικράτου habet A 31 τὸ δὲ LFS: τὰ δὲ A

διαφορῶν καὶ τῆς ὕλης· ὁριζόμενος γὰρ τὴν νηνεμίαν ἔλεγεν ὅτι νηνεμία ἐστὶν ἠρεμία ἐν πλήθει ἀέρος· ὕλη μὲν γὰρ ὁ ἀήρ, εἶδος δὲ καὶ ἐνέργεια ἡ ἠρεμία. καὶ πάλιν γαλήνη ἐστὶν ὁμαλότης θαλάσσης· τὸ μὲν ὑποκεί- 15
μενον ὡς ὕλη ἡ θάλασσα, ἡ ὁμαλότης δὲ τὸ εἶδος. οὕτω μὲν οὖν ἀκριβῶς
5 καὶ θειότατα τὰ περὶ τούτων διορίσας συμπεραίνεται, λέγων ὅτι φανερόν ἐστιν ἐκ τῶν εἰρημένων τίς ἡ αἰσθητὴ οὐσία καὶ πῶς, ὅτι ἡ μέν ἐστιν ὡς ὕλη καὶ δυνάμει, ἡ δ' ὡς τὸ εἶδος καὶ ἡ ἐνέργεια, ἡ δὲ τρίτη ἐκ τούτων.

p. 1043a29 Δεῖ δὲ μὴ ἀγνοεῖν ὅτι ἐνίοτε λανθάνει, πότερον ση- 20
10 μαίνει τὸ ὄνομα.

Ὁ ζητεῖ σαφῶς καταλέγει, οὐ λύει δὲ ὡς σαφοῦς οὔσης τῆς λύσεως. ζητεῖ γὰρ πότερον τὰ ὀνόματα τῶν συνθέτων εἰσὶ σημεῖα ἢ τῶν εἰδῶν; οἷον ἡ γραμμὴ πότερον σημαίνει ὅτι δυὰς ἐν μήκει, ὅπερ ἐστὶ τὸ σύνθετον (εἶδος μὲν γὰρ ἡ δυάς, ὕλη δὲ τὸ μῆκος, δυάδα δὲ λέγει τὴν γραμμήν,
15 ὅτι, ὥσπερ ἐν τοῖς ἀριθμοῖς πρώτη διάστασις ἡ δυάς ἐστιν, οὕτως ἐν τοῖς 25
μήκεσιν ἡ γραμμή), πότερον οὖν ἡ γραμμὴ τὸ ὅτι δυὰς ἐν μήκει σημαίνει, ἢ ὅτι δυὰς τὸ εἶδος μόνον; καὶ τὸ ζῷον πότερον τὸ σύνθετον δηλοῖ, ὅτι ψυχὴ ἐν σώματι ἢ ψυχή; αὕτη γὰρ οὐσία καὶ ἐνέργεια καὶ εἶδος σώματός τινος. οὕτω μὲν οὖν ζητήσας οὐ λύει, ὡς δήλου ὄντος ὅτι τὰ ὀνόματα
20 τῶν εἰδῶν εἰσι σημαντικά, ἀλλ' οὐ τῶν συνθέτων. ἐπειδὴ γὰρ τὸ ὄνομα σημεῖόν ἐστι τοῦ οὗ ἐστιν ὁ ὁρισμὸς δηλωτικός, οἱ δὲ ὁρισμοὶ τῶν εἰδῶν 30
εἰσι, φανερὸν ὅτι καὶ τὰ ὀνόματα τῶν εἰδῶν εἰσιν. εἰπὼν δὲ ὅτι τὸ ζῷον πότερον τῆς ψυχῆς ἐστι δηλωτικὸν ἢ τοῦ συναμφοτέρου, λέγει ὅτι εἴη δ' ἂν καὶ ἐπ' ἀμφοτέροις τὸ ζῷον, | τουτέστι λέγεται τὸ ζῷον καὶ ἐπὶ 521
25 τῆς ψυχῆς καὶ ἐπὶ τοῦ συνθέτου, ἀλλ' οὐχ ὡς ἑνὶ λόγῳ λεγόμενον, ἀλλ' ὡς πρὸς ἕν. ἐπειδὴ γὰρ ἔχει καὶ ἡ ψυχὴ ὀρεκτικὰς δυνάμεις, ἔχει δὲ καὶ τὸ σύνθετον, πρὸς τοῦτο ἀφορῶντες λέγομεν ἀμφότερα ζῷα. ἐπειδὴ δὲ τὴν τοιαύτην ζήτησιν, λέγω δὴ τὸ πότερον τὸ ζῷον τὴν σύνθετον οὐσίαν 5
δηλοῖ ἢ τὴν ψυχήν, ἔγνω μηδὲν πρὸς τὰ προκείμενα συντελοῦσαν, λέγει
30 ὅτι ἀλλὰ ταῦτα πρὸς μέν τι ἄλλο διαφέρει, τουτέστι πρὸς μὲν τὰς διαλεκτικὰς συνουσίας ὠφελεῖταί τις παρὰ τὸ γινώσκειν εἴτε τὸ σύνθετον δηλοῖ εἴτε μή, πρὸς δὲ τὴν ζήτησιν τῆς οὐσίας τῆς αἰσθητῆς οὐδέν. οὕτω δὴ ἀποπεμψάμενος τὴν τοιαύτην ζήτησιν διευθετεῖ τὰ περὶ τοῦ εἴδους, λέγων ὅτι τὸ τί ἦν εἶναι οὐκ ἐπὶ τοῦ συνθέτου λέγεται, ἀλλὰ τῷ εἴδει 10
35 ὑπάρχει καὶ τῇ ἐνεργείᾳ, καὶ ἐπὶ μὲν τῶν ἁπλῶν τὸ ὕδωρ εἶναι καὶ ὕδατι ταὐτόν ἐστι, καὶ ψυχὴ καὶ ψυχῇ εἶναι, ἄνθρωπος δὲ καὶ ἀνθρώπῳ οὐ ταὐτόν, ἀλλ' ἄνθρωπον εἰπόντες λέγομεν Σωκράτη καὶ Πλάτωνα καὶ ὅλως τὸ σύνθετον, ἀνθρώπῳ δὲ τὸ τί ἦν εἶναι καὶ τὸ εἶδος. τὸ δὲ εἰ μὴ καὶ

---

12 γὰρ MS: om. ALF 18 ἐν σώματι LF: ἐν τῷ σώματι A 25 συνθέτου] εἴδους LF 31 ὠφελεῖ τὸ γινώσκειν LF 33 δὴ LF: δὲ A 34 λέγεται LFS: λογίζεται A

ἡ ψυχὴ ἄνθρωπος λεχθήσεται τοιοῦτον ἂν εἴη· εἰ μέν, φησί, λέγει τις τὴν ψυχὴν ἄνθρωπον καὶ κατηγορεῖται τὸ ἄνθρωπος κατὰ τῆς ψυχῆς, ἐπειδὴ ψυχὴ καὶ τὸ ψυχῇ εἶναι ταὐτὸν σημαίνει, εἴη ἂν καὶ ἄνθρωπος καὶ ἀνθρώπῳ εἶναι ταὐτόν· εἰ δὲ μή, οὐκ ἔσται. καὶ οὕτω, φησί, τινὶ μὲν τινὶ δ' οὔ, τουτέστιν εἰ λέγει τις ἄνθρωπον τὴν ψυχήν, ἔσται ταὐτὸν ὁ ἄνθρωπος καὶ τὸ ἀνθρώπῳ εἶναι· εἰ δὲ ἄνθρωπον λαμβάνει τὸν σύνθετον ἐκ ψυχῆς καὶ σώματος ἤτοι τὸν ἐξ εἴδους καὶ ὕλης, οὐκ ἔσται ταὐτὸν ἄνθρωπος καὶ ἀνθρώπῳ εἶναι, ἀλλὰ τινὶ μέν, οἷον ἐπὶ τῆς ψυχῆς, ἔσται, τινὶ δέ, οἷον ἐπὶ τοῦ ἀνθρώπου τοῦ συνθέτου, οὐκ ἔσται.

p. 1043b4 Οὐ φαίνεται δὴ ζητοῦσιν ἡ συλλαβὴ ἐκ τῶν στοιχείων οὖσα καὶ συνθέσεως.

Δείξας ἐν τῷ τέλει τοῦ πρὸ τούτου βιβλίου ὅτι ἡ συλλαβή, ἤτοι αὐτὸ τὸ τῆς συλλαβῆς εἶδος, ἕτερόν ἐστι τῶν στοιχείων, καὶ ὅτι οὔτε στοιχεῖόν ἐστι τὸ εἶδος οὔτε ἐκ στοιχείων, πάλιν τὰ περὶ ἐκείνων διαρθροῖ, λέγων ὅτι ἡ συλλαβή, αὐτὸ τὸ τῆς συλλαβῆς φημι εἶδος, οὐκ ἔστιν ἐκ στοιχείων καὶ τῆς συνθέσεως. οὐ γὰρ ὡς τὸ μέλι καὶ τὸ ὕδωρ αὐτὰ καθ' αὑτὰ ὄντα καὶ συνελθόντα ἀπετέλεσαν τὸ μελίκρατον, οὕτω καὶ ἡ σύνθεσις αὐτὴ καθ' αὑτὴν οὖσα καὶ τὰ στοιχεῖα συνῆλθον καὶ ἀπετέλεσαν τὴν συλλαβήν. οὔτε δὴ οὖν ἡ συλλαβὴ ἐκ συνθέσεώς ἐστι καὶ τῶν στοιχείων οὔτε ἡ οἰκία ἐκ πλίνθων καὶ συνθέσεως. ἀλλὰ τὸ εἶδος τῆς συλλαβῆς ἐστι τὸ ἀποτέλεσμα τὸ ἐκ τοῦ αβ, καὶ τὸ βα ἤτοι ἡ συλλαβὴ οὐδὲν ἕτερόν ἐστιν ἢ ἡ τοιαδὶ τῶν στοιχείων σύνθεσις· | οὐ μήν ἐστιν ἡ συλλαβὴ ἐκ 522 τῆς συνθέσεως καὶ τῶν στοιχείων. οὐ γάρ ἐστι, φησίν, ἡ σύνθεσις οὐδ' ἡ μῖξις ἐκ τούτων ὧν ἐστι σύνθεσις ἢ μῖξις. ὃ δὴ ἀσαφῶς ἡρμήνευται καὶ ἐλλιπῶς· δεῖ γὰρ προσυπακούειν τὸ τινός, τὸ δὲ ἐκ τούτων ἀντὶ τοῦ μετὰ τούτων, ἵν' ᾖ πλῆρες τοιοῦτον 'οὐ γάρ ἐστιν ἡ σύνθεσις οὐδ' ἡ μῖξίς τινος μετὰ τούτων ὧν ἐστι σύνθεσις ἢ μῖξις.' καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον. εἰ ἔστιν ἡ σύνθεσις ὕδατος, εἰ τύχοι, καὶ μέλιτος, οὐ συνῆλθεν ἡ μῖξίς τινι τούτων ἢ τῷ ὕδατι ἢ τῷ μέλιτι ἢ καὶ ἀμφοῖν, καὶ ἀπετέλεσαν τὸ μελίκρατον· εἰ μὲν γὰρ ἦν ἡ μῖξις πρᾶγμά τι τῶν δυναμένων καθ' αὑτὸ εἶναι, εἰκὸς ἦν λέγειν ὅτι μετά τινος τούτων τοῦ τε ὕδατος καὶ τοῦ μέλιτος ἢ μετὰ ἀμφοῖν συνελθοῦσα ἀπετέλεσε τὸ μελίκρατον· ἐπεὶ δὲ οὐκ ἔστιν, οὐ λέγεται τοῦτο, ἀλλὰ τὸ μελίκρατόν ἐστιν αὐτὴ ἡ μῖξις. αὐτὸς δὲ εἰς παράδειγμα καὶ σαφήνειαν τῶν λεγομένων τὸν οὐδὸν παρήγαγε λέγων οἷον εἰ οὐδὸς θέσει, οὐκ ἐκ τοῦ οὐδοῦ ἡ θέσις· τουτέστιν εἰ ἔστιν οὐδὸς ἤτοι εἰ ἔστι τὸ τοῦ οὐδοῦ εἶδος ἡ θέσις καὶ τὸ

---

2 κατηγορεῖται LFS: κατηγορεῖ τε A 7 τὸν — ὕλης LFS: καὶ εἴδους τῶν ἐξ ὕλης A 8 ἔσται LF: om. A 12 ἤτοι M: om. ALF 13 ἕτερόν FM: ἕτερά A: ἑτερα (sic) L 17 αὐτὴ LF: αὕτη A 22 ἐκ LF: ἡ ἐκ A 25 προσυπακούειν LF: ὑπακούειν A 26. 27 ἵν' ᾖ — μετὰ τούτων LFS: om. A 36 τουτέστιν — ἡ θέσις LFS: om. A

ὧδὶ κεῖσθαι, οὐκ ἐκ τοῦ οὐδοῦ [οὖν] ἡ θέσις, ἀλλὰ μᾶλλον οὗτος ἐξ ἐκείνης· ἡ τοιαδὶ γὰρ θέσις τὸν οὐδὸν εἰδοποιεῖ. οὐδὲ δή, φησίν, ὁ ἄνθρωπός ἐστι τὸ ζῷον καὶ τὸ δίπουν, ἀλλὰ τὸ ἐκ τούτων ἀποτέλεσμα, ὃ παρὰ ταῦτά ἐστιν· ταῦτα μὲν γὰρ ὕλη, τὸ δ' ἐκ τούτων ὁ ἄνθρωπος. ὅπερ, λέγω δὴ τὸ παρὰ τὸ ζῷον καὶ τὸ δίπουν, οὔτε στοιχεῖόν ἐστιν οὔτε ἐκ στοιχείου, τί δέ ἐστι τὸ παρὰ τὸ ζῷον καὶ τὸ δίπουν ἡ οὐσία ἤτοι τὸ εἶδος, ὃ καὶ κυρίως οὐσίαν λέγουσιν ἐξαιροῦντες τῷ λόγῳ καὶ χωρίζοντες τὴν ὕλην. μήποτε δὲ τὸ ὃ ἐξαιροῦντες τὴν ὕλην λέγουσι περὶ τῶν τὰς ἰδέας λεγόντων εἴρηται, ὅτι ὅπερ εἶδος χωρίζοντες τῆς ὕλης καὶ καθ' αὐτὸ εἶναι λέγοντες οὐσίαν αὐτό φασιν. εἰ δή, ὡς πολλάκις δέδεικται, τὸ εἰδός ἐστι τὸ αἴτιον τὸ κινοῦν τὴν ὕλην καὶ ποιοῦν ὅπερ ἐστί, δῆλον ὡς εἴ τις ὅλως οὐσίαν λέγοι, οὐδὲν ἄλλ' ἢ τὸ εἰδός φησιν.

p. 1043ᵇ14 Ἀνάγκη δὴ ταύτην ἢ ἀίδιον εἶναι ἢ φθαρτήν.

Ἐπειδὴ εἶπεν ὅτι τὸ εἰδός ἐστιν αἴτιον τοῦ τὴν ὕλην κινεῖσθαι καὶ ὅπερ ἐστὶ γίγνεσθαι, καὶ εἰ λέγοι τις οὐσίαν, δηλονότι τῷ εἴδει τὸ τῆς οὐσίας ὄνομα μᾶλλον ἂν συνάπτοι, λέγει ὅτι ἀνάγκη ταύτην ἢ ἀίδιον εἶναι ἢ φθαρτὴν ἄνευ τοῦ φθείρεσθαι καὶ γεγονέναι χωρὶς τοῦ γίνεσθαι, τουτέστιν ἄνευ φθορᾶς φθείρεσθαι καὶ ἄνευ γενέσεως εἶναι. δέδεικται γὰρ ἐν τῷ πρὸ τούτου βιβλίῳ ὅτι τὸ εἶδος οὐθεὶς ποιεῖ οὐδὲ γεννᾷ, ἀλλὰ ποιεῖται τοδὶ τὸ | εἶδος οἷον σφαῖρα, καὶ ὅλως τὸ ἐκ τούτων τοῦ τε εἴδους καὶ 523 τῆς ὕλης. ἀλλ' ὅτι μὲν τὸ εἶδος οὐ γίνεται δῆλον· εἰ δέ γε εἰσὶ χωρισταὶ οὐσίαι καὶ ἰδέαι, οὐδέν πω δῆλον, πλὴν ὅτι ἐπ' ἐνίων οὐκ ἐνδέχεται ἰδέας εἶναι φανερόν· οὐ γὰρ ἔστιν αὐτοοικία οὐδὲ αὐτοκιβώτιον. ἴσως δέ, φησίν, οὐδὲ οὐσίαι εἰσὶ τὰ ὑπὸ τέχνης γινόμενα εἴδη καὶ ὅλως τὰ μὴ ὑπὸ φύσεως συνεστηκότα, ἀλλὰ μόνην ἄν τις οὐσίαν εἴποι καὶ ἀληθῶς τὴν φύσιν καὶ τὸ εἶδος τὸ ἐν τοῖς φθαρτοῖς, τουτέστι τὸ φυσικὸν εἶδος καὶ ἐν τοῖς καθ' ἕκαστα καὶ φθαρτοῖς ὄν. εἰ δὲ οὐκ εἰσιν οὐσίαι τὰ τεχνητὰ εἴδη, δῆλον ὡς οὐδέ εἰσιν αὐτῶν ἰδέαι· αἱ ἰδέαι γὰρ τῶν οὐσιῶν εἰσιν.

p. 1043ᵇ23 Ὥστε ἡ ἀπορία, ἣν οἱ Ἀντισθένειοι καὶ οἱ οὕτως ἀπαίδευτοι ἠπόρουν, ἔχει τινὰ καιρόν.

Δεῖ προσυπακούειν τοῦ ἐξ ὧν εἴπομεν λυθῆναι, ἵνα ᾖ τὸ λεγόμενον τοιοῦτον· ὥστε ἡ ἀπορία καιρὸν ἔχει, ἣν οἱ Ἀντισθένειοι ἠπόρουν, λυθῆναι ἐξ ὧν εἴπομεν. ἐπειδὴ γὰρ δέδεικται ὅτι ἄλλα ἐστὶ τὰ ὡς εἴδους μέρη καὶ ἄλλα τὰ ὡς ὕλης, ἐκ τούτων λυθήσεται ἡ τῶν Ἀντισθενείων ἀπορία.

---

1 οὐκ ἐκ — θέσις MS, cf. Metaph. p. 1043ᵇ9: οὐκ ἔστιν ὁ οὐδὸς ἐκ τῆς θέσεως ALF οὖν om. S: del. Bonitz 5 post δίπουν add. ἡ οὐσία A: om. LFS 7. 8 ἐξαιροῦντες τὴν ὕλην καὶ χωρίζοντες τῷ λόγῳ LF 17 φθαρτὴν FM: φθαρτὸν AL 22 οὐδέν πω LF: οὐδέπω A 25 μόνην LF: μόνον A 29 ἣν οἱ LF: οἱ om. A 32 ὥστε LFS: ὥσπερ A

ἔστι δ' αὐτῶν ἡ ἀπορία, ὅτι οὐκ ἔστιν ὁρίσασθαι, οὐδ' ἔστιν ὁρισμός τινος. τοῦτο δὲ κατεσκεύαζον ὡδί. ἐπειδὴ γὰρ ὁ ὁρισμὸς οὐκ ἔστιν ὄνομα, ἀλλ' ἐκ πλειόνων (τοῦτο γὰρ εἶπε λόγον μακρόν· τὸ γὰρ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν λόγος μακρός ἐστιν, ἀλλ' οὐχ ὡς τὸ ἄνθρωπος ὄνομα), ἐπειδὴ οὖν ὁ ὁρισμὸς οὐκ ἔστιν ὄνομα, οὐκ ἔστιν ὁρίσασθαι. λέγουσι δὲ ὅτι, ὅταν εἴπωμεν ζῷον λογικόν, σύνθετόν τι λέγομεν ἐξ ὕλης καὶ εἴδους, ὕλης μὲν τοῦ ζῴου, εἴδους δὲ τοῦ λογικοῦ, καὶ ἔτι προστεθὲν τὸ θνητὸν σύνθετον. εἰ δὲ τοῦτο, τὰ μὲν σύνθετα ἐπεξερχόμεθα καὶ οἱονεὶ ἀριθμοῦμεν πόσα τινὰ τυγχάνει, ζῷον λογικὸν λέγοντες, καὶ πάλιν ζῷον λογικὸν θνητόν, ὁρισμὸν δὲ οὔ φαμεν. λέγει δὴ ὁ Ἀριστοτέλης ὅτι ἡ ἀπορία αὕτη λύεται ἐξ ὧν εἴπομεν· ἐπειδὴ γὰρ δέδεικται ὅτι τὸ ζῷον πεζὸν δίπουν τοῦ εἴδους ἐστὶ μέρη, οὐ τῆς ὕλης, πῶς ἐστι δυνατὸν λέγειν ὅτι τὸ ζῷόν ἐστιν ὕλη τὸ δὲ λογικὸν εἶδος, ἢ πάλιν τὸ ζῷον λογικὸν ὕλη τὸ δὲ θνητὸν εἶδος; εἰ μὲν γὰρ ἦσαν τῆς ὕλης μέρη τὸ ζῷον, τὸ θνητόν, τὸ λογικόν, ἐχρῆν ταῦτα λέγειν, ὅτι τὸ ζῷον καὶ τὸ λογικὸν ὕλη ἐστί, τὸ δὲ θνητὸν εἶδος, καὶ λέγοντες ζῷον θνητὸν λέγουσι τὸ σύνθετον τὸ ἐξ ὕλης καὶ εἴδους· ἐπεὶ δὲ οὔκ εἰσιν ὑλικά, οὐ τὸ σύνθετον λέγουσιν, ἀλλὰ τὰ μέρη τοῦ εἴδους· ὥστε ἔστιν ὁρισμός. οὐκ ἔστιν οὖν, φασίν, ὁρίσασθαι, ἀλλὰ ὁποῖον μέν ἐστιν ἄνθρωπος ἢ βοῦς ἐνδέχεται διδάξαι, ὁρίσασθαι δὲ οὔ· οἷον ὁρίσασθαι μὲν καὶ εἰπεῖν τί ἐστιν ἄργυρος οὐχ οἷόν τε, ὁποῖον δέ, δυνατόν, οἷον ἐρωτηθέντα ὁποῖόν ἐστιν ἄργυρος, εἰπεῖν ὅτι οἷον κατσίτερος. ὥστε, φασί, λόγον μὲν ἔστιν εἰπεῖν οὐσίας συνθέτου τῆς ἐξ ὕλης καὶ εἴδους, εἴδους δὲ ὅρον ἢ ὕλης ἐξ ὧν ἡ σύνθετός ἐστιν οὐσία οὐκ ἔστιν ἀποδοῦναι. εἰπὼν δὲ ὅτι συνθέτου | ἔστιν οὐσίας ἀποδοῦναι ὁρισμόν, 524 προσέθηκε τὸ ἐάν τε αἰσθητῆς ἐάν τε νοητῆς. ἀλλ' ὅτι μὲν αἱ αἰσθηταὶ οὐσίαι σύνθετοί εἰσι, φανερόν· ὅτι δέ εἰσι καὶ νοηταὶ σύνθετοι, δῆλον· τὰ γὰρ μαθηματικὰ ἐξ ὕλης καὶ εἴδους εἰσίν· ὁ γὰρ νοητὸς κύκλος ἐξ ὕλης μὲν τοῦ διαστήματος, εἴδους δὲ τοῦ τοιουδὶ σχήματος. οὐχ ὡς ἀρεσκόμενος δὲ καὶ τὰ μαθηματικὰ οὐσίας εἶπεν, ἀλλ' ἴσως καὶ τοῦτο τῶν Ἀντισθενείων λεγόντων εἴρηκεν αὐτὰ οὐσίας. τῆς μὲν οὖν συνθέτου φασὶν οὐσίας, εἴτε αἰσθητή ἐστιν εἴτε νοητή, ἔστιν ὁρισμὸν ἀποδοῦναι, ἐξ ὧν δ' αὕτη, οὐκ ἔστιν, εἴπερ τὸ ζῷον λογικὸν καὶ ὅλως ὁ ὅρος τὶ κατά τινος σημαίνει, καὶ τὸ μέν ἐστιν εἶδος τὸ δὲ ὕλη.

p. 1043ᵇ32 Φανερὸν δὲ καὶ διότι, εἴπερ εἰσὶν οἱ ἀριθμοὶ οὐσίαι, οὕτω εἰσίν.

Δείξας ὅτι τὸ εἶδός ἐστιν ἡ κυρίως οὐσία, καὶ εἰπὼν ὅτι εἴπερ ὅλως λέγομεν οὐσίαν, τὸ εἶδος ἂν λέγοιμεν, ἐπειδὴ ὁμοιότητάς τινας ἔχουσιν οἱ

---

10 δὴ LFS: δὲ A 21 ἐρωτηθέντα Brandis Bonitz: ἐρωτηθέντες ALFM 24 συνθέτου Brandis Bonitz: συνθέτης ALF 29 δὲ LF: om. A 31 εἴτε—εἴτε LFS: ἤτε—ἤτε A 34 οἱ ἀριθμοὶ ALF: πως ἀριθμοὶ αἱ Metaph., cf. p. 555, 2. 3 37 λέγομεν LF: λέγωμεν A

ἀριθμοὶ πρός τε τὸ εἶδος καὶ τὴν οὐσίαν, λέγει ὅτι ἐὰν διὰ τὸ ὁμοιότητα ἔχειν τοὺς ἀριθμοὺς καὶ τὰ εἴδη λέγωσι τὰ εἴδη ἀριθμοὺς καὶ ἐπὶ τούτῳ καὶ τὰς οὐσίας, ἔχει τινὰ λόγον τὸ ὑπ' αὐτῶν λεγόμενον, καὶ καλῶς τοῦτο λέγεται· εἰ δ' ἄλλως πως, ὅτι ὁ ἀριθμός ἐστι μονάδων πλῆθος, οὐ καλῶς. 15
5 καὶ λέγει τὰς ὁμοιότητας τοῦ ἀριθμοῦ καὶ τοῦ ὁρισμοῦ, τοῦ δὲ ὁρισμοῦ λέγων φανερὸν ὅτι καὶ τοῦ ὁριστοῦ λέγει. ὁ ὁρισμός, φησίν, ἀριθμός τίς ἐστιν. ὥσπερ γάρ, φησίν, ὁ ἀριθμὸς εἰς μονάδας ἀδιαιρέτους διαιρεῖται, οὕτω καὶ ὁ ὁρισμὸς διαιρεῖται εἰς ἀδιαίρετα. εἰ γὰρ καὶ διαιρεῖται τὸ ζῷον εἰς τοὺς λόγους τοῦ ἐμψύχου καὶ αἰσθητοῦ, ἀλλ' οὖν οὐκ ἐπ' ἄπειρον 20
10 τοῦτο γενήσεται, ἀλλὰ καταντήσομεν εἴς τι μὴ διαιρούμενον εἰς λόγους. καὶ ὥσπερ ἀπὸ τοῦ ἀριθμοῦ κἂν τοὐλάχιστον ἀφαιρεθῇ ἢ προστεθῇ, οὐκέτι μένει ὁ ἀριθμός (ἂν γὰρ ἀπὸ τοῦ ὀκτὼ μονάδα ἢ ἀφέλῃς ἢ προσθῇς, οὐκέτι ὁ ὀκτὼ μένει), οὕτω καὶ ἀπὸ τοῦ ὁρισμοῦ ἢ τοῦ τί ἦν εἶναι, οὗ ἐστιν ὁ ὁρισμός, ἂν ἀφέλῃς τι ἢ προσθῇς, οὐκέτι μένει τὸ αὐτό. καὶ
15 ὥσπερ δεῖ εἶναί τι τὸ τὸν ἀριθμὸν ἑνοῦν καὶ δι' οὗ ἐστιν εἷς, οὕτω καὶ 25
ἐπὶ τοῦ ὁρισμοῦ καὶ τοῦ τί ἦν εἶναι· ὅπερ, φημὶ δὴ τὸ τὸν ἀριθμὸν ἑνοῦν καὶ ἕνα ποιοῦν, τί ποτέ ἐστιν, οὐκ ἔχουσιν εἰπεῖν οἱ οὐσίαν αὐτὸν λέγοντες. ἢ γάρ, φησίν, οὐκ ἔστιν εἷς ἀριθμός, ἀλλ' οἷον σωρός ἐστιν, ἢ εἴπερ ἔστι, λεκτέον τί τὸ ποιοῦν ἓν ἐκ πολλῶν. ἀλλ' οὔτε τὸ τὸν ἀριθμὸν
20 ἕνα ποιοῦν ἔχουσι λέγειν τί ποτέ ἐστιν, οὔτε τὸ τὸν ὁρισμόν. καὶ τοῦτο εἰκότως συμβαίνει· τοῦ γὰρ αὐτοῦ λόγου. ἐξ οὗ γὰρ λόγου καὶ αἰτίου 30
συμβαίνει αὐτοῖς μὴ ἔχειν λέγειν τίνι εἷς ὁ ἀριθμός, ἐκ τοῦ αὐτοῦ τούτου καὶ τὸ περὶ τοῦ ὁρισμοῦ προσγίνεται. ἀλλὰ καὶ ὅτι μὲν ἡ οὐσία καὶ τὸ τί ἦν εἶναι ἕν ἐστι δῆλον, ἀλλ' οὐχ ὡς [1] λέγουσί τινες, ὅτι μονάς τίς 525
25 ἐστιν ἢ στιγμή (μονάδα γὰρ τὸ εἶδος, δυάδα δὲ τὴν ὕλην ὁ Πλάτων ἔλεγεν)· ἀλλ' ἔστιν ἓν ἐνεργείᾳ καὶ φύσει τις ἑκάστη οὐσία, ἀλλ' οὐ δυνάμει. καὶ ὥσπερ οὐδ' ὁ ἀριθμὸς ἔχει τὸ μᾶλλον (οὐθεὶς γάρ ἐστιν [ὁ] ἀριθμὸς ἀριθμοῦ μᾶλλον ἀριθμός) οὐδ' ἡ κατὰ τὸ εἶδος οὐσία ἔχει τὸ μᾶλλον καὶ ἧττον, οὐδὲ εἶδος εἴδους μᾶλλον οὐσία, ἀλλ' εἴπερ ἐστὶ μᾶλλον οὐσία τὸ
30 εἶδος, τῆς κατὰ τὴν ὕλην οὐσίας εἴη ἂν μᾶλλον οὐσία, ἀλλ' οὐχὶ τῆς κατὰ 5
τὸ εἶδος. ταῦτα εἰπὼν συμπεραίνεται ὅτι περὶ μὲν οὖν γενέσεως καὶ φθορᾶς τῶν λεγομένων οὐσιῶν, πῶς ἐνδέχεται, ὅτι ἡ σύνθετος γίνεται, τὸ δὲ εἶδος οὐ γίνεται, καὶ περὶ τῆς εἰς τὸν ἀριθμὸν ἀναγωγῆς (εἶπε γὰρ προσεχῶς ὅπως χρὴ τοὺς ὁρισμοὺς εἰς τοὺς ἀριθμοὺς ἀνάγειν)
35 ἔστω μέχρι τούτων διωρισμένον· τίνι δὲ ὁ ἀριθμὸς εἷς ἐστι καὶ ὁ ὁρισμὸς καὶ τὸ τί ἦν εἶναι, νῦν μὲν οὔ φησιν, ἐρεῖ δὲ πρὸς τῷ τέλει τοῦδε τοῦ 10
βιβλίου, ὅταν λέγῃ "περὶ δὲ τῆς ἀπορίας τῆς εἰρημένης περί τε τοὺς ὁρισμοὺς καὶ τοὺς ἀριθμούς" καὶ τὰ ἑξῆς.

---

2 λέγωσι F: λέγουσι AL 3 τὰς om. LF 4 πῶς LF: om. A 9 ἐπ' ἄπειρον LFS: ἐπ' om. A 12 ὁ ἀριθμός LF: ὁ om. A ἢ ἀφέλῃς LF: ἢ om. A 13 ὁ ὀκτὼ LF: ὁ om. A 17 οἱ οὐσίαν LFS: οἱ om. A 22 τούτου] τούτοις LF 27 οὐθεὶς — τὸ μᾶλλον (28) LFS: om. A ὁ delevi 33 ἀριθμὸν S: ὁρισμὸν ALF 37 περὶ δὲ κτλ.] c. 6 p. 1045a7

p. 1044ª15 Περὶ δὲ τῆς ὑλικῆς οὐσίας δεῖ μὴ λανθάνειν ὅτι εἰ καὶ ἐκ τοῦ αὐτοῦ πάντα πρώτου.

Συμπεραναμένος τὰ περὶ τῆς ὕλης καὶ τοῦ εἴδους λεχθέντα, καὶ εἰπὼν ὅτι περὶ γενέσεως καὶ φθορᾶς τῶν λεγομένων οὐσιῶν πῶς ἐνδέχεται γί- 15
νεσθαι, ὅτι αἱ σύνθετοι γίνονται, τὸ δὲ εἶδος οὐθεὶς ποιεῖ, καὶ τὰ ἑξῆς, λέγει ὅτι δεῖ μὴ λανθάνειν ὡς εἰ καὶ ἐκ τῆς ἀνειδέου ὕλης ὡς πρώτης πάντα γίνεται, καὶ αὕτη ἐστὶν ὡς ἀρχὴ ὑλικὴ τῶν γινομένων, ἢ προσεχέστερον ἐκ τῶν αὐτῶν ὡς πρώτων, λέγων τὰ τέσσαρα στοιχεῖα, εἰ δὴ ἐκ τούτων τὰ γινόμενα ὡς πρώτων γίνονται, ὅμως ἔστι τις ἑκάστου οἰκεία
καὶ προσεχὴς ὕλη. ὡς τοῦ ἀνδριάντος χαλκός, οὕτως φλέγματος ὡς πρώτη 20
καὶ προσεχὴς ὕλη τὰ γλυκέα καὶ λιπαρά· ὕλη γὰρ φλέγματος τὸ γλυκὺ καὶ λιπαρόν, χολῆς δὲ τὰ πικρὰ ἢ ἄλλ' ἄττα. ταῦτα δέ, φησί, τό τε γλυκὺ καὶ λιπαρὸν καὶ πικρόν, ἴσως εἰσὶν ἐκ τοῦ αὐτοῦ ἤτοι τῶν τεσσάρων στοιχείων. τὸ δὲ ἴσως πρόσκειται ἢ διὰ τὴν πρώτην ὕλην (ἐξ ἐκείνης
γὰρ καὶ τὰ τέσσαρα), ἢ διὰ τὸ μὴ νῦν περὶ αὐτῶν, εἴτε ἐκ τῶν στοιχείων 25
εἰσὶ τὰ γλυκέα καὶ πικρὰ εἴτε μή, προκεῖσθαι λέγειν αὐτῷ. καίτοι δὲ εἰ καὶ ἔστιν ἑκάστου οἰκεία τις ὕλη, ὅμως συμβαίνει πλείους ὕλας εἶναι τοῦ αὐτοῦ ὅταν ἔστι τῆς ὕλης ὕλη, οἷον εἰ | ἐκ τοῦ γλυκέος ἐστὶ τὸ λιπαρόν, 526
ἐκ δὲ τοῦ λιπαροῦ τὸ φλέγμα, τοῦ φλέγματός εἰσιν ὕλαι δύο, τὸ μὲν λι-
παρὸν προσεχής, τὸ δὲ γλυκὺ πορρωτέρα. εἰπὼν δὲ ὅτι γίνεται τὸ φλέγμα ἐκ λιπαροῦ λέγει ὅτι γίνεται καὶ ἐκ χολῆς τῷ ἀναλύεσθαι εἰς τὴν πρώτην ὕλην τὴν χολήν. ἐπειδὴ γὰρ εἰδοποιημενέστερός ἐστι χυμὸς ἡ χολὴ τοῦ 5
φλέγματος (τὸ γὰρ φλέγμα ἄπεπτός ἐστι πάντῃ καὶ διὰ τοῦτο πρῶτον τὸ φλέγμα ἐκ τῆς τῶν τροφῶν ἀπεψίας γεννᾶται), ἐκ μὲν οὖν τῶν τεσσάρων
στοιχείων γίνεται τὰ γλυκέα καὶ λιπαρά, ἐκ δὲ τούτων τὸ φλέγμα καὶ ἐξ αὐτοῦ χολή· εἰ δὴ ἀναλυθήσεσθαι συμβαίνει τὴν χολὴν εἰς τὰ στοιχεῖα, γενήσεται δηλαδὴ ἐκ ταύτης τὸ φλέγμα, ἐκ δὲ τούτου τὰ στοιχεῖα. διαφέρει δ' ὅτι ἡ μὲν ἀπὸ τοῦ φλέγματος ὡς πρὸς τὴν χολὴν ὁδὸς γένεσίς ἐστιν 10
ἁπλῆ, φθορὰ δέ τις, ἡ δὲ ἀπὸ τῆς χολῆς πρὸς τὸ φλέγμα φθορὰ καὶ
ὅλως ἀνάλυσις ὡς πρὸς τὴν πρώτην ὕλην. ὥστε ἄλλως μὲν γίνεται τὸ φλέγμα ἐκ τοῦ γλυκέος καὶ λιπαροῦ, ἄλλως δὲ ἀπὸ τῆς χολῆς· ἐκ μὲν γὰρ τοῦ γλυκέος καὶ λιπαροῦ ὡς ἀπὸ ὕλης καὶ στερήσεως γίνεται τὸ φλέγμα ὡς εἶδος, ἐκ δὲ τῆς χολῆς ὡς ἀπὸ εἴδους καὶ ἕξεως ὕλη καὶ ὅλως στέρησις. τὸ γὰρ ἐκ τοῦδε τόδε, φησί, διχῶς λέγεται, ἢ ὅτι πρὸ ὁδοῦ ἔσται, πρὸ 15
ὁδοῦ λέγων τὴν ἀπὸ τοῦ χείρονος εἴδους καὶ στερήσει ἀναλογοῦντος ὡς πρὸς τὸ κρεῖττον εἶδος μεταβολήν, ἢ ὅταν ἀναλυθέντος εἰς τὴν ἀρχήν,

---

2 πρῶτα A 10 ὡς τοῦ] ὡς γὰρ τοῦ e S coni. Bonitz 14 ἴσως e S add. Bonitz: om. ALF 15 περὶ τοῦ εἴτε LF 16. 17 εἰ καὶ LFS: εἰκὸς A 18 ἔστι] lege ἢ 19 ἐκ δὲ τοῦ λιπαροῦ LFS: om. A 20 τὸ φλέγμα LF: καὶ φλέγμα A 29 ἁπλῆ LF: ἁπλῶς A 32 τὸ φλέγμα e. S Bonitz: ἡ χολή ALF 36 ὅταν] ὅτι Metaph. 36. p. 557,1 μεταβολήν — κρεῖττον εἶδος LFS: om. A

τουτέστιν ἢ ὅταν τὸ κρεῖττον εἶδος ἀναλύηται εἰς τὸ χεῖρον. καὶ ἔστι πρὸ ὁδοῦ μὲν ἡ ἐξ ὕδατος εἰς ἀέρα μεταβολή, ἀνάλυσις δὲ εἰς ἀρχὴν ἡ ἐξ ἀέρος εἰς ὕδωρ. οὐ μόνον δὲ τοῦ ἑνὸς εἴδους συμβαίνει πλείονας εἶναι ὕλας, ἀλλὰ καὶ ἐκ μιᾶς ὕλης ἕτερα γίνεσθαι εἴδη διὰ τὴν κινοῦσαν ἀρχήν. ἐπειδὴ γὰρ ἐν τῇ τοῦ χαλκέως ἔνεστι ψυχῇ εἴδη πολλά, ἐκ τῆς αὐτῆς ὕλης οἷον τοῦ χαλκοῦ ποιήσει λέβητα ξέστην χύτραν, ἕτερα ὄντα ἀλλήλων. οὐ πάντων δὲ τῶν ἑτέρων ὄντων ἡ αὐτή ἐστιν ὕλη. ἀλλ' ἐνίων ἑτέρων ὄντων καὶ ἡ ὕλη ἑτέρα ἐξ ἀνάγκης ἐστίν· ὁ γὰρ πρίων καὶ ἡ κλίνη ἕτερα ὄντα καὶ τὴν ὕλην ἐξ ἀνάγκης ἑτέραν ἔχουσιν· οὐ γὰρ γενήσεται πρίων ἐκ ξύλου εἰ μὴ ὁμωνύμως, ἀλλ' ἐκ σιδήρου, οὐδ' ἔστιν ἐπὶ τῷ τεχνίτῃ ἐξ ἐρίου ἢ ξύλου πρίονα ποιῆσαι. εἰ δ' ἐνδέχεται, φησί, τὸ αὐτὸ ἐξ ἄλλης καὶ ἄλλης ποιῆσαι, δῆλον, φησίν, ὅτι ἡ τέχνη ἡ αὐτή ἐστιν. εἰ γὰρ ξέστην ἐνδέχεται καὶ ἐκ χαλκοῦ καὶ ἐξ ἀργύρου ποιῆσαι, φανερὸν ὅτι ἡ αὐτὴ τέχνη τοῦτο ποιεῖ· εἰ γὰρ καὶ αἱ ὕλαι ἕτεραί εἰσι καὶ τὰ τὴν ὕλην κινοῦντα, ἤτοι αἱ τέχναι ἢ οἱ τεχνῖται (οὐδὲν γὰρ διαφέρει), καὶ τὰ γεγονότα ἐκ τῶν διαφόρων τεχνῶν καὶ ὑλῶν ἕτερα ἔσται. καὶ ὁ κεραμεὺς γὰρ καὶ ὁ χαλκεὺς ἀμφότεροι χύτραν ποιοῦσιν, ὁ μὲν ἐκ πηλοῦ ὁ δὲ χαλκεὺς ἐκ χαλκοῦ, ἑτέρων οὐσῶν καὶ τῶν τεχνῶν καὶ τῶν ὑλῶν. | ἢ οὐκ εἰσὶ πάντῃ 527 ἕτεραι αἱ τέχναι, ἀλλ' ᾗ μὲν ὁ χαλκεὺς ποιεῖ πυράγραν καὶ σκέπαρνον ὁ δὲ κεραμεὺς οὐ ποιεῖ, καὶ οὗτος μὲν ἀμφορέα ὁ δὲ χαλκεὺς οὔ, ἕτεραί εἰσιν, ᾗ δὲ ἀμφότεραι ποιοῦσι χύτραν, ταύτῃ εἰσὶν αἱ αὐταὶ κατὰ μόνον τοῦτο, ὅπερ ἀμφότεραι δύνανται ποιεῖν. ταῦτα εἰπὼν διορίζει καὶ τὰ περὶ τῶν αἰτίων, ὅτι ἐπειδὴ τετραχῶς λέγεται, ὅταν τις ζητῇ τὸ αἴτιον, πάσας δεῖ λέγειν τὰς ἐνδεχομένας αἰτίας, οὐ τὰς πόρρω δὲ ἀλλὰ τὰς προσεχεῖς· οἷον ζητεῖ τις τίς ἀνθρώπου αἰτία ὡς ὕλη, οὐ χρὴ ἀποδιδόναι ὅτι τὰ τέσσαρα στοιχεῖα, ἀλλ' ὅτι τὸ καταμήνιον, τὸ δ' ὡς κινοῦν τὸ σπέρμα· οὐ γάρ ἐστι τὰ τέσσαρα στοιχεῖα τοῦ ἀνθρώπου ᾗ ἄνθρωπος στοιχεῖα, ἀλλ' ᾗ σύνθετον σῶμα· ὅταν δὲ ζητῇ τις τὸ ὡς εἶδος αἴτιον τὸ τί ἦν εἶναι ἀποδοτέον. τί δ' ὡς τὸ οὗ ἕνεκα; τὸ τέλος. ἰστέον δὲ ὅτι τὸ οὗ ἕνεκα καὶ τὸ εἶδος ἐπὶ τῶν φυσικῶν ταὐτόν ἐστιν, ἐπὶ δὲ τῶν τεχνητῶν οὐ τὸ αὐτό. οὐ γὰρ τὸ αὐτό ἐστι τὸ τοῦ κιβωτίου εἶδος καὶ τὸ οὗ ἕνεκα τὸ κιβώτιον γέγονεν, ἀλλ' εἶδος μέν ἐστι τὸ τοιονδὶ σχῆμα, οὗ δὲ ἕνεκα τὸ φυλάττεσθαι τὰ ἐν αὐτῷ χρήματα.

p. 1044ᵇ3 Περὶ μὲν οὖν τὰς φυσικὰς οὐσίας καὶ γεννητὰς ἀνάγκη οὕτω μετιέναι, εἴ τις μέτεισιν ὀρθῶς.

Εἰπὼν ὅτι ἐπειδὴ τὰ αἴτια τέτταρα, τὰ τέτταρα ἐρωτωμένους δεῖ

---

16 καὶ ὁ] exspectes ἀλλ' ὁ 20 οὗ LF: οὔδε (sic) A 23 λέγεται — ζητῇ τὸ LFS: λέγειν, ὃ γάρ τις ζητεῖ τὸ A 25 οἷον εἰ e S coni. Bonitz 26 τὸ δ' ὡς LFS: τὸ διὰ τὸ A 31 τὸ τοῦ LF: τὸ om. A 34 οὐσίας LFS: αἰτίας A 36 ἐρωτωμένους M: ἐρωτωμένοις LF: ἐρωτώμενα A δεῖ AM: δέον LF

ἀποδιδόναι, λέγει ὅτι περὶ μὲν τὰς φυσικὰς οὐσίας καὶ γεννητάς, οὐχὶ δὲ καὶ τὰς ἀγεννήτους, ἀνάγκη οὕτω μετιέναι καὶ ἀποδιδόναι τὰ προσεχῆ αἴτια, εἴ τις μέτεισιν ὀρθῶς. ἀλλ' εἴπερ τὰ αἴτια ἀποδοτέον ἡμῖν ἐστι, δεῖ μὴ ἀγνοεῖν αὐτά· ὁ γάρ τις ἀγνοεῖ, πῶς ἂν καὶ ἀποδώσει; περὶ δὲ τῶν φυ- 20
5 σικῶν μὲν ἀιδίων δὲ οὐσιῶν (λέγει δὲ τὴν ξύμπασαν τῶν ὀκτὼ σφαιρῶν ἑνάδα) ἄλλος λόγος· ἴσως γὰρ οὐκ ἔχει ὕλην· εἰ γὰρ μὴ ἔχει, οὐδ' ἂν ἐπ' αὐτῆς τὸ ὑλικὸν ἀποδοθείη. τὸ δὲ ἔνια πρόσκειται, ὅτι κἂν τὸ κυκλοφορητικὸν σῶμα οὐ συγχωρῇ τις μὴ ἔχειν ὕλην, ἀλλὰ τῆς γε ἐκλείψεως φυσικόν τι οὔσης τί ἂν ἐρεῖ τὴν ὕλην; εἰπὼν δὲ ὅτι ἴσως οὐκ ἔχει ὕλην,
10 λέγει ὅτι ἢ εἰ καὶ ἔχει, ἀλλ' οὖν οὐ γενητὴν καὶ φθαρτὴν ἀλλὰ μόνον 25
κατὰ τόπον κινητήν. οὐδὲ δὴ τῶν φύσει μέν, μὴ οὐσιῶν δὲ ἀλλὰ παθῶν ἔστιν ὕλη, ἀλλ' ὑποκείμενον μὲν αὐτοῖς ἔστιν, ὕλη δὲ οὐκ ἔστιν. οὐ γὰρ πᾶν τὸ ὑποκείμενόν τινι ὕλη ἐστὶ τοῦ ᾧ ὑπόκειται· τῆς γὰρ ἐκλείψεως τί ἂν εἴη ὑλικὸν αἴτιον; δῆλον ὡς οὐδέν. ἀλλ' ἔστι μὲν ἡ σελήνη ὑποκεί-
15 μενον τῇ ἐκλείψει, ὕλη δὲ αὐτῆς οὐκ ἔστιν. εἰ γὰρ ἦν ἡ σελήνη ὕλη τῆς 30
ἐκλείψεως, εἶδος δὲ ἡ ἔκλειψις, μὴ οὔσης τῆς ἐκλείψεως οὐδὲ σελήνη ἂν ἦν· τῶν γὰρ εἰδῶν μὴ ὄντων οὐδὲ τὰ κατ' αὐτὰ πράγματά | ἐστιν. ἀλλὰ 528
μὴν ἐκλείψεως μὴ οὔσης σελήνη ἔστιν, ὥστε δηλονότι οὔτε ἔκλειψίς ἐστιν εἶδος τῆς σελήνης. οὔθ' αὕτη ὕλη τῆς ἐκλείψεως· ἀλλ' ὑλικὸν μὲν αἴτιον
20 τῆς ἐκλείψεως οὐκ ἔστιν, οὐδὲ δὴ τὸ οὗ ἕνεκα, καὶ διὰ τοῦτο οὐ πειρατέον ἀποδοῦναι, ποιητικὸν δ' ἐστὶν ἡ γῆ ἡ φθείρουσα τὸ φῶς. τὸ δ' ὡς εἶδος αἴτιον τῆς ἐκλείψεώς ἐστι μὲν ὁ λόγος, ἀλλ' ἄδηλος, ἂν μὴ μετὰ τῆς 5
αἰτίας ᾖ· οἷον εἰ λέγοι τις ὅτι ἔκλειψίς ἐστι στέρησις φωτός, ἄδηλόν ἐστιν εἰ οὗτός ἐστιν ὁ λόγος καὶ τὸ εἶδος τῆς ἐκλείψεως· καὶ γὰρ καὶ τὸ σκότος
25 στέρησις φωτός ἐστιν, ἀλλ' οὐκ ἔστιν ἔκλειψις. εἰ δὲ λέγει ὅτι στέρησίς ἐστιν ἡ ἔκλειψις φωτὸς ὑπὸ γῆς ἐν μέσῳ γενομένης, οὗτός ἐστιν ὁ λόγος τῆς ἐκλείψεως σὺν τῷ αἰτίῳ. ὕπνου δὲ πάλιν ἄδηλόν ἐστι τί τὸ 10
πρῶτον πάσχον, ὥστε ἀποδοῦναι λόγον αὐτοῦ, ἀλλ' ἐρεῖ τις ὡς τὸ ζῷόν ἐστι πρῶτον τὸ πάσχον. ἀλλ' εἰπάτω καὶ τοῦτο τὸ ζῷον κατὰ τί καὶ τί
30 παθὸν ὑπνώττει, ἢ τί τῶν ἐν αὐτῷ τὸ πρῶτον πεπονθὸς ὕπνωσε; πρότερον γὰρ ἄλλο τι παθὸν τὸ ζῷον ὑπνώττει. πότερον οὖν τοῦτο καρδία ἐστίν, ὡς αὐτὸς οὗτός φησιν, ἢ ἐγκέφαλος, ὡς ὁ Πλάτων; οὗτος μὲν γὰρ ἀρχὴν τῶν ζῴων τὴν καρδίαν λέγων φησὶν ὅτι ὥσπερ ἐπὶ τοῦ κόσμου αἱ ἀναχθεῖσαι ἀτμίδες καὶ ψυχθεῖσαι εἰς ὕδωρ συνίστανται καὶ πάλιν κατέρχον- 15
35 ται, οὕτω καὶ ἐπὶ τῶν ζῴων τῶν ἐκ τοῦ πέττειν ἀνιουσῶν εἰς τὸν ἐγκέφαλον ἀτμίδων, ἐπειδήπερ φύσει τυγχάνει ὢν ψυχρὸς ὁ ἐγκέφαλος, ψυχομένων ὑπ' ἐκείνου κατέρχεσθαι καὶ ἐπιπίπτειν τῇ καρδίᾳ, καὶ σβεννυμένου τοῦ ἐν αὐτῇ οὐ παντελῶς δὲ θερμοῦ ὑπνώττειν τὸ ζῷον, μέχρις ἂν

---

4 ἀποδώσει scripsi: ἀποδόσει A: ἀποδώσειε LF 7 ἀποδοθείη LF: ἀποδοθῇ A
8 σῶμα LFS: om. A 10 οὖν LF: om. A 13 τοῦ ᾧ LF: τούτῳ ᾧ A
25 στέρησις (ante φωτός) LFS: στερήσει A 28 ὥστε — τὸ πάσχον (29) LFS: om. A 29 καὶ τί LF: om. A 31 παθὸν LF: παθεῖν A 37 ἐπιπίπτειν LFS: ἐπιπέττειν A

διαλυθεῖσαι πάλιν ἀναχθῶσι, καὶ οὕτως δὴ ἀνίσταται τὸ ζῷον. ἄδηλον οὖν, φησίν, ἐστὶν ἐπὶ τοῦ ὕπνου τί τὸ πρῶτον πάσχον καὶ ὑπὸ τίνος, καὶ τί τὸ πάθος τὸ ἐκείνου, τουτέστι τί ἐστι τὸ τοῦ πάσχοντος πάθος καὶ μὴ τοῦ ὅλου ζῴου; ὅτι ἀκινησία τοιαδί, δυνάμει λέγων ὡς εἴ τις ὁρισμὸν ἀποδοῦναι τοῦ ὕπνου βούλεται, μὴ λεγέτω ὅτι ὕπνος ἐστὶν ἀκινησία τῶν τοῦ ζῴου αἰσθήσεων· τοῦτο γὰρ κατὰ τῆς ὅλης τοῦ ὅλου ζῴου ἠρεμίας εἴρηται καὶ ὅλῳ τῷ ζῴῳ ἐφαρμόττει ἀλλ' οὐ τῷ ὕπνῳ· δεῖ δὲ τὸν τοῦ ὕπνου ὁρισμὸν μόνῳ τῷ ὕπνῳ ἐφαρμόττειν. μήποτε δὲ τὸ ἀκινησία τοιαδὶ ἐπὶ τοῦ ὕπνου εἴρηται, ἵνα ᾖ λέγων ὅτι δεῖ τὸ τοῦ ὕπνου πάθος ἀποδιδόναι, ὅτι ὕπνος ἐστὶν ἀκινησία τοιαδί. καὶ αὕτη τῷ τί πάσχειν τὸ πρῶτον; τουτέστι καὶ αὕτη ἡ ἀκινησία δηλούτω καὶ ἐν τῷ τί πάσχειν τὸ πρῶτον ὁ ὕπνος γίνεται, ἤτοι δηλούτω καὶ τί πρῶτον πεπονθὸς ὁ ὕπνος γέγονε, πότερον ἡ καρδία ἢ ἄλλο τι. |

Ταῦτα εἰπὼν πάλιν διορίζει σαφέστερον τίνων ἔστιν ὕλη καὶ τίνων 529
οὐκ ἔστι, λέγων ἐπειδὴ δ' ἔνια ἄνευ γενέσεως καὶ φθορᾶς εἰσι καὶ οὔκ εἰσιν, ὡς αἱ στιγμαὶ καὶ αἱ ἀφαὶ καὶ ὅλως τὰ εἴδη· τὸ γὰρ εἶδος ἀχρόνως καὶ ἐν ἀτόμῳ νῦν γίνεται, ὡς ἔδειξεν ἐν τῷ Η τῆς Φυσικῆς ἀκροάσεως. καὶ κατασκευάζει αὐτὸ τοῦτο τὸ μὴ γίνεσθαι τὸ εἶδος λέγων οὐ γὰρ τὸ λευκὸν γίνεται ἀλλὰ τὸ λευκὸν ξύλον, τουτέστι τὸ ξύλον λευκαίνεται, τὸ δὲ λευκὸν ἐν ἀτόμῳ νῦν ἐπιγίνεται. ἐπεὶ τοίνυν ἔνια ἄνευ γενέσεώς εἰσί τε καὶ αὖ πάλιν οὔκ εἰσι, πᾶν δὲ τὸ γινόμενον ἔκ τινος γίνεται καὶ τὶ γίνεται, λευκόν φημι ἢ ἄνθρωπος, οὐ πάντα ἂν τἀναντία γίνοιντο ἐξ ἀλλήλων· ἀλλ' ἑτέρως ὁ λευκὸς ἄνθρωπος ἐκ τοῦ μέλανος γίνεται ἀνθρώπου καὶ ἑτέρως τὸ λευκὸν ἐκ μέλανος· ὁ μὲν γὰρ λευκὸς ἄνθρωπος ὡς ἐξ ὕλης τοῦ μέλανος γίνεται ἀνθρώπου, τὸ δὲ λευκὸν ἐκ τοῦ μέλανος ὡς τόδε μετὰ τόδε, ὥσπερ δεῖπνον μετὰ τὸ ἄριστον. οὐδ' ἔστι παντὸς ὕλη, ἀλλ' ὅσων γένεσίς ἐστι καὶ μεταβολὴ εἰς ἄλληλα τούτων ἔστιν ὕλη, ὅσα δ' ἄνευ τοῦ μεταβάλλειν ἔστι καὶ οὐκ ἔστι, ὡς ἀφαί, τούτων οὐκ ἔστιν ὕλη.

p. 1044b29 Ἔχει δ' ἀπορίαν πῶς πρὸς τὰ ἐναντία ἡ ὕλη ἑκάστου ἔχει.

Ἐπειδὴ ἡ ὑγίεια καὶ ἡ νόσος ἐναντία, ἔστι δὲ τὸ σῶμα δυνάμει ὑγιεινόν, ἆρα, φησί, καὶ δυνάμει νοσῶδές ἐστι, καὶ τὸ ὕδωρ δυνάμει οἶνος καὶ ὄξος· καὶ ἐρωτήσας ἐπικρίνει λέγων ἢ τοῦ μὲν καθ' ἕξιν καὶ κατὰ τὸ εἶδος ὕλη, τουτέστι τῆς μὲν ὑγιείας ἐστὶ τὸ σῶμα ὕλη ὡς ἕξεως καὶ εἴδους, τῆς δὲ νόσου ὡς στερήσεως καὶ φθορᾶς τῆς παρὰ φύσιν· ὁμοίως καὶ τὸ ὕδωρ τοῦ μὲν οἴνου ὡς εἴδους ἐστὶν ὕλη τοῦ δὲ ὄξους ὡς στερήσεως. ἀπορία δέ τίς ἐστι καὶ διὰ τί ὁ οἶνος οὐχ ὕλη τοῦ ὄξους.

---

1 διαλυθεῖσαι FS et fort. L: διαλυθῶσι A 5 βούλεται LF: βούλοιτο A 9 ὅτι δεῖ LFS: ὅτι τί δεῖ A 17. 18 ἐν τῷ Η τῆς Φυσικῆς ἀκρ.] c. 3 26 post μετὰ τόδε inter lineas add. καὶ ὡς εἶδος ἐκ στερήσεως A: om. LFS 27 ὅσοις LF

καὶ ἄλλην τινὰ ἀπορίαν ἐκτίθεται λέγουσαν, διὰ τί οὐχ ὁ οἶνος ὕλη ἐστὶ τοῦ ὄξους καὶ ἔστι δυνάμει ὄξος ὁ οἶνος (γίνεται γὰρ ἐξ οἴνου ὄξος), καὶ ὁ ζῶν δὲ διὰ τί οὐκ ἔστι δυνάμει νεκρός, καὶ ἔστιν ὕλη ὁ ζῶν τοῦ νεκροῦ; καὶ λύει λέγων ἢ οὔ, ἀλλὰ κατὰ συμβεβηκὸς αἱ φθοραί. καὶ εἴη ἂν λέγων ὅτι οὔτε ὁ οἶνος ὕλη ἐστὶ τοῦ ὄξους οὔθ' ὁ ζῶν τοῦ νεκροῦ, ἀλλὰ κατὰ συμβεβηκὸς αἱ φθοραί (λέγων φθορὰς τὰ χείρονα εἴδη, ἃ τῆς πρὸς αὐτὰ ὁδοῦ ὕλην ἔχουσι τὰ κρείττονα τῶν εἰδῶν)· ἡ γὰρ τοῦ ζῴου ὕλη κατὰ φθορὰν καὶ στέρησίν ἐστιν ὕλη καὶ δύναμις τοῦ νεκροῦ, ἀλλ' οὐχὶ τὸ ζῷον. τοῦ λέγεσθαι γὰρ ὕλην τὸ ζῷον τοῦ νεκροῦ αἰτία ἐστὶν ἡ ἐν αὐτῷ ὕλη. ἐπεὶ γὰρ ἡ τοῦ ζῴου ὕλη δύναται καὶ νεκροῦ γενέσθαι ὕλη, διὰ τοῦτο λέγεται τὸ ζῷον κατὰ συμβεβηκὸς ὕλη τοῦ νεκροῦ. ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ οἴνου· διότι γὰρ τὸ ὕδωρ, ὅπερ ἐστὶν ὕλη τοῦ οἴνου, δύναται καὶ τοῦ ὄξους εἶναι ὕλη, λέγομεν κατὰ συμβεβηκὸς τὸν οἶνον ὕλην τοῦ ὄξους. ὥσπερ γὰρ ἐξ ἡμέρας νὺξ γίνεται καὶ οὐ δήπου ἐστὶν ἡ ἡμέρα ὕλη τῆς νυκτός, οὕτω καὶ ἐκ ζῴου νεκρὸς καὶ ἐξ οἴνου ὄξος. εἰ δέ, φησίν, ἐκ νεκροῦ δεῖ ζῷον γενέσθαι, εἰς τὰ τέσσαρα στοιχεῖα πρότερον ἀναλυθήσεται ὁ νεκρὸς καὶ οὕτως ἐξ αὐτῶν γενήσεται ζῷον, καὶ τὸ ὄξος εἰς τὴν τοῦ οἴνου ὕλην, τὸ ὕδωρ, καὶ οὕτως οἶνον.

p. 1045a7 Περὶ δὲ τῆς ἀπορίας τῆς εἰρημένης περί τε τοὺς ὁρισμοὺς καὶ περὶ τοὺς ἀριθμούς. τί τὸ αἴτιον τοῦ ἓν εἶναι;

Καὶ ἐν τῷ πρὸ τούτου βιβλίῳ ζητήσας περὶ τούτου καὶ τὴν λύσιν μὴ ἐπενεγκών, καὶ ἐν τούτῳ πάλιν ταύτης μνησθεὶς καὶ ὁμοίως τὴν λύσιν ὑπερθέμενος, νῦν λύει τὴν δὶς ζητηθεῖσαν ζήτησιν καὶ τῆς λύσεως μὴ τετυχηκυῖαν. ἦν δὲ ἡ ἀπορία ὅτι ἐπειδὴ ἐκ πλειόνων οἱ ὁρισμοὶ τυγχάνουσι, τί ποτέ ἐστι τὸ ταῦτα ἑνοῦν καὶ ποιοῦν ἕν; τί γάρ ἐστι τὸ τὸ ζῷον καὶ πεζὸν καὶ δίπουν ἓν ποιοῦν, εἰκότως ἄν τις ζητήσειε. πάντων γάρ, φησίν, ὅσα πλείω μέρη ἔχει καὶ μὴ ἔστι τὸ πᾶν οἷον σωρός, ἀλλὰ συνεχές τε καὶ ἕτερον τὸ ὅλον παρὰ τὰ μόρια (τὸ γὰρ ὅλον ἕτερόν ἐστιν ἑκάστου τῶν ἐν αὐτῷ μερῶν ἢ μορίων), ἔστι τι αἴτιον τοῦ ἓν εἶναι· τοῦτο γὰρ ἐλλείπει τῇ λέξει. ὥσπερ γὰρ ἐν τοῖς σώμασι τοῖς μέν ἐστιν ἁφὴ τοῦ ἓν εἶναι αἰτία, τοῖς δὲ γλισχρότης (ἡ γλισχρότης γάρ ἐστιν αἰτία τοῦ ἓν εἶναι τὸν ἰξὸν καὶ μὴ διαπίπτειν μηδὲ διαχέεσθαι ὡς γῆ καὶ τὸ ὕδωρ), οὕτω καὶ ὁ ὁρισμὸς ἐπειδὴ εἷς ἐστιν οὐ συνδέσμῳ, ὥσπερ ἡ Ἰλιάς, ἀλλὰ διὰ τὸ ἑνός τινος εἶναι εἷς ἐστι, τί δή ποτέ ἐστι τὸ ποιοῦν ἓν τὸν ὁρισμὸν καὶ τὸ οὗ ἐστιν ὁ ὁρισμός, καὶ οὐκ ἔστι πολλὰ τὸ ζῷον πεζὸν δίπουν; ἄλλως τε καὶ εἰ ἔστιν, ὥσπερ φασὶν οἱ τὰς ἰδέας λέγοντες, αὐτοζῷον καὶ αὐτοδίπουν, τί τὸ ἑνοῦν αὐτὰ καὶ ποιοῦν ἕν; αὐτὸς δὲ εἰπὼν ὅτι ἄλλως τε

---

6 ἃ] ἀπὸ LF 9 ὕλην FS: ὕλη AL 14 ἡ ἡμέρα LF: ἡ om. A 20 καὶ περὶ τοὺς ἀριθμούς FS: om. AL 36 φασὶν e S add. Bonitz 37 τί τὸ ἑνοῦν — αὐτοδίπουν (p. 561,1) LFS: om. A

καὶ εἰ ἔστιν αὐτό τι ζῷον καὶ αὐτοδίπουν ἐπήγαγε διὰ τί γὰρ οὐκ
ἐκεῖνα αὐτοάνθρωπός ἐστι καὶ τὰ ἑξῆς. καὶ εἴη ἂν τὸ λεγόμενον κατὰ 20
συγχώρησιν ἐρωτώμενον, ὡς εἰ ἔλεγεν 'ἀλλ' εἴπερ οὐκ ἔχουσιν εἰπεῖν τίνι ὄν
ἐστι τὸ αὐτοζῷον καὶ αὐτοδίπουν, διὰ τί οὐκ ἔσται αὐτὰ αὐτοάνθρωπος καὶ
5 οὕτως ἔσονται οἱ τῇδ' ἄνθρωποι κατὰ μέθεξιν οὐκ ἀνθρώπου οὐδενός·
τουτέστι καὶ ἔσονται κατὰ μέθεξιν οὐκ ἀπὸ τοῦ αὐτοανθρώπου· κεχώρι-
σθον γὰρ ἀλλήλοιν τό τε αὐτοζῷον καὶ τὸ αὐτοδίπουν. εἰ γὰρ ἡνωμένω 25
ἐτυγχανέτην τό τε αὐτοζῷον καὶ τὸ αὐτοδίπουν, ἦν ἂν αὐτοῖν ἀποτέλεσμα
ὁ αὐτοάνθρωπος, καὶ οὕτω συνέβαινεν εἶναι τοὺς τῇδε ἀνθρώπους κατὰ
10 μέθεξιν τοῦ αὐτοανθρώπου. ἐπεὶ δὲ κεχώρισθον, ὑπόκεινται δὲ συνιστάνειν
καὶ οὕτω τὸν αὐτοάνθρωπον, ἔσονται οἱ ἄνθρωποι οὐ | κατὰ μέθεξιν ἀν- 531
θρώπου οὐδενός, ἀλλὰ δυοῖν, ζῴου καὶ δίποδος, καὶ ἔσται ὁ ἄνθρωπος
οὐχ ἓν ἀλλὰ πλείω, ζῷον καὶ δίπουν. τί οὖν ἐστι τὸ ἑνοῦν αὐτά; οὕτω
δὴ τὸν λόγον οἶμαι συγχωρῶν, ἐρωτήσας λέγει φανερὸν εἶναι ὅτι οὐκ ἐνδέ-
15 χεται λῦσαι τὴν ἀπορίαν, ἐξ ὧν εἰώθασιν ὁρίζεσθαι καὶ μετιέναι τὰ περὶ
τοὺς ὁρισμούς, μεθέξεις τινὰς καὶ ἄλλ' ἄττα λέγοντες. εἰ δ' ἔστιν, ὅπερ 5
λέγομεν, πάντα ἐξ ὕλης καὶ εἴδους, καὶ τὸ μέν ἐστι δυνάμει καὶ ὕλη, τὸ
δὲ ἐνεργείᾳ καὶ εἶδος, δόξειεν ἂν οὐδεμίαν ἀπορίαν ἔχειν τὸ ζητούμενον.
τίς γὰρ ἂν ἀπορήσειεν ὅτι διὰ τί ὁ χαλκὸς καὶ τὸ ἐν αὐτῷ τῆς σφαίρας
20 εἶδος ἕν ἐστιν; εἰ μὲν γὰρ ἐτύγχανεν ὂν τὸ εἶδος αὐτὸ καθ' αὑτὸ χωρίς,
καθάπερ οἱ τὰς ἰδέας πρεσβεύοντες τυγχάνουσι λέγοντες, καὶ ἡ ὕλη ὡσαύ-
τως, τότε ἂν ἦν ὡς ἀληθῶς ἄπορον τί τὸ ἑνοῦν τὰ κεχωρισμένα καὶ καθ' 10
αὑτὰ ὄντα· ἐπειδὴ δὲ οὐκ ἔστι καθ' αὑτὸ ἐν ὑποστάσει ὄν, ἀλλὰ τῆς ὕλης
οἷον τοῦ χαλκοῦ ὡδὶ ὑπὸ τοῦ τεχνίτου κινουμένου ἀχρόνως ἐπιγίνεται, τίνα
25 τοῦτο ἀπορίαν ἔχει, ὅτι τί τὸ ἑνῶσαν αὐτὰ καὶ ποιῆσαν ἕν; ἡ γὰρ ἀπορία,
φησίν, αὕτη ἐστὶν ἡ αὐτὴ κἂν εἰ ὅρος εἴη ἱματίου ὁ στρογγύλος
χαλκός (καὶ εἴη ἂν λέγων ὅτι εἴ τις τῇ χαλκῇ σφαίρᾳ θεῖτο ὄνομα ἱμάτιον, 15
εἶτα ὁριζόμενος λέγοι ὅτι ἱμάτιόν ἐστι στρογγύλος χαλκός· δύναται γὰρ εἶναι
τὸ ἱμάτιον ὄνομα δηλωτικὸν τοῦ στρογγύλου χαλκοῦ, ὥσπερ καὶ τὸ ἄνθρω-
30 πος ὄνομα τοῦ ζῴου πεζοῦ δίποδος), ἡ οὖν ἀπορία ἡ ζητοῦσα, ὅτι τί ἐστι
τὸ ποιοῦν τὸ ζῷον πεζὸν δίπουν ἕν, ἡ αὐτή ἐστι τῇ λεγούσῃ ὅτι τί ἐστι
τὸ ποιῆσαν ἓν τὸν στρογγύλον χαλκόν, καὶ οὐ φαίνεται ἔχουσα δυσχερές
τι, ἐπειδὴ τὸ μέν ἐστιν ὕλη, τὸ ζῷον πεζόν, τὸ δ' εἶδος, τὸ δίπουν, καὶ
ὁ μὲν χαλκὸς ὕλη, εἶδος δὲ τὸ στρογγύλον. οὐδὲν οὖν ἕτερόν ἐστιν αἴτιον 20
35 παρὰ τὸ ποιῆσαν ἤτοι τὸ ποιητικὸν αἴτιον ἐν ὅσοις ἐστὶ γένεσις. τὸ δὴ
[ἓν] ποιῆσαν τὴν δυνάμει οὖσαν ὕλην τόδε τι ἐνεργείᾳ γενέσθαι ὃ ἦν δυ-
νάμει, οἷον τὸν χαλκὸν δυνάμει ὄντα σφαῖραν ἐνεργείᾳ γενέσθαι σφαῖραν,
ὁ τεχνίτης ἐστὶ καὶ οὐδὲν ἕτερον. ἀλλὰ καὶ τὴν δυνάμει οὖσαν ὕλην ζῷον

---

1. 2 οὐκ ἐκεῖνα LFS: οὐ κἀκεῖνα A 2 ἐκεῖνα αὐτὰ ὁ ἄνθρωπός ἐστι Metaph. vulg. 5 οὐδενός] οὐδ' ἑνός coni. Bonitz 6. 7 κεχώρισθον scripsi: κεχώριστον LF: κεχώρισται A 8 ἐτυγχάνετον libri 9 συνέβαινεν $A^2$LF: συμβαίνει $A^1$ 10 δὲ κεχώρισθον scripsi: δὲ κεχώριστον LF: δ' ἐκεχώριστο A 11 ἄνθρωποι LFS: αὐτοάνθρωποι A 12 οὐδ' ἑνός coni. Bonitz 20 ἐτύγχανεν L: εἰ τυγχάνει A 28. 29 ἱμάτιον — εἶναι τὸ LFS: om. A 36 ἓν om. S: del. Bonitz

οὐδὲν ἴσμεν ἕτερον αὐτὴν ποιῆσαν ἐνεργείᾳ ζῷον ἢ τὴν φύσιν τοιωσδὶ πλάσασαν αὐτὴν καὶ ἀλλοιώσασαν. εἰ δ' ἦν τὸ εἶδος καθ' αὑτό, πῶς ἂν τοῦτο μετὰ τῆς ὕλης ἥνωσεν, ἀδιανόητον παντελῶς. εἰπὼν δὲ ὅτι οὐδὲν γάρ ἐστιν ἕτερον τοῦ τὴν δυνάμει σφαῖραν ἐνεργείᾳ εἶναι σφαῖραν, ἐπήγαγεν ἀλλὰ τοῦτ' ἦν τὸ τί ἦν εἶναι ἑκατέρῳ, ἑκάτερον λέγων τὸν ἄνθρωπον καὶ τὴν σφαῖραν· προσεχῶς γὰρ περὶ τούτοιν ἔλεγεν. ἔστι δὲ ὃ λέγει 'ἀλλ' ἑκατέρῳ τὸ τί ἦν εἶναι τοῦτ' ἦν, τουτέστι τῷ μὲν ἀνθρώπῳ τὸ τί ἦν εἶναι τὸ ζῷον πεζὸν δίπουν ἐστί, τῇ δὲ σφαίρᾳ τὸ σχῆμα | τοιονδί.' ἢ οὖν τοῦτο λέγει διὰ τοῦ ἀλλὰ τοῦτ' ἦν τὸ τί ἦν εἶναι 532 ἑκατέρῳ, ἢ λέγοι ἂν ὅτι ἑκατέρῳ ἡ ἐνέργεια τὸ τί ἦν εἶναί ἐστιν· ἡ ἐνέργεια γὰρ τῆς ὕλης, ἥπερ ἐστὶ δυνάμει σφαῖρα, τὸ τί ἦν εἶναι σφαίρᾳ ἐστίν, καὶ ἡ τῆς δυνάμει ὁμοίως ὕλης ζῴου ἐνέργεια τὸ τί ἦν εἶναι ζῴῳ ἐστίν. ἀλλ' εἰ καὶ ἡ ἐνέργεια τῆς ὕλης τὸ τί ἦν εἶναί ἐστιν, οὐ χρὴ λανθάνειν ὅτι τῶν ὑλῶν ἡ μέν ἐστι νοητὴ ἡ δὲ αἰσθητή· ἐπειδὴ γὰρ καὶ τὰ γένη ὕλη ἀναλογεῖ, τὸ μὲν ζῷόν ἐστι νοητὴ ὕλη καὶ ὕλη τοῦ εἴδους, αἱ δὲ σάρκες καὶ τὰ ὀστᾶ αἰσθητή· καὶ πάλιν τὸ μὲν σχῆμα νοητή, ὁ δὲ χαλκὸς αἰσθητή. ἀλλὰ τὸ μὲν σχῆμα τοῦ λόγου καὶ τοῦ εἴδους, ὁ δὲ χαλκὸς καὶ τὰ ὀστᾶ καὶ τὰ νεῦρα ὁ μὲν τοῦ συνθέτου ἐκ χαλκοῦ καὶ τοῦ τοιουδὶ σχήματος, τὰ δὲ πάλιν καὶ αὐτὰ τοῦ συνθέτου ἀνθρώπου.

p. 1045a36 Ὅσα δὲ μὴ ἔχει ὕλην μήτε νοητὴν μήτε αἰσθητήν.

Μνησθεὶς πάλιν τῆς ὕλης, καὶ τοῦτο οὐ παρέργως ἀλλ' ἵνα τὰ περὶ τῶν δέκα γενικωτάτων γενῶν διορίσῃ, καὶ εἰπὼν ὅτι ἔστι δέ τις ὕλη ἡ μὲν νοητὴ ἡ δὲ αἰσθητή, λέγει ὅτι ὅσα δὲ μὴ ἔχει ὕλην μήτε νοητὴν μήτε αἰσθητήν, εὐθὺς ἕκαστόν ἐστιν ὅπερ ἕν τι καὶ ἁπλῶς ἓν καὶ κυρίως ἓν ὥσπερ καὶ ὄν. τὰ μὲν γὰρ ἄλλα τὰ ἐξ ὕλης καὶ εἴδους διὰ τὴν ἑαυτῶν συνέχειαν λέγεται ἕν, τὰ δὲ μὴ ἔχοντα ὕλην μήτε αἰσθητὴν μήτε νοητὴν εὐθὺς ἁπλῶς ἕν εἰσιν. εἰ μὲν γὰρ εἶχον ὕλην, ἦσαν ἂν ἓν ὡς τὰ ἐξ ὕλης καὶ εἴδους διὰ τὴν συνέχειαν· ἐπεὶ δὲ οὐκ ἐν ὕλῃ τυγχάνει ὄντα ἀλλ' ἀμοιρεῖ καὶ γεγύμνωται αὐτῆς, εἰσὶν ἁπλῶς καὶ κυρίως ἕν. τίνα δέ ἐστι τὰ μήτε αἰσθητὴν μήτε νοητὴν ἔχοντα ὕλην λέγει. τὸ τόδε (λέγων τὸ τόδε τὴν οὐσίαν), τὸ ποιόν, τὸ ποσόν. ἀλλ' ὅτι μὲν αὐτοῖς οὐκ ἔστι νοητὴ ὕλη, δῆλον· ἐπειδὴ γὰρ νοητὴν ὕλην τὰ γένη φαμέν, τούτων δ' οὐδέν ἐστι γένος (γενικώτατα γάρ εἰσι γένη καὶ οὐκ ἔστι τις ὑπεραναβεβηκυῖα ταῦτα φύσις), δῆλον ὅτι οὐκ ἔστιν αὐτοῖς ὕλη νοητή. ἀλλὰ μὴν οὐδὲ αἰσθητή· ἡ γὰρ αἰσθητὴ ὕλη συνθέτων ἐστὶν ὕλη καὶ αἰσθητῶν, ἀλλ' οὐχὶ τῶν ἁπλῶν καὶ νοητῶν, ταῦτα δὲ τὸ τόδε καὶ τὸ ποσὸν καὶ τὰ λοιπὰ καὶ ἁπλᾶ ἐστι καὶ νοητά. καίτοι δὲ τοιαῦτα ὄντα οὐκ

---

1 οὐδὲν—ζῷον LFS: om. A 3 post ἀδιανόητον add. ἂν ἦν A: om. LS 11 σφαίρᾳ Bonitz: σφαῖρα ALF 12 ζῴῳ A²S: om. A¹LF 22 τις ὕλη] τῆς ὕλης Metaph. 23 μήτε—εὐθὺς (24) LFS: om. A 24 ὅπερ ἕν τι εἶναι Metaph., cf. p. 563,7 26 ὕλην LFS: om. A 34 ὑπεραναβεβηκυῖα LF: ὑπερβεβηκυῖα A 35 ὕλη (post ἐστὶν) LF: ἡ ὕλη A 37 καὶ ἁπλᾶ LF: τῶν ἀόλων A

εἰσι χωριστὰ οἷον αὐτουσία ἢ αὐτοποιὸν ἢ αὐτοποσόν, ἀλλ' ἐν τοῖς αἰσθη-
τοῖς καὶ καθ' ἕκαστα. καὶ μή τις λεγέτω ὅτι ἐπειδὴ ἐν τοῖς καθ' ἕκαστα
ἔστιν, ἔχει ὕλην αὐτά· ἡ μὲν γὰρ οὐσία ἥδε ἔχει ὕλην καὶ ὑποκείμενον τόδε,
ἡ δ' ἁπλῶς οὐσία οὐδαμῶς· εὑρίσκεται γὰρ καὶ ἐν τοῖς ἀσωμάτοις καὶ ὅλως
5 ἀύλοις. ἀλλ' ἅπερ μὲν ἐρεῖν διὰ τούτων βούλεται, οἶμαι, ταῦτά ἐστιν. τὴν δὲ 30
λέξιν ὑπερβατῶς ἀναγνωστέον ὧδε· ὅσα δὲ μὴ ἔχει ὕλην μήτε νοητὴν
μήτε αἰσθητήν, εὐθὺς ὅπερ ἕν τι εἶναι ἕκαστόν ἐστιν, ὥσπερ καὶ
ὅπερ ὄν τι, τὸ τόδε, τὸ ποιόν, τὸ ποσόν· εἶτα τὸ οὐχ ὡς ἐν γένει
τῷ ὄντι καὶ τῷ ἑνί, εἶθ' οὕτως, διὸ οὐκ ἔστιν ἐν τοῖς ὁρισμοῖς
10 οὔτε τὸ ὂν οὔτε τὸ ἓν καὶ τὰ ἑξῆς ἕως τοῦ εὐθὺς γὰρ ἕκαστόν
ἐστιν ὄν τι καὶ ἕν τι, καὶ οὕτως τὸ οὐδ' ὡς χωριστῶν ὄντων παρὰ
τὰ καθ' ἕκαστα. λέγει δὲ ὅτι εἰ καὶ ὅπερ ὄν τι καὶ ὅπερ ἕν τι ἐστὶ
τὸ τόδε, τὸ | ποσόν, τὸ ποιόν, ἀλλ' οὖν οὐκ ἔστι γένος αὐτῶν οὔτε τὸ ὂν 533
οὔτε τὸ ἕν· γενικώτατα γάρ εἰσι γένη, κατηγορεῖται δ' αὐτῶν, ὡς πολλά-
15 κις εἴρηται, τὸ ὂν καὶ τὸ ἓν ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. καὶ διὰ τὸ
μηδὲ εἶναι αὐτῶν γένος τὸ ὂν καὶ τὸ ἕν, οὐδὲ λαμβάνεται ἐν τοῖς ὁρισμοῖς
αὐτῶν, ὁρισμοὺς λέγων τὰς ὑπογραφάς· οἱ γὰρ ὁρισμοὶ ἐκ γενῶν καὶ δια- 5
φορῶν εἰσι, τούτων δ' οὐκ ἔστι γένη. εἰ δὴ τοῦτο, οὐδὲ ὁρισμοὶ αὐτῶν
εἰσιν, καὶ ἔστι τοῦ τόδε καὶ τοῦ ποσοῦ καὶ τῶν λοιπῶν εὐθὺς τὸ τί ἦν
20 εἶναι τὸ ἕν τι εἶναι καὶ ὄν τι· καὶ διὰ τοῦτο, λέγω δὴ διὰ τὸ εἶναι αὐτοῖς
τὸ τί ἦν εἶναι τὸ ὅπερ ἕν τι καὶ ὅπερ ὄν τι, οὐδ' ἔστιν ἕτερόν τι αἴτιον
οὐδενὶ τούτων τοῦ ἓν εἶναι καὶ ὄν· εἰ μὲν γὰρ ἦν γένος ἢ τὸ ὂν ἢ τὸ ἓν
τοῦ τόδε καὶ τοῦ ποσοῦ, ὥσπερ ἀνθρώπου τὸ ζῷον, ἦν ἂν οὕτως αἴτιόν 10
τι τοῦ ἓν εἶναι αὐτὰ καὶ ὄν. ἐπεὶ δ' εὐθὺς ὅπερ ὄν τί εἰσι καὶ ὅπερ ἕν,
25 οὐκ ἔστιν οὐδὲν οὐδέπω αἴτιον τοῦ ἓν εἶναι αὐτὰ ἢ ὄν. ἀλλ' εἰ καὶ τοιαῦτά
ἐστιν ἥ τε οὐσία καὶ τὸ ποιὸν καὶ τὸ ποσόν, ὅμως οὐκ εἰσι χωριστὰ τῶν
καθ' ἕκαστα ἀλλ' ἐν αὐτοῖς. ταῦτα δὲ εἰπὼν πάλιν ἐπανατρέχει ἐπὶ τὰ
πρότερα, λέγων διὰ ταύτην δὲ τὴν ἀπορίαν, τὴν ζητοῦσαν τί ποτέ 15
ἐστιν αἴτιον τοῦ ἓν εἶναι τὸ ζῷον πεζὸν δίπουν, οἱ μὲν μέθεξίν φασιν,
30 ὥσπερ ὁ Πλάτων μεθέξει τῶν ἰδεῶν εἶναι τὰ τῇδε, τί δὲ τὸ αἴτιον τῆς
μεθέξεώς ἐστι, καὶ ὅλως τί τὸ μετέχειν καὶ ὅπως τοῦτο δυνατὸν συμβαί-
νειν, ἀποροῦσι καὶ οὐκ ἔχουσιν εἰπεῖν. οἱ δέ φασι συνουσίαν ψυχῆς,
ὥσπερ Λυκόφρων ὁ σοφιστὴς τὴν ἐπιστήμην λέγων συνουσίαν τοῦ ἐπίστα-
σθαι καὶ ψυχῆς. κάλλιον δ' ἂν καὶ σαφέστερον ἦν, εἰ οὕτω πως εἶχεν ἡ 20
35 γραφὴ 'τὴν ἐπιστήμην τοῦ ἐπίστασθαι συνουσίαν καὶ ψυχῆς.' ἐρωτώμενος
γὰρ ὁ Λυκόφρων, τί τὸ αἴτιον τοῦ τὴν ἐπιστήμην καὶ τὴν ψυχὴν ἓν εἶναι,
ἔλεγεν ὅτι ἡ συνουσία. οἱ δὲ τὸ ζῆν ἔλεγον ὥς ἐστι σύνδεσμος ψυχῆς ἐν
τῷ σώματι. καίτοι, φησί, τοῦτο ἁρμόσει ἐπὶ πάντων λέγειν. εἰ γάρ μέ
τις ἔροιτο, τί τὸ αἴτιον τοῦ ἐπιφάνειαν καὶ λευκὸν ἓν εἶναι, ἕτοιμον εἰπεῖν 25
40 ὅτι σύνδεσμος λευκοῦ καὶ σώματος, καὶ τὸ ὑγιαίνειν ὅτι σύνδεσμος ἢ
συνουσία ἢ σύνθεσις ψυχῆς καὶ ὑγιείας. τοῦτο δὲ γελοῖον. ἡ μὲν γὰρ

1 ἢ αὐτοποσόν LF: om. A 23 οὕτως] ὄντως LF 37 ζῆν LFS: ζῷον A

σύνθεσις ἐπ' ἐκείνων λέγεται τῶν χωρὶς καθ' αὑτὰ ἐνεργείᾳ ὄντων, εἶτα συντεθέντων, ὥσπερ ἐπὶ τοῦ μελικράτου, ἡ δὲ ὑγίεια καθ' αὑτὴν μὴ οὖσα καὶ χωρὶς πῶς μετὰ ψυχῆς συνετέθη; ἀλλὰ καὶ τὸ λέγειν ὅτι τὸ χαλκοῦν τρίγωνον σύνθεσίς ἐστι χαλκοῦ καὶ τριγώνου εὐήθες. οὐ γὰρ ἦν καθ' 30
5 αὑτὸ τὸ τρίγωνον καὶ συνετέθη μετὰ τοῦ χαλκοῦ ἀλλὰ τοῦ χαλκοῦ τοιωσδὶ κινουμένου γίνεται τὸ τρίγωνον. αἴτιον δέ, φησίν, αὐτοῖς τοῦ ταῦτα λέγειν, ὅτι ζητοῦντες τί τὸ αἴτιον τοῦ τὸν χαλκὸν τὸν δυνάμει ὄντα τρίγωνον ποιῆσαι αὐτὸν ἐνεργείᾳ τρίγωνον, καὶ μὴ δυνάμενοι λόγον ἑνοποιὸν ἤτοι αἰτίαν καὶ διαφορὰν ἀποδοῦναι τοῦ πῶς ἓν εἰσι, ταῦτα ἔλεγον· εἰ | γὰρ 534
10 ἠδυνήθησαν εὑρεῖν καὶ ἀποδοῦναι λόγον καὶ αἰτίαν ἑνοποιόν, τουτέστι τὸ ἑνοῦν τὸ δυνάμει ἤτοι τὴν ὕλην καὶ τὴν ἐνέργειαν, τουτέστι τὸ εἶδος, οὐκ ἂν εἰς τοιαῦτα ἐξετράπησαν. ὥσπερ δὲ πολλάκις εἴρηται ὅτι ἡ ὕλη ἡ ἐσχάτη (αὕτη δ' ἐστὶν ἡ προσεχής· νῦν γὰρ ἐσχάτην αὐτὴν εἶπε) καὶ τὸ εἶδος ἓν ἐστιν· ὥστε τοῦ ταῦτα ἓν εἶναι οὐκ ἄλλο τι τὸ αἴτιον ἢ τὸ κι- 5
15 νοῦν τὴν ὕλην ἐκ δυνάμεως εἰς ἐνέργειαν. ὅσα δέ, ὥσπερ εἴρηται, μὴ ἔχει ὕλην, πάντα ἁπλῶς καὶ κυρίως ὅπερ ἕν τί εἰσι καὶ ὅπερ ὄν. καὶ ὅρα δὴ τὸ διδασκαλικὸν καὶ δαιμόνιον τοῦδε τοῦ ἀνδρός, ὅπως ἐκ τῶν ὑστέρων (οὐ γὰρ ἄλλως ἐνῆν τοῦτο ποιῆσαι) καὶ ἡμῖν γνωρίμων ἐπὶ τὸν πολυτίμητον πατέρα καὶ ποιητὴν πάντων θεὸν ἀγαγεῖν ἡμᾶς μεθοδεύει, καὶ
20 δεῖξαι ὅτι ὡς ὁ χαλκεὺς αἴτιός ἐστι τοῦ τὸν χαλκὸν καὶ τὴν σφαῖραν ἓν 10 εἶναι, οὕτως καὶ ἡ ἑνοποιὸς αὐτοῦ καὶ δημιουργικὴ δύναμις πάντων τῶν ὄντων αἰτία ἐστὶ τοῦ ἔχειν ὥσπερ ἔχει.

---

2 συντεθέντων LFS: συνθέτων A 5 τὸ τρίγωνον LF: τὸ om. A 10 τουτέστι S Bonitz: τουτί A: τοῦτί L 15 εἰς LFS: om. A 17 ὅπως LF: ὅπερ A

/γ

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Θ ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΑΡΙΣΤΟΤΕΛΟΥΣ

Εἰπὼν ἐν τῷ Ζ καὶ Η περὶ τοῦ καθ' αὑτὸ ὄντος, ἐν τούτῳ λέγει περὶ τοῦ δυνάμει καὶ ἐνεργείᾳ. ἐπειδὴ γὰρ τὸ ὂν λέγεται καὶ κατὰ τοῦ δυνάμει καὶ ἐνεργείᾳ, ἡ δὲ παροῦσα μέθοδος περὶ τοῦ ὄντος ἐστίν, ἐν τῷ παρόντι βιβλίῳ λέγει περὶ δυνάμεως καὶ ἐνεργείας. λέγει δὲ περὶ ἐνεργείας ἀναγκαίως· ὡς γὰρ δείξει, τὸ πρῶτον αἴτιον, ὃ ζητοῦμεν ἐνταῦθα, οὐδὲν ἄλλο ἐστὶν ἢ ἐνέργεια. ὑπομιμνήσκει δὲ πάλιν ἡμᾶς τῶν ῥηθέντων καὶ δειχθέντων, ὅτι περὶ τοῦ πρώτου ὄντος, τοῦτο δ' ἐστὶν ἡ οὐσία, δι' ἣν καὶ αἱ ἄλλαι κατηγορίαι ὄντα λέγονται (κατὰ γὰρ τὸν λόγον τῆς οὐσίας ἤτοι κατ' αὐτὴν τὴν οὐσίαν, ὁ γὰρ λόγος τῆς οὐσίας αὐτὴ ἡ οὐσία ἐστί, πάντα τὰ ὄντα λέγεται) εἴρηται. καὶ τὴν αἰτίαν τοῦ διὰ τὴν οὐσίαν πάντα ὄντα λέγεσθαι ἐπήγαγεν, εἰπὼν πάντα γὰρ ἕξει τὸν τῆς οὐσίας λόγον, ὥσπερ εἴπομεν ἐν τοῖς πρώτοις. εἰ γὰρ ἀκριβῶς τις ὁρίζεται τὸ ποσὸν ἢ τὸ ποιὸν ἢ ἄλλην τινὰ τῶν κατηγοριῶν, εἰς τὸν ὁρισμὸν αὐτῶν ἐξ ἀνάγκης τὴν οὐσίαν παραλήψεται, ὥσπερ καὶ εἰς τὸν τῆς σιμότητος τὴν ῥῖνα· εἰ δὲ τοῦτο, δῆλον ὡς διὰ ταύτην ὄντα λέγεται. περὶ δὴ τούτων πάντων εἴρηται. ἐπεὶ δὲ τὸ ὂν λέγεται τὸ μὲν τὸ τί καὶ οὐσία, τὸ δὲ ποιόν, | καὶ τὰ μὲν δυνάμει τὰ δ' ἐνεργείᾳ καὶ κατὰ τὸ ἔργον (ἐκ παραλ- 535
λήλου δὲ τὸ ἐνεργείᾳ καὶ κατὰ τὸ ἔργον κεῖται), διοριστέον καὶ περὶ δυνάμεως καὶ ἐνεργείας, καὶ πρῶτον περὶ τῆς κυρίως δυνάμεως. λέγοι δὲ ἂν κυρίως δύναμιν τὴν πρώτην καὶ ἀνείδεον ὕλην· δυνάμει γὰρ πάντα ἐστίν· ἥτις κἂν πρώτη δύναμίς ἐστιν, ἀλλ' οὖν οὐκ ἔστι χρησιμωτάτη πρὸς ὃ βουλόμεθα νῦν· ἄυλον γάρ τι καὶ ἁπλοῦν καὶ ἀσώματον ζητοῦμεν νῦν, ἀλλ' οὐκ ἔνυλόν τι καὶ σύνθετον. τὸ δὲ ἐπὶ πλέον γάρ ἐστιν ἡ δύναμις καὶ ἡ ἐνέργεια τῶν μόνον λεγομένων κατὰ κίνησιν τοιοῦτον

---

1 Tit. σχόλια—ἀριστοτέλους A: om. LF: Ἀριστοτέλους post τῶν ponit M 10 ἤτοι—οὐσίας LFS: om. A ἡ οὐσία LF: ἡ om. A 11 τοῦ LF: τὴν A 14 αὐτῶν LFS: αὐτὸν A 16 δὴ LFS: γὰρ δὴ A 17 πάντων LF: om. A 19 τὸ ἐνεργείᾳ LFS: τὸ ἔργον A 20 καὶ πρῶτον—δυνάμεως LF: om. A 21 πάντα LFS: πῶς A 23 νῦν (post ζητοῦμεν) LF: om. A 25 κατὰ LF: καὶ τὴν A

ἂν εἴη· τὸ δυνάμει καὶ ἐνεργείᾳ ὂν ἐπὶ πλέον ἐστὶ τοῦ δυνάμει μόνον ὄντος· ἔχει γὰρ ἀμφότερα, τό τε δυνάμει καὶ ἐνεργείᾳ, ἐκεῖ δὲ τὸ δυνάμει μόνον, τὸ δὲ τὰ δύο πλουτῆσαν τοῦ τὸ ἓν ἐπὶ πλέον ἐστίν. οὐ μόνον δὲ τὸ δυνάμει καὶ ἐνεργείᾳ ἅμα ἐπὶ πλέον ἐστὶ τοῦ δυνάμει μόνον, ἀλλὰ καὶ τοῦ ἐνεργείᾳ μόνον. τὴν δὲ δύναμιν κίνησιν εἶπε νῦν, ἢ κίνησιν τὴν ἐνέργειαν εἶπεν, ἵν' ᾖ τὸ λεγόμενον 'ἐπὶ πλέον γάρ ἐστιν ἡ δύναμις καὶ ἡ ἐνέργεια τῶν κατὰ κίνησιν ἤτοι κατ' ἐνέργειαν μόνον λεγομένων.' ἔστι δὲ δυνάμει μόνον ἡ πρώτη καὶ ἀνείδεος ὕλη, δυνάμει δὲ καὶ ἐνεργείᾳ πῦρ γῆ καὶ τὰ σύστοιχα τούτοις· τὸ γὰρ ἐνεργείᾳ ὂν πῦρ δυνάμει ἐστὶν ἀήρ. ἀλλ' εἰ καὶ ἐπὶ πλέον ἐστὶ τὸ δυνάμει καὶ ἐνεργείᾳ τοῦ δυνάμει μόνον ἢ τοῦ ἐνεργείᾳ μόνον, ὅμως εἰπόντες περὶ τῆς κυρίως δυνάμεως ἐν τοῖς περὶ τῆς ἐνεργείας ὁρισμοῖς δηλώσομεν, φησί, καὶ περὶ τῶν ἄλλων δυνάμεων. καὶ ὅτι μὲν πολλαχῶς ἡ δύναμις καὶ τὸ δύνασθαι λέγεται οὐ χρὴ νῦν δεικνύναι· διώρισται γὰρ πρότερον. τούτων δὲ τῶν δυνάμεων ὅσαι ὁμωνύμως λέγονται ἀφείσθωσαν· ἔνιαι γὰρ ὁμοιότητί τινι λέγονται, ὥσπερ ἐν γεωμετρίᾳ· ἐκεῖ γὰρ λέγεται ὅτι εἰ ἔστιν ἥδε ἡ εὐθεῖα διπλασία τῆσδε. καὶ ὃ δύναται τετράγωνον τετραπλάσιόν ἐστι τοῦ τετραγώνου ὃ δύναται ἡ λοιπή. τοῦτο δὲ φανερὸν ἔσται ἐπὶ ἀριθμοῦ· ὁ γὰρ τέσσαρα διπλάσιος ὢν τοῦ δύο τὸ ἀπὸ τοῦ τέσσαρα τετράγωνον, ὅ ἐστι τὸ δεκαέξ, τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τοῦ δύο, ὅπερ ἐστὶ τὸ τέσσαρα. τοῦτο δὴ καθ' ὁμοιότητα λέγεται τῆς κυρίως δυνάμεως· διὰ γὰρ τὸ τὴν κυρίως δύναμιν πάντα δύνασθαι, δύναται δέ τι καὶ ἡ εὐθεῖα, λέγεται καὶ αὕτη δύναμις. λέγεται οὖν δὴ δυνατὰ καθ' ὁμοιότητα καὶ ἀδύνατα τῷ εἶναί πως ἢ μὴ εἶναι· διπλασίου γὰρ οὔσης τῆς εὐθείας λέγεται δύνασθαι τετραπλάσιον, μὴ οὔσης δὲ λέγεται μὴ δύνασθαι.

p. 1046ᵃ9 Ὅσαι δὲ πρὸς τὸ αὐτὸ εἶδος, πᾶσαι ἀρχαί τινές εἰσι, καὶ πρὸς πρώτην μίαν λέγονται.

Ἐπειδὴ γάρ, ὡς εἴρηται, δύναμις ἡ ὕλη λέγεται, εἰσὶ δὲ τοῦ αὐτοῦ πλείους ὕλαι, ὥσπερ ἐλέγομεν τοῦ φλέγματος τά τε γλυκέα καὶ λιπαρά, αὗται δὴ αἱ ὕλαι τὸ γλυκὺ καὶ λιπαρὸν ἀρχαί τινές εἰσι καὶ δυνάμεις τοῦ αὐτοῦ εἴδους, φημὶ δὴ τοῦ φλέγματος, καὶ λέγονται δυνάμεις διὰ τὴν πρώτην καὶ μίαν δύναμιν. τὴν ἀνείδεον ὕλην, ἥτις ἀρχὴ καὶ αἰτία ἐστὶ τοῦ 536 μεταβάλλειν τὸ ἐν ᾧ ἐστιν. ἔστω δὲ τὸ λεγόμενον δῆλον ἐπὶ τοῦ κηροῦ· ὁ γὰρ κηρὸς ἐν ἄλλῳ ὤν, φέρε εἰπεῖν τῷ κηρίνῳ ἀνδριάντι, ἀρχὴ καὶ δύναμίς ἐστι τοῦ μεταβάλλειν τε καὶ πάσχειν τὸν ἀνδριάντα ὑπ' ἄλλου τοῦ τέμνοντος ἢ τήκοντος αὐτόν. τὸ δὲ ᾧ ἄλλο πρόσκειται, ἐπειδὴ νοσῶν τις ἰάσαιτ' ἂν ἑαυτόν, καὶ ἔστιν ἐν αὐτῷ ἡ δύναμις τοῦ ὠδὶ παθεῖν αὐτόν, ἀλλ' οὐ καθ' αὑτὸ τοῦτο ὑπάρχει αὐτῷ ἀλλὰ καθὸ ἄλλο. ἐπειδὴ δὲ τῶν

2 ἐκεῖ A: ἐκείνη F et fort. L: ἐκεῖνο c. S coni. Bonitz 14 πρότερον] Δ 12 15 ἔνιαι LF: ἔνια A 19 ἀπὸ Brandis Bonitz: ὑπὸ ALFM 20 δὴ LF: δὲ A 23 τῷ FM: τὸ AL 30 δὴ M: δὲ A: om. LF 34 ὤν F: ἂν AL

δυνάμεων αἱ μέν εἰσιν αἴτιαι τοῦ μεταβάλλειν τὰ ἐν οἷς εἰσιν ἐπὶ τὸ χεῖρον, αἱ δὲ οὔκ εἰσι, διορίζει καὶ περὶ αὐτῶν λέγων ἡ μὲν γὰρ τοῦ παθεῖν ἐστι δύναμις, ἡ ἐν αὐτῷ τῷ πάσχοντι ἀρχὴ μεταβολῆς παθητικῆς ὑπ' ἄλλου ᾗ ἄλλο, τουτέστι τῶν δυνάμεων ἡ μέν ἐστιν αὐτῷ τῷ πάσχοντι ὡς ἀρχὴ μεταβολῆς, οὐχὶ τοῦ μὴ πάσχειν ἀλλὰ τοῦ πάσχειν ὑπ' ἄλλου, ὥσπερ εἴρηται ἐπὶ τοῦ κηρίνου ἀνδριάντος. ἡ μὲν οὖν τῶν δυνάμεών ἐστι τοιαύτη, ἡ δέ ἐστιν οὐκ ἀρχὴ τοῦ πάσχειν ὑπ ἄλλου, ἀλλὰ μᾶλλον ἕξις ἀπαθείας τῆς ἐπὶ τὸ χεῖρον. ἡ γὰρ σκληρότης ἡ ἐν τῷ σιδήρῳ ἕξις ἐστὶ τοῦ μὴ πάσχειν τὸν σίδηρον καὶ φθείρεσθαι ὑπ' ἄλλου. ἐπειδὴ δέ τινα πάσχει, ὥσπερ ἡ σελήνη τοὺς φωτισμοὺς ὑπὸ τοῦ ἡλίου δεχομένη, καὶ ὅμως οὐκ ἔστι τοῦτο φθορά, ἐπήγαγε τὸ τῆς ἐπὶ τὸ χεῖρον, ἴσον λέγων τῷ ἡ δύναμις ἡ ὡς ἕξις λεγομένη οὐχὶ τοῦ μὴ μεταβάλλειν ἐπὶ τὸ κρεῖττόν ἐστιν αἰτία, ἀλλὰ τοῦ μὴ μεταβάλλειν ὑπὸ ἀρχῆς τινος μεταβλητικῆς ἐπὶ τὸ χεῖρον. εἰπὼν δὲ ὅτι καὶ ἡ ἀρχὴ καὶ ἡ αἰτία τοῦ πάσχειν, ὁμοίως καὶ τοῦ μὴ πάσχειν δυνάμεις λέγονται, δείκνυσι τοῦτο διὰ τοῦ εἰπεῖν ἐν γὰρ τούτοις ἔνεστι πᾶσι τοῖς ὅροις ὁ τῆς πρώτης δυνάμεως λόγος, τουτέστιν ἐν τούτοις πᾶσι τοῖς τῆς δυνάμεως προσδιορισμοῖς ἔνεστιν ὁ λόγος καὶ ὁ ὁρισμὸς τῆς πρώτης δυνάμεως. ἐπειδὴ γὰρ ὁ λόγος τῆς πρώτης δυνάμεώς ἐστι τὸ ἀρχὴ μεταβολῆς ἐν ἄλλῳ ᾗ ἄλλο, καὶ πάλιν μαλακότης ἐστὶν ἀρχὴ μεταβολῆς παθητικῆς ὑπ' ἄλλου ᾗ ἄλλο, ὥστε ἔνεστιν ὁ λόγος τῆς πρώτης δυνάμεως καὶ ἐν τοῖς ἄλλοις· εἰ δὲ τοῦτο, καλῶς ἄρα λέγονται δυνάμεις. πάλιν τῶν δυνάμεων αἱ μέν εἰσι τοῦ μόνον παθεῖν αἱ δὲ τοῦ καλῶς· πῶς δὲ ταῦτα λέγεται, εἴρηται ἡμῖν ἐν τῷ Δ ταύτης τῆς πραγματείας πλατύτερον, ὅτε περὶ τῶν τῆς δυνάμεως σημαινομένων ἔλεγεν. δῆλον ἄρα ἐστὶν ὅτι ἐν τοῖς τούτων τῶν δυνάμεων λόγοις ἐνυπάρχουσί πως οἱ τῶν πρώτων δυνάμεων λόγοι. τὸ δὲ πῶς πρόσκειται, ἐπειδὴ οὐχ ὡσαύτως καὶ ἵν' οὕτως εἴποιμι ἀπαραλλάκτως ὁ τῆς πρώτης δυνάμεως λόγος ἔνεστιν ἐν τῷ | τῆς σκληρότητος λόγῳ· ἐκείνης μὲν γὰρ ὁ λόγος ἐστὶν ὅτι δύναμίς ἐστιν ἀρχὴ μεταβολῆς ἐν ἄλλῳ ᾗ ἄλλο, τῆς δὲ σκληρότητος ἀρχὴ τοῦ μεταβάλλειν. 537

p. 1046a19 Φανερὸν οὖν ὅτι ἔστι μὲν ὡς μία δύναμις τοῦ ποιεῖν τε καὶ πάσχειν.

Ὥσπερ γὰρ ἡ ἀπὸ Ἀθήνηθεν εἰς Θήβας τῇ ἀπὸ Θήβηθεν Ἀθήναζε ὁδὸς τρόπον μέν τινά ἐστιν ἡ αὐτή, τρόπον δέ τινα οὐκ ἔστι (τῷ μὲν ὑποκειμένῳ ἐστὶν ἡ αὐτή, τῷ λόγῳ δὲ οὐχ ἡ αὐτή), ὡσαύτως δὲ ἔχει καὶ ἡ ἀπὸ τοῦ διδάσκοντος ὡς πρὸς τὸν μανθάνοντα ἐνέργεια καὶ ὁδός, τῷ μὲν ὑποκειμένῳ ἐστὶν ἡ αὐτὴ τῷ λόγῳ δὲ ἑτέρα (ἀπὸ μὲν γὰρ τοῦ διδασκά-

---

3 μεταβολῆς LS: μεταβολῇ A 5 τῷ L: om. A 21 ᾗ LS: ἢ ᾗ A 24 ἐν τῷ Δ] c. 12 26 λόγοις LF: ὅροις A ἐνυπάρχουσι LF: ὑπάρχουσι A 28. 29 et 30 σκληρότητος] *mollitudinis* S 30 τοῦ μὴ μεταβάλλειν] immo τοῦ μὴ μεταβάλλειν ὑπ' ἄλλου 34 τρόπον δέ — ἐστὶν ἡ αὐτή (35) LS: om. A 35 ἔχει fort. delendum est

λου ὡς πρὸς τὸν μανθάνοντα θεωρουμένη λέγεται δίδαξις, ἀπὸ δὲ τούτου ὡς πρὸς τὸν διδάσκαλον μάθησις)· οὕτω δὴ καὶ ἡ δύναμις τοῦ ποιεῖν καὶ πάσχειν τρόπον μέν τινά ἐστιν ἡ αὐτή, τρόπον δέ τινα ἑτέρα. ἡ γὰρ δύναμις τοῦ πυρὸς οἷον ἡ θερμότης ἡ παρ' αὐτοῦ τῷ ὕδατι ἐνδιδομένη ἐστὶ μὲν ἡ αὐτή, ἐστὶ δὲ ὡς οὐχ ἡ αὐτή· ἀπὸ μὲν γὰρ τοῦ πυρὸς ὡς πρὸς τὸ ὕδωρ θεωρουμένη λέγεται ποίησις, ἔμπαλιν δὲ πάθησις. ἔστι μὲν οὖν, φησίν, ἡ δύναμις τοῦ ποιεῖν καὶ πάσχειν τρόπον μέν τινα ἡ αὐτή· δυνατὸν γὰρ λέγεται ἢ ἐν τῷ ἔχειν αὐτὸ δύναμιν τοῦ παθεῖν ὑπ' ἄλλου, ὥσπερ τὸ ὕδωρ (δύναμιν γὰρ ἔχει τοῦ θερμανθῆναι ὑπὸ τοῦ πυρός) ἢ ἐν τῷ ἄλλο ὑπ' αὐτοῦ· δυνατὸν γὰρ λέγεται τὸ πῦρ ὅτι δύναμιν ἔχει τὸ ὕδωρ φέρε παθεῖν ὑπ' αὐτοῦ. τῶν δὴ δυνάμεων ἡ μέν ἐστιν ἐν τῷ πάσχοντι· διὰ γὰρ τὸ ἔχειν τινὰ δύναμιν καὶ ἀρχήν, καὶ ὅλως διὰ τὸ εἶναι τὴν ὅλην ἀρχήν τινα, πάσχει τὸ πάσχον καὶ ἄλλο ὑπ' ἄλλου· καυστὸν γάρ ἐστι τὸ λιπαρὸν καὶ θλαστὸν τὸ ὑπεῖκον ὠδί, διὰ τὸ ἔχειν δύναμίν τινα καὶ ὅλην τοῦ τὸ μὲν καίεσθαι τὸ δὲ θλᾶσθαι. καὶ τῶν δυνάμεων ἡ μέν ἐστιν ἐν τῷ πάσχοντι ἡ δὲ ἐν τῷ ποιοῦντι. τὸ γὰρ θερμὸν καὶ ἡ οἰκοδομικὴ τὸ μὲν ἐν τῷ πυρί ἐστιν, ἡ δὲ ἐν τῷ οἰκοδόμῳ, τοῖς ποιοῦσιν. ὥστε εἰ τὸ ποιοῦν ἕτερόν ἐστι τοῦ πάσχοντος, δῆλον ὅτι τὸ συμπεφυκὸς καὶ ἓν ὂν καὶ συνεχὲς οὐ πείσεται ὑφ' ἑαυτοῦ· τὸ γὰρ πῦρ ἓν ὂν καὶ συνεχὲς οὐ πείσεται ὑφ' ἑαυτοῦ· τὸ γὰρ πάσχον ἕτερον εἶναι δεῖ τοῦ ποιοῦντος. ὥσπερ δὲ ἡ δύναμις καὶ τὸ δυνατὸν ἕξις ἐστίν, οὕτως ἡ ἀδυναμία ἡ τῇ τοιαύτῃ δυνάμει ἐναντία στέρησίς ἐστιν. ὥστε τοῦ αὐτοῦ καὶ κατὰ τὸ αὐτὸ πᾶσα δύναμις ἀδυναμία. ἡ γὰρ τοῦ πυρὸς δύναμις καθ' ἣν θερμαίνει ἀδυναμία ἐστίν· ἀδυνατεῖ γὰρ μὴ θερμαίνειν τὰ παρακείμενα καὶ πλησιάζοντα αὐτῷ, ὥστε ἀδυναμία ἐστὶ τὸ μὴ δύνασθαι μὴ θερμαίνειν. ἀδύνατον γάρ φαμεν καὶ ἀδυναμίαν ἔχειν τὸ μὴ ἔχον δύναμιν τοῦ ποιῆσαι τόδε τι. καὶ ἡ τοῦ σιδήρου δύναμις, καθ' ἣν οὐ δύναται εὐκόλως τέμνεσθαι, ἀδυναμία ἐστὶ καὶ αἱ λοιπαὶ ὡσαύτως· ὥστε ἄλλον μέν τινα | τρόπον εἰσὶ δυνάμεις, 538 ἄλλον δὲ ἀδυναμίαι. ὥσπερ δὲ ἡ δύναμις λέγεται πολλαχῶς, οὕτω καὶ ἡ στέρησις· καὶ γὰρ τὸ μὴ ἔχον, εἴτε πέφυκεν ἔχειν εἴτε μή, στέρησιν ἔχειν λέγεται καὶ ἡ ἐν αὐτῷ τοιαδὶ διάθεσις στέρησις, καὶ τὸ πεφυκὸς ἔχειν ἂν μὴ ἔχῃ ἢ ὅτε πέφυκεν ἔχειν, ἢ ὠδί, οἷον παντελῶς, ἢ κἂν ὁπωσοῦν. παντελῶς δὲ στέρησιν ἔχει ὄψεως ὁ ἀμφοῖν τοῖν ὀφθαλμοῖν ἐστερημένος καὶ μηδ' ὅλως ὁρῶν, ὁπωσοῦν δὲ στέρησιν ἔχειν λέγεται ὁ ὁρῶν μὲν μὴ καλῶς δέ. ἐπ' ἐνίων δὲ πάλιν, ἂν πεφυκότα ἔχειν τι ἀφαιρεθῶσι βίᾳ, ὅπερ ἔχειν πεφύκασιν ἐστερῆσθαι τούτου λέγομεν.

p. 1046a36 Ἐπεὶ δ' αἱ μὲν ἐν τοῖς ἀψύχοις ἐνυπάρχουσιν ἀρχαὶ τοιαῦται.

Ἐπειδή, φησί, τῶν δυνάμεων αἱ μὲν ἀρχαὶ ἐνυπάρχουσιν ἐν τοῖς

---

5 ὡς οὐχ LF: ὡς om. A 9 γὰρ LF: om. A 9. 10 ἐν τῷ LF: ἐν om. A 11 παθεῖν LFS: εἰπεῖν A 14 τὸ ὑπεῖκον LFS: καὶ ὑπεῖκον A

ἀψύχοις, ὡς ἡ θερμότης ἐν τῷ πυρί, αἱ δὲ ἐν τοῖς ἐμψύχοις καὶ ἐν ψυχῇ, οὐκ ἐν τῷ ἀλόγῳ μέρει αὐτῆς ἀλλ' ἐν τῷ λογιστικῷ. ὥσπερ ἡ ἰατρική. δῆλον ὅτι καὶ τῶν δυνάμεων αἱ μὲν ἔσονται ἄλογοι αἱ δὲ μετὰ λόγου. διὸ πᾶσαι αἱ τέχναι αἵ τε ποιητικαί, ἥ τε οἰκοδομικὴ καὶ ἡ ναυπηγική, καὶ αἱ ἐπιστῆμαι (κοινότερον δὲ τέχνας εἶπε τὰς ἐπιστήμας) δυνάμεις εἰσίν· ἀρχαὶ γάρ εἰσι μεταβλητικαὶ ἐν ἄλλῳ. ἡ γὰρ ἐπιστήμη ἐν τῷ λογιστικῷ μορίῳ τῆς ψυχῆς οὖσα μεταβάλλει τὴν ψυχὴν καὶ κινεῖ εἰς θεωρήματά τινα καὶ ζητήσεις. εἰ οὖν πᾶσα δύναμις ἐνεργείας ἐστὶ δύναμις, αἱ δὲ ἐπιστῆμαι καὶ αἱ τέχναι μεταβάλλουσι τὴν ψυχὴν εἰς τὸ ἐνεργεῖν περί τι, καλῶς ἄρα δυνάμεις αὐτὰς ἐκάλεσεν. διαφέρουσι δὲ αἱ ἄλογοι δυνάμεις τῶν μετὰ λόγου, ὅτι αἱ μὲν μετὰ λόγου πᾶσαι τἀναντία ποιοῦσιν· ἰατρικὴ γὰρ ὑγίειαν καὶ νόσον· αἱ δ' ἄλογοι μία ἑνός. ἡ γὰρ θερμότης μόνον θερμαίνει, εἰ δέ ποτε καὶ ψύχει, ἀλλ' οὐ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκός· τῇ γὰρ αὐτῆς ἀπουσίᾳ συμβαίνει γίνεσθαι ψῦξιν. αἴτιον δὲ τοῦ τὰς μετὰ λόγου τῶν ἐναντίων εἶναι ποιητικάς, ὅτι, φησίν, ὁ λόγος ἐστὶν ἡ ἐπιστήμη, τουτέστιν ἡ μετὰ λόγου δύναμις ἐπιστημονική τις γνῶσίς ἐστιν, ὁ δὲ λόγος καὶ ἡ ἐπιστημονικὴ γνῶσις δηλοῖ καὶ γνωρίζει οὐ τὸ πρᾶγμα μόνον καὶ τὴν ἕξιν, ἀλλὰ καὶ τὴν στέρησιν, πρᾶγμα μὲν καὶ ἕξιν οἷον τὴν ὑγίειαν. στέρησιν δὲ οἷον τὴν νόσον. πλὴν οὐχ ὡσαύτως ἀμφότερα, ἀλλὰ τὴν μὲν ἕξιν καθ' αὑτὸ τὴν δὲ στέρησιν κατὰ συμβεβηκός. καὶ τρόπον μέν τινα ἀμφότερα ὁ λόγος οἶδε. τρόπον δέ τινα καὶ μᾶλλον τὸ ὑπάρχον ἤτοι τὴν ἕξιν. ὥστε αἱ τοιαῦται ἐπιστῆμαι, ἤτοι αἱ μετὰ λόγου, τῶν ἐναντίων εἰσίν, ἀλλὰ τῶν μὲν ἕξεων, ὥσπερ εἴρηται, καθ' αὑτό, τῶν δὲ στερήσεων οὐ καθ' αὑτό. καὶ γὰρ ὁ λόγος τοῦ μὲν καθ' αὑτὸ τοῦ δὲ κατὰ | συμβεβηκός· ἀποφάσει γὰρ καὶ ἀπο- 539
φορᾷ τουτέστι στερήσει (τὸ γὰρ ἀποφορᾷ τοῦ στερήσει ἐστὶ δηλωτικόν) οἶδε τὸ ἐναντίον. εἰδὼς γὰρ καθ' αὑτὸ ὅτι ὑγιειά ἐστι συμμετρία τῶν ἐν τῷ ζῴῳ θερμῶν καὶ ὑγρῶν, τῇ ταύτης στερήσει, λέγω δὴ τῇ ἀσυμμετρίᾳ, οἶδε τὴν νόσον. εἰ γὰρ ἡ κατάφασις ἢ ἡ ἕξις τὴν ὑγίειαν ἀπεργάζεται, δῆλον ὡς ἡ ἀπόφασις ἢ ἡ στέρησις (οὐθὲν γὰρ διαφέρει ὡς ἂν λέγηται) τὴν νόσον. ἡ γὰρ στέρησίς ἐστιν ἡ πρώτη τὸ ἐναντίον. λέγει δὲ ἐνεργείας στέρησιν πρώτην εἰ ὅτε πέφυκεν ἔχειν καὶ ὡς πέφυκεν ἔχειν καὶ ὃ πέφυκεν ἔχειν μὴ ἔχει, δευτέραν δὲ στέρησιν τὸ ὅλως μὴ ἔχειν· τὸ γὰρ λέγειν τὸν λίθον ἐστερῆσθαι ὄψεως δευτέρα στέρησίς ἐστιν. ἡ στέρησις οὖν, φησίν, ἡ πρώτη ἐστὶ τὸ ἐναντίον τῇ ἕξει, αὕτη δ' ἐστὶν ἀποφορὰ τῆς ἕξεως· ταύτην γὰρ εἶπε θάτερον. ταῦτα εἰπὼν πάλιν ἐπαναλαμβάνει τὸν λόγον καί φησιν ἐπεὶ δὲ τἀναντία οὐκ ἐγγίνεται τῷ αὐτῷ (οὐδὲν γὰρ ἅμα λευκόν ἐστι καὶ μέλαν), ἡ δὲ ἐπιστήμη ἐστὶ δύναμις τῷ λόγον ἔχειν, τουτέστιν ἐν τῷ λόγον ἔχοντι (ἢ ἡ ἐπιστήμη ἐστὶ δύναμις τῷ λόγον ἔχειν ἀντὶ τοῦ ἡ ἐπιστήμη δύναμίς ἐστιν ἐν

---

7 λογικῷ LF 18 οὐ LF: om. A 22 ὑπάρχον A²: ὑπάρχειν A¹S: ὑπαρ̊ L
25 τοῦ δὲ τρόπον τινὰ κατὰ Metaph. 26 τὸ γὰρ ἀποφορὰ τῆς στερήσεως LF 32 λέγει LF: λέγοι A 33 μὴ ἔχει LS: om. A 37 ἐπεὶ δὲ LF: ἐπειδὴ A

τῷ ἔχειν λόγον καὶ αἰτίαν τοῦ ἐπιστητοῦ ὅπερ ἔχει), καὶ ἔχει ἡ ψυχὴ ἀρχὴν κινήσεως τὴν ἐπιστήμην (κινεῖ γὰρ αὐτήν, ὡς ἔφαμεν, εἰς θεωρήματά τινα καὶ εὑρέσεις), τὸ μὲν ὑγιεινὸν ὑγίειαν μόνον ποιεῖ καὶ τὸ θερμὸν θερμαίνει, ὁ δ' ἐπιστήμων ἄμφω, διὰ τὸ τὸν λόγον τὸν ἐν τῷ ἐπιστήμονι ἀμφότερα γινώσκειν, εἰ καὶ μὴ ὁμοίως. ἔστι δ' ὁ τοιοῦτος λόγος ἤτοι ἡ ἐπιστήμη ἐν ψυχῇ, ἤτις ψυχὴ ἔχει τὸν λόγον ἢ τὴν ἐπιστήμην ἀρχὴν κινήσεως. ὥστε ἡ ψυχὴ ἄμφω τήν τε ἕξιν καὶ τὴν στέρησιν ἀπὸ τῆς αὐτῆς ἀρχῆς κινήσει καὶ ποιήσει πρὸς τὸ αὐτὸ συνάψασα, τὸ αὐτὸ λέγων τὸ λογιστικόν. συνάψασα οὖν ἄμφω, φησί, τὴν ἕξιν δηλονότι καὶ τὴν στέρησιν, ἡ ψυχὴ πρὸς τὸ αὐτό, τουτέστι τὸ λογιστικόν, ἀπὸ τῆς αὐτῆς ἀρχῆς, ἤτοι τοῦ λογιστικοῦ, ποιήσει καὶ ὑγίειαν καὶ νόσον, καὶ γράψει ὀρθῶς καὶ μὴ ὀρθῶς. καὶ ἐπὶ τούτῳ αἱ κατὰ λόγον δυνάμεις τἀναντία ποιοῦσι ταῖς ἄνευ λόγου. εἰ γὰρ αἱ μετὰ λόγου δυνάμεις ἀμφότερα ποιεῖν δύνανται, αἱ δ' ἄνευ λόγου οὐκ ἀμφότερα ἀλλὰ τὸ ἕν, φανερὸν ὡς τἀναντία ποιοῦσι· τὸ γὰρ τὰ δύο δυνάμενον ποιεῖν ἐναντιοῦταί πως τῷ μὴ δυναμένῳ τὰ δύο ἀλλὰ τὸ ἓν ποιεῖν. ὥστε ἐπεὶ καὶ ἡ στέρησις καὶ ἡ ἕξις ἐν μιᾷ εἰσιν ἀρχῇ, τῷ λόγῳ, ἤτοι τῷ λογιστικῷ, ἀμφότερα ποιήσει ἡ ψυχή. φανερὸν δέ, φησί, καὶ ὅτι τῇ μὲν τοῦ εὖ δυνάμει ἀκολουθεῖ ἡ τοῦ μόνον ποιῆσαι δύναμις· τῷ γὰρ εὖ γράφοντι ἀκολουθεῖ καὶ τὸ μόνον γράφειν, τῷ δὲ μόνον γράφοντι οὐκ ἀκολουθεῖ τὸ εὖ γράφειν· διότι ἐκείνῳ μὲν πάρεστιν ἀμφοῖν δύναμις, τῷ δὲ μόνον γράφοντι οὐδαμῶς. |

p. 1046ᵇ29 Εἰσὶ δέ τινες οἵ φασιν, οἷον οἱ Μεγαρικοί, ὅταν ἐνεργῇ μόνον δύνασθαι. 540

Μεγαρικοὺς λέγει ἂν τοὺς περὶ Εὐκλείδην· οὗτος γὰρ εἰς τὰ Μέγαρα τὸ διδασκαλεῖον εἶχε. λέγει δὴ ὅτι οἱ Μεγαρικοὶ δύναμιν καὶ ἐνέργειαν ταὐτὸν ποιοῦσιν. ἔλεγον γὰρ ὅτι ὁ οἰκοδόμος ὅταν οἰκοδομῇ τότε καὶ τὴν τοῦ οἰκοδομεῖν ἔχει δύναμιν καὶ δύναται οἰκοδομεῖν, ὅταν δὲ μὴ οἰκοδομῇ οὐ δύναται οὔτε μὴν ἔχει τὴν τοιαύτην δύναμιν, διὰ τὸ ταὐτὸν εἶναι τὴν δύναμιν τῇ ἐνεργείᾳ· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. τοῦτο θεὶς λέγει ὅτι τὰ συμβαίνοντα ἄτοπα τοῖς ταῦτα λέγουσιν οὐ χαλεπόν ἐστιν ἰδεῖν. πρῶτον μὲν γὰρ ἀναιροῦσι τὴν κοινὴν πάντων ὑπόληψιν. πάντες γὰρ τῷ οἰκοδόμῳ τὸ εἶναι οἰκοδόμῳ διδόασιν ἐν τῷ δύνασθαι οἰκοδομεῖν· ἐξ ὧν δ' οὗτοι λέγουσι δῆλόν ἐστιν ὅτι ὅταν μὴ οἰκοδομῇ ὁ οἰκοδόμος οὐκ ἔσται οἰκοδόμος. τοῦτο δὲ ἄλογον τὸ μὴ εἶναι τὸν οἰκοδόμον ὅταν μὴ οἰκοδομῇ οἰκοδόμον μηδὲ ἔχειν τὴν τοιαύτην δύναμιν. ταῦτα εἰπὼν καὶ μέλλων εὐθύνειν τὴν τοιαύτην ἀπόφασιν πρὸς τὴν ταύτης εὐθύνην προλαμβάνει τινὰ ἐναργῆ ἀξιώματα, ἓν μὲν ὅτι ἀδύνατόν ἐστιν ἔχειν τινὰ τῶν ἀνθρώπων

2 αὐτήν LF: om. A 25 Εὐκλείδην M: Ζήνωνα ALFS Io. Phil. 37 προσλαμβάνει e S coni. Bonitz

οἰκοδομικὴν ἢ ἄλλην τινὰ τέχνην μὴ μαθόντα ποτὲ μηδὲ λαβόντα αὐτὴν διὰ μαθήσεως· οὐθεὶς γὰρ ὅλως μὴ μαθών ποτε οἰκοδομεῖν ἔσχε τὴν οἰκοδομικὴν τέχνην. ἄλλο δὲ ἀξίωμα λαμβάνει τοιοῦτον· ἀδύνατόν ἐστι τὸν μὴ ἀποβαλόντα ἢ χρόνῳ ἢ λήθῃ ἢ νόσῳ τινὶ μεγάλῃ ἣν ἔχει τέχνην μὴ ἔχειν αὐτήν· καὶ τοῦτο γὰρ λίαν ἐστὶ προφανές. ὃ γὰρ ἔχει τις καὶ μὴ ἀποβέβληκε δῆλον ὡς ἔχει τοῦτο. τὸ δὲ οὐ γὰρ δὴ τοῦ γε πράγματος φθαρέντος τοιοῦτον ἂν εἴη ὅτι τὴν τέχνην μὴ ἔχειν τότε συμβαίνει. ὅταν λήθῃ ἢ χρόνῳ ἢ πάθει ὁ ἔχων αὐτὴν ἀποβάλλῃ, οὐ μὴν τοῦ γε πράγματος καὶ τῆς ὅλης φθαρείσης· εἰ γὰρ ὑποθώμεθα ὅτι ἀνῄρηται πᾶς λίθος, οὐ συμβήσεται τῇ τούτων ἀναιρέσει ἀποβαλεῖν τὴν οἰκοδομικὴν τέχνην τὸν οἰκοδόμον, ἀλλ' ἕξει ταύτην καὶ λίθων μὴ ὄντων. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. τὸ δὲ εἰ γάρ ἐστιν ἴσον ἐστὶ τῷ εἰ ἀληθῆ ἐστιν ἅπερ εἴπομεν, καὶ ἀδύνατόν ἐστι τὸν μὴ μαθόντα ἔχειν, καὶ ἔμπαλιν ἀδύνατόν ἐστι μὴ ἔχειν τὸν μὴ ἀποβαλόντα, καὶ ὅτι οὐκ ἀνάγκη τῆς ὑποκειμένης ἑκάστῃ τέχνῃ ὅλης φθαρείσης εὐθὺς τὴν τέχνην ἀποβάλλειν, ἀλλὰ καὶ ταύτης μὴ οὔσης οὐδὲν ἧττον πάλιν τὴν τέχνην ἔχει, ὅταν παύσηται ὁ οἰκοδόμος τοῦ οἰκοδομεῖν, κατὰ τὴν τῶν Μεγαρικῶν δόξαν τε καὶ ἀπόφασιν οὐχ ἕξει τὴν οἰκοδομικήν· εἰ δὲ τοῦτο, πῶς λαβὼν πάλιν εὐθὺς οἰκοδομήσει; κεῖται γὰρ ὅτι ἀδύνατόν ἐστι τὴν τοιαύτην ἔχειν τέχνην μὴ μαθόντα, αὐτὸς δὲ ἅμα τῷ παυθῆναι τοῦ οἰκο|δομεῖν μὴ μαθὼν πάλιν εὐθὺς οἰκοδομήσει. εἰ 541 δὲ ἅμα τῷ παύσασθαι τοῦ οἰκοδομεῖν εὐθὺς πάλιν οἰκοδομεῖ, δῆλον ὅτι εἶχε καὶ μὴ οἰκοδομῶν τὴν οἰκοδομικὴν καὶ ἠδύνατο οἰκοδομῆσαι. εἰ γάρ, ὡς αὐτοί φασιν, ἅμα τῷ παυθῆναι τοῦ οἰκοδομεῖν ἀπέβαλε τὴν τοῦ οἰκοδομεῖν δύναμιν, πῶς πάλιν μὴ μαθὼν μήτε διὰ μαθήσεως λαβὼν αὐτήν (τοῦτο γὰρ εἴληπται) οἰκοδομεῖ; ἄλλως τε ἐπεὶ ὑπόκειται τότε μὴ ἔχειν τὴν τέχνην, ὅταν ἢ χρόνῳ ἢ λήθῃ ἢ πάθει τινὶ ταύτην ἀποβάλλῃ, οὐδὲν δὲ γέγονε τοιοῦτον περὶ τὸν οἰκοδόμον. πῶς οὖν τὸν λέγειν. ὅταν μὴ οἰκοδομῇ. τὴν τοιαύτην οὐκ ἔχειν δύναμιν; τοῦτο δὴ συμβαίνει καὶ ἐπὶ τοῖς ἀψύχοις. ὅταν γὰρ μὴ ἐνεργῇ τὸ μέλι ἢ τὸ ψυχρὸν ἢ τὸ θερμὸν περὶ τὰς αἰσθήσεις ἡμῶν, οὐκ ἔσται κατ' αὐτοὺς οὔτε τὸ μέλι γλυκὺ οὔτε τὸ ψυχρὸν ψυχρόν. ὥστε συμβαίνει λέγειν τὸν τοῦ Πρωταγόρου λόγον. ἐκεῖνος γὰρ ἔφασκε μὴ εἶναι μήτε γλυκὺ μήτε ἄλλο μηδέν. ἀλλ' οἷα ἂν αὐτὰ κρίνῃ ἡ αἴσθησις. τοιαῦτα καὶ ἔστιν. εἰ δὲ ἐκεῖνος ἐλήλεγκται πρότερον ἐν ταύτῃ τῇ πραγματείᾳ καὶ δέδεικται ψευδόμενος, δῆλον ὅτι καὶ οὗτοι ψεύδονται, λέγοντες ὡς ὅταν μὴ ἐνεργῇ τι οὐκ ἔχει τὴν τοιαύτην δύναμιν, ἐξ οὗ συμβαίνει τὸ τοῦ Πρωταγόρου· ὥστε κατ' αὐτοὺς ὅταν τὰ ζῷα ὑπνώττῃ καὶ οὐκ αἰσθάνηται οὐδὲ ἐνεργῇ περὶ τὰς αἰσθήσεις, οὐχ ἕξει αἴσθησιν. εἰ γὰρ τότε

---

1 μαθόντα et λαβόντα coni. Bonitz: μαθὼν et λαβὼν libri 6 τοῦ γε LF: τοῦτο τοῦ A 7 φθαρέντος e S add. Bonitz 12 ἀεὶ γάρ ἐστιν Metaph. vulg. 13 τὸν LF: τὸ A 14 καὶ ὅτι LF: μὴ ὅτι A 16 ἔχει LF: ἔχειν, πῶς A: οὐδὲν ἧττον ἐνδέχεται κτλ. ἔχειν, πῶς M 20 τοῦ L: om. A 23 παυθῆναι τοῦ LF: om. A 25 τότε L: τὸ A 26 ἢ χρόνῳ scripsi: ἢ χρόνος L: om. A 28 ἔχειν M: ἔχει AL δὴ LF: om. A 37 ἐνεργῇ M: ἐνεργεῖ AL

τὰς δυνάμεις ἔχομεν ὅταν ἐνεργῶμεν, δῆλον ὡς, ὅταν ὑπνώττωμεν καὶ οὐκ ἐνεργῶμεν περὶ τὴν ὄψιν, οὐκ ἔχομεν δύναμιν τοῦ πάλιν βλέψαι· ὥστε εἰ τυφλόν ἐστι τὸ πεφυκὸς ἔχειν ὄψιν καὶ μὴ ἔχον ὅτε πέφυκε καὶ ἔτι ὂν καὶ μὴ φθαρέν, οἱ αὐτοὶ τυφλοὶ ἔσονται πολλάκις τῆς ἡμέρας. ἐπειδὴ γὰρ ἐγὼ πέφυκα ἔχειν ὄψιν ἐν ταύτῃ τῇ ἡλικίᾳ ἐν ᾗ τυγχάνω ὢν καὶ ἔτι ὑπάρχω καὶ οὐ τέθνηκα, ὅταν μύσω καὶ οὐχ ὁρῶ οὐδὲ ἐνεργῶ περὶ τοῦτο ἔσομαι τυφλός. τοῦτο δὲ ἄλογον. ἔτι εἰ τὸ ἐστερημένον δυνάμεως, οἷον τοῦ ὁρᾶν, ἀδύνατόν ἐστι βλέψαι, καὶ τὸ μὴ γινόμενον κατ' αὐτοὺς ἀδύνατόν ἐστι γενέσθαι. ἐπειδὴ γὰρ ὅταν μὴ ἐνεργῇ τι οὐκ ἔχει δύναμιν, τὸ δὲ μὴ ἔχον δύναμιν οὐ δύναται τοῦτο ποιῆσαι οὗ τὴν δύναμιν οὐκ ἔχει, τὸ δὲ μὴ δυνάμενον ἀδύνατόν ἐστιν, ὃ δὲ ἀδύνατον γενέσθαι οὐ γενήσεταί ποτε, εἰ οὖν τοῦτο, εἴπερ τις ἵσταται καὶ μὴ ἐνεργεῖ περὶ τὸ καθῆσθαι, οὐκ ἔχει τὴν δύναμιν τοῦ καθίσαι, εἰ δὲ μὴ δύναται, ἀδύνατόν ἐστι καθίσαι. εἰ δ' ἀδύνατόν ἐστι τοῦτο γενέσθαι, ὁ λέγων ἢ εἶναι ἢ ἔσεσθαι, τουτέστιν ἢ κάθηται ἢ καθεδεῖται, ψεύσεται· τὸ γὰρ ἀδύνατον τοῦτο σημαίνει τὸ μὴ δυνατὸν γενέσθαι· ὥστε ἀεὶ τὸ ἑστηκὸς ἑστήξεται (οὐκ ἔχει γὰρ τὴν τοῦ καθίσαι δύναμιν), καὶ τὸ καθήμενον ἀεὶ καθεδεῖται· ἀναστῆναι γὰρ οὐ δύναται, ὃ δὲ μὴ δύναται ἀναστῆναι, οὐκ ἀναστήσεται· ἀεὶ δὲ ἄρα καθεδεῖται. οὐ μόνον δὲ ταῦτα συμβαίνει λέγειν αὐτοὺς τὰ ἄτοπα (ὁρῶμεν γὰρ ὅτι καὶ ὁ καθήμενος ἀνίσταται καὶ ὁ ἀνιστάμενος πάλιν κάθηται), ἀλλ' ἐξαιροῦσι καὶ κίνησιν καὶ γένεσιν· οὕτω γὰρ δεῖ τὸ ῥητὸν ὑπερβατῶς ἀναγινώσκειν. ὅτι δὲ γένεσιν ἀναιροῦσι δῆλον· πᾶσα γὰρ γένεσις ἐκ τοῦ δυνάμει πρόεισι· δύναμιν γὰρ ἔχον τόδε τι γενέσθαι τὸ καταμήνιον γίνεται· οὗτοι δὲ τὴν δύναμιν ἀναιροῦντες ἀναιροῦσι γένεσιν. εἰ δὲ γένεσιν, δῆλον ἐκ τούτου ὅτι καὶ κίνησιν· τὰ γὰρ κινούμενα δυνάμενα πρὸ τοῦ ἄρξασθαι κινεῖσθαι κινηθῆναι κινοῦνται. εἰ δὴ ταῦτα ἀδύνατα, φανερὸν ὅτι ἡ δύναμις ἑτέρα ἐστὶ τῆς ἐνεργείας· ἐκεῖνοι δὲ οἱ λόγοι δύναμιν καὶ ἐνέργειαν ταὐτὸν ποιοῦσι. τὸ γὰρ λέγειν ὅτι ὅτε ἐνεργεῖ τὸ ἐνεργοῦν περί τι τότε καὶ δύναται, τὸ τοῦτο δὴ λέγειν τὸ ποιεῖν ἐστιν ἐνέργειαν καὶ δύναμιν ταὐτόν. διὸ τοῦτο λέγοντες οὐ μικρόν τι ἀναιρεῖν ζητοῦσιν, ἀλλὰ τὰ μέγιστα, γένεσιν καὶ κίνησιν. ὥστε δῆλόν ἐστιν ἐκ τούτων ὅτι ἐνδέχεται δυνατὸν μέν τι εἶναι μὴ εἶναι δέ, οἷον δυνατὸν μέν ἐστιν ἐμὲ βαδίσαι, οὐ βαδίζω δέ, ἀλλ' οὖν βαδίσω διὰ τὸ ἐμὲ δύναμιν ἔχειν τούτου· δύναται γὰρ τὸ μὴ βαδίζον βαδίσαι καὶ τὸ βαδίζον μὴ βαδίσαι. ταῦτα εἰπὼν ὁρίζεται τί τὸ δυνατόν ἐστιν, λέγων δυνατόν ἐστιν ᾧ ἐὰν ὑπάρξῃ ἡ ἐνέργεια ἧς λέγεται δύναμιν ἔχειν, οὐδὲν ἔσται ἀδύνατον. εἰ γάρ τι δύναται καθίσαι καὶ ἐνδέχεται καθίσαι, τούτῳ εἰ ὑπάρξει τὸ καθῆσθαι, οὐδὲν ἀδύνατον συμβαίνει. ὁμοίως καὶ ἐπὶ τοῦ κινεῖσθαι καὶ ἵστασθαι.

542

---

2 δύναμιν L: οὐ δύναμιν A  ὥστε εἰ S corr. F: ὥστε καὶ L: ὥσπερ A  3 ἔχον LS: ἔχειν A  4 καὶ μὴ LF: καὶ om. A  16 δυνατὸν] δυνάμενον LF  25 ἐκ τούτου LF: τὸ τούτου A  32 μέν τι LF: τι om. A

p. 1047a30 Ἐλήλυθε δ' ἡ ἐνέργεια τοὔνομα ἡ πρὸς τὴν ἐντελέχειαν συντεθειμένη καὶ ἐπὶ τὰ ἄλλα ἐκ τῶν κινήσεων μάλιστα.

Ἐπειδὴ ἡ ἐνέργεια διχῶς λέγεται, ἕνα μὲν τρόπον αὐτὰ τὰ τέλη (τὸ γὰρ τῆς λευκάνσεως τέλος, τοῦτο δ' ἐστὶ τὸ λευκόν, ἐν ᾧ πέπαυται καὶ ἔστη ἡ λεύκανσις, ἐνέργεια λέγεται· ὡσαύτως δὲ καὶ τὰ τῶν ἄλλων κινήσεων τέλη ἐνέργειαι λέγονται, ἃ δὴ καὶ κυρίως αὐτὸς ἐντελεχείας καλεῖ), ἕνα μὲν οὖν δὴ τρόπον ἡ ἐνέργεια οὕτω λέγεται, ἄλλον δὲ πάλιν ἐνέργεια λέγεται αὐτὴ ἡ κίνησις. ἔστω δὲ πάλιν ὑποδείγματος χάριν αὐτὴ ἡ λεύκανσις, ἥτις καὶ δυνάμει ἔστι καὶ ἐντελεχείᾳ, δυνάμει μὲν ὅτι οὔπω εἰς ἐντελέχειαν καὶ τὸ τέλος ἀφῖκται, ἐντελεχείᾳ δὲ ὅτι ἔχει τι τῆς ἐντελεχείας καὶ τοῦ τέλους· ἐν γὰρ τῇ λευκάνσει καὶ ὅλως τῷ λευκαινομένῳ ἔνεστί τι τοῦ λευκοῦ καὶ τῆς ἐντελεχείας. διχῶς οὖν τῆς ἐνεργείας λεγομένης λέγει ὅτι ἡ ἐνέργεια ἡ πρὸς τὴν ἐντελέχειαν καὶ τὸ τέλος συντεθειμένη, τουτέστι τὸ τὴν ἐντελέχειαν ἐνέργειαν λέγεσθαι, ἐκ τῶν κινήσεων ἐλήλυθεν. ἐπειδὴ γὰρ κυρίως ἐνέργεια ἡ κίνησις λέγεται (ἡ γὰρ ἐνέργεια ἐν κινήσει θεωρεῖται), ἡ δὲ κίνησις τέλους τινός ἐστι κίνησις, λέγεται | καὶ τὸ τέλος 543
ἐνέργεια διὰ τὸ ὡς εἴρηται τὴν ἐνέργειαν τὴν ἐν τῇ κινήσει θεωρουμένην διὰ τὸ τέλος γίνεσθαι. τὸ δὲ καὶ ἐπὶ τὰ ἄλλα οἶμαι διὰ τὰ τεχνητὰ πρόσκειται, ὡς εἰ ἔλεγεν 'οὐ μόνον τὰ ἐν αὐτοῖς ἔχοντα τὴν κίνησιν καὶ τὸ κινοῦν αἴτιον ἐνέργειαι λέγονται, ἀλλὰ καὶ τὰ ἄλλα, ὧν ἐκτός ἐστι τὸ κινοῦν.' καὶ τὸ πῶς ἐκ τῶν κινήσεων καὶ ἐπὶ τὰ ἄλλα ἵκται τὸ τῆς ἐνεργείας ὄνομα, ἐδήλωσεν εἰπὼν δοκεῖ δὲ ἡ ἐνέργεια μάλιστα ἡ κίνησις εἶναι. καὶ τοῦτο εἰκότως· ἐν γὰρ τῷ τέλει μάλιστα ἠρεμία ἀλλ' οὐ κίνησίς ἐστι καὶ ἐνέργεια. ἐπειδὴ δὲ πᾶν τὸ κινούμενον ἢ ἐνεργοῦν ὄν τί ἐστιν, οὔ φαμεν τὴν μὴ οὖσαν οἰκίαν ἢ τὸ μὴ ὂν ζῷον κινεῖσθαι ἢ ἐνεργεῖν. εἰ γὰρ τὸ κινούμενον ἢ ἐνεργοῦν ὄν ἐστι, τὸ μὴ ὂν οὔτε κινεῖται οὔτε ἐνεργεῖ. δι' αὐτὸ δὴ τοῦτο οὐδ' ἡ γένεσις κίνησίς ἐστιν, ὡς ἐν τῇ Φυσικῇ δέδεικται· τὸ γὰρ γινόμενον οὐκ ἔστι. τὰ οὖν μὴ ὄντα, ὥσπερ εἴρηται, οὔ φαμεν κινεῖσθαι, ἄλλας δέ τινας κατηγορίας προσάπτομεν αὐτοῖς, οἷον διανοητὰ καὶ ἐπιθυμητά. ἔχομεν γὰρ διάνοιαν τῆς μὴ οὔσης οἰκίας καὶ ἐπιθυμίαν ἴσως χρήζοντες αὐτῆς μὴ οὔσης, κινεῖσθαι δ' αὐτὰ οὔ φαμεν, ὅτι οὐκ εἰσιν ἐνέργειαι, ὅμως δυνάμενά γε ἔσεσθαι ἐνεργείᾳ. διὰ τί δέ; ὅτι τῶν μὴ ὄντων ἔνια δυνάμει εἰσίν· οὐ γὰρ πάντα· ὁ γὰρ τραγέλαφος οὐκ ἔστι δυνάμει ὡς δύνασθαι καὶ ἐνεργείᾳ ὑπάρξαι. ὅμως δὲ εἰ καὶ δυνάμει ἐστὶν ἔνια τῶν μὴ ὄντων, τὸ ἔστιν αὐτῶν κατηγορεῖται οὐχ ὅτι ἔστιν (οὐκ ἔστι γὰρ ὅτι οὐκ ἐντελεχείᾳ ἐστίν· ἐκεῖνα γάρ φαμεν εἶναι

---

2 συντιθεμένη Metaph. vulg. 7 οὕτω L: οὐ A 18 τὰ τεχνητὰ LF: τὴν τέχνην A 19 πρόσκειται LF: ὁ πρόσκειται A 27. 28 ἐν τῇ Φυσικῇ] E 1 p. 225a25 sqq. 31 χρήζοντες LF: εἰ χρήζομεν A μὴ οὔσης F: μὴ ἔστι AL 35 αὐτῶν Brandis: αὐτοῖς ALF

τὰ ἐντελεχείᾳ ὄντα), ἀλλὰ κατηγορεῖται αὐτῶν τὸ ἔστιν, ὅτι δύναται γενέσθαι καὶ ἔσεσθαι.

p. 1047ᵇ3 Εἰ δέ ἐστι τὸ εἰρημένον δυνατὸν ᾗ ἀκολουθεῖ, φανερὸν ὅτι οὐκ ἐνδέχεται ἀληθὲς εἶναι τὸ εἰπεῖν ὅτι δυνατὸν μὲν τοδί.

Εἰπὼν ὅτι δυνατὰ μὲν λέγεται τὰ μὴ ὄντα μὲν δυνάμενα δὲ γενέσθαι, λέγει ὅτι εἰ ἔστι τὸ εἰρημένον δυνατὸν ᾗ ἀκολουθεῖ, τουτέστιν εἰ δυνατὸν λέγεταί τι, καθὸ δύναται γενέσθαι καὶ ἀκολουθεῖ αὐτῷ τὸ ἐνεργῆσαι, οὐκ ἔστιν ἀληθὲς τὸ λέγειν ὅτι ἔστι μέν τι δυνατόν, οὐκ ἔσται δὲ οὐδὲ δυνήσεται εἰς ἐνέργειαν ἐλθεῖν. ἐκεῖνα γὰρ δυνατὰ λέγεται τὰ δυνάμενα εἰς ἐνέργειαν ἐλθεῖν τοῦ ὃ δύνανται. εἰ δέ τις φαίη ὅτι ἔστι μέν τι δυνατόν, οὐ μέντοι δύναται γενέσθαι καὶ εἰς ἐνέργειαν ἐκβῆναι, διαφεύγει ἡμᾶς καὶ ἄδηλόν ἐστι τί ποτέ ἐστι τὸ ἀδύνατον. εἰ γὰρ δυνατόν φαμεν ὅπερ μὴ ὂν μὲν τεθὲν δὲ ὑπάρχειν οὐδὲν ἀδύνατον συμβαίνει, ἀδύνατον δὲ οὗ μὴ ὄντος τεθέντος δὲ ὑπάρχειν ἕπεταί τι ἀδύνατον, λέγει δέ τις ὡς ἔστι μέν τι δυνατόν, οὐ μὴν ἔσται οὐδ' ἂν εἰς ἐνέργειαν ἐκβαίη, | πῶς γνῶμεν τὴν τοῦ δυνατοῦ καὶ ἀδυνάτου διαφοράν; οἷον ἐπειδὴ δυνατὸν λέγεται τὸ ξύλον καίεσθαι, εἰ λέγοι τις ὅτι δυνατὸν μέν ἐστι καίεσθαι, οὐ μὴν καυθήσεται, λέγει δὲ ὁ αὐτὸς ὅτι καὶ ἡ διάμετρος δυνατὴ μὲν μετρηθῆναι, οὐ μὴν μετρηθήσεται, τί διοίσει τοῦτο ἐκείνου, ἐπειδὴ ἀμφότερα δυνατὰ λέγεται, οὐ μέντοι ἐσόμενα, ὥστε ἐπίσης καὶ τὸ ξύλον ἐστὶ καυστὸν καὶ ἡ διάμετρος μετρητή· εἰ δὲ τοῦτο, διαφεύγει ἡμᾶς ποῖόν ἐστι τὸ ἀδύνατον, πότερον τὸ τὴν διάμετρον μετρηθῆναι ἢ τὸ τὸ ξύλον καυθῆναι. ὁ μὴ λογιζόμενος οὖν, φησί, μηδὲ νοῶν τὸ ἀδύνατον τί ποτέ ἐστι, καὶ τὴν διαφορὰν ἣν ἔχει πρὸς τὸ δυνατόν, ἐκεῖνος ἂν εἴποι ὡς οὐδὲν κωλύει τι ὂν δυνατὸν εἶναι ἢ γενέσθαι μὴ εἶναι μηδ' ἔσεσθαι. εἰ δ' ἐγίνωσκε τὴν τοῦ ἀδυνάτου φύσιν, οὐκ ἂν οὕτως ἀπερισκέπτως καὶ ἑτοίμως ἔλεγε τὴν διάμετρον καὶ τὸ ξύλον, ὅτι ἡ μὲν δυνατή ἐστι μετρηθῆναι καὶ οὐ μετρηθήσεται, τὸ δὲ καυθῆναι καὶ οὐ καυθήσεται, ἀλλ' ἐκείνην μὲν ἀνεκήρυττεν ἂν ὡς ἀδύνατός ἐστι μετρηθῆναι καὶ οὐ μετρηθήσεται, τοῦτο δὲ διισχυρίζετο ὅτι δυνατόν ἐστι καυθῆναι καὶ καυθήσεται. ἀλλὰ ταῦτα μὲν εἴποι ἂν ὁ ἀγνοῶν τὸ ἀδύνατον, ἐκεῖνο δέ ἐστι φανερὸν ἐκ τῶν κειμένων (κεῖται δὲ ὅτι τὸ δυνάμενον γενέσθαι καὶ γενήσεται), ὅτι εἰ ὑποθώμεθα τὸ μὴ ὂν μὲν δυνάμενον δὲ γενέσθαι ὅτι ἔστιν, οὐδὲν ἀδύνατον συμβήσεται. εἰ γάρ σου καθημένου καὶ δυναμένου περιπατῆσαι ὅτε κάθησαι ὑποθοίμεθά σε περιπατεῖν, οὐδὲν ἀδύνατον συμβήσεται ἐκ τῆς ὑποθέσεως.

---

1 αὐτῶν F: αὐτοῖς AL 15 τεθέντος δὲ LF: τεθέντος καὶ A 19 ὁ αὐτὸς L: ὁ om. A 22 ἡμᾶς M: ἡμῖν ALF 23 τὸ τὸ ξύλον LF: τὸ ξύλον A 26 ὂν LF: ἣν A 28 δυνατή L: δυνατὸν A post μετρηθῆναι add. καὶ οὐ μετρηθῆναι LF 32 εἴποι ἂν F: εἴποιεν AL 35 ὅτε M: εἰ ὅτε ALF 36 ὑποθοίμεθά σε—τοῦτο (p. 575,1) LF: om. A

εἰ δὴ τοῦτο ἀληθές, λέγει δέ τις ὡς δύναται μὲν οὗτος ὁ καθήμενος περι- 20
πατῆσαι, οὐ μὴν περιπατήσει, ὁμοίως καὶ ἡ διάμετρος δύναται μετρηθῆναι,
οὐ μέντοι μετρηθήσεται, εἰ οὖν οὐδὲν τοῦτο ἐκείνου διαφέρει, ὥσπερ ἐπ' 25
ἐκείνου οὐδὲν συνέπιπτεν ἀδύνατον, οὕτως οὐδὲ ἐπὶ ταύτης. ἀλλὰ μὴν δο-
5 θέντος τοῦ τὴν διάμετρον μετρηθῆναι, συμβαίνει τὸ τὰ περιττὰ ἴσα εἶναι
τοῖς ἀρτίοις, ὅπερ ἐστὶν ἀδυνατώτατον. τοῦτο δὲ συμβαίνει ἐκ τοῦ μὴ
συνορᾶν τήν τε φύσιν καὶ τὴν διαφορὰν τοῦ ἀδυνάτου | πρὸς τὸ δυνατόν, 545
καὶ ἐπὶ τούτῳ λέγειν τὸ ἀδύνατον ὡς δυνατὸν μέν ἐστιν, οὐ μέντοι ἔσται.
ὥστε δῆλον ἐκ τούτου ὅτι εἴ τι δυνατόν ἐστι, καὶ ἔσται. συμβαίνει δὲ τὸ
10 ἀδύνατον τοῦτο, λέγω δὴ τὸ τὰ ἄρτια ἴσα εἶναι τοῖς περιττοῖς, οὐ παρὰ
τὴν ὑπόθεσιν τὴν λέγουσαν ὅτι δεδόσθω ὅτι μετρεῖται ἡ διάμετρος· εἰ γὰρ 5
παρὰ τὴν ὑπόθεσιν ἦν, συνέβαινεν ἂν ἀδύνατόν τι καὶ ἐπὶ τοῦ καθημένου
λεγομένου δὲ περιπατεῖν· ἐκεῖ μὲν γὰρ τὸ συναγόμενον ψεῦδος, ἀλλ' οὐκ
ἀδύνατον, τὸ δὲ ἐνταῦθα καὶ ψεῦδος καὶ ἀδύνατον. ὥστε εἰ ταὐτὸν ἦν τὸ
15 ψεῦδος καὶ τὸ ἀδύνατον, οὐδὲν ἂν διέφερον αἱ ὑποθέσεις ἥ τε τὸν καθή-
μενον περιπατεῖν ὑποτιθεμένη καὶ ἡ τὴν διάμετρον μετρεῖσθαι λέγουσα·
ἐπεὶ δὲ ἕτερα ταῦτα, ἕτεραι καὶ αἱ ὑποθέσεις. 10

p. 1047ᵇ14 Ἅμα δὲ δῆλον καὶ ὅτι εἰ τοῦ α ὄντος ἀνάγκη καὶ τὸ β εἶναι.

20 Δείξας ὅτι ὃ δύναται γενέσθαι τι, καὶ γενήσεται τοῦτο οὗ τὴν δύνα-
μιν ἔχει, διὰ τοῦ δεῖξαι ὡς, εἴ τις τὸ δυνάμενόν τι γενέσθαι λέγει ὅτι οὐ
γενήσεται, οὗτος τὸ ἀδύνατον καὶ τὸ δυνατὸν ταὐτὸν ποιεῖ, καὶ διαφεύγει
καὶ ἄγνωστον ἡμῖν γίνεται ποῖόν ἐστι τὸ ἀδύνατον, τοῦτο δείξας λέγει ὅτι
ἐκ τούτου δῆλόν ἐστιν ὡς εἰ τοῦ α ὄντος ἕπεται αὐτῷ ἐξ ἀνάγκης τὸ β, 15
25 καὶ τοῦ α δυνατοῦ ὄντος καὶ τὸ β δυνατόν ἐστι, καὶ ἀναγκαίου ἀναγκαῖον,
καὶ ὑπάρχοντος τοῦ α ὑπάρξει καὶ τὸ β. εἰ δέ τις ἐνίσταται λέγων ὅτι
τοῦ α ὄντος ἕπεται αὐτῷ ἐξ ἀνάγκης τὸ β, οὐ μὴν δυνατοῦ ὄντος τοῦ α
ἔσται καὶ τὸ β δυνατόν, οὐδὲν κωλύει, φησίν, εἶναι τὸ β μὴ δυνατόν,
δυνάμει λέγων ὡς εἰ τοῦ α δυνατοῦ ὄντος τὸ β οὐκ ἔστι δυνατόν, ἔσται
30 ἀδύνατον· τοῦτο γὰρ ἀντίκειται τῷ δυνατῷ. ἔστω, φησί, τὸ α δυνατόν. 20
οὐκοῦν ἐπειδὴ δυνατόν ἐστιν, εἰ τεθείη ὑπάρχον, ψεῦδος μέν, οὐ μέντοι
ἀδύνατος ἡ ὑπόθεσις. ἔστω οὖν ὑπάρχον τὸ α, ὑπόκειται δὲ ὅτι τοῦ α
ὄντος ἔστι καὶ τὸ β· ὥστε ἐπειδὴ τὸ α ἔστιν, ἔσται καὶ τὸ β διὰ τὴν ἐξ
ἀρχῆς ὑπόθεσιν. ἀλλὰ καὶ οὐκ ἔσται· τὸ γὰρ ἀδύνατον οὐκ ἂν γένοιτό
35 ποτε. εἰ δὲ τὸ εἶναι τὸ β καὶ μὴ εἶναι ἀδύνατον, ψευδὴς ἡ ὑπόθεσις |
ἐξ ἧς τοῦτο συνέβη· αὕτη δέ ἐστιν ἡ λέγουσα ὅτι τοῦ α ὄντος δυνατοῦ 546
οὐκ ἔσται καὶ τὸ β τὸ ἑπόμενον τῷ α δυνατόν. δῆλον ἄρα ὅτι τοῦ α

---

8 τούτῳ LF: τοῦτο A 15. 16 τὸν καθήμενον L: post τὸν add. οὐ A 16 ὑποτιθεμένη LF: ὑποθεμένη A 20 τοῦτο — γενήσεται (22) LF: om. A 31 εἰ τεθείη LF: ἐκτεθείη A 31 et 32 ὑπάρχον LF: ὑπάρχειν A 35 καὶ μὴ εἶναι LF: μὴ ἦν A

ὄντος δυνατοῦ ἔσται καὶ τὸ β δυνατόν, εἴπερ οὕτως εἶχον τό τε α καὶ τὸ β. πῶς δὲ εἶχον, ἐπάγει, ὥστε τοῦ α ὄντος ἀνάγκη καὶ τὸ β εἶναι. δείξας οὖν ὅτι εἰ τὸ α εἴη δυνατόν, καὶ τὸ τούτῳ ἐξ ἀνάγκης ἑπόμενον β δυνατόν ἐστι, δείκνυσιν ὅτι καὶ ὄντος τοῦ α ἔσται καὶ τὸ β, λέγων ἂν δὴ οὕτως ἐχόντων * * * τὸ αβ ἕξει ὡς ἐτέθη, ἤτοι ἂν * * * τὸ αβ ἕξει ὡς ἐτέθη. ταῦτα δὲ εἰπὼν ἐπάγει καὶ εἰ τοῦ α δυνατοῦ ὄντος ἀνάγκη τὸ β ⟨δυνατὸν⟩ εἶναι, ὃ ἴσον ἂν εἴη τῷ εἰ ὑπόκειται καὶ δέδεικται, ὡς εἰ τὸ α εἴη δυνατόν, καὶ τὸ β ἔσται δυνατόν, εἰ δὴ οὕτως ἔχοι, λέγομεν, φησίν, ὅτι εἰ καὶ εἴη τὸ α, ἀνάγκη εἶναι καὶ τὸ β· τὸ γὰρ λέγειν ὅτι εἰ τὸ α δυνατὸν εἴη, ἐξ ἀνάγκης ἕπεται τὸ εἶναι δυνατὸν καὶ τὸ β (τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ τὸ γὰρ δυνατὸν εἶναι ἐξ ἀνάγκης τὸ β εἶναι, εἰ τὸ α δυνατόν), τὸ οὖν λέγειν ὅτι εἰ τὸ α δυνατόν. ἐξ ἀνάγκης καὶ τὸ εἶναι τὸ β δυνατὸν συμβαίνει, τοῦτο σημαίνει ὅτι ἐὰν ᾖ τὸ α καὶ ὅτε ᾖ, τότε εἶναι καὶ τὸ β. τὸ δὲ καὶ ὡς ἦν δυνατὸν εἶναι ἴσον ἂν εἴη τῷ καὶ εἰ ἔστιν ἀναγκαῖον τὸ α, ἔσται καὶ τὸ β ἀναγκαῖον, καὶ εἰ δυνατόν, δυνατόν.

p. 1047ᵇ31 Ἁπασῶν δὲ τῶν δυνάμεων οὐσῶν τῶν μὲν συγγενῶν, οἷον τῶν αἰσθήσεων.

Βούλεται διὰ τούτων εἰπεῖν τίνες τῶν δυνάμεων ἄνευ τοῦ προενεργῆσαι οὔκ εἰσιν ἐν οἷς εἰσι καὶ τίνες καὶ χωρὶς ὅλως τοῦ προενεργῆσαί εἰσι. καί φησιν ὅτι ἁπασῶν τῶν δυνάμεων τῶν μὲν οὐσῶν συγγενῶν, τουτέστι συγγινομένων καὶ συμπλαττομένων ἡμῖν (αἱ γὰρ αἰσθήσεις συγγίνονται καὶ συμπλάττονται ἡμῖν· οὐ γὰρ ὕστερον ἐπιγίνονται μετὰ τὸ γεννηθῆναι τὸ ζῷον), τῶν δὲ οὐσῶν ἔθει (ἡ γὰρ δύναμις καθ' ἣν δύναται ὁ αὐλητὴς αὐλεῖν οὐ συγγεννᾶται αὐτῷ ἀλλ' ἐξ ἔθους αὐτῷ ἐγγίνεται), τῶν δὲ μαθήσει ὡς ἡ οἰκοδομικὴ καὶ ἁπλῶς αἱ τέχναι, αἱ μὲν ἐξ ἔθους καὶ λόγου δυνάμεις ἄνευ τοῦ προενεργῆσαι οὐκ ἐγγίνονται, τὰς δ' ἄνευ λόγου δυνάμεις εἴτε τοῦ ἐνεργεῖν εἴτε καὶ τοῦ πάσχειν οὐκ ἀνάγκη ἐστὶ προενεργῆσαι. οὔτε γὰρ τὸ πῦρ προηνέργησε καὶ οὕτως ἐγένετο αὐτῷ ἡ τοῦ καίειν δύναμις οὔτε τῷ ξύλῳ ἡ τοῦ καίεσθαι, ἀλλ' ἅμα τῷ εἶναι καίει τὸ πλησιάζον, ὁμοίως καὶ τὸ ξύλον καίεται εἰ πλησιάζει. ἐπεὶ δὲ τὸ δυνατὸν τὶ δυνάμενον λέγεται δυνατὸν καὶ ποτέ (οὐ γὰρ | κατὰ πάντα τρόπον τὸ πῦρ 547 καίει, ἀλλ' ὅταν πλησιάζῃ τῷ καυστῷ ἢ ὅταν μὴ ὑπό τινος κωλύηται), ὅσα μὲν κατὰ λόγον δύνανται κινεῖν, καὶ αἱ δυνάμεις αὐτῶν μετὰ λόγου, ὅσα δὲ ἀλόγως ὡς τὸ πῦρ, καὶ αἱ δυνάμεις αὐτῶν ἄλογοι. καὶ τὰς μὲν μετὰ λόγου δυνάμεις ἀνάγκη ἐν ἐμψύχῳ εἶναι, τὰς δὲ ἀλόγους ἐν ἀμφοῖν καὶ ἐν ἐμψύχῳ καὶ ἀψύχῳ. ἄλογοι γὰρ δυνάμεις ἐν ἐμψύχῳ εἰσὶν αἱ ἐν

---

4 ἂν δὴ LF: ἀντὶ A 5 οὕτως ἐχόντων] addendum τοῦ αβ μὴ ᾖ δυνατὸν τὸ β οὕτως, οὐδὲ post ἤτοι ἂν lacunam indicavi 6 ταῦτα δὲ εἰπὼν M: om. ALF 7 δυνατὸν addidi coll. v. 8 τῷ LFM: τὸ δὲ A εἰ ὑπόκειται e S coni. Bonitz: οὕτω κεῖται libri 9 ὅτι καὶ εἰ εἴη LF 10 δυνατὸν—τοῦτο γὰρ L: post δυνατὸν εἶναι (11) ponit A 13 ὅτι LF: om. A 19 ὅλως LF: ὕλης A 29 τῷ (post ἅμα) LF: τὸ A 32 κωλύηται LF: κωλύεται A

ταῖς ἀλόγοις οὖσαι ψυχαῖς. καὶ τὰς μὲν ἀλόγους δυνάμεις ἀνάγκη, ὅταν πλησιάζῃ τό τε δυνάμενον ποιεῖν καὶ δυνάμενον πάσχειν, τὸ μὲν ποιεῖν ὡς δύναται ποιεῖν, τὸ δὲ πάσχειν ὡς δύναται πάσχειν, τὰς δὲ μετὰ λόγου οὐκ ἀνάγκη· οὐ γάρ ἐστιν ἀνάγκη, ὅταν ὁ διδάσκαλος πλησιάζῃ τῷ μαθητῇ, τὸν μὲν διδάσκειν τὸν δὲ μανθάνειν. καὶ αἱ μὲν ἄλογοι δυνάμεις κυρίως ἑνός εἰσι ποιητικαί, οἷον ἡ τοῦ πυρὸς τοῦ θερμαίνειν (τὸ δὲ κυρίως πρόσκειταί μοι ὅτι ψύχει καὶ τὸ πῦρ κατὰ συμβεβηκὸς στραφέν πως καὶ ἀπελθόν), αἱ δὲ μετὰ λόγου τῶν ἐναντίων· ἡ γὰρ ἰατρικὴ ὑγιείας καὶ νόσου. εἰ δέ τις λέγοι ὅτι καὶ αἱ μετὰ λόγου δυνάμεις ἅμα τῷ πλησιάσαι ἐξ ἀνάγκης τὸ μὲν ποιεῖ τὸ δὲ πάσχει ὥσπερ καὶ αἱ ἄλογοι (ἐξ ἀνάγκης γὰρ τὸ πῦρ ἅμα τῷ πλησιάσαι τῷ καυστῷ καίει), εἰ οὖν τοῦτό τις λέγει καὶ δίδωσι τὴν ἀνάγκην ταῖς μετὰ λόγου δυνάμεσιν ὥσπερ καὶ ταῖς ἀλόγοις, οὗτος οὐδὲν ἄλλο ἀξιοῖ ἢ ἅμα τὰ ἐναντία τῷ αὐτῷ παρεῖναι. ὡς γὰρ τὸ πῦρ δυνάμενον θερμαίνειν ἅμα τῷ πλησιάσαι τῷ θερμαντῷ ἐξ ἀνάγκης θερμαίνει αὐτό, οὕτω καὶ ὁ ἰατρὸς ἐπεὶ δύναται καὶ ὑγιάζειν καὶ νοσάζειν, εἰ ἐξ ἀνάγκης ἅμα τῷ πλησιάζειν ἐνεργεῖ ἃ δύναται, ἅμα ἂν ὑγιάζοι τὸν αὐτὸν καὶ νοσάζοι. τοῦτο δὲ ἀδύνατον, τὸ τὸν αὐτὸν ἅμα ὑγιαίνειν καὶ νοσεῖν. ὥστε ἔστι τὸ κύριον ἐν ταῖς μετὰ λόγου δυνάμεσι τὸ μὴ ἐῶν τὰ ἐναντία ποιεῖν, ἀλλὰ θάτερον, οὗ ἂν ὀρέγηται· τοῦτο δ' ἐστὶν ἡ ὄρεξις ἢ προαίρεσις. ὁποτέρου γὰρ ἂν κυρίως ὀρέγηται, τοῦτο καὶ ποιήσει, ὅταν ὡς δύναται ὑπάρχῃ καὶ πλησιάζῃ τῷ παθητικῷ· οἷον εἰ δύναται ὑγιάζειν καὶ νοσάζειν, οὗ ἂν ὀρέγηται, τοῦτο ὡς δύναται ποιήσει ἀλλ' οὐχ ὡς οὐ δύναται· ὥστε πᾶν τὸ κατὰ λόγον δυνατὸν ἀνάγκη, ὅταν ὀρέγηται, οὕτινος ἔχει τὴν δύναμιν καὶ ὡς ἔχει, τοῦτο ποιεῖν. εἰ γὰρ ἔχει δύναμιν τοῦ ὑγιάζειν, τοῦτο καὶ ποιήσει. ἀλλὰ μὴν ἔχει ὁ ἰατρὸς δύναμιν τοῦ ὑγιάζειν· ὥστε παρόντος τοῦ παθητικοῦ, ἤτοι τοῦ ἀνθρώπου, καὶ ὡδὶ ἔχοντος, ἤγουν νοσοῦντος, ὑγιάσοι ἂν αὐτόν. εἰ δὲ μὴ ἔχοι δύναμιν τοῦ ὑγιάζειν, οὐ δύναται ὑγιάσαι. τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ εἰ δὲ μή, ποιεῖν οὐ δυνήσεται. εἰπὼν δὲ ὅτι τὸ δυνατὸν οὗ ἔχει τὴν δύναμιν καὶ ὡς ἔχει ποιήσει πρὸς τὸ παθητικόν, ἐπειδὴ ἔδει προσκεῖσθαι ἐν τῷ προσδιορισμῷ τὸ καὶ μηδενὸς τῶν ἔξωθεν κωλύοντος, ἵν' ᾖ τὸ ὅλον τοιοῦτον, ὅτι τὸ δυνατὸν οὗ ἔχει τὴν δύναμιν καὶ ὡς ἔχει καὶ μηδενὸς τῶν | ἔξωθεν κωλύοντος ποιήσει (εἰ γὰρ ἔχει δύναμιν τοῦ ποιῆσαι, κωλύεται δὲ 548
ὑπό τινος, πάντως οὐ ποιήσει), τοῦτο δὴ εἰπὼν καὶ μὴ προσθείς. ὡς εἴρηται, τὸ καὶ μηδενὸς τῶν ἔξωθεν κωλύοντος, λέγει ὅτι τὸ γὰρ μηδενὸς τῶν ἔξωθεν κωλύοντος προσδιορίζεσθαι οὐδὲν ἔτι δεῖ· εἰπόντες γὰρ ὅτι ὡς ἔχει συμπεριειλήφαμεν καὶ τὸ μηδενὸς τῶν ἔξωθεν κωλύοντος. ὡς γάρ ἐστιν ἡ δύναμις τοῦ ποιεῖν, οὕτως ἔχει αὐτήν· ἔχει δ' οὐχ ὡς

---

1 ταῖς — ψυχαῖς LF: τοῖς — ψυχαί A 4 πλησιάζῃ LF: παρησιάζῃ A 8 λόγου LF: om. A τῶν LF: καὶ τῶν A 15 αὐτό LF: αὐτῷ A 17 τὸ τὸν LF: τὸ om. A 27 ὑγιάσοι ex ὑγιάσῃ corr. L: ὑγιάσει A ἔχει LF 28 οὐ δυνήσεται LF 32 τῶν LF: om. A 34 πάντως οὐ LF: οὐ πάντως A μὴ LFS: om A

ἔτυχε καὶ πάντως, ἀλλ' ὡδί πως ἔχον, ἐν οἷς, τῷ τε ὡς ἔχει καὶ τῷ ὡδί πως ἔχειν, συμπεριείληπται καὶ τὸ μηδενὸς τῶν ἔξωθεν κωλύοντος. ὁ γὰρ λέγων ὅτι τὸ ποιοῦν ποιεῖ ὡς ἔχει καὶ ὡδί πως ἔχον, λέγει καὶ τὸ μηδὲ κωλυόμενον ὑπό τινος· ἔνια γὰρ τῶν προσόντων τῷ προσδιορισμῷ, οἷον τὸ ἔχει ἢ τὸ ὡδί πως ἔχει, συμπεριειλημμένον ἔχει ἐν ἑαυτοῖς τό τε μηδενὸς κωλύοντος μηδὲ ἐμποδίζοντος, καὶ ἀφαιρεῖται ταῦτα, λέγω δὴ τὸ μὴ κωλύειν μηδὲ ἐμποδίζειν, καὶ οὐκ ἐᾷ κεῖσθαι ἐν τῷ προσδιορισμῷ. καὶ ἐπεὶ τὸ ποιοῦν οὕτω ποιεῖ ὡς ἔχει καὶ ὡς δύναται, οὐ ποιήσει ἅμα νόσον καὶ ὑγίειαν ὁ ἰατρός· οὐ γὰρ οὕτως ἔχει τὴν δύναμιν ὥστε ἅμα ταῦτα ποιεῖν, ἀλλὰ ἀνὰ μέρος, ἐπεὶ ὧν ἐστι, τουτέστιν ἐπεὶ ὧν ἔχει δύναμιν ὥστε ἅμα ποιεῖν αὐτά, οὕτω ποιήσει, ἤτοι ἅμα καὶ ὡς ἔχει τὴν τοῦ ποιεῖν αὐτὰ δύναμιν.

p. 1048a25 Ἐπεὶ δὲ περὶ τῆς κατὰ κίνησιν λεγομένης δυνάμεως εἴρηται, περὶ ἐνεργείας διορίσωμεν.

Εἰπὼν περὶ τῆς κατὰ κίνησιν δυνάμεως (αὕτη δὲ ἦν ἡ πρώτη καὶ ἀνείδεος ὕλη), νῦν διορίζει καὶ περὶ ἐνεργείας τί τέ ἐστι καὶ ποῖόν τι. διορίζοντες δέ, φησί, περὶ τοῦ ἐνεργείᾳ ἅμα δῆλον ἔσται καὶ περὶ τοῦ δυνατοῦ ὅτι οὐ μόνον τοῦτο λέγομεν δυνατὸν ὃ πέφυκε κινεῖν ἄλλο· τὸ γὰρ πῦρ (εἰλήφθω δὲ τοῦτο εἰς ὑπόδειγμα) πέφυκε θερμαίνειν, τὸ δὲ ὕδωρ πέφυκε κινεῖσθαι καὶ θερμαίνεσθαι ὑπὸ τοῦ πυρὸς ἢ ὑπ' ἄλλου του θερμαντικοῦ. τὸ δὲ ἢ ἁπλῶς ἢ τρόπον τινὰ πρόσκειται ὅτι εἴρηκεν ἐν τῷ Δ τῆσδε τῆς πραγματείας, ὅτε περὶ τοῦ δυνατοῦ διώριζεν ὁσαχῶς λέγεται, ὅτι τὰ δυνατὰ κινεῖσθαι ἢ ὅταν ἁπλῶς καὶ ὡς ἔτυχεν εἴτε ἐπὶ τὸ χεῖρον καὶ τὴν φθορὰν εἴτε ἐπὶ τὸ κρεῖττον, λέγεται δυνατά, ἢ ὅταν μὲν ἐπὶ τὸ χεῖρον κινῇ, οὐ λέγεται δυνατά, ὅταν δὲ ἐπὶ τὸ κρεῖττον, λέγεται. τὸ οὖν ἁπλῶς εἴρηται ἀντὶ τοῦ ὡς ἔτυχε καὶ ἀδιορίστως, τὸ δὲ τρόπον τινὰ διωρισμένως, εἴτε καὶ ἄλλως. διορίζοντες δή, φησί, περὶ τοῦ ἐνεργείᾳ δῆλον ἔσται ὅτι οὐ μόνον τοῦτο λέγομεν δυνατὸν ὃ πέφυκε 549 κινεῖν ἄλλο ἢ κινεῖσθαι ὑπ' ἄλλου, ἀλλ' ὅτι τὸ δυνατὸν λέγεται καὶ ἑτέρως. διὸ ζητοῦντες, φησί, περὶ τοῦ τοιούτου τοῦ καὶ ἑτέρως δυνατοῦ λεγομένου διήλθομεν καὶ περὶ τούτων τῶν δυνατῶν τῶν πεφυκότων κινεῖν ἢ κινεῖσθαι, ὡς ἐντεῦθεν ἐσομένου κἀκείνου δήλου. ταῦτα εἰπὼν τὰ περὶ τῆς ἐνεργείας διορίζεται, ἔστι, λέγων, ἐνέργεια ὅταν ὑπάρχῃ τὸ πρᾶγμα οὐχ ὥστε μὴ ἐνεργεῖν, δυνάμενον δὲ ἐνεργῆσαι, τὸ δὲ ἐνεργείᾳ, τουτέστιν ἀλλ' ἐκεῖνό ἐστιν ἐνέργεια τὸ οὕτως ἐνεργείᾳ ὂν καὶ ἐνεργοῦν, καθ' ὃ πρότερον μὴ ἐνεργοῦν, δυνάμενον δὲ ἐνεργῆσαι, ἤδη ἐνεργεῖ. οὕτω μὲν

---

1 ὡς ἔχει e S coni. Bonitz: ὡς ἔχειν LF: δυνατῶς ἔχειν A 4 ἔνια LF: ἔνι A 4. 5 fort. τὸ ὡς ἔχει 9 ὁ] ἢ LF 11 καὶ LF: om. A αὐτὰ (ante δύναμιν) LF: om. A 16 διορίζει LF: ὁρίζει A 17 ἅμα LF: μὲν A 20 του Bonitz: τοῦ ALM 21 τὸ δὲ L: τοῦ δὲ A 21. 22 ἐν τῷ Δ] c. 12 p. 1019a21 sqq. 25 fort. κινῆται 31 διήλθομεν] *disseremus* (i. e. διέλθωμεν) S 33 ὅταν ὑπάρχῃ LF: ὅτι ὑπάρχει A: ὅτε ὑπάρχει M Bonitz

οὖν τὸ ἑξῆς ἐστι τῶν λεγομένων καὶ οὕτως ἀναγνωστέον. εἶτα τὸ λέγομεν δὲ δυνάμει οἷον ἐν τῷ ξύλῳ Ἑρμῆν· καὶ εἰσὶ ταῦτα ἐξηγητικὰ τοῦ μὴ οὕτως ὥσπερ λέγομεν δυνάμει· πῶς δὲ λέγομεν τὸ δυνάμει ἐπάγει, οἷον ἐν τῷ ξύλῳ τῷ μὴ ἔχοντι τὸ τοῦ Ἑρμοῦ εἶδός φαμεν ὅτι ἔστιν ἐν αὐτῷ Ἑρμῆς, διότι δύναται δέξασθαι τὸ τοῦ Ἑρμοῦ εἶδος· καὶ ἐν τῇ διαμέτρῳ λέγομεν εἶναι τὴν ἡμίσειαν, ὅτι δύναται ἀπ' αὐτῆς ἀφαιρεθῆναι καὶ εἶναι καθ' ἑαυτὴν ἐνεργείᾳ· καὶ ἐπιστήμονα τὸν μὴ θεωροῦντα, δυνάμενον δὲ θεωρῆσαι. εἰπὼν δὴ ὅτι ἔστιν ἐνέργεια τὸ ὑπάρχειν τὸ πρᾶγμα μὴ οὕτως ὥσπερ λέγομεν δυνάμει καὶ μὴ ἐνεργεῖν. τὸ δὲ ἐνεργείᾳ ὂν καὶ ἤδη ἐνεργοῦν, λέγει ὅτι δῆλον δέ ἐστιν ὃ βουλόμεθα ἐνέργειαν λέγειν ἐπὶ τῶν καθ' ἕκαστα τῇ ἐπαγωγῇ, καὶ οὐ χρὴ παντὸς πράγματος ὅρον ζητεῖν· οὐ γὰρ πάντα τοῖς ὅροις γινώσκομεν, ἐπεὶ μηδὲ πάντων εἰσὶν ὅροι, ὡς δέδεικται ἐν τῷ Ζ τῆσδε τῆς πραγματείας, ἀλλ' ἔνια καὶ δι' ἐπαγωγῆς καὶ δι' ἀναλογίας συνορῶμεν καὶ γινώσκομεν. εἰ δὲ τοῦτο, καὶ τὴν ἐνέργειαν ἐκ τῶν καθ' ἕκαστα καὶ τῆς ἐπαγωγῆς δεῖ γινώσκειν ἀλλ' οὐ δι' ὅρου. ἔστω δὴ σαφηνείας ἕνεκεν ὅτι βουλόμεθα δηλῶσαι τὴν ἐνέργειαν καὶ τὸ ἐνεργεῖν τὸν Σωκράτην περὶ τὸ γράφειν. δηλώσομεν δὴ τοῦτο δι' ἀναλογίας καὶ τῶν κατὰ μέρος οὕτως· ὡς ἔχει τὸ οἰκοδομοῦν καὶ τὸ ἐνεργοῦν ἤδη πρὸς τὸ οἰκοδομικὸν καὶ μὴ ἐνεργοῦν δυνάμενον δὲ οἰκοδομῆσαι, καὶ τὸ ἐγρηγορὸς πρὸς τὸ καθεῦδον καὶ δυνάμενον ἐγρηγορῆσαι, καὶ τὸ ὁρῶν πρὸς τὸ μύον μὲν ὄψιν δὲ ἔχον, καὶ τὸ ἀποκεκριμένον ἐκ τῆς ὕλης πρὸς τὴν ὕλην. ὃ δὴ ἀσαφῶς εἴρηται· δοκεῖ γὰρ λέγειν ὅτι καὶ τὸ χωρισθὲν εἶδος ἐκ τῆς ὕλης, οὐ τοῦτο δέ φησιν· οὐ γὰρ βούλεται οὗτος εἶδος εἶναί ποτε φυσικὸν χωρὶς ὕλης· ἀλλ' ἀποκεκριμένον λέγοι ἂν τὸν ἀνδριάντα, ὡς τύπῳ εἰπεῖν, πρὸς τὸν χαλκὸν τὸν μήπω τὸ τοῦ ἀνδριάντος εἶδος ἔχοντα, δυνάμενον δὲ δέξασθαι τὸ τοῦ ἀνδριάντος εἶδος. καὶ πάλιν ὡς ἔχει τὸ ἀπειργασμένον κιβώτιον πρὸς τὸ ἀνέργαστον ξύλον, δυνάμενον δὲ ἐργασθῆναι καὶ γενέσθαι κιβώτιον. ὡς δὴ ταῦτα ἔχει, ἔστι τέ τι, τουτέστιν οὕτως ἔστι καὶ ὁ Σωκράτης | ὁ γράφων πρὸς τὸν μὴ 550 γράφοντα. τοῦτο δὴ εἰπόντες φανερόν ἐστιν ὡς δεδήλωται ἡ ἐνέργεια τοῦ Σωκράτους, ἣν ἐνεργεῖ, λέγω δὴ τὸ γράφειν. ταύτης δὲ τῆς διαφορᾶς (διαφορὰν λέγων τὴν ἐξ ἀναλογίας συζυγίαν, οἷον ὡς τὸ ὁρῶν πρὸς τὸ μύον καὶ τὸ ἐγρηγορὸς πρὸς τὸ καθεῦδον), ταύτης δὴ τῆς διαφορᾶς θάτερον μόριον ἔστω ἡ ἐνέργεια, τό τε ὁρᾶν καὶ τὸ ἐγρηγορέναι, θάτερον δὲ τὸ δυνατόν, τό τε μύον καὶ τὸ καθεῦδον, ὅτι δύναται τὸ μὲν ἀναβλέψαι τὸ δὲ ἐγρηγορέναι. εἰπὼν δὴ ὅτι τῆς ἐνεργείας οὐ δεῖ ὁρισμὸν ζητεῖν, ἀλλ' ἐξ ἀναλογίας αὐτὴν οἵα ἂν καὶ εἴη δηλοῦν δεῖ, καὶ εἰπὼν ὅπως τοῦτο ποιητέον, λέγει, εἰ καὶ πάντα τὰ ἐνεργείᾳ κατ' ἀναλογίαν λέγειν προσήκει,

---

1 τὸ ἑξῆς LF: τὰ ἑξῆς A 9 καὶ μὴ LF: τὸ μὴ A 13 ἐν τῷ Z] c. 10 p. 1036ᵃ2 sqq. 18 δὴ LF: δὲ A 25. 26 τὸ τοῦ LF: om. A 28. 29 ἔστι τέ τι AL, cf. Metaph. codd. ET: om. F Metaph. vulg. 29 τουτέστιν AF: τ' ἔστι L ὁ γράφων M: om. ALFS 30 τοῦτο — εἰπόντες] ἐκ τούτου δὴ F δὴ LF: δὲ A εἰπόντες AL: εἰπεῖν M 31 δὴ LF: δὲ A 38 λέγειν M: λέγει ALF

πλὴν οὐχ ὁμοίως πάντα λέγεται, ἀλλὰ τὰ μὲν γὰρ ὡς κίνησις πρὸς δύναμιν λέγεται, τὰ δ' ὡς οὐσία πρὸς τὴν ὕλην, οἷον εἰ λέγοι τις, ὡς ὁ βαδίζων πρὸς τὸν καθήμενον. οὕτως Ἀλέξανδρος πρὸς τὸ καταμήνιον. τὸ μὲν γὰρ βαδίζον λέγεται ὡς κίνησις πρὸς δύναμιν, τουτέστιν ὡς πάθος πρὸς πάθος, ὁ δ' Ἀλέξανδρος πρὸς τὸ καταμήνιον ὡς οὐσία πρὸς ὕλην· ὕλη γὰρ τοῦ ἀνθρώπου τὸ καταμήνιον. τὸ δὲ μεταξὺ ἐμβληθὲν τὸ ἀλλ' ἢ τῷ ἀνάλογον ὡς τοῦτο ἐν τούτῳ ἢ πρὸς τοῦτο τόδε ἐν τῷδε ἢ πρὸς τόδε ὑπόμνησίς ἐστι τῆς ἀναλογίας, ὡς εἰ ἔλεγεν ὅτι τὰ ἀνάλογον λεγόμενα (πῶς δὲ λεγόμενα; ὅτι ὡς τοῦτο ἐν τούτῳ, οἷον ὡς ὄψις ἐν ὀφθαλμῷ νοῦς ἐν ψυχῇ, καὶ ὡς ὁ οἰκοδομῶν πρὸς τὸ οἰκοδομούμενον ὁ γράφων πρὸς τὸ γραφόμενον, ἢ πρὸς τοῦτο, οὕτω τοῦτο ἐν τούτῳ ἢ πρὸς τοῦτο) οὐ πάντα ὁμοίως λέγεται, ἀλλὰ τὰ μὲν ὡς κίνησις πρὸς δύναμιν, τὰ δ' ὡς οὐσία πρὸς ὕλην.

p. 1048b9 Ἄλλως δὲ τὸ ἄπειρον καὶ τὸ κενὸν καὶ ὅσα τοιαῦτα, λέγεται.

Ἐπειδὴ οἱ τὸ ἄπειρον εἶναι λέγοντες ἕν τισι δυνάμει ἔλεγον εἶναι (ἐν μὲν γὰρ τοῖς κούφοις σώμασιν ἐνεργείᾳ, ἐν δὲ τοῖς βαρέσι δυνάμει), λέγει ὅτι τὸ δυνάμει καὶ ἐνεργείᾳ ἄλλως λέγεται ὑπάρχειν πολλοῖς τῶν ὄντων, οἷον τῷ ὁρῶντι καὶ βαδίζοντι καὶ μὴ ὁρῶντι καὶ μὴ βαδίζοντι ἄλλως λέγεται ὑπάρχειν τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ. λέγεται γὰρ ὁρᾶν ὁ μὴ ὁρῶν, ὅτι δύναται ἐνεργῆσαι καὶ γενέσθαι ἐνεργείᾳ ὁρῶν· ὁμοίως καὶ ὁρῶν λέγεται μὴ ὁρᾶν, ὅτι δύναται ἐνεργείᾳ γενέσθαι μὴ ὁρῶν. ἄλλως οὖν τὸ δυνάμει ἐν τούτοις λέγεται καὶ ἄλλως ἐν τῷ ἀπείρῳ καὶ κενῷ· λέγεται γὰρ δυνάμει ἄπειρον μέγεθος οὐχ ὅτι δύναται καὶ ἐνεργείᾳ γενέσθαι, ἀλλ' ὅτι δύναται ἐπ' ἄπειρον τέμνεσθαι. δέδεικται γὰρ ἐν τῇ Φυσικῇ ὡς οὔτε ἄπειρόν | ἐστιν ἐν τοῖς οὖσιν οὔτε κενόν. τὸ μὲν γὰρ ὁρώμενον, φησίν, 551
ὅτι ὁρᾶται, τὸ δ' ὅτι ὁρᾶσθαι δυνατόν, τουτέστι τὸ μὲν γὰρ ὁρώμενον λέγεται μὴ ὁρᾶσθαι, ὅτι ὁρώμενον δύναται μὴ ὁρᾶσθαι (οὕτω γὰρ δεῖ τοῦ ῥητοῦ ἀκούειν)· τὸ δὲ μὴ ὁρώμενον λέγεται ὁρᾶσθαι, ὅτι δυνατόν ἐστιν ὁρᾶσθαι. τὸ δ' ἄπειρον οὐχ οὕτως, ὥστε καὶ ἐσόμενον χωριστόν, ἤτοι ἐνεργείᾳ καὶ καθ' αὑτό, ἀλλὰ τῇ γνώσει· νοοῦμεν γὰρ ἐπ' ἄπειρον αὐξόμενον τὸν ἀριθμὸν καὶ τὸ μέγεθος τεμνόμενον, ἐνεργείᾳ δὲ οὐδέποτέ ἐστιν. καὶ τὴν αἰτίαν τοῦ πῶς δυνάμει μὲν ἀεὶ ἔστιν ἐπ' ἄπειρον τέμνεσθαι ἐπάγει λέγων τὸ γὰρ μὴ ὑπολείπειν τὴν διαίρεσιν ἀποδίδωσι τὸ εἶναι δυνάμει ταύτην τὴν ἐνέργειαν, τουτέστι τὸ δύνασθαι ἐνεργεῖν κατὰ τὴν ἐπ' ἄπειρον τομὴν τὰ μεγέθη δίδωσι. τί δέ ἐστι τὸ διδόν;

---

1 γὰρ ὡς scripsi: ὡς γὰρ AL 2 τὴν] τινὰ Metaph. 3 ὁ M: om. AL βαδίζων LFM: βαδίζον A 9 οἷον—γραφόμενον (11) fort. post τοῦτο (12) transponenda sunt 16 post ἄπειρον del. addendum καὶ τὸ κενὸν coni. Bonitz 21 καὶ ὁρῶν] "lege καὶ ὁ ὁρῶν" Bonitz 25 ἐν τῇ Φυσικῇ] Γ 5, Δ 8 30 ὥστε] ὡς coni. Bonitz 33 ἐπ' ἄπειρον M: om. AL 34 τῷ γὰρ Metaph. vulg.

τὸ μὴ ὑπολείπειν τὴν διαίρεσιν. ἐπειδὴ γὰρ οὐχ ὑπολείπει ἐν τοῖς μεγέθεσιν ἡ διαίρεσις, ἀλλ' ὃ ἂν δοθείη δύναται δίχα τέμνεσθαι, ἐπὶ τούτῳ ἡ χορηγία καὶ ἡ πηγὴ τοῦ δύνασθαι ἐπ' ἄπειρον τέμνεσθαι ἐν τοῖς μεγέθεσι. διὸ οὐχ ὑπολείπει τὸ εἶναι δυνάμει ταύτην τὴν ἐνέργειαν, τουτέστι τὸ δύ-
5 ναμιν ἔχειν τὰ μεγέθη ἐνεργεῖν κατὰ τὸ ἐπ' ἄπειρον τέμνεσθαι δίδωσιν οὐδὲν ἄλλο ἢ τὸ τὴν διαίρεσιν μὴ ὑπολείπειν. εἰ μὲν γὰρ ἡ διαίρεσις καὶ τὸ δίχα τέμνεσθαι τὰ μεγέθη ὑπελείπετο, οὐκ ἂν ἐπ' ἄπειρον ἐτέμνετο οὐδ' εἶχε τούτου δύναμιν· ἐπειδὴ δὲ οὐχ ὑπολείπει, διὰ τοῦτο ἐπ' ἄπειρον ἔχει δύναμιν τοῦ τέμνεσθαι. καὶ τοῦτο μέν, φημὶ δὴ τὸ ἐπ' ἄπειρον
10 τέμνεσθαι, δίδωσι τὸ μὴ ὑπολείπειν τὴν διαίρεσιν ἀλλ' ἀεὶ εἶναι διαίρεσιν. τὸ δὲ χωρίζεσθαι καὶ ἐνεργείᾳ εἶναι τὸ ἄπειρον οὐ δίδωσιν.

p. 1048ᵇ35 Τὸ μὲν οὖν ἐνεργείᾳ τί τέ ἐστι καὶ ποῖον, ἐκ τούτων καὶ τῶν τοιούτων δῆλον ἡμῖν ἔστω.

Ἐν τῷ Δ λέγων τὰ σημαινόμενα τῆς δυνάμεως καὶ ἐνεργείας. εἰρη-
15 κὼς ὅτι πότε δὴ τὰ τοιαῦτα καὶ δυνάμει καὶ ἐνεργείᾳ λέγεται καὶ πότε 552
οὔ. ἐν ἄλλοις διοριστέον, νῦν τὰ περὶ τοῦ ἐνεργείᾳ συμπεραναμένος καὶ εἰπὼν τὸ μὲν οὖν ἐνεργείᾳ τί τέ ἐστι καὶ ποῖον, δῆλον ἡμῖν ἐκ τῶν τοιούτων ἔστω, ὅπερ ἐκεῖσε ἐπηγγείλατο εἰπεῖν, νῦν λέγει, ὅτι πότε δυνάμει ἐστὶν ἕκαστον καὶ πότε οὔ, διοριστέον· οὐ γὰρ τὰ
20 τυχόντα λέγεται. καὶ τάχα, εἴ τι συνίημι, τὴν ἑκάστῳ προσεχῆ ὕλην 5
βούλεται δυνάμει λέγειν ἐκεῖνο εἶναι ὃ δύναται, τὴν δὲ πόρρω οὐδαμῶς. ἐρωτᾷ δή, ἆρα ἡ γῆ ἐστι δυνάμει ἄνθρωπος; καὶ ἐρωτήσας ἐπικρίνει λέγων ἢ οὔ, ἤτοι οὐκ ἔστιν, ἀλλὰ μᾶλλον ὅταν γένηται σπέρμα. καὶ οὐδὲ τότε ἐστὶ δυνάμει ἄνθρωπος, ἀλλ' ὅταν ἐν τῷ θήλει καταβληθῇ. καὶ ἴσως
25 οὐδὲ τοῦτο, εἰ μὴ ἐπιτήδειον εἴη τὸ δεξάμενον. ὥσπερ γὰρ οὐ πᾶν ὑπὸ 10
ἰατρικῆς ὑγιασθείη ἂν οὐδὲ ἀπὸ τύχης (οὐ γὰρ δὴ καὶ ξύλα καὶ λίθοι, καὶ διὰ τοῦτο οὔ φαμεν τὰ ξύλα δυνάμει ὑγιαντά), οὕτως οὐδὲ τὴν γῆν

---

4 διὸ M: om. AL 11 post δίδωσιν cod. F add. haec: Ἐπεὶ δὲ τῶν πράξεων. τοῦτο τὸ κεφάλαιον ἐν πολλοῖς λείπει, τέως φησὶ ἐπεὶ τῶν πράξεων ὧν ἐστι πέρας (καὶ τοῦτο λέγει ἢ διὰ τὴν ματαιοπονίαν ἢ διὰ τὴν τοῦ οὐρανοῦ φοράν) οὐδεμίᾳ λέγεται τέλος. ἀλλ' ἐκεῖνο τὸ ἔσχατον, οἷον ἡ περὶ τὸ ἰσχναίνειν πρᾶξις οὐκ ἔστι τέλος, ἀλλ' ἡ ἰσχνασία, τὰ ἰσχναίνοντα δὲ ὅταν ἰσχναίνῃ, οὐ τέλος ἐστὶν ἐν κινήσει· ὥστε μὴ ὑπάρχοντος τοῦ τέλους, οὗ ἕνεκα ἡ κίνησις, οὐκ ἔστι κατὰ τοῦτο ἡ πρᾶξις. ἡ πρᾶξις μὲν λέγεται καὶ αὐτή, ἀλλ' οὐ τελεία γε οὐδὲ τέλος, ἀλλ' ἐν τῇ πράξει ἐνυπάρχει τὸ τέλος. οὐδὲ γὰρ ὑγιάζεται καὶ ὑγίασται τὸ αὐτό, ἀλλὰ τὸ ὑγιάζεται κίνησις ἀτελής, τὸ δὲ ὑγίασται τέλος καὶ πρᾶξις. ὁμοίως καὶ τὸ εὐδαιμονεῖ καὶ εὐδαιμόνηκε, καὶ τὸ εὖ ζῇ καὶ τὸ εὖ ἔζηκε φαίνεται τὸ μὲν κίνησις τὸ δὲ πρᾶξις· οὐκ ἔστι δέ· ἔδει γὰρ παύεσθαι καὶ ταῦτα, καὶ ὁ εὐδαιμονηκὼς πέρας ἂν ἔσχεν (add. τῆς εὐδαιμονίας)· ὡσαύτως καὶ ὁ εὖ ἐζηκὼς τῆς εὐζωίας. ἀλλ' οὐκ ἔστιν ὥσπερ καὶ ἐπὶ τοῦ ἑώρακε καὶ ὁρᾷ καὶ τοῦ νενόηκε καὶ νοεῖ. τὰ γοῦν τοιαῦτα ἐνέργειαν λέγω, ἐκεῖνα δὲ τὸ ὑγιάζεται καὶ τὸ ἰσχναίνει κινήσεις ἀτελεῖς, quae ad proxima Metaph. verba p. 1048ᵇ18—35 spectant: eadem fere ex alio codice nescio quo edidit Brandis; cf. Bonitz p. 551 14 ἐν τῷ Δ] c. 12 17 τέ LF: om. A 25 οὐ πάντα LF

φαμεν. ταῦτα εἰπὼν ἐπειδὴ τινὰ μὲν τῶν δυνάμει ἀπὸ διανοίας εἰς ἐνέρ-
γειαν ἄγεται ὡς τὰ τεχνητά, τινὰ δὲ καὶ ἀπὸ τύχης (τὸ γὰρ δυνάμενον
ὑγιᾶναι ὑγιάναι ἂν καὶ ἀπὸ τύχης), ὑποτίθεται ἡμῖν ὅπως ὁρίζεσθαι χρὴ
οὐ μόνον τὸ ἀπὸ διανοίας εἰς ἐνέργειαν ἄγον τὸ δυνάμενον ἀχθῆναι, ἀλλὰ 15
5 καὶ τὸ γινόμενον. λέγει οὖν ὅτι ὅρος μὲν τοῦ μὲν ἀπὸ διανοίας [ἐν]
ἐντελεχείᾳ γινομένου ἐκ τοῦ δυνάμει ὄντος, τουτέστιν ὁρισθείη ἂν
τὸ ἐκ δυνάμεως εἰς ἐνέργειαν ἰόν, ἐλθὸν δὲ οὐκ ἀπὸ τύχης ἀλλ' ἀπὸ
διανοίας, οὕτωσί. καὶ τοῦτο θεὶς ἐπάγει τὸν ὁρισμὸν ὅταν βουληθέντος
γίνηται μηδενὸς κωλύοντος τῶν ἐκτός· ὥστε εἴποι τις ὅτι τὸ ἀγό-
10 μενον ἀπὸ διανοίας ἐκ τοῦ δυνάμει εἰς ἐντελέχειαν ἐκεῖνό ἐστιν, ὅπερ εἰς
ἐνέργειαν ἄγεται, ὅτε καὶ ἡνίκα βουληθῇ τὸ ἄγον μηδενὸς κωλύοντος τῶν 20
ἐκτός. οἷον ὁ ἰατρὸς ἐκ τοῦ δυνάμει εἰς ὑγίειαν ἄγει τὸν νοσοῦντα, ὅταν
βουληθεὶς οὐδὲν κωλύῃ τῶν ἐκτός, ἢ τόπος ἢ χρόνος ἢ ἄλλο τι. ὅταν
μὲν οὖν ὁρίζηταί τις τὴν ἐνέργειαν τοῦ ποιοῦντος ἀπὸ διανοίας οὕτως ὁρί-
15 σαιτο ἄν· ὅταν δὲ τοῦ παθόντος, οὕτως ὅταν μηδὲν κωλύῃ τῶν ἐν
αὐτῷ. ἐρεῖ γάρ τις ὅτι ἀπὸ διανοίας ὁ νοσῶν ὑγιάζεται, ὅταν οὐδὲν τῶν 25
ἐν αὐτῷ κωλύῃ ὑγιασθῆναι, ἀλλ' ἐπιτηδείως πάντα τὰ ἐν αὐτῷ μέρη ἔχῃ
δέξασθαι τὴν ὑγίειαν. ὁμοίως δυνάμει οἰκία λέγεται τὰ ξύλα καὶ οἱ λίθοι,
ὅταν μηδὲν κωλύῃ τῶν ἐν τούτῳ. τί δὲ σημαίνει τοῦτο, ἐπήγαγε
20 καὶ τῇ ὕλῃ, ἴσον λέγων τῷ ὅτι τότε ταδὶ λέγεται οἰκία δυνάμει, ὅταν
μηδὲν κωλύῃ τῶν ἐν τῇ ὕλῃ, οὐδ' ἔστι τῶν ἐν τῇ ὕλῃ, ὃ δεῖ προσγενέσθαι ἢ 30
μεταβαλεῖν. εἰ γὰρ δεῖ προσγενέσθαι ξύλα ἢ λίθους ἢ εἴπερ πλεονάζει ἀπογε-
νέσθαι ἢ μεταβαλεῖν ὥστε ὄντα ἀργὰ δεῖσθαι τοῦ πρισθῆναι ἢ | λεανθῆναι, 553
οὐ λέγεται οἰκία· εἰ δὲ μηδὲν δεῖ ἐν τῇ ὕλῃ ἢ προσγενέσθαι ἢ ἀπογενέσθαι ἢ
25 μεταβαλεῖν, τότε εἰσί τε καὶ λέγονται δυνάμει οἰκία· καὶ ἐπὶ τῶν ἄλλων
ὁμοίως, ὅσων ἔξωθεν ἡ ἀρχὴ τῆς γενέσεως, ὡς ἐπὶ τῶν τεχνητῶν
ἔχει. καὶ ὅσων ἐν αὐτῷ τῷ ἔχοντι ταύτην τὴν ἀρχήν, ὡς τὰ φυσικὰ
δυνάμει λέγεται, ὅταν μηδενὸς τῶν ἔξωθεν ἐμποδίζοντος ἔσται δι' 5
αὑτοῦ, τουτέστιν ἐνεργεῖ ἀφ' ἑαυτοῦ, εἰ φυσικὸν εἴη, ὃ ἐδύνατο ἐνεργῆσαι·
30 τὸ γὰρ δι' αὑτοῦ οὐ πρὸς ἄμφω ἀπεδόθη καὶ τὰ τεχνητὰ καὶ τὰ φυσικά,
ἀλλὰ πρὸς μόνα τὰ φυσικά. οἷον τὸ σπέρμα (ἔστω δὲ ὁ σῖτος) ὅταν ἐν
τῷ ἀγγείῳ εἴη, οὐ λέγεται δυνάμει στάχυς· δεῖ γὰρ ἐν ἄλλῳ ἤτοι ἐν
τῇ γῇ πεσεῖν καὶ μεταβάλλειν. ὅταν δὲ ἐν τῇ γῇ πέσῃ καὶ ἤδη διὰ τῆς 10
ἐν αὐτῷ φυσικῆς ἀρχῆς ἢ τοιοῦτον, τουτέστι δυνάμενον βλαστάνειν, τότε
35 λέγεται δυνάμει στάχυς. ἐκεῖνο δέ, λέγω δὴ ὁ ἐν τῷ ἀγγείῳ σῖτος,
οὐ λέγεται δυνάμει ἄσταχυς, ὅτι ἑτέρας ἀρχῆς δεῖται οἷον τῆς γῆς, καὶ ἡ
γῆ οὐ λέγεται δυνάμει ἀνδριάς, ὅτι μεταβάλλουσα οὐ γίνεται ἀνδριὰς ἀλλὰ
χαλκός, ὁ δὲ χαλκὸς λέγεται, ὅτι μεταβάλλων γίνεται ἀνδριάς. 15

---

4 ἄγον M: ἄγων AL 5 γινόμενον M Bonitz: λεγόμενον ALF: fort. ἀγόμενον 6 γινομένου LF: γενομένου A 10 ἀπὸ e S coni. Bonitz: ἀντὶ AL ἐκεῖνο LF: om. A 20 ταδὶ LF: τοδὶ A 22 λίθους M: λίθοι ALF 23 ὄντα e S Bonitz: μὴ ὄντα ALF 24 μηδὲν M: μήτε ALF 28 ὅταν] ὅσα Metaph. 29 et 30 αὐτοῦ libri 29 ἐνεργεῖ L: ἐνεργεῖν A 32 et 35 στάχυς F: ὁ στάχυς AL

p. 1049a18 Ἔοικε δ' ὃ λέγομεν οὐ τόδε ἀλλ' ἐκείνινον, οἷον τὸ κιβώτιον οὐ ξύλον ἀλλὰ ξύλινον.

Ἐπειδὴ ἡ ὕλη δυνάμει ἐστὶ τὰ εἴδη καὶ ἑτέρα ἐστὶ τοῦ εἴδους, διὰ τοῦτο οὔ φαμεν τὸ σύνθετον τὴν ὕλην· οὐ γὰρ λέγομεν τὸ κιβώτιον ξύλον, ἀλλὰ παρωνυμιάζοντές φαμεν αὐτὸ ἐκείνινον, οἷον ξύλινον. ἢ οὐ τοῦτο ἂν διὰ τούτου λέγοι, ἀλλ' ὅτι δῆλον ἐκ τούτου ἐστὶν ὡς ἡ πόρρω ὕλη οὐ λέγεται δυνάμει. τί δή ποτε; ὅτι οὐ παρωνυμιάζομεν τὰ πράγματα ἐκ τῆς πόρρω ἀλλ' ἐκ τῆς προσεχοῦς· λέγομεν γὰρ τὸ κιβώτιον ξύλινον ἐκ τῆς προσεχοῦς, ἀλλ' οὐ γήινον ἐκ τῆς πόρρω. ἢ οὐδὲ τοῦτο ἂν εἴη τὸ λεγόμενον, ἀλλ' οἶμαι κανόνα ἡμῖν παραδίδωσιν ὅπως τὴν ἐσχάτην ὕλην γνωριοῦμεν, καὶ ἧς οὐκ ἔστιν ἄλλη προτέρα, δυνάμει λέγων ὅτι ὅσα μὲν ἐξ ἄλλων παρωνυμιάζονται ἐκεῖνα προσεχεῖς εἰσιν ὕλαι, καὶ οὐκ ἔστιν οὐδεμία τούτων ἐσχάτη· εἰς ἣν δὲ καταντήσομεν, ἥτις οὐκ ἐξ ἄλλης παρωνυμιάζεται, αὕτη ἐστὶν ἡ ἐσχάτη. καὶ ὅ τι βούλεται διὰ τούτων λέγειν, δῆλον πεποίηκεν εἰπὼν πάλιν ἡ γῆ εἰ οὕτω μὴ ἄλλο. τουτέστιν πάλιν ἡ γῆ εἰ οὕτως, τουτέστιν εἰ παρωνύμως λέγεται, οἷον ἀέρινος, καὶ οὐ λέγεται ἄλλο, οἷον γῆ ἁπλῶς, ὃ ἄλλο λέγεται καὶ οὐκ ἐκείνινον, τὸ ὕστερον ἁπλῶς καὶ κυρίως ἐκεῖνό ἐστιν. οἷον πρῶτον μὲν ὡς πρὸς τὸ κιβώτιον τὸ ξύλον, ὕστερον δὲ ἡ γῆ· ἀλλ' οὐχὶ καὶ τὸ ἁπλῶς ὕστερον αὕτη ἐστίν, ἀλλ' ἡ ἐσχάτη | ὕλη. εἰ δή, ὥσπερ εἴρηται, ἔστι τι πρῶτον (ὃ γὰρ πρότερον 554 ὕστερον εἶπε, τοῦτο νῦν πρῶτον ἐκάλεσεν ἄλλον τρόπον· κάτωθεν γὰρ ἀρχομένοις πρῶτόν ἐστιν), εἰ ἔστιν οὖν πρῶτόν τι καὶ οὐ κατ' ἄλλο λέγεται οὐδ' ἀπό τινος παρονομάζεται, τοῦτό ἐστιν ἡ πρώτη ὕλη· οἷον ἡ γῆ ἀερίνη, οὗτος δὲ πύρινος, τὸ δὲ πῦρ μὴ κατ' ἄλλο, τὸ πῦρ ἔσται ἡ πρώτη ὕλη τόδε τι οὖσα καὶ μὴ ἀπό τινος λεγομένη. καὶ κατὰ τοῦτο διαφέρει τὸ καθόλου καὶ τὸ ὑποκείμενον (καθόλου λέγων νῦν ἁπλῶς πᾶν τὸ κατηγορούμενον, ἄντε οὐσία ἢ ἄντε συμβεβηκός, ὑποκείμενον δὲ τὴν οὐσίαν) κατὰ δὴ τοῦτο διαφέρει τὸ καθόλου καὶ τὸ ὑποκείμενον τῷ τὸ μὲν ὑποκείμενον εἶναι τόδε τι καὶ λέγεσθαι παρωνύμως ἀπὸ τῶν παθῶν, τὰ δὲ πάθη ἐξ αὐτῶν οὐκέτι. καὶ λέγεται τῆς μουσικῆς γεγονυίας τῇ ψυχῇ ἡ ψυχὴ οὐ μουσικὴ ἀλλὰ μουσικόν, καὶ ὁ ἄνθρωπος οὐ λευκότης ἀλλὰ λευκόν, οὐδὲ βάδισις ἢ κίνησις ἀλλὰ βαδίζον ἢ κινούμενον, καὶ ἁπλῶς ὥσπερ λέγεται τὸ ἐκείνινον, οὕτω δὴ καὶ τὸ λευκὸν κατὰ ταύτην τὴν ἔννοιαν· κἀκεῖνο γὰρ καὶ τοῦτο παρωνύμως λέγεται· τὸ γὰρ λευκὸν ἴσον δύναται τῷ ξύλινον, οἱονεὶ λεύκινον. καὶ ὅσα μὲν οὕτω οἷον λευκὸν ἢ μουσικὸν καὶ ὅλως ὡς τὰ κατὰ πάθος λέγεται, τὸ ἔσχατον καὶ τὸ ὑποκείμενον αὐτοῖς ἐστιν οὐσία. ὅσα δὲ μὴ οὕτως ἀλλ' εἶδος καὶ τόδε τι τὸ κατηγορούμενον. εἰ γὰρ λέγοιμι λευκόν, οὔ φημι εἶδός τι καὶ τόδε τι, εἰ δὲ φαίην ἀνδριάντα, τὸ ἀνδριὰς εἶδός τί ἐστι καὶ τόδε τι, ὁμοίως δὲ καὶ

---

6 ἡ L: om. A 12 προσεχεῖς LF: προσεχῆ A 16 τουτέστιν L: om. A: οὕτως τουτέστιν εἰ om. F 21 ἔσχατον εἶπε LF 23 παρωνυμιάζεται LF 27 ἢ M: ἐστὶν A: εἴη LF 29 εἶναι LF: om. A 33 δὴ LF: om. A 39 ἀνδριάντα Bonitz: ἀνδριὰς ALFM

⟨εἰ⟩ εἰκόνα καὶ οἰκίαν. τὰ δ' ὑποκείμενα τῷ ἀνδριάντι ἢ τῇ οἰκίᾳ ἢ τῇ εἰκόνι οὐχ ὡς εἴδη ὑπόκειται αὐτοῖς ἀλλ' ὡς ὕλη καὶ ὑλικὴ οὐσία. καὶ ὅρα δὴ τὴν διαφορὰν τῶν ὡς εἴδη λεγομένων πρὸς τὴν τῶν ὡς πάθη, ὅτι ἐπὶ μὲν τῶν παθῶν λέγεται τὰ ὑποκείμενα ἀπ' αὐτῶν (ἀπὸ γὰρ τῆς μουσικῆς μουσικὸς καὶ ἀπὸ τοῦ λευκοῦ λευκός), τὰ δὲ πάθη ἀπὸ τῶν ὑποκειμένων οὐ λέγεται εἰ μὴ κατὰ συμβεβηκός· φαμὲν γάρ ποτε τὸ λευκὸν ἄνθρωπον εἶναι κατὰ συμβεβηκός, καθ' αὑτὸ δ' οὔ· ἀνάπαλιν δὲ ἐπὶ τῶν ὡς εἴδη λεγομένων τὰ μὲν εἴδη λέγεται ἀπὸ τῆς ὕλης καὶ τοῦ ὑποκειμένου· φαμὲν γὰρ τὸν ἀνδριάντα χαλκοῦν, ἀλλ' οὐ τὸν χαλκὸν ἀνδριάντα, καὶ τὸ κιβώτιον ξύλινον, ἀλλ' οὐ τὸ ξύλον κιβώτιον. ταῦτα εἰπὼν ἐπιφέρει ὅτι ὀρθῶς τὸ ἐκείνινον λέγεται κατὰ τὴν ὕλην καὶ τὰ πάθη· ἐπειδὴ γὰρ καὶ τὰ πάθη ὑπὸ τοῦ ὑποκειμένου ὁρίζεται (καθ' αὑτὸ γὰρ τὸ λευκὸν ἀόριστόν ἐστιν· οὐδὲ γὰρ ὅλως δύναται χωρίς τινος ὑποκειμένου εἶναι), ὁμοίως δὲ καὶ ἡ ὕλη ὑπὸ τοῦ εἴδους, εὐλόγως κατὰ θατέρου λεγόμενον τὸ ἐκείνινον λέγεται καὶ κατὰ θατέρου.

p. 1049ᵇ4 Ἐπεὶ δὲ τὸ πρότερον διώρισται ποσαχῶς λέγεται. 555

Τὸ προκείμενόν ἐστι δεῖξαι ὡς ἡ ἐνέργεια τῆς δυνάμεως προτέρα ἐστὶ καὶ λόγῳ (λόγον λέγων τὴν γνῶσιν) καὶ χρόνῳ καὶ φύσει. καὶ λέγει ὅτι ἐπειδὴ διώρισται πρότερον (ἐν τῷ Δ γὰρ τοῦτο διώρισται ταύτης τῆς πραγματείας), ὁσαχῶς λέγεται τὸ πρότερον, φανερὸν ὅτι ἡ ἐνέργεια τῆς δυνάμεως προτέρα ἐστίν, οὐ μόνον τῆς ὁρισθείσης δυνάμεως πρὸ ὀλίγου, ἥ τις ἐλέγετο ὅτι δύναμίς ἐστιν ἀρχὴ μεταβλητικὴ ἐν ἄλλῳ ᾗ ἄλλο, ἀλλ' ὅλως ἡ ἐνέργεια πάσης ἀρχῆς κινητικῆς ἢ στατικῆς προτέρα ἐστίν. ἀρχὴν δὲ κινητικὴν καὶ στατικὴν τὴν φύσιν λέγει· οὕτω γὰρ αὐτὴν ἐν τῇ Φυσικῇ ὡρίσατο, ὅτι ἀρχὴ κινήσεως καὶ ἠρεμίας, ἐν ᾧ πρώτῳ καθ' αὑτὸ πέφυκε καὶ μὴ κατὰ συμβεβηκός. εἰπὼν δὲ τὴν φύσιν ἀρχὴν κινητικήν, καὶ πρότερον τὴν δύναμιν ἀρχὴν κινητικήν, ἐπήγαγε καὶ γὰρ ἡ φύσις ἐν ταὐτῷ γένει τῇ δυνάμει. ὡς εἰ ἔλεγε 'καὶ γὰρ ἡ φύσις καὶ ἡ δύναμις ἀρχαὶ κινητικαί.' ἔδει δὲ εἰπεῖν ὅτι ἡ ἐνέργεια καὶ τῆς φύσεώς ἐστι προτέρα· ἀλλ' ἐπειδὴ καὶ ἡ δύναμις καὶ ἡ φύσις ὡς ἐν γένει εἰσί, καὶ γένος ἐστὶν ἡ ἀρχὴ ἡ κινητικὴ τῆς τε δυνάμεως καὶ τῆς φύσεως, ἀντὶ τοῦ φάναι φύσεως εἴρηται ἀρχῆς κινητικῆς. διαφέρει δὲ δυνάμεως ἡ φύσις, ὅτι ἡ δύναμις ἐν ἄλλῳ οὖσα ᾗ ἄλλο ἐν ἐκείνῳ ἐστίν, ἡ δὲ φύσις ἐν ᾧ ἐστιν οὐχ ᾗ ἄλλο ἐν ἐκείνῳ ἐστίν, ἀλλ' ᾗ αὐτὸ καὶ καθ' αὑτό· ἡ γὰρ Δίωνος φύσις ᾗ τοιοῦτός ἐστιν ὑπάρχει ἐν αὐτῷ καὶ καθ' αὑτό. ἔστιν οὖν, φησί, πάσης δυνάμεως τῆς τε ὁρισθείσης καὶ τῆς φύσεως (δύναμιν λέγων καὶ τὴν φύσιν διὰ τὸ ἐν τῷ αὐτῷ γένει εἶναι τῆς δυνάμεως, ὥσπερ εἴρηται) ἡ ἐνέργεια προτέρα καὶ λόγῳ καὶ φύσει. τῷ δὲ χρόνῳ τρόπον μέν τινά ἐστι

1 εἰ addendum censet Bonitz 14 καὶ F: om. AL 18 πρότερον LF: om. A ἐν τῷ Δ] c. 11 23 ἐν τῇ Φυσικῇ] B 1 p. 192ᵇ21 sqq. 25 φύσιν L: φυσικὴν A 27 ταὐτῷ γίγνεται· ἐν ταὐτῷ γὰρ γένει Metaph. vulg. καὶ γὰρ — κινητικαί (28) M: om. AL 28 δὲ M: om. AL 29 ὡς ἐν γένει L: ἐν om. A: ἐν ταὐτῷ γένει coni. Bonitz 34. 35 φησί, πάσης L: om. A

προτέρα, τρόπον δέ τινα ὑστέρα. καὶ τέως ὅτι τῷ λόγῳ προτέρα ἐστὶ δείκνυσιν ὧδε. τὸ πρώτως, φησί, δυνατόν. τουτέστιν ἡ προσεχὴς δύναμις ἤτοι ἡ προσεχὴς ὕλη, δυνατὴ λέγεται διὰ τὸ ἐνδέχεσθαι ἐνεργῆσαι· δυνατὸν γὰρ φαμεν τὸν χαλκὸν γενέσθαι ἀνδριάντα, ὅτι δύναται ἐνεργείᾳ γενέσθαι ἀνδριάς· ὁμοίως οἰκοδομικὸν λέγεται τὸ δυνάμενον οἰκοδομεῖν καὶ ἐνεργεῖν περὶ τοῦτο, καὶ ὁρατικὸν τὸ ἐνεργεῖν δυνάμενον περὶ τὸ ὁρᾶν καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. εἰ οὖν ἡ δύναμις τῇ ἐνεργείᾳ γινώσκεται, ἀνάγκη τὸν λόγον καὶ τὴν γνῶσιν προϋπάρχειν τῆς ἐνεργείας τοῦ λόγου καὶ τῆς γνώσεως τῆς δυνάμεως. τὸ γὰρ δι' οὗ τι διδάσκεται πρότερόν ἐστι τοῦ διδασκομένου, ὡς τὸ αἴτιον τοῦ αἰτιατοῦ. ὅτι δὲ πρότερον φανερόν· ἐπειδὴ γὰρ φαμεν ὅτι δυνατόν ἐστι τὸ δυνάμενον ἐνεργῆσαι, καὶ διὰ τῆς ἐνεργείας τὴν δύναμιν | σαφῆ ποιεῖν σπεύδομεν, δῆλον ὡς γνωριμωτέραν καὶ προτέραν οὖσαν τῆς δυνάμεως λαμβάνομεν τὴν ἐνέργειαν εἰς τὴν γνῶσιν τῆς δυνάμεως, ὅτι πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης γίνεται γνώσεως, ὡς ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς ἐμάθομεν.

p. 1049b17 Τῷ δὲ χρόνῳ πρότερον ὧδε· τὸ τῷ εἴδει τὸ αὐτὸ ἐνεργοῦν πρότερον.

Δείξας ὅτι τῷ λόγῳ προτέρα ἐνέργεια δυνάμεως δείκνυσιν ὅτι τῷ χρόνῳ τρόπον μέν τινά ἐστιν ἐνέργεια δυνάμεως προτέρα, τρόπον δέ τινα οὐκ ἔστιν. λαμβάνει δὲ εἰς τὴν τούτου δεῖξιν λίαν ὁμολογούμενον καὶ ἐναργὲς ἀξίωμα ἢ λῆμμα, ὅτι τὸ τῷ εἴδει τὸ αὐτὸ ἐνεργοῦν πρότερόν ἐστιν. ὁ γὰρ Σωφρονίσκος ὁ τὸν Σωκράτην ἐνεργήσας, τουτέστι ποιήσας, τῷ εἴδει ὄντα τὸν αὐτὸν τῷ Σωφρονίσκῳ ἀλλ' οὐ τῷ ἀριθμῷ, πρότερός ἐστι Σωκράτους· ὁ γὰρ Σωφρονίσκος καὶ ὁ Σωκράτης τῷ μὲν εἴδει οἱ αὐτοί εἰσι, τῷ δ' ἀριθμῷ οὔ. τὸ μὲν οὖν τῷ εἴδει τὸ αὐτὸ ἐνεργοῦν, ὥσπερ εἴρηται, πρότερον, τὸ δὲ γεγονός, ἓν ὂν καὶ ταὐτὸν τῷ ἀριθμῷ, ὕστερον. ἀλλὰ καὶ ὁ σῖτος ὁ καταβληθεὶς ἐν τῇ γῇ καὶ ποιήσας ἕτερον σῖτον τῷ εἴδει ὄντα τὸν αὐτὸν τῷ ποιήσαντι πρότερός ἐστι τοῦ ποιηθέντος, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. τοῦτο προληφθὲν λέγει ὅτι εἰ μὲν ὡς πρὸς τὸ γεγονὸς καὶ τὸ ποιηθὲν ἀποβλέψειέ τις, ἐστὶ τὸ σπέρμα καὶ ἡ ὕλη καὶ ὅλως ἡ δύναμις (δύναμιν γὰρ τὴν ὕλην λέγει) προτέρα τῷ χρόνῳ τοῦ εἴδους καὶ τῆς ἐνεργείας. τὸ γὰρ σπέρμα καὶ τὸ καταμήνιον, ἅπερ δυνάμει ἦσαν Σωκράτης, ἐνεργείᾳ δὲ οὔπω, πρότερά εἰσι τῷ χρόνῳ τοῦ Σωκράτους, καὶ τουδὶ τοῦ σίτου ἡ ὕλη, ἥτις ἦν δυνάμει ὅδε ὁ σῖτος, πρότερα ἦν τῷ χρόνῳ αὐτοῦ. εἰ μὲν οὖν, ὡς εἴρηται, πρὸς τὴν ὕλην ἐπιβλέψειέ τις καὶ τὴν δύναμιν, εὑρήσει τὴν δύναμιν ἐνεργείας προτέραν. ἐπεὶ δὲ τὸ σπέρμα ἐξ ἐνεργείᾳ ὄντος ἀνθρώπου γέγονε καὶ τὸ ὁρατικὸν ἐκ τοῦ ἐνεργείᾳ ὁρῶντος καὶ τὰ λοιπὰ ὡσαύτως, ἐστὶν ἡ ἐνέργεια δυνάμεως προτέρα τῷ χρόνῳ. ἀλλὰ τούτων, φησί, λέγων τούτων τῶν ὑλῶν καὶ δυνάμεων, ἐστὶ προτέρα

15 ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς] A 1 vulg. 16 ὧδε] sic etiam Metaph. A$^{b}$: om. Metaph. 39 καὶ δυνάμεων LF: om. A

τῷ χρόνῳ ἑτέρα ἐνέργεια, ἐξ ὧν ἐνεργειῶν γεγόνασιν αἱ δυνάμεις. ἀεὶ γὰρ ἐκ τοῦ σπέρματος καὶ τοῦ καταμηνίου, ὄντων δυνάμει ἄνθρωπος, γίνεται ὁ ἐνεργείᾳ ἄνθρωπος, ἀλλὰ πάλιν τὸ σπέρμα καὶ τὸ καταμήνιον ὑπὸ ἐνεργείᾳ ἀνθρώπων γίνεται· ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου ἐνεργείᾳ γίνεται 30
5 καὶ μουσικὸς ὑπὸ μουσικοῦ, καὶ ἀεὶ τὰ γινόμενα ἐκ κινοῦντός τινος | πρώτου γίνεται. εἴρηται δὲ ἐν τῷ Ζ (ἐκεῖσε γὰρ περὶ οὐσίας εἶπεν) ὅτι 557 πᾶν τὸ γινόμενον ἔκ τινος γίνεταί τι, καὶ τοῦτο τὸ γινόμενον φυσικῶς ἀλλ' οὐ τεχνητῶς τῷ εἴδει ἐστὶ τὸ αὐτὸ τῷ κινοῦντι· ὥστε καὶ προτέρα ἐνέργεια δυνάμεως. εἰ δὲ πᾶν τὸ γινόμενον τὶ γίνεται καὶ ὑπό τινος πρώτου
10 κινοῦντος, ἀδύνατόν ἐστιν οἰκοδόμον εἶναι μὴ οἰκοδομήσαντα μηδὲν ἢ 5 κιθαριστὴν μὴ κιθαρίσαντα· ὁ γὰρ μανθάνων κιθαρίζειν κιθαρίζων μανθάνει κιθαρίζειν. ἐξ οὗ, λέγω δὴ ἐκ τοῦ πᾶν τὸ γινόμενον ἐκ κινοῦντος πρώτου καὶ ἐνεργείᾳ ὄντος γίνεσθαι, οἱ σοφιστικοὶ ἔλεγχοι ἐγίνοντο. ἠρώτων γὰρ οἱ σοφισταί, μᾶλλον δὲ καὶ νῦν ἐρωτῶσιν, ἆρά γε
15 ὁ μὴ ἔχων ἐπιστήμην τινὸς ποιήσει τὴν ἐπιστήμην; καὶ τὸ μὲν πρότερον σημαινόμενον τῆς ἐπιστήμης ἐλάμβανον ἐπ' αὐτῆς τῆς ἐν τῇ ψυχῇ ἕξεως. 10 τὸ δὲ 'ποιήσει τὴν ἐπιστήμην,' ἐπιστήμην ἐνταῦθα τὸ ἐπιστητὸν λέγοντες τὸ κατὰ τὴν ἐπιστήμην λεγόμενον. κοινότερον δὲ νῦν καὶ τὰς τέχνας ἐπιστήμας εἴρηκεν. ἠρώτων οὖν οὕτως, καὶ ἀπεκρίναντο οἱ προσδιαλεγό-
20 μενοι ὅτι οὐ ποιήσει· ὁ γὰρ μὴ ἔχων τὴν τοῦ ποιεῖν ἀνδριάντα ἐπιστήμην οὐκ ἂν ποιήσειεν ἀνδριάντα. οὕτω δὴ τὸν λόγον ἐρωτῶντες οἱ σοφισταὶ 15 καὶ λαμβάνοντες παρὰ τῶν προσδιαλεγομένων ὅτι οὐ ποιήσει τὸ τῆς ἐπιστήμης ὁ μὴ ἔχων τὴν ἐπιστήμην, ἐπῆγον ὅτι ὁ μανθάνων κιθαρίζειν μὴ ἔχων τὴν τοῦ κιθαρίζειν ἐπιστήμην κιθαρίζει· εἰ γὰρ εἶχεν, οὐκ ἂν ἐμάν-
25 θανεν· ὁ ἄρα μὴ ἔχων τινὸς ἐπιστήμην καὶ ποιήσει καὶ οὐ ποιήσει τὸ τῆς ἐπιστήμης· ὅπερ ἄτοπον. καὶ λύει τὸ σόφισμα λέγων ὅτι ἀλλὰ διὰ τὸ τοῦ γινομένου γεγενῆσθαί τι καὶ ὅλως τοῦ κινουμένου 20 κεκινῆσθαι, καὶ προσυπακουστέον τοῦ δεῖξαι ἡμᾶς, ἵν' ᾖ τὸ πᾶν τοιοῦτον· ἀλλὰ διὰ τὸ δεῖξαι ἡμᾶς ὅτι παντὸς τοῦ γινομένου καὶ κινου-
30 μένου γεγενῆσθαί τι καὶ κεκινῆσθαι λύεται τὸ σόφισμα. ἔδειξε γὰρ ἐν τοῖς τελευταίοις τῆς Φυσικῆς ἀκροάσεως βιβλίοις (ἐκεῖνα γὰρ Περὶ κινήσεως λέγει) ὅτι πᾶν τὸ κινούμενον πρότερον κεκίνηται καὶ πᾶν τὸ κεκινημένον πρότερον ἐκινήθη. εἰ δὲ τοῦτο, καὶ ὁ μανθάνων κιθαρίζειν κιθαρίζων 25 πρότερον κεκιθάρικεν· τὸ δὲ κεκιθαρικέναι τὸ ἠρεμῆσαί ἐστιν ἕν τινι μέρει
35 τῆς κιθαρίσεως, ὥστε ἔχων τι πρότερον εἰ καὶ μὴ τὸ πᾶν τῆς ἐπιστήμης κιθαρίζει, καὶ ὅλως ἐκεῖνο ὃ ποιεῖ ἔχει εἰ καὶ ἄρρυθμόν ἐστιν. οὐκ ἄρα ὃ οὐκ ἔχει ποιεῖ ἀλλ' ὅπερ ἔχει. ὥστε, φησί, δῆλον καὶ ἐκ τούτων ὅτι ἡ ἐνέργεια προτέρα δυνάμεως κατὰ γένεσιν καὶ χρόνον. ἐν γὰρ τῷ γίνεσθαι προηγεῖται τὸ γεγενῆσθαι, ὅπερ ἐστὶ τέλος τινὸς γενέσεως. 30

---

1. 2 εἰ γὰρ καὶ ἀεὶ e S coni. Bonitz 2 ὄντων L fort. ἀνθρώπου
3. 4 ὑπὸ ἐνεργείᾳ e S Bonitz: ὑπὸ ἐνεργείας AL 6 ἐν τῷ Z] c. S 21 δὴ LF: δὲ A 31 τῆς Φυσικῆς ἀκροάσεως] Z 6 p. 236b32 sqq. 36 ἄρρυθμον Bonitz: ἄρυθμον AL: ἀριθμόν M

p. 1050a4 Ἀλλὰ μὴν καὶ οὐσίᾳ γε, πρῶτον μὲν ὅτι τὰ τῇ γενέσει ὕστερα τῷ εἴδει καὶ τῇ οὐσίᾳ πρότερα.

Δείκνυσιν ὅτι ἡ ἐνέργεια καὶ τῇ φύσει καὶ τῷ τέλει προτέρα ἐστὶ δυνάμεως. δείκνυσι δὲ τοῦτο κατηγορικῶς ἐν | πρώτῳ σχήματι ὧδε· ἡ 558
5 ἐνέργεια γενέσει ὑστέρα ἐστί, τὰ τῇ γενέσει ὕστερα τῇ φύσει καὶ τῷ τέλει πρότερα· ἡ ἐνέργεια ἄρα τῷ εἴδει καὶ τῇ οὐσίᾳ καὶ τῷ τέλει προτέρα ἐστίν. ὅτι δὲ τὰ τῇ γενέσει ὕστερα τῇ φύσει πρότερα φανερόν. ὡς γὰρ ὁ οἰκοδόμος πρότερον τὸ τῆς οἰκίας εἶδος ἀνατυποῖ παρ' ἑαυτῷ καὶ οὕτω καταβάλλεται θεμέλιον καὶ τοίχους καὶ ὄροφον, οὕτω καὶ ἡ φύσις σκοπὸν 5
10 ἔχουσα ἄνδρα, εἰ τύχοι, ποιῆσαι (ἕνεκα γάρ του ποιεῖ, ὡς ἐν τῷ Γ τῆς Φυσικῆς ἀκροάσεως δέδεικται) πρότερον μὲν σπέρμα καὶ καταμήνιον, εἶτα καρδίαν, εἶτα ἧπαρ, εἶτα σάρκας, νεῦρα, ὀστᾶ, εἶτα βρέφος, εἶτα παῖδα, εἶτα ἔφηβον, εἶτα ἄνδρα ποιεῖ· ὥστε τὰ τῇ γενέσει ὕστερα τῇ φύσει πρότερα, τὰ δὲ τῇ φύσει ὕστερα, σπέρμα καὶ καταμήνιον, ἡμῖν πρότερα. 10
15 ἔστιν οὖν τῇ φύσει ὁ μὲν ἀνὴρ πρότερος παιδὸς καὶ παῖς σπέρματος. ἀλλ' ὁ μὲν παῖς ἤδη ἔχει τὸ εἶδος καὶ τὴν ἐνέργειαν, καὶ τὸ σπέρμα οὐκ ἔχει ἀλλὰ δύναται. δείκνυσι δὲ τὸ αὐτὸ τοῦτο καὶ ἄλλως, λέγων, οὗ ἕνεκα πάντα γίνεται, τοῦτο τέλος ἐστίν, ⟨καὶ⟩ ὡς ἐπ' ἀρχὴν καὶ πρότερον πρὸς τοῦτο τὰ γινόμενα βαδίζει· πάντα δὲ ἕνεκα τῆς ἐνεργείας γίνεται· ἡ ἐνέργεια 15
20 ἄρα καὶ τέλος καὶ προτέρα δυνάμεως. εἰ οὖν ἡ γένεσις ὁδός ἐστιν ἀπὸ τοῦ δυνάμει εἰς ἐνέργειαν καὶ ἕνεκα τῆς ἐνεργείας ἐστίν, ἡ δ' ἐνέργεια τὸ οὗ ἕνεκα καὶ τέλος, τὸ δὲ τέλος ἀρχὴ καὶ πρότερον (διὰ γὰρ τὴν ἐνέργειαν ἡ δύναμις καὶ ἡ γένεσις), δῆλον ἄρα ὅτι ἡ ἐνέργεια καὶ τῷ τελείῳ δυνάμεώς ἐστι προτέρα. ὅτι δὲ ἕνεκα τῆς ἐνεργείας ἡ δύναμίς ἐστι, καὶ ἐπὶ 20
25 τούτῳ ἡ ἐνέργεια δυνάμεως προτέρα (τὸ γὰρ οὗ ἕνεκα ὡς τέλειον πρότερον τοῦ ἕνεκά του), δῆλον. ἔχουσι γὰρ τὰ ζῷα τὴν ὄψιν ἤτοι τὴν ὀπτικὴν δύναμιν ἕνεκα τοῦ ὁρᾶν καὶ ἐνεργεῖν, οὐ μὴν ὁρῶσι καὶ ἐνεργοῦσιν. ἵνα ὄψιν ἤτοι δύναμιν ἔχωσιν. ὁμοίως δὲ τὴν δύναμιν τοῦ οἰκοδομεῖν (αὕτη δ' ἐστὶν ἡ οἰκοδομική) ἔχουσιν, ἵνα οἰκοδομῶσιν, ἀλλ' οὐκ οἰκοδομοῦσιν
30 καὶ τὴν ἐνέργειαν ἔχουσιν, ἵνα οἰκοδομικὴν ἔχωσιν· καὶ τὴν θεωρητικήν, 25
ἵνα θεωρῶσιν, ἀλλ' οὐ θεωροῦσιν, ἵνα θεωρητικὴν ἔχωσιν. ἐπειδὴ δὲ οἱ μελετῶντες θεωροῦσιν ἵνα δυνηθῶσι θεωρεῖν, ἔμελλέ τις λέγειν ὡς αὕτη ἡ περὶ τὸ μελετᾶν ἐνέργεια ἕνεκα τῆς περὶ τὸ δύνασθαι θεωρεῖν δυνάμεώς ἐστι· ψεῦδος ἄρα ὡς αἱ δυνάμεις ἕνεκα τῶν ἐνεργειῶν εἰσιν, ἀλλ' αὗται
35 μᾶλλον διὰ τὰς δυνάμεις, καὶ εἰ τοῦτο, προτέρα ἡ δύναμις τῆς ἐνεργείας· τὸ γὰρ οὗ ἕνεκα πρότερον τοῦ ἕνεκά του. ἐπειδὴ οὖν | ταῦτα πρὸς τὰ 559
λεγόμενα ἀντέπιπτε, λύων φησίν, ὡς οἱ μελετῶντες οὐ θεωροῦσιν· εἰ μὲν

---

3 τῷ L: om. A 5 γενέσει (ante ὑστέρα) e S Bonitz: γενέσεως AL 10 του L: τούτου A 10. 11 ἐν τῷ Γ τῆς Φυσικῆς ἀκροάσεως] immo B S 18 καὶ e S addendum censet Bonitz 20 ὁδός Brandis: εἶδος AL 23 ante τελείῳ add. εἴδει καὶ τῷ L 30. 31 καὶ τὴν θεωρητικήν — ἔχωσιν LFS: om. A 32 θεωροῦσιν] ἐνεργοῦσιν LF

γὰρ ἐθεώρουν, δυνατὸν ἦν λέγειν ὅτι θεωροῦσιν, ἵνα τὴν τοῦ δύνασθαι θεωρεῖν δύναμιν σχήσουσιν, ἐπειδὴ δὲ οὐ θεωροῦσιν, οὐκ ἔστι τοῦτο λέγειν. λύσας οὖν αὐτὴν κατὰ ἔνστασιν λύει αὐτὴν καὶ κατὰ ἀντιπαράστασιν, λέγων ἀλλ' ἢ ὡδί, τουτέστιν οἱ μελετῶντες ἢ τρόπον τινὰ θεωροῦσιν, ἢ ὅτι οὐ δέονται τοῦ θεωρεῖν· ὃ ἴσον ἂν εἴη τῷ ἢ οὐ δέονται τῆς κατὰ μελέτην θεωρίας, ἀλλὰ καὶ αὕτη ἡ κατὰ τὴν μελέτην θεωρία, ἀτελὴς οὖσα καὶ σχεδὸν μηδέν, ἕνεκα τῆς τελειοτάτης καὶ κυριωτάτης γίνεται θεωρίας. ἔτι ἡ ὕλη δυνάμει ἐστὶ καὶ λέγεται, ὅτι δύναται εἰς τὸ εἶδος ἐλθεῖν· ὅταν δὲ ἔλθῃ καὶ ἐνεργείᾳ ᾖ, ἐν τῷ εἴδει ἵσταται, ὥστε κἂν τούτῳ προτέρα ὡς ἐφετὸν καὶ τάσσον καὶ εἰς κόσμον ἄγον δυνάμεως. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, φησί, καὶ ὧν τὸ τέλος κίνησις· τῆς γὰρ ἀρχηστικῆς τὸ τέλος οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ τοιωσδὶ κινεῖσθαι· καὶ ἐπὶ τούτων δὴ ἐνέργεια δυνάμεως προτέρα. διόπερ ὥσπερ οἱ διδάσκοντες τὸν μανθάνοντα τότε οἴονται εἰς τέλος τῆς ἐπιστήμης ἐλθεῖν καὶ τέλος ἀποδεδωκέναι, ὅταν αὐτὸν κατὰ τὴν ἐπιστήμην ἐνεργοῦντα ἀποδείξωσιν (ἡ γὰρ ἐνέργεια τὸ ἔργον, τὸ δὲ ἔργον τὸ τέλος, ἡ ἐνέργεια ἄρα τὸ τέλος· ὥστε ὅταν ἐνεργῇ, τότε οἴονται τὸ τέλος ἔχειν· οὕτω γάρ ἐστι τὸ ἑξῆς τῆς λέξεως), οὕτω καὶ ἡ φύσις τότε οἴεται τὸ γενόμενον τέλος ἀπειληφέναι, ὅταν εἰς τὴν ἐνέργειαν ἔλθῃ. τὸ δὲ εἰ γὰρ μὴ οὕτω γένηται, ὁ Πάσωνος ἔσται Ἑρμῆς, συνεχές ἐστι τῷ διὸ ὥσπερ οἱ διδάσκοντες ἐνεργοῦντα ἐπιδείξαντες. καὶ εἴη ἂν ὃ λέγει τοιοῦτον. εἰ γὰρ μὴ οὕτω γένηται, τουτέστιν, εἰ μὴ οἱ διδάσκοντες ἐνεργοῦντα ἐπιδείξωσι τὸν μανθάνοντα, ἀλλὰ φάσκωσιν ὡς ἐδιδάχθη παρ' αὐτῶν, κἂν μὴ ἐνεργῇ, ἄδηλόν ἐστιν εἴτε ἔχει τὴν ἐπιστήμην εἴτε καὶ μή· ἐκ γὰρ τῶν ἔργων κρίνομεν πάντα τεχνίτην καὶ ἐπιστήμονα· εἰ γὰρ μὴ ἐνεργεῖ, πόθεν δῆλον ὅτι ἔχει τὴν ἐπιστήμην; ἄδηλον γὰρ εἴτε ἐντὸς ἔχει αὐτὴν εἴτε ἐκτός, τουτέστιν εἴτε ἔχει εἴτε μὴ ἔχει, ὡς καὶ ὁ Πάσωνος Ἑρμῆς· ἄδηλον γὰρ εἴτε ἐντός ἐστι τοῦ λίθου εἴτε ἐκτός. ἡ δὲ κατὰ τὸν Πάσωνα ἱστορία, ὅτῳ φίλον καὶ ταύτην εἰδέναι, τοιαύτη τίς ἐστιν. οὗτος ὁ Πάσων ἑρμογλύφος ὢν πεποίηκεν ἕν τινι λίθῳ τὸ τοῦ Ἑρμοῦ εἶδος, καὶ ἑωρᾶτο ἐν τῷ λίθῳ ὁ Ἑρμῆς· εἴτε δὲ ἐκτὸς ἦν τοῦ λίθου εἴτε ἐντός, οὐ δῆλον ἦν. ἐκτὸς μὲν εἶναι λέγειν οὐχ οἷόν τε ἦν· εἰ γὰρ ἦν ἐκτός, ἔδει τὸν λίθον ἐγκεκολαμμένον εἶναι καὶ ἔχειν ἀνωμαλίας, οὗτος δὲ ἅπας λειότατος ἦν, ὥσπερ τὰ κάτοπτρα. διὰ τοῦτο μὲν οὖν ἐκτὸς εἶναι οὐκ ἦν δυνατὸν λέγειν. ἀλλὰ μὴν οὐδ' ἐντός· εἰ μὲν γὰρ εἶχεν ἁρμονίας ἢ ὅλως ἐφαρμογάς τινας ὁ λίθος ἐν ᾧ ἦν τὸ τοῦ Ἑρμοῦ | εἶδος, πρόχειρον ἦν λέγειν ὅτι ἐν ἑτέρῳ λίθῳ τὸν Ἑρμῆν πεποιηκὼς ἐκτὸς ἐπέθηκε τοὺς λειοτάτους λίθους καὶ ἀπέκλεισε τὸν Ἑρμῆν ἐντός, ὁρᾶται δὲ διὰ τὸ λαμπροὺς καὶ διαφανεστάτους, ὁμοίως δὲ καὶ λείους τοὺς ἐπικειμένους λίθους εἶναι, ὥσπερ εἴ τις ἐν κηρῷ πλάσας εἰδός τι κήρινον καὶ ἐκτὸς ἐπιθεὶς ὅλον ἢ ἄλλο τι τῶν

560

2 σχήσουσιν L: σχήσωσιν A 12 ἢ τὸ LF: τὸ om. A 15 ἡ LF: εἰ AM 19 γίγνεται Metaph. 23 φάσκωσιν Brandis Bonitz: φάσκουσιν ALM 34 διὰ τοῦτο LF: διὰ ταῦτα A 40 ἐπιθεὶς ὅλον M: ἐπιθήσας ὅλλον AL

διαφανῶν, ὁρᾶται τὸ ἐντὸς αὐτῆς κήρινον εἶδος. εἰ μὲν οὖν τοῦτο ἦν, εἰκὸς ἦν ταῦτα λέγειν· ἐπειδὴ δὲ πάντῃ συνεχὴς ἦν ὁ λίθος καὶ εἷς καὶ οὐδεμίαν ἔχων ἁρμονίαν καὶ ἐφαρμογήν, οὐκ ἐνῆν τοῦτο λέγειν. ὥστε ἄδηλος ἦν ὁ Ἑρμῆς κἂν ἐντὸς κἂν ἐκτὸς ὑπῆρχεν, ἐκτὸς μὲν ὅτι ἀνωμαλίαν οὐδεμίαν ὁ λίθος, ὥσπερ εἴρηται, εἶχεν, ἐντὸς δὲ ὅτι οὐχ οἷόν τε ἦν ὑπονοῆσαι πῶς ἐντὸς τοῦ λίθου πεποίηκε τὸν Ἑρμῆν, συνεχοῦς ὄντος.

p. 1050a23 Ἐπεὶ δὲ τῶν μὲν ἔσχατον ἡ χρῆσις, οἷον ὄψεως ἡ ὅρασις.

Πρὸ τῆς τῶν λεγομένων σαφηνείας ἀνάγκη ἐστὶν ὑπομνησθῆναι ἡμᾶς τινων, ἵν' ἐκ τούτων εὐπαρακολούθητοι τοῖς ὑπ' αὐτοῦ λεγομένοις γενώμεθα. ἰστέον δὲ ὅτι ἡ ὄψις, καθ' ἣν ὁρῶμεν, καὶ δύναμίς ἐστι καὶ ἐνέργεια, δύναμις μὲν ὡς πρὸς τὴν ὅρασιν (ἡ γὰρ ὄψις δύναμίς ἐστι καθ' ἣν ὁρᾶν δυνάμεθα, ἐνέργεια δὲ ἡ ὅρασις), ἐστὶ μὲν δὴ ὡς πρὸς τὴν ὅρασιν δύναμις, ὡς πρὸς δὲ τὸ μὴ ὄψιν ἔχον, δυνάμενον δὲ λαβεῖν, ἐστὶν ἐνέργεια καὶ ἕξις. ἐπειδὴ γὰρ τὸν μὴ ἔχοντα ὄψιν καὶ δυνάμενον σχεῖν φαμεν δύνασθαι ὄψιν ἔχειν, ὅταν δὲ ἕξει, οὗ φαμεν δύνασθαι ὄψιν ἔχειν, φανερὸν ὡς ἡ ὄψις ἐνέργειά ἐστιν. ἀλλὰ καὶ ἡ οἰκοδομικὴ καὶ ἐνέργειά ἐστι καὶ δύναμις, δύναμις μὲν πρὸς τὴν οἰκοδόμησιν, ἐνέργεια δὲ πρὸς τὴν στέρησιν ἣν ὁ οἰκοδόμος εἶχε πρὸ τοῦ τὴν οἰκοδομικὴν ἐσχηκέναι· ἐκ γὰρ τοῦ δυνάμει οἰκοδόμου γέγονεν ἐνεργείᾳ οἰκοδόμος. οὐ μόνον δ' οὕτω περὶ τῶν ἕξεων λέγεται, ἀλλὰ καὶ περὶ αὐτῶν τῶν ἐχόντων ταύτας· ὁ γὰρ γεωμέτρης ὁ μὴ ἐνεργῶν πρὸς τὸν ἐνεργοῦντα δυνάμει ἐστὶ γεωμέτρης, πρὸς δὲ τὸ παιδίον τὸ δυνάμενον γενέσθαι γεωμετρικὸν ἐνεργείᾳ. ἀλλὰ περὶ μὲν τούτων πάνυ πλατύτερόν μοι ἐν τῇ Περὶ ψυχῆς εἴρηται, καὶ νῦν ἕνεκα τῶν λεγομένων μετρίως ὑπέμνησται. ὁ δ' Ἀριστοτέλης διὰ τῶν προκειμένων τόδε φησίν· ἐπειδὴ τῶν μὲν ἔσχατον καὶ τέλος ἐστὶν αὐτὴ ἡ χρῆσις, λέγων χρῆσιν τὴν ἐνέργειαν, καὶ οὐδὲν γίνεται παρὰ τὴν ἐνέργειαν ἕτερόν τι (ὄψεως γὰρ χρῆσις καὶ ἐνέργεια τὸ ὁρᾶν ἐστι καὶ οὐδὲν ἕτερον γίνεται παρὰ τὴν ὅρασιν οὐδὲ παρὰ τὴν ὄρχησιν), ἐπ' ἐνίων δὲ γίνεται (οἰκοδομικῆς γὰρ χρῆσις καὶ ἐνέργεια ἡ οἰκοδόμησις, ἀλλὰ καὶ γίνεται ἕτερόν τι παρὰ τὴν οἰκοδομικὴν ἡ οἰκία)· ἐπειδὴ οὖν, φησί, ταῦτα οὕτως ἔχει, οὐδὲν ἧττον καὶ ἐπὶ | τούτων ὧν μηδέν ἐστι παρὰ τὴν ἐνέργειαν, ἔστι τι 561 τέλος, ἀλλ' ὥσπερ ἔστι τέλος ὧν ἔστι τι παρὰ τὴν ἐνέργειαν, οὕτως ἔστι τέλος καὶ τῶν μὴ ὧν ἔστι τι παρὰ τὴν χρῆσιν. ἔστι μὲν οὖν, φησί, καὶ ἔνθα οἷον ἐπὶ τῆς οἰκοδομικῆς τέλος, ἀλλ' ἔνθα οἷον ἐπὶ τῆς ὄψεως μᾶλλον τέλος τῆς δυνάμεώς ἐστι, δύναμιν λέγων τὴν ὀπτικὴν δύναμιν, αὐτήν φημι τὴν ὄψιν, τέλος δὲ καὶ ἐνέργειαν τὴν ὅρασιν. ὅπως δὲ ταῦτα λέγεται, εἴρηται προσεχῶς. καὶ ἔστιν ἴσον τὸ ἔνθα δὲ μᾶλλον τέλος τῆς δυ

---

19 εἶχε L: ἔχει A 24 ἐν τῇ Περὶ ψυχῆς] v. Bonitzii praef. p. XXII εἴρηται L: γίνεται in lac. A² 29 ὄρχησιν MS: ὀρχηστικήν AL 32 ἔστι τι M: τί ἐστι AL 34 μὴ ὧν] ὧν μὴ coni. Bonitz

νάμεώς ἐστιν τῷ ἔστι μὲν καὶ ἡ ὄψις τέλος, ἀλλὰ μᾶλλον τέλος ἐστὶν ἡ ὅρασις τῆς δυνάμεως, τουτέστι τῆς ὄψεως. πῶς δὲ μᾶλλον τέλος ἐστὶν ἡ ὅρασις τῆς ὄψεως δείκνυσιν ἐξ ἀναλογίας τῆς οἰκοδομικῆς, λέγων ἡ γὰρ οἰκοδόμησις ἐν τῷ οἰκοδομουμένῳ, καὶ ἅμα γίνεται καὶ ἔστι τῇ 10 οἰκίᾳ, δυνάμει λέγων, ὡς ἡ οἰκοδόμησις πρὸς τὴν οἰκοδομικήν, ἡ ὅρασις πρὸς τὴν ὄψιν. ἀλλὰ μὴν ἡ οἰκοδόμησις μᾶλλον τέλος τῆς οἰκοδομικῆς, καὶ ἡ ὅρασις ἄρα τῆς ὄψεως. καὶ ἔστι τῆς προσλήψεως τῆς 'ἀλλὰ μὴν ἡ οἰκοδόμησις μᾶλλόν ἐστι τέλος τῆς οἰκοδομικῆς' κατασκευὴ τὸ ἡ γὰρ οἰκοδόμησις ἐν τῷ οἰκοδομουμένῳ καὶ ἅμα γίνεται καὶ ἔστι τῇ 10 οἰκίᾳ. ἐπειδὴ γὰρ ἔργον τῆς οἰκοδομήσεως ἡ οἰκία ἐστίν, ἅμα δὲ τῷ γί- 15 νεσθαι τὴν οἰκίαν γίνεται καὶ ἡ οἰκοδόμησις καὶ ἔστι (καὶ γὰρ μὴ γινομένης οἰκίας οὐδὲ οἰκοδόμησις γίνεται, καὶ ἔμπαλιν μὴ οἰκοδομήσεως οὐδὲ οἰκία), εἰ δὴ τὸ ἔργον κρεῖττόν ἐστι τῶν δυνάμεων (διὰ γὰρ τὸ ἔργον καὶ τὴν δύναμιν ἔχομεν· ἅμα γὰρ τῷ ἔργῳ ἔστι καὶ ἡ ἐνέργεια· ἡ δὲ δύναμις 15 οἷον ἡ οἰκοδομικὴ καὶ οἰκίας μὴ γινομένης ἔστι), φανερὸν ὡς ἡ ἐνέργεια 20 δυνάμεως προτέρα καὶ μᾶλλον τέλος· εἰ δὲ τοῦτο, καὶ ἡ ὅρασις τῆς ὄψεως. εἴρηται γὰρ ὡς ἡ οἰκοδόμησις πρὸς τὴν οἰκοδομικὴν ἡ ὅρασις πρὸς τὴν ὄψιν.

p. 1050a30 Ὅσων μὲν οὖν ἕτερόν τί ἐστι παρὰ τὴν χρῆσιν τὸ γι-
20 νόμενον, τούτων μὲν ἡ ἐνέργεια ἐν τῷ ποιουμένῳ ἐστί.

Δείξας ὅτι καὶ ὧν μὴ ἔστι τι τέλος παρὰ τὴν χρῆσιν, καὶ τούτων τὰ τέλη καὶ αἱ ἐνέργειαι μᾶλλόν εἰσι τῶν δυνάμεων καὶ κρείττω, νῦν λέγει 25 καὶ τίνων μὲν αἱ ἐνέργειαι ἐν τῷ ποιουμένῳ εἰσί, τίνων δὲ ἐν τῷ ποιοῦντι, καί φησιν ὅτι ἐπειδὴ ἅμα τῷ οἰκοδομουμένῳ καὶ ὑφαινομένῳ ἡ οἰκοδόμη-
25 σις καὶ ἡ ὕφανσίς ἐστι, φανερὸν ὅτι ἐν αὐτοῖς ἐστιν ἡ οἰκοδόμησις καὶ ἡ ὕφανσις. εἰ γὰρ ἐν τῷ οἰκοδομοῦντι ἦν ἡ οἰκοδόμησις ἀλλὰ μὴ ἐν τῷ οἰκοδομουμένῳ, ἦν ἂν ἡ οἰκοδόμησις μὴ ὄντος τοῦ οἰκοδομουμένου· τοῦτο δὲ ἀδύνατον· ἐν ἄρα τῷ οἰκοδομουμένῳ ἐστὶν ἡ οἰκοδόμησις καὶ τῷ 30 ὑφαινομένῳ ἡ ὕφανσις. ὥστε καὶ ἐντεῦθεν δῆλον ὅτι ἐπειδὴ ἡ οἰκοδόμησις
30 ἐν τῷ οἰκοδομουμένῳ ἐστί, κρεῖττον δ' ἐστὶ τῆς οἰκοδομικῆς τὸ οἰκοδομούμενον, κρείττων ἄρα καὶ ἡ οἰκοδόμησις τῆς οἰκοδομικῆς, καὶ ἡ ὅρασις τῆς ὄψεως. ὅσων μὲν οὖν ἔστι τι παρὰ | τὴν χρῆσιν, τούτων ἡ ἐνέργεια ἐν 562 τῷ ποιουμένῳ ἐστίν. ὅσων δὲ μὴ ἔστι παρὰ τὴν ἐνέργειαν ἄλλο τι, ἐν αὐτοῖς ἐστιν ἡ ἐνέργεια· ἡ γὰρ ὅρασις ἐν τῷ ὁρῶντι ἀλλ' οὐκ ἐν τῷ
35 ὁρωμένῳ, καὶ ἡ ζωὴ ἐν τῇ ψυχῇ· ἐνέργεια γὰρ ψυχῆς ἡ ζωὴ ὡς ὅρασις ὄψεως. διὸ καὶ ἡ εὐδαιμονία ἐν τῇ ψυχῇ ἐστι· ζωὴ γὰρ ποιά τίς ἐστιν. ὥστε ἐκ πάντων τῶν λεχθέντων ἐκδηλότατόν ἐστιν, ὅτι ἡ οὐσία 5 καὶ τὸ εἶδος ἐνέργειά ἐστιν. εἰ γὰρ τότε λέγομεν ἐνεργῆσαι τὸν εὐδαίμονα,

---

5 ἡ ὅρασις — οἰκοδομικῆς (6) LS: om. A · 10 ἔργον LF: τὸ ἔργον A 26. 27 ἐν τῷ οἰκοδομουμένῳ L: τῷ om. A

ὅταν τὸ εἶδος τῆς εὐδαιμονίας, αὐτήν φημι τὴν εὐδαιμονίαν, ἀπολάβῃ μακαρίως, καὶ τὸ καταμήνιον τὸ τοῦ ἀνθρώπου, τί χρὴ ἄλλο τι μαντεύεσθαι ἢ ὅτι τὸ εἶδός ἐστιν ἡ ἐνέργεια: καὶ συμπεραίνεται τὸν σύμπαντα λόγον λέγων κατά τε δὴ τοῦτον τὸν λόγον φανερὸν ὅτι πρότερον τῇ οὐσίᾳ ἡ ἐνέργεια δυνάμεως· καὶ ὥσπερ εἴρηται, τοῦ χρόνου ἀεὶ προλαμβάνει ἡ ἐνέργεια ἑτέρα πρὸ ἑτέρας. ἐνεργείᾳ γὰρ ὄντος τοῦ Σωκράτους πρὸ αὐτοῦ ἦν ἐνεργείᾳ ὁ Σωφρονίσκος· καὶ ἀεὶ οὕτως ἕως τῆς τοῦ ἀεὶ κινοῦντος· ἐκείνης γὰρ τῆς ἐνεργείας οὐ προηγεῖται ἐνέργεια, ἀλλὰ πρώτη πάντων καὶ αἰτία τοῦ εἶναί ἐστιν.

p. 1050ᵇ6 Ἀλλὰ μὴν καὶ κυριωτέρως· τὰ μὲν γὰρ ἀίδια πρότερα τῇ οὐσίᾳ τῶν φθαρτῶν.

Δείξας ὅτι ἡ ἐνέργεια δυνάμεως προτέρα ἐστὶ καὶ λόγῳ καὶ χρόνῳ καὶ οὐσίᾳ, νῦν δείκνυσιν ὡς οὐχ ἁπλῶς οὕτως ἐστὶ προτέρα ἀλλὰ καὶ κυριωτέρως ἤτοι τιμιωτέρως. ἡ δὲ δεῖξις πρόεισι διά τινος τῶν ἐν τοῖς Τόποις παραδιδομένων τόπων τόπου, λέγοντος ὅτι τὰ τοῖς κυριωτέροις καὶ κρείττοσιν ὑπάρχοντα κυριώτερά ἐστι καὶ κρείττονα. εἰ δὲ τοῦτο, εἴπερ ἐστὶν ἡ ἐνέργεια ἐν τοῖς ἀιδίοις, ἡ δὲ δύναμις ἐν τοῖς μὴ ἀιδίοις, κρείττω δὲ τὰ ἀίδια καὶ κυριώτερα, κρείττων ἄρα καὶ ἡ ἐνέργεια ἐν τοῖς ἀιδίοις οὖσα δυνάμεως οὔσης ἐν τοῖς μὴ ἀιδίοις. τὰ μὲν οὖν ἀίδια, φησί, τῶν φθαρτῶν πρότερα τῇ οὐσίᾳ, ἔστι δ' οὐδὲν δυνάμει τῶν ἀιδίων, ἀλλ' ἐνέργειαι, ὡς ἐν τῷ Περὶ ἑρμηνείας εἴρηται· ὥστε εἴπερ εἰσὶν ἐνέργειαι τὰ ἀίδια, κρείττων ἡ ἐνέργεια ἡ ἐν τοῖς κρείττοσιν οὖσα δυνάμεως. εἰπὼν δὲ ὅτι ἐν τοῖς ἀιδίοις οὐκ ἔστι δύναμις, δείκνυσιν αὐτὸ λέγων λόγος δὲ καὶ αἰτία τοῦ μὴ εἶναι δύναμιν ἐν τοῖς ἀιδίοις ἀλλ' εἰσὶν ἐνέργειαι ὅδε· πᾶσα δύναμις τῆς ἀντιφάσεώς ἐστι. καὶ τοῦτο πᾶσιν ὡμολογημένον ἐστί. ὁ γὰρ ἔχων δύναμιν τοῦ ὑγιάζειν, ὁ αὐτὸς καὶ τοῦ μὴ ὑγιάζειν, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. εἰ δὴ πᾶσα δύναμις τῆς ἀντιφάσεώς ἐστι, καὶ τὸ μὴ δυνατὸν ὑπάρχειν οὐκ ἂν ὑπάρξειεν οὐδενί, πᾶν δὲ τὸ δυνατὸν ἐνδέχεται μὴ ἐνεργεῖν (οὐ γὰρ ἀεὶ ὁ ὑγιάζειν δυνάμενος ὑγιάζει), | δῆλον ὡς 563 ἐνδέχεται καὶ εἶναι καὶ μὴ εἶναι. τὸ δὲ ἐνδεχόμενον μὴ εἶναι δύναται καὶ εἶναι καὶ μὴ εἶναι. τὸ δὲ δυνάμενον καὶ εἶναι καὶ μὴ εἶναι φθαρτόν ἐστιν ἢ ἁπλῶς, ὥσπερ τὸ ὕδωρ καὶ πάντα τὰ ἐν γενέσει (φθείρεται γὰρ τὸ ὕδωρ ἀέρος γινομένου καὶ οὗτος ὕδατος), ἢ οὐκ ἔστιν ἁπλῶς φθαρτόν, ἀλλὰ τοῦτο αὐτὸ ὃ λέγεται ἐνδέχεσθαι μὴ εἶναι ἢ κατὰ τόπον ἢ κατὰ ποσὸν ἢ κατὰ ποιόν. ὁ γὰρ ἥλιος ἁπλῶς μὲν φθαρτὸς οὐκ ἔστιν, ἐν

---

2 καὶ τὸ—ἀνθρώπου AL: ante τὸ τοῦ fort. addendum ὅταν: καὶ τὸ καταμήνιον τότε λέγομεν ἄνθρωπον ὅταν αὐτὸ τὸ εἶδος τοῦ ἀνθρώπου ἀπολάβῃ Brandis Bonitz 6 et 7 ἐνεργείᾳ L: ἐνέργεια A 13 οὐσίᾳ Bonitz: αἰτίᾳ ALF 14. 15 ἐν τοῖς Τόποις] Γ 1 p. 116ᵇ12 sqq. 17 ἀιδίοις—ἐν τοῖς LF: om. A 21 ἐν τῷ Περὶ ἑρμηνείας] c. 9 24 ἀλλ' ὅτι εἰσὶν coni. Bonitz 26 ὁ αὐτὸς c. S Bonitz: ὁ om. ALF 29 οὐ γὰρ M: οὔτε ALF

αἰγοκέρωτι δὲ ὢν δύναται ἐν κριῷ γενέσθαι καὶ ἔστι κατά γε τοῦτο μὴ ὢν καὶ φθαρτός, ἀλλ' οὐχ ἁπλῶς, ὡς εἴρηται, ἀλλὰ καθὸ δυνάμενος ἐν κριῷ εἶναι οὐκ ἔστιν. ἀλλὰ καὶ τὸ δίπηχυ φυτὸν δυνάμενον ἑξάπηχυ εἶναι φθαρτὸν λέγεται, οὐχ ἁπλῶς δὲ οὐδὲ τοῦτο, ἀλλὰ ὅτι ὃ δύναται τοῦτο οὐκ ἔστιν· τὸ γὰρ δυνάμενον εἶναι μήπω δὲ ὂν ἐφθαρμένον τρόπον τινά φαμεν. καὶ τὸ δυνάμενον λευκὸν εἶναι καὶ μὴ ὂν οὐχ ἁπλῶς ἐστι φθαρτὸν ἀλλὰ τῷ ποιῷ· ἁπλῶς δὲ φθαρτόν ἐστι τὸ κατὰ οὐσίαν δυνάμενον φθαρῆναι. ὥστε εἴπερ δυνατά φαμεν ἢ τὰ ἁπλῶς δυνάμενα φθαρῆναι ἢ τὰ πῇ, οὐδὲν τῶν ἀιδίων καὶ ἁπλῶς ἀφθάρτων δυνάμει ἐστὶν ἁπλῶς, ὡς δύνασθαι τὴν φύσιν αὐτοῦ καὶ τὴν οὐσίαν φθαρῆναι. καὶ τὰ μὲν ὑπερκόσμια πάντα οὔτε ἁπλῶς εἰσι δυνάμει οὔτε κατά τι, τὰ δὲ κυκλοφορητικὰ καὶ θεῖα σώματα κατά τι εἶναι δυνατὰ οὐδὲν κωλύει, οἷον ποιὸν ἢ ποῦ, ποιὸν μὲν ὅτι ἡ σελήνη διχοτόμος οὖσα δύναται γενέσθαι πλησιφαής, ποῦ δὲ ὅτι ἐν διδύμοις ὢν ὁ ἥλιος δύναται γενέσθαι ἐν ταύρῳ. δῆλον ἄρα ὅτι ἐνεργείᾳ εἰσὶ τὰ ἁπλῶς ἄφθαρτα καὶ οὐ δυνάμει. οὔτε δὴ οὐδὲν τῶν ἁπλῶς ἀιδίων ἐστὶ δυνάμει οὔτε τῶν ἐξ ἀνάγκης ὄντων. εἰ γὰρ τὰ δυνατὰ καὶ εἶναι καὶ μὴ εἶναι ἐνδέχεται, τὰ δ' ἀναγκαῖα ἀεὶ ὡσαύτως ἔχει, οὐδὲν τῶν ἀναγκαίων ἂν εἴη δυνάμει. τὸ δὲ καίτοι ταῦτα πρῶτα, λέγων ταῦτα τὰ ἀίδια, ἴσον τῷ ἀλλὰ μὴν ταῦτα πρῶτα εἴρηται. καὶ ἤρτηται τοῖς ἄνω· εἰπὼν γὰρ ὅτι ἐν τοῖς πρώτοις καὶ ἀφθάρτοις τὸ δυνάμει οὐκ ἔστι καὶ δείξας αὐτὸ ἐπήγαγε τὸ καίτοι ταῦτα πρῶτα, ὡς εἰ ἔλεγεν 'ὅσα μὲν οὖν εἰσι πρῶτα, ἐν τούτοις τὸ δυνάμει οὐκ ἔστιν· ἀλλὰ μὴν τὰ ἀίδια πρῶτα· ἐν αὐτοῖς ἄρα τὸ δυνάμει οὐκ ἔστι.' καὶ τοῦ ὅτι πρῶτα τὰ ἀίδια αἰτίαν ἐπήγαγεν εἰπὼν εἰ γὰρ αὐτὰ μὴ ἦν, οὐδὲν ἂν ἦν. εἰ γὰρ μὴ ἦν τὰ ἀίδια, οὐδὲν ἂν τῶν μὴ ἀιδίων ἦν. οὐ μόνον δὲ ἐν ταῖς ἀιδίοις οὐσίαις τὸ δυνάμει οὐκ ἔστιν, ἀλλ' οὐδὲ εἴ τις ἔστιν ἀίδιος κίνησις, οὐδ' εἴ τι κινούμενον ἀίδιον, δύναμιν ἔχει τοῦ μὴ εἶναι, ἀλλὰ μόνην τὴν πόθεν ποῖ. ὁ γὰρ ἥλιος, ὡς καὶ ἔναγχος εἴρηται, ἀπὸ κριοῦ γίνεται εἰς ταῦρον, καὶ οὐδὲν κωλύει ἀίδιον αὐτὸν ὄντα ἔχειν δύναμιν τούτου, λέγω δὴ τοῦ κινεῖσθαι πόθεν ποῖ. καὶ διὰ | τὸ μὴ ἔχειν δύναμιν τὴν ἁπλῶς, ἀλλὰ μόνον τὴν πόθεν ποῖ, 564 ἀεὶ ἐνεργεῖ καὶ ἥλιος καὶ σελήνη, καὶ οὐ φοβητέον. ὡς Ἐμπεδοκλῆς καὶ οἱ περὶ αὐτὸν οἴονται, μή ποτε στῇ. οὐ γὰρ κάμνει ὁ ἥλιος καὶ ὁ οὐρανὸς κινούμενος. οὐ γάρ ἐστιν ἡ κίνησις αὐτοῖς περὶ δύναμιν τῆς ἀντιφάσεως· οὐ γὰρ δυνάμενοι κινεῖσθαι δύνανται καὶ μὴ κινεῖσθαι, ὥσπερ τὰ φθαρτά· τούτων μὲν γὰρ ἡ κίνησις ἐπίπονός ἐστι, τοῦ δὲ οὐρανοῦ καὶ τοῦ ἡλίου ἡ συνεχὴς κίνησις οὐδαμῶς. ἡ γὰρ οὐσία ὕλη καὶ δύναμις οὖσα οὐδ' ἐνέργεια αἰτία τούτου, τουτέστιν ἡ ὑλικὴ οὐσία ἤτοι ἡ ὕλη ἐστὶν αἰτία τούτου, λέγω δὴ τοῦ κάμνειν καὶ τοῦ δύναμιν ἔχειν τῆς ἀντιφάσεως. τὰ δὲ κυκλοφορητικὰ καὶ θεῖα σώματα ὕλην δυναμένην τἀναντία οὐκ ἔχει, ὥστε οὐδὲ κάμνει κινούμενα.

---

1. 2 μὴ ὢν καὶ φθαρτός LF: μὴ ὂν καὶ φθαρτόν A 11 κυκλοφορητικὸν A
16 τὰ δυνατὰ LF: τὰ om. A 21 τὸ καίτοι LF: τὸ om. A 23 οὐκ ἔστι LF: οὐκέτι A 32 οἴονται F: οἴεται AL

p. 1050b28 Μιμεῖται δὲ τὰ φθαρτὰ καὶ τὰ ἐν μεταβολῇ ὄντα, οἷον γῆ καὶ πῦρ.

Εἰπὼν ὅτι ἐν τοῖς ἀιδίοις τὸ ἁπλῶς δυνάμει οὐκ ἐστιν, ἀλλ', εἰ ἄρα, τὸ πῇ, λέγει ὅτι εἰ καὶ ἐν τοῖς φθαρτοῖς ἐστι τὸ δυνάμει, ἀλλ' οὖν τὰ φθαρτὰ καὶ τὰ ἐν μεταβολῇ ὄντα μιμεῖται τὰ ἄφθαρτα. καὶ ποῖά ἐστι τὰ φθαρτὰ τὰ ἀίδια μιμούμενα ἐπάγει οἷον γῆ καὶ πῦρ. καὶ πῶς μιμεῖται ταῦτα ἥ τε γῆ καὶ τὸ πῦρ τὰ ἀίδια λέγει· ὡς γὰρ τὰ κυκλοφορητικὰ σώματα ἐν κινήσει εἰσὶ καὶ ἐνεργείᾳ, οὕτω καὶ ταῦτα ἀεὶ κινεῖται καὶ ἔχει καθ' αὑτὰ κίνησίν τινα ἀεί· τὸ μὲν γὰρ πῦρ συμπεριφέρεται ἀεὶ τῇ σεληνιακῇ, ἢ τῇ τοῦ παντὸς φορᾷ, ἡ δὲ γῆ ἢ μανοῦται ἢ πυκνοῦται ἢ ὅλως πάσχει, ὥστε κατὰ τὴν συνεχῆ ταύτην κίνησιν μιμεῖται τὰ ἀίδια. οὐ μόνον δὲ κατὰ τὴν συνεχῆ κίνησιν μιμεῖται τὰ φθαρτὰ τὰ ἀίδια, ἀλλὰ καὶ κατὰ τὸ ἄφθαρτον· αἱ γὰρ ὁλότητες τῶν ὑπὸ σελήνην σωμάτων, πυρὸς ἀέρος ὕδατος καὶ γῆς, ἄφθαρτοί εἰσιν. ἀλλὰ τὰ μὲν οὐράνια σώματα, ὥσπερ εἴρηται, οὐκ ἔχει δύναμιν τῆς ἀντιφάσεως. αἱ δ' ἄλλαι δυνάμεις ἐξ ὧν διώρισται τῆς ἀντιφάσεώς εἰσι, τουτέστι περὶ ὧν διώρισται. ἡ γὰρ ἰατρικὴ τοῦ ὑγιάζειν καὶ νοσάζειν καὶ αἱ ἄλλαι ὡσαύτως αἱ μετὰ λόγου· διαφέρουσι δὲ τῶν ἄνευ λόγου, ὅτι αἱ μετὰ λόγου οὐκ ἀνάγκη ἅμα τῷ παρεῖναι τό τε δυνάμενον ποιεῖν καὶ πάσχειν τὸ μὲν ποιεῖν τὸ δὲ πάσχειν, αἱ δ' ἄλογοι δύνανται ἅμα τῷ παρεῖναι ποιεῖν καὶ τῷ μὴ παρεῖναι μὴ ποιεῖν. τὸ γὰρ θερμαντικὸν ἅμα τῷ πλησιάσαι τῷ θερμαντῷ τὸ μὲν θερμαίνει τὸ δὲ θερμαίνεται. ἐπειδὴ δὲ ὁ Πλάτων ἰδέας μὲν ἐτίθετο ἀνθρώπων καὶ ἵππων καὶ ἐπιστημῶν (αὐτοεπιστήμην γὰρ λέγει ὥσπερ καὶ αὐτοάνθρωπον), ἰδέαν δὲ ἐπιστημόνων ἀνθρώπων καὶ λευκῶν ἀνθρώπων καὶ ὅλως τῶν κατὰ συμβεβηκὸς ὄντων οὐκ εἶναι ἐβούλετο, ἐκ τῶν εἰρημένων πρὸς ταύτην τὴν δόξαν ἀντιλογίαν πορίζεται καί φησιν εἴπερ εἰσὶ φύσεις τοιαῦται ἢ οὐσίαι οἷας λέγουσιν | οἱ ἐν τοῖς λόγοις ἤτοι τοῖς 565
μαθήμασιν ἐντετραφότες, πολὺ μᾶλλον ἐπιστῆμον εἴη ἄν τι ζῷον ἤπερ αὐτοεπιστήμη· ταῦτα γὰρ τὸ κινούμενον καὶ τὸ ἐπιστῆμόν εἰσιν οὐσίαι καὶ ἐνέργειαι, ἐκεῖνα δέ, ἡ ἐπιστήμη καὶ ἡ κίνησις, δυνάμεις εἰσὶ τοῦ τ' ἐπιστήμονος καὶ τοῦ κινουμένου, μὴ δυνάμεναι καθ' αὑτὰς εἶναι.

p. 1051a4 Ὅτι δὲ βελτίων καὶ τιμιωτέρα τῆς σπουδαίας δυνάμεως ἡ ἐνέργεια, ἐκ τῶνδε δῆλον.

Δείξας ὅτι ἡ ἐνέργεια τῆς δυνάμεως προτέρα καὶ συμπεραινόμενος εἰπὼν "ὅτι μὲν οὖν πρότερον ἐνέργεια δυνάμεως καὶ πάσης ἀρχῆς μεταβλητικῆς" ἤτοι καὶ πάσης δυνάμεως καὶ φύσεως. "φανερόν." τοῦτο δείξας πάλιν δείκνυσιν ὅτι οὐ μόνον τῆς μὴ σπουδαίας δυνάμεως ἡ ἐνέργεια προτέρα ἀλλὰ καὶ τῆς σπουδαίας. ὅτι δέ εἰσι δυνάμεις καὶ σπουδαῖαι καὶ μὴ σπουδαῖαι πᾶσι δῆλον· ὧν γὰρ δυνάμεων αἱ ἐνέργειαι σπουδαῖαι, καὶ

1 φθαρτὰ] ἄφθαρτα Metaph. vulg. 21 μὲν LF: om. A

αἱ δυνάμεις καθ' ἃς δύνανται ταύτας ἐνεργεῖν σπουδαῖαί εἰσι. τέως δέ, φησί, φανερόν ἐστιν ὅτι ὅσα κατὰ τὸ δύνασθαι λέγεται, ταὐτόν ἐστι δυνατὸν τἀναντία. ὃ γὰρ δύναται ὑγιαίνειν, τοῦτο καὶ νοσεῖν ἅμα. καὶ οὐ τοῦτό φησιν ὅτι ἅμα νοσεῖ καὶ ὑγιαίνει, ἀλλ' ὅτι ἅμα ἔχει τὴν τοῦ
5 νοσεῖν καὶ ὑγιαίνειν δύναμιν· ἡ αὐτὴ γὰρ δύναμις τοῦ ὑγιαίνειν καὶ κάμνειν 15
καὶ τοῦ ἠρεμεῖν καὶ κινεῖσθαι, καὶ ὥσπερ εἴρηται, ἡ μὲν τῶν ἐναντίων δύναμις ἅμα ὑπάρχει, τὰ δ' ἐναντία ἅμα καὶ τὰς ἐνεργείας ἀδύνατον ὑπάρχειν· ἀδύνατον γὰρ ἅμα ὑγιαίνειν καὶ νοσεῖν. ὥστε ἀνάγκη θάτερον τῶν ἐναντίων εἶναι τἀγαθόν. οἷον τὸ μὲν θερμὸν φέρε εἰπεῖν ἀγαθόν, τὸ δὲ
10 ψυχρὸν φαῦλον, καὶ ὑγίεια μὲν ἀγαθόν, νόσος δὲ φαῦλον, καὶ ὅλως ὅσα 20
εἴδει καὶ ἕξει ἀναλογεῖ ἀγαθά ἐστιν, ὅσα δὲ στερήσει καὶ ἀποφάσει φαῦλα. εἰπὼν δὴ ὅτι τῶν ἐναντίων ἀνάγκη θάτερον εἶναι ἀγαθόν, ἐπάγει τὸ δὲ δύνασθαι ὁμοίως ἀμφότερον ἢ οὐδέτερον· ἡ ἄρα ἐνέργεια βελτίων. καὶ ἔστιν οἶμαι κατασκευὴ τοῦ ὅτι ἡ ἐνέργεια καὶ τῆς σπουδαίας
15 δυνάμεως βελτίων ἐστίν. ἀσαφῶς δὲ ὄντως ἐπήγγελται καὶ μαντείας δεόμενον. ἔστι δὲ τὸ μὲν διὰ τοῦ τὸ δὲ δύνασθαι ὁμοίως ἀμφότερον 25
ἢ οὐδέτερον λεγόμενον τοιοῦτον. τὸ τὴν δύναμιν ἔχον τοῦ ὑγιαίνειν (ἔστω δὴ τοῦτο εἰς ὑπόδειγμα), τὸ οὖν τὴν δύναμιν ἔχον τοῦ ὑγιαίνειν ὁμοίως ἔχει καὶ τοῦ νοσεῖν· εἰ δὲ μή, οὐδετέρου· διὰ τίνα γάρ ποτε
20 αἰτίαν ἔχει μὲν δύναμιν τοῦ ὑγιαίνειν, μὴ ἐπίσης δ' ἔχει καὶ τοῦ νοσεῖν; καὶ οὕτω δείξας ὅτι ἀμφοτέρων τὴν δύναμιν ὁμοίως ἔχει, ὅπως διὰ τούτου συνήγαγε τὸ τὴν ἐνέργειαν βελτίω εἶναι καὶ τῆς σπουδαίας δυνάμεως, λίαν 30
ἐστὶ μεμελανωμένον. συνάγεται δὲ οἶμαι οὕτωσί. τόπος παρεδόθη αὐτῷ ἐν τοῖς Τοπικοῖς λέγων 'τὸ ἄμικτον τοῦ χείρονος κρεῖττον καὶ βέλτιόν 566
25 ἐστι τοῦ μεμιγμένου μετὰ τοῦ χείρονος.' εἰ δὲ τοῦτο ἀληθές, καὶ ἡ σπουδαία δύναμις μέμικται τῇ τοῦ χείρονος δυνάμει (ὁ γὰρ ἔχων τὴν σπουδαίαν δύναμιν καὶ κατ' ἐκείνην πράττων καὶ ἐνεργῶν περὶ τὰ σπουδαῖα, οὗτος οὐκ ἀπώλεσε τὴν τοῦ χείρονος δύναμιν ἀλλ' ἔχει αὐτήν, ὥστε τῇ 5
σπουδαίᾳ δυνάμει ἐπιμέμικται ἡ τοῦ χείρονος δύναμις), εἰ δὴ ἡ σπουδαία
30 δύναμις ἐπιμέμικται τῇ τοῦ χείρονος δυνάμει, ἡ δὲ ἐνέργεια τοῦ κρείττονος οὐ σύνεστι τῇ τοῦ χείρονος ἐνεργείᾳ, ἀλλ' ἔστιν εἰλικρινὴς καὶ ἄμικτος, κρείττων ἄρα ἐστὶ τῆς σπουδαίας δυνάμεως διὰ τὸ τὰ ἄμικτα, ὡς ὁ τόπος διορίζεται, τῶν μεμιγμένων κρείττονα εἶναι. ἔμπαλιν δὲ ἐπὶ τῶν κακῶν ἡ 10
ἐνέργεια τοῦ κακοῦ χείρων ἐστὶ τῆς δυνάμεως, διότι ἡ δύναμις τοῦ κακοῦ
35 ἐπιμέμικται τῇ τοῦ ἀγαθοῦ δυνάμει, ἡ δὲ τοῦ κακοῦ ἐνέργεια ἄμικτός ἐστι τῇ τοῦ ἀγαθοῦ ἐνεργείᾳ.

p. 1051a17 Δῆλον ἄρα ὅτι οὐκ ἔστι τὸ κακὸν παρὰ τὰ πράγματα.

Τοῦ Πλάτωνος λέγοντος ὅτι τοῦ ἀγαθοῦ ὄντος φύσεώς τινος, ὥσπερ ὁ καθόλου ἄνθρωπος ὁ κατηγορούμενος κατὰ τῶν μερικῶν ἀνθρώπων 15

---

10 φαῦλον, ὑγίεια δὲ ALF 14 καὶ ἔστιν LF: καὶ om. A 22 βελτίω LF: βελτίων A 24 ἐν τοῖς Τοπικοῖς] Γ 5 p. 119a27

ἕτερος ὢν αὐτῶν, οὕτως καὶ τὸ ἀγαθὸν ἕτερόν ἐστι τῶν καθ' ἕκαστα ἀγαθῶν καὶ λέγεται κατ' αὐτῶν, τῶν δ' ἐναντίων ἂν θάτερον ᾖ, καὶ θάτερόν ἐστιν, ἔστιν ἄρα καὶ τὸ κακὸν ἕτερόν τι παρὰ τὰ καθ' ἕκαστα κατ' αὐτῶν λεγόμενον. λέγει ὁ Ἀριστοτέλης ὅτι δῆλόν ἐστιν ἐκ τῶν δειχθέντων (δέδεικται δὲ ὅτι κακὸν χεῖρόν ἐστι τῆς δυνάμεως), ἐκ τῶν οὖν δειχθέντων, φησί, δῆλόν ἐστιν ὅτι οὐκ ἔστι τὸ κακὸν παρὰ τὰ πράγματα. ἐκείνων γάρ φαμεν εἶναί τι παρὰ τὰ καθ' ἕκαστα ὅσα εἰσὶν ἐνέργειαι, τὸ δὲ κακὸν τοσοῦτον δέει τοῦ ἐνέργεια εἶναι ὅσον ὅτι καὶ χεῖρόν ἐστι δυνάμεως. ὅτι δὲ ἐπὶ τῶν ἐνεργειῶν λαμβάνεται τὸ κοινὸν δῆλον· λέγομεν γὰρ καθόλου ἄνθρωπον τῶν καθ' ἕκαστα ἀνθρώπων ἐνεργείᾳ ὄντων καὶ καθόλου ἵππον καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· καθόλου δὲ μὴ ἄνθρωπον ἢ μὴ ἵππον οὔ φαμεν διὰ τὸ στερήσεις εἶναι τὸν μὴ ἄνθρωπον τοῦ ἀνθρώπου καὶ τὸν μὴ ἵππον τοῦ ἵππου. εἰ δὲ καὶ τὸ κακὸν στέρησίς ἐστι τοῦ ἀγαθοῦ καὶ τῆς ἐνεργείας, καὶ παρυφίσταται τοῖς πράγμασι διὰ τὴν τῆς ὕλης ἀνεπιτηδειότητα (αὕτη γὰρ τὴν ἐνέργειαν καὶ τὸ ἀγαθὸν σκοπὸν ἔχουσα δέξασθαι καὶ μὴ δυνηθεῖσα ἔσχηκε τὸ κακὸν καὶ τὴν στέρησιν), οὐκ ἂν εἴη τι κακὸν παρὰ τὰ πράγματα. εἰ δὲ τὸ κακὸν διὰ τὴν ὕλην καὶ τὴν δύναμιν παρυφίσταται τοῖς πράγμασι. καὶ ἔστιν ἁμαρτήματα τῆς δυνάμεως, ἐν δὲ τοῖς ἀιδίοις δέδεικται ὅτι δύναμις οὐκ ἔστιν (ἐνέργειαι γάρ εἰσιν), οὐκ ἔστιν ἄρα | ἐν ἐκείνοις οὔτε κακὸν οὔτε ἁμάρτημα οὔτε 567
διεφθαρμένον. ἡ γὰρ διαφθορὰ τῶν κακῶν ἐστιν.

p. 1051 a 21 Εὑρίσκεται γὰρ καὶ τὰ διαγράμματα ἐνεργείᾳ· διαιροῦντες γὰρ εὑρίσκουσιν.

Ἀντιλέγει πρὸς τοὺς τὰ μαθήματα ἐνεργείας λέγοντας καὶ οὐσίας, λέγων μὴ εἶναι ἐνεργείας ἀλλὰ δυνάμεις· τὰ δὲ δυνάμει οὐκ οὐσίαι. καὶ λέγει ὅτι τὰ διαγράμματα ἐνεργείᾳ διαιροῦντες εὑρίσκονται, τουτέστιν ἐνεργήσας ὁ νοῦς καὶ διαίρεσιν ποιησάμενος εὑρίσκει αὐτὰ καὶ τὸ εἶναι αὐτοῖς δίδωσι. πρὸ δὲ τοῦ ἐνεργῆσαι δυνάμει εἰσίν· εἰ δὲ ἦσαν ἐνεργείᾳ (τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ διῃρημένα), ἅμα τῷ θεάσασθαί τινα τὴν ἐν τῷ ἡμικυκλίῳ γωνίαν δήλη ἂν ἦν αὐτῷ ὅτι ὀρθή ἐστιν. ὥσπερ γὰρ οἰκίας οὔσης ἐνεργείᾳ ἅμα τῷ ἰδεῖν αὐτὴν δῆλόν ἐστιν ἡμῖν ὅτι οἰκία ἐστὶ καὶ οὐ δεόμεθα διαιρέσεώς τινος ἢ ἀποδείξεως, οὕτω καὶ τὰ μαθήματα εἰ ἦσαν ἐνεργείᾳ. ἅμα τῷ ἰδεῖν δύο στερεὰ παραλληλεπίπεδα ἔγνωστο ἂν ἡμῖν ὅτι ἀντιπεπόνθασιν αἱ βάσεις πρὸς τὸ ὕψος, καὶ ὡς τὸ ὕψος ἔμπαλιν πρὸς τὸ ὕψος, ἡ βάσις πρὸς τὴν βάσιν. νῦν δὲ οὐκ ἔστιν. ἀλλὰ διαιροῦμεν καί φαμεν ὅτι ἔστωσαν αἱ ἐφεστηκυῖαι εὐθεῖαι πρὸς ὀρθὰς ταῖς βάσεσι, καὶ ἔστω ἥδε ἡ εὐθεῖα τῇδε ἴση, καὶ ἄλλα ἄττα διαιροῦμεν καὶ λέγομεν, καὶ οὕτως ἐκ τῆς κατ' ὀλίγον διαιρέσεως καὶ ἐκ τῶν

---

4 λεγόμενον M: λεγόμενα ALF 5. 6 δέδεικται—δειχθέντων LFS: om. A 10 ἐνεργείᾳ F: ἐνεργειῶν ALM 12 τὸν μὲν μὴ LF 22 γὰρ] δὲ Metaph. vulg. 31 ἐνεργείᾳ L: ἐνεργείας A 33 post δύο addendum esse ἴσα coni. Bonitz 37 ἥδε L: om. A

δείξεων τῶν κατὰ τὰς διαιρέσεις γινομένων δῆλα ἡμῖν καὶ φανερὰ τὰ διαγράμματα γίνεται· ὥστε οὐκ εἰσιν ἐνεργείᾳ ἀλλὰ δυνάμει. εἰ δὲ τοῦτο ἀληθές, οὐκ εἰσιν οὐσίαι. αἱ γὰρ οὐσίαι καί τινος περὶ αὐτὰς μὴ ἐνεργοῦντος μηδὲ δεικνύντος εἰσί, ταῦτα δὲ τοῦ νοὸς περὶ αὐτὰ μὴ ἐνηργηκότος καὶ ὅλως μὴ εὑρηκότος καὶ τὸ εἶναι αὐτοῖς δεδωκότος οὐ δύνανται εἶναι. καὶ ὁ μὲν ὅλος τῶν λεγομένων νοῦς τοιοῦτος, ἐπισκεπτέον δ' ἡμῖν πῶς τὰ καθ' ἕκαστα λέγεται καὶ ὅπως ἑκάστη λέξις ἔχει. διὰ τί, φησί, δύο ὀρθαὶ τρίγωνον, τουτέστι διὰ τί τοῦ τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ἐρωτηθέντες φαμὲν διότι αἱ περὶ μίαν στιγμὴν γωνίαι δύο ὀρθαῖς ἴσαι εἰσίν. ἔστω δὴ τρίγωνον τὸ αβγ. εἴ τις ἔροιτο διὰ τί αἱ τρεῖς δύο ὀρθαῖς ἴσαι, φαμὲν ὅτι αἱ δύο αἱ περὶ μίαν στιγμὴν δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ταύταις δὲ ἴσαι εἰσὶν αἱ τρεῖς τοῦ τριγώνου γωνίαι. εἰ δὴ ἐκεῖνος τοῦτο προῄδει ὅτι αἱ περὶ μίαν στιγμὴν ἤτοι τὸ γ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσί, καὶ ἀγάγωμεν τὴν βγ ἐπὶ τὸ δ (τούτου γάρ ἐστι δηλωτικὸν τὸ εἰ οὖν ἀνῆκτο ἡ παρὰ τὴν πλευράν), καὶ δείξομεν ὅτι αἱ ὑπὸ βαγ, αγβ, γβα, ἴσαι εἰσὶ ταῖς ὑπὸ αγβ, αγδ, δῆλον εὐθύς ἐστιν ἐκείνῳ τοῦτο ἰδόντι ὅτι αἱ τρεῖς τοῦ τριγώνου δύο ὀρθαῖς ἴσαι. ὥστε οὐκ εἰσιν 568 ἐνεργείᾳ τὰ διαγράμματα. εἰ γὰρ ἦσαν, δῆλον ἂν ἦν εὐθὺς ἰδόντι τρίγωνον ὅτι αἱ τρεῖς δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ὥσπερ τὴν οἰκίαν θεασαμένοις εὐθὺς δῆλόν ἐστιν ὅτι οἰκία ἐστίν· οὐκ ἔστι δὲ εἰ μὴ δειχθῶσιν ὅτι αἱ περὶ μίαν στιγμὴν ἴσαι εἰσί. πάλιν ἐρωτώμενοι ὅτι διὰ τί ἐν ἡμικυκλίῳ ὀρθή ἐστι καὶ καθόλου διὰ τί ὀρθή ἐστιν, ὡς εἰ ἔλεγεν ὅτι ἢ οὕτως ἐρωτηθείημεν 'διὰ τί ἐν ἡμικυκλίῳ ὀρθὴ' ἢ οὕτω 'καθόλου διὰ τί ἡ ἐν ἡμικυκλίῳ ὀρθή', ἐρωτώμενοι δὴ τοῦτό φαμεν ὅτι ἐὰν ἴσαι αἱ τρεῖς, ἥ τε βάσις δύο καὶ ἡ ἐκ μέσου σταθεῖσα ὀρθή, ἰδόντι δῆλον τῷ ἐκεῖνο εἰδότι· τουτέστι τῷ προεγνωκότι ὅτι ἐὰν αἱ τρεῖς εὐθεῖαι ἥ τε ἐπισταθεῖσα καὶ ⟨αἱ⟩ ἐκ μέσου δύο ἴσαι εἰσίν, ἐξ ἀνάγκης ἐκ τούτου δείκνυται ὅτι ὀρθή ἐστιν ἡ ἐν ἡμικυκλίῳ. εἰ γὰρ διαίρεσιν ποιήσομεν καὶ δείξομεν αὐτῷ ὅτι εὐθεῖαί εἰσι, δῆλον αὐτῷ γίνεται ὅτι ὀρθή ἐστιν. ἐπεὶ δὲ ἀσαφῶς καὶ αἰνιγματωδῶς τὸ παράδειγμα ἐπῆκται διὰ τὴν συνήθη βραχυλογίαν αὐτῷ, ῥητέον ὅπως δείκνυται ἐν τῷ τρίτῳ τῶν Εὐκλείδου Στοιχειώσεων βιβλίῳ ὅτι ἡ ἐν ἡμικυκλίῳ γωνία ὀρθή ἐστιν, ἵνα ἐκ τούτου σαφὲς τὸ ἐνταῦθα λεγόμενον γένηται. ἔστω κύκλος ὁ αβγ, κέντρον δὲ αὐτοῦ τὸ ε, διάμετρος ἡ βγ, καὶ ἐπεζεύχθω ἡ βα γα, ἤχθω δὲ πρὸς ὀρθὰς τῇ βγ ἡ αε καὶ διήχθω ἡ βα ἐπὶ τὸ ζ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ εβ τῇ εα (ἐκ γὰρ τοῦ κέντρου) τῶν δὲ ἰσοσκελῶν τριγώνων αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, ἴση ἄρα ἐστὶν ἡ ὑπὸ εαβ γωνία τῇ ὑπὸ αβε. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ εγα τῇ ὑπὸ εαγ. ὅλη ἄρα ἡ ὑπὸ βαγ ἴση ἐστὶ ταῖς ὑπὸ αβγ

---

3 αὐτὰς LF: αὐτὰ A 15 εἰ οὖν c. S Bonitz: εἰ om. AL 21 στιγμὴν δυσὶν ὀρθαῖς ἴσαι εἰσί coni. Bonitz 22 καὶ in Metaph. non legitur 24 δὴ L: μὴ A 25 ἐπισταθεῖσα Metaph., cf. 26. 27 et p. 597,9 27 αἱ addidi: καὶ ἐκ μέσου δύο L: καὶ om. A: ἐκ μέσου καὶ αἱ δύο βάσεις M Bonitz 28 γὰρ M: om. AL 29 εὐθεῖαι] exspectes ἴσαι 31 ἐν τῷ τρίτῳ τῶν Εὐκλείδου Στοιχειώσεων] cf. Euclid. elem. III 31 37 δὴ LF: δὲ A

βγα. ἐστὶ δὲ καὶ ἡ ὑπὸ ζαγ ἐκτὸς τοῦ τριγώνου τοῦ αβγ δυσὶ ταῖς ὑπὸ αβγ αγβ ἴση, τὰ δὲ τῷ αὐτῷ ἴσα ἀλλήλοις ἐστὶν ἴσα· ἴση ἄρα καὶ ἡ ὑπὸ βαγ τῇ ὑπὸ ζαγ. ἐὰν δὲ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ποιῇ, ὀρθαί εἰσιν αἱ γωνίαι. ὀρθὴ ἄρα ἐστὶ καὶ ἡ ὑπὸ βαγ καὶ ἡ
5 ὑπὸ ζαγ· ἴσαι γὰρ ἐδείχθησαν. οὕτω μὲν οὖν ἐκεῖσε δείκνυται ὅτι ἡ ἐν 25
ἡμικυκλίῳ ὀρθή ἐστιν. αὐτὸς δὲ εἶπεν ὅτι ἐὰν ἴσαι αἱ τρεῖς, καὶ τίνες αὗται ἐπάγει, ἥ τε βάσις δύο, τουτέστιν ἡ βγ τοῦ αβγ τριγώνου (διήρηται γὰρ εἰς δύο ἴσας τήν τε εβ καὶ εγ· κέντρον γὰρ ἐστι τὸ ε) καὶ ἡ ἐκ τοῦ μέσου ἐπισταθεῖσα ὀρθή, τουτέστι καὶ ἐὰν ἡ αε εὐθεῖα ἐκ
10 μέσου ἢ ἐν τῷ μέσῳ ἤτοι ἐν τῷ κέντρῳ ἐπισταθῇ πρὸς ὀρθάς, ἰδόντι δῆλον τῷ ἐκεῖνο εἰδότι, ἤτοι φανερὸν γίνεται τῷ προειδότι ὅτι ἐὰν 30
οὕτως αἱ εὐθεῖαι ἔχωσι, δειχθήσεται ἡ ἐν | ἡμικυκλίῳ ὀρθή. φανερὸν 569
ἄρα ὅτι δυνάμει ὄντα καὶ ἐνεργήσας περὶ αὐτὰ ὁ νοῦς εὑρίσκεται· αὐτὸς γάρ ἐστιν ὁ αἴτιος ὁ ἄγων αὐτὰ εἰς ἐνέργειαν. ὥστε ἐξ ἐνεργείας ἡ
15 δύναμις, ἤτοι ἐκ τοῦ ἐνεργεῖν ἡ δύναμις τῶν μαθημάτων εἰς ἐνέργειαν ἄγεται, καὶ ἐπὶ τούτῳ ποιοῦντες γινώσκουσιν. δῆλον ἄρα καὶ ἐκ τούτων ὅτι ἡ ἐνέργεια τῶν τὰ αὐτὰ ποιουσῶν δυνάμεων προτέρα· ἡ δὲ κατ' ἀριθμὸν 5
ἐνέργεια δυνάμεως ὑστέρα· εἴρηται γὰρ ἔναγχος ὅτι τῶν τὸ αὐτὸ εἶδος ποιουσῶν ἡ ἐνέργεια δυνάμεως προτέρα, ὡς ἐπὶ τοῦ Σωφρονίσκου καὶ τοῦ
20 Σωκράτους ἐλέγομεν, τῷ δ' ἀριθμῷ ὑστέρα.

p. 1051a34 Ἐπειδὴ δὲ τὸ ὂν λέγομεν καὶ τὸ μὴ ὂν τὸ μὲν κατὰ τὰ σχήματα τῶν κατηγοριῶν.

Τῶν πραγμάτων τῶν μὲν ὄντων τοιούτων ὥστε ἐνδέχεσθαι περὶ αὐτὰ καὶ ἀληθεύειν καὶ ψεύδεσθαι, τῶν δὲ ὡς ἀεὶ ἀληθεύειν, τῶν δὲ ὡς ἀεὶ 10
25 ψεύδεσθαι, πρόκειται αὐτῷ περὶ τοιούτων διορίσαι, τίνα ἐστὶ τὰ ἐν οἷς ἀεὶ ἀληθεύομεν, καὶ τίνα τὰ ποτὲ μὲν ποτὲ δὲ μή, καὶ τίνα τὰ ἐν οἷς ἀεὶ ψευδόμεθα. πρῶτον δὲ διδάσκει ἁπλῶς καὶ καθόλου πότε γίνεται ἡ ἀλήθεια καὶ πότε τὸ ψεῦδος· καὶ οὕτω λέγει περὶ ὧν εἴπομεν προκεῖσθαι αὐτῷ εἰπεῖν. λέγει οὖν ὅτι ἐπεὶ τὸ ὂν λέγεται καὶ τὸ μὴ ὂν τὰ μὲν 15
30 κατὰ τὰ σχήματα τῶν κατηγοριῶν, οἷον ὂν λέγεται ἡ οὐσία καὶ τὸ ποσὸν καὶ τὸ ποιὸν καὶ αἱ ἄλλαι κατηγορίαι, τὰ δὲ λέγεται ὄντα κατὰ δύναμιν ἢ ἐνέργειαν τούτων· λέγεται γὰρ ὂν καὶ λευκὸν καὶ τὸ μὴ ὂν λευκὸν δυνάμενον δὲ γενέσθαι λευκόν, ἀλλὰ λέγεται λευκὸν καὶ τὸ ἤδη ἐνεργείᾳ ὂν λευκόν, λέγεται δὲ πάλιν ἀὴρ καὶ τὸ μήπω ὂν ἀὴρ δυνάμενον
35 δὲ γενέσθαι, ἀλλὰ λέγεται καὶ ὁ ὢν ἤδη. οὐ μόνον δὲ ὄντα λέγεται τὸ 20
μὴ ὂν λευκὸν μηδ' ἀήρ, δυνάμενα δὲ γενέσθαι, ἀλλὰ καὶ τἀναντία, τουτέστιν ἀλλὰ λέγεται καὶ μὴ ὄντα· τὸ γὰρ μὴ ὂν λευκὸν δυνάμενον δὲ γενέ-

---

4. 5 ἡ ὑπὸ ζαγ L: ὑπὸ om. A 10 ἢ ἐν τῷ μέσῳ LS: om. A 11 δῆλον LS: om. A 13 ἄρα L: om. A 18. 19 εἴρηται — προτέρα LFS: om. A 21 λέγεται Metaph. vulg., cf. 29 23 ὄντων M: οὐσῶν AL 25 τοιούτων] τούτων coni. Bonitz 27 διδάσκει] διορίζει LF 32 ἢ L: καὶ A

σθαι λέγεται καὶ μὴ ὄν. κυριώτατα δὲ ὄν ἐστι τὸ ἀληθές, μὴ ὂν δὲ τὸ ψεῦδος· τὸ μὲν γὰρ καθημένου Σωκράτους λέγειν αὐτὸν καθῆσθαι ἀληθὲς ὂν κυριώτατόν ἐστιν ὄν, καθημένου δὲ λέγειν αὐτὸν μὴ καθῆσθαι ψεῦδος καὶ μὴ ὄν. ἄλλως δὲ ἐπὶ τῶν πραγμάτων ἐστὶ τὸ ὡς ἀληθῶς ὂν καὶ 25
5 ἄλλως ἐπὶ τοῦ λόγου. ὅταν γὰρ ὑπάρχῃ τὸ καθῆσθαι τῷ Σωκράτει, ἔστι τὸ τοιοῦτον ἀληθὲς καὶ ὂν ἐπὶ τοῦ πράγματος· ἐπὶ τοῦ λόγου δέ ἐστιν, ὅταν ἐγὼ τὸ ὑπάρχον περὶ αὐτὸν λέγω ὅτι ὑπάρχει αὐτῷ, οἷον ὅταν φῶ ὅτι Σωκράτης κάθηται, ὑπάρχοντος αὐτῷ τοῦ καθῆσθαι· ὥστε ἀληθεύω μέν, ὅταν τὸ διῃρημένον καὶ μὴ | ὑπάρχον τῷ Σωκράτει οἴωμαι μὴ 570
10 ὑπάρχειν, ψεύδομαι δὲ οἰόμενος ὑπάρχειν. ἐπειδὴ οὖν ταῦθ' οὕτως ἔχει, πότε ἔστιν ἢ οὐκ ἔστι τὸ ἀληθὲς λεγόμενον ἢ ψεῦδος; τουτέστι πότε ἐστὶν ἡ κατάφασις ἢ ἡ ἀπόφασις ἀληθὴς καὶ πότε οὐκ ἔστιν; οὐ γὰρ διὰ τὸ ἡμᾶς οἴεσθαι καὶ λέγειν ὅτι Σωκράτης κάθηται ἢ λευκός ἐστιν, ὑπάρχειν 5
ἀληθὲς αὐτῷ ταῦτα, ἀλλ' ἔμπαλιν διὰ τὸ ὑπάρχειν αὐτῷ ταῦτα ἡμεῖς ἀλη-
15 θεύομεν. οὐ γὰρ διὰ τοὺς λόγους, ὡς ἐν τῷ δευτέρῳ τμήματι τοῦ Περὶ ἑρμηνείας δέδεικται, τὰ πράγματά ἐστιν, ἀλλὰ διὰ τὰ πράγματα οἱ λόγοι ἀληθεύουσιν ἢ ψεύδονται. οὕτω δὴ περὶ τούτων διορισάμενος λέγει ὅτι εἰ δὴ τὰ μὲν ἀεὶ σύγκειται καὶ ἀδύνατα διαιρεθῆναι (ἀεὶ γὰρ σύγκειται τὸ σφαιροειδὲς τῷ ἡλίῳ καὶ τὸ ἀσύμμετρον τῇ διαμέτρῳ καὶ ἀδύ- 10
20 νατόν ἐστιν αὐτοῖν ταῦτα διαιρεθῆναι), τὰ δ' ἀεὶ διῄρηται καὶ ἀδύνατα συντεθῆναι (ἀεὶ γὰρ διῄρηται ἀνθρώπου τὸ ἄψυχον καὶ ἀδύνατόν ἐστιν αὐτῷ τοῦτο συντεθῆναι), τὰ δ' ἐνδέχεται τἀναντία (συγκειμένου γὰρ τοῦ καθῆσθαι τῷ Σωκράτει ἐνδέχεται διαιρεθῆναι αὐτοῦ), ἐστὶ δὲ τὸ μὲν εἶναι καὶ τὸ ἀληθές, ἵνα πάλιν τοῦτο ὑπομνησθεῖμεν, τὸ συγκεῖσθαι 15
25 τὸν κατηγορούμενον τῷ ὑποκειμένῳ καὶ ἓν εἶναι, τὸ δὲ μὴ εἶναι καὶ τὸ ψεῦδός ἐστι τὸ μὴ συγκεῖσθαι ἀλλὰ πλείω εἶναι καὶ κεχωρισμένα ἀπ' ἀλλήλων· εἰ δή, ὥσπερ εἴρηται, τὰ μὲν ἀεὶ σύγκειται τὰ δὲ ἀεὶ διῄρηται τὰ δ' ἐνδέχεται τἀναντία, περὶ μὲν τὰ ἐνδεχόμενα τἀναντία ἡ αὐτὴ γίνεται ψευδὴς καὶ ἀληθὴς δόξα, καὶ ἐνδέχεται ὁτὲ μὲν ἀληθεύειν ὁτὲ δὲ ψεύδε- 20
30 σθαι. οἷον εἰ σοῦ καθημένου δοξάζω ὅτι κάθησαι ἀληθεύω, εἰ δ' ἀνα- 20
στάντος σου ἔτι τὴν αὐτὴν ἔχω δόξαν τὴν ὅτι κάθησαι. ἡ αὐτὴ δόξα γέγονε καὶ ἀληθὴς καὶ ψευδής, ἀληθὴς μὲν πρότερον ὅτε σοῦ καθημένου τοῦτο αὐτὸ ἐδόξαζον, ὕστερον δὲ ψευδής. περὶ δὲ τὰ ἀδύνατα ἄλλως ἔχειν οὐκ ἐνδέχεται ὁτὲ μὲν ἀληθεύειν ὁτὲ δὲ ψεύδεσθαι, ἀλλ' εἰ μὲν δοξάζω
35 ὅτι ὁ ἥλιος σφαῖρά ἐστιν ἀεὶ ἀληθεύσω· οὐ γὰρ ἐνδέχεται χωρισθῆναι 25
αὐτοῦ τοῦτο τὸ σχῆμα, ὥστε δοξάζων αὐτὸν σφαῖραν ψεύδεσθαι, ὥσπερ ἀπό σου χωρισθὲν τὸ καθῆσθαι ψεύδομαι δοξάζων σε καθῆσθαι, ἀλλ' ἀεί ἐστιν ὁ ἥλιος σφαῖρα· ὥστε καὶ ἐγὼ ἀεὶ δοξάζων τοῦτο ἀεὶ ἀληθεύσω, ἀλλ' οὐ ποτὲ μὲν ποτὲ δ' οὔ. πάλιν ὁ δοξάζων σύμμετρον τὴν πλευρὰν
40 τῇ διαμέτρῳ ἀεὶ ψεύδεται· οὐ γὰρ δύναται σύμμετρος γενέσθαι, ὥστε οὐκ ἂν ἀληθεύσειέ ποτε ἀλλ' ἀεὶ ψεύσεται. 30

4 ἀληθῶς] fort. ἀληθὲς 13. 14 ὑπάρχειν ἀληθὲς] ὑπάρχει LF 15. 16 τοῦ Περὶ ἑρμηνείας] c. 9 p. 18ᵇ37 sqq. 40 ψεύδεται L: ψεύδεσθαι A

p. 1051b17 Περὶ δὲ δὴ τὰ ἀσύνθετα τί τὸ εἶναι ἢ μὴ εἶναι καὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος.

Περὶ μὲν τῶν συνθέτων πῶς τὸ εἶναι καὶ τὸ ἀληθές ἐστι καὶ τὸ μὴ εἶναι καὶ τὸ ψεῦδος, εἴρηται, περὶ δὲ τῶν ἁπλῶν | καὶ ἀσυνθέτων καὶ ὧν 571
5 οὐδέν τι κατηγορεῖται (εἰ γὰρ κατηγορεῖται, σύνθετον ἔσται πάντως), πῶς, φησί, τὸ εἶναι καὶ τὸ μὴ εἶναι, τουτέστι πῶς ἐν αὐτοῖς τὸ εἶναί ἐστι καὶ μὴ εἶναι, ἤτοι πῶς ἔχουσι κατὰ τὸ εἶναι καὶ μὴ εἶναι καὶ πῶς συμβαίνει ἐπ' αὐτοῖς τὸ ἀληθὲς καὶ τὸ ψεῦδος; οὐ γάρ ἐστι τὰ ἁπλᾶ σύνθετα, ἵνα λέγωμεν ὡς ὅταν συγκέηται ὁ κατηγορούμενος καὶ ὑποκείμενος καὶ φῶμεν 5
10 αὐτὸν συγκεῖσθαι ἀληθεύομεν, μὴ συγκειμένου δὲ καὶ λεγομένου συγκεῖσθαι ψευδόμεθα, ὥσπερ ἐπὶ τοῦ λευκοῦ ξύλου ἔχει καὶ ἐπὶ πάντων τῶν συνθέτων· ἐπὶ τούτων μὲν γὰρ λέγοντες περὶ τοῦ λευκοῦ ξύλου ὅτι τὸ ξύλον λευκόν ἐστιν ἀληθεύομεν, μὴ λευκὸν δὲ ψευδόμεθα· ἐπὶ δὲ τῶν ἁπλῶν καὶ ἀσυνθέτων τοῦτο οὐ συμβαίνει, οὐδὲ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ὁμοίως 10
15 ὑπάρξει ἐπὶ τούτων τε καὶ ἐπ' ἐκείνων ἤτοι τῶν συνθέτων. ἀλλὰ κατ' ἄλλον δηλαδὴ τρόπον. εἰ γὰρ ὁμοίως ἐπ' ἀμφοῖν ὑπάρξει, ἀδιάφορα ἔσται, ὅπερ ἄλογον· πολλὴ γὰρ πάνυ τῶν συνθέτων ἡ διαφορὰ πρὸς τὰ ἀσύνθετα. οὕτω δὴ τὸν λόγον ἐρωτήσας ἀποκρίνεται λέγων ἢ ὥσπερ οὐδὲ τὸ ἀληθὲς ἐπὶ τούτων τὸ αὐτό, οὕτως οὐδὲ τὸ εἶναι, ὃ ἴσον ἂν εἴη τῷ
20 ὥσπερ ἐπὶ τῶν ἀσυνθέτων ἄλλως ἀληθεύομεν καὶ οὐχ ὥσπερ ἐπὶ τῶν 15
συνθέτων, οὕτω καὶ τὸ εἶναι ἄλλως ἐστὶ τοῖς ἀσυνθέτοις καὶ ἑτέρως τοῖς συνθέτοις. ἐπειδὴ γὰρ ὡς τὸ πρᾶγμα ἔχει, οὕτω καὶ ὁ περὶ αὐτὸ λόγος καὶ ἡ ἀλήθεια, ὡς δ' ἂν ἕξει τὰ ἁπλᾶ, οὕτως ἕξει καὶ ἡ περὶ αὐτὰ ἀλήθεια, καὶ ἔμπαλιν ὡς ἡ περὶ αὐτὰ ἀλήθεια, καὶ αὐτά· καὶ ἔσται τὸ μὲν
25 ἀληθές, ὅταν αὐτοῦ θιγγάνῃ ὁ νοῦς, τὸ δὲ ψεῦδος, ὅταν μὴ θιγγάνῃ, τουτέστιν ἄγνοια· καταχρηστικώτερον γὰρ ἀντὶ τοῦ ἄγνοια εἶπε τὸ ψεῦδος. ὅτι 20
δὲ ἐν τῇ λέξει τῇ ἀλλ' ἔστι τὸ μὲν ἀληθὲς τὸ δὲ ψεῦδος τὸ ψεῦδος καταχρηστικώτερον καὶ κοινότερον ἀντὶ τῆς ἀγνοίας ἔλαβε, δῆλον πεποίηκεν εἰπὼν τὸ μὲν θιγεῖν καὶ φάναι ἀληθές, ἤτοι τὸ θιγεῖν καὶ φάσιν
30 ἔχειν, ἀλλ' οὐ κατάφασιν ἢ ἀπόφασιν, ἀληθές, τὸ δ' ἀγνοεῖν ἐστι τὸ μὴ θιγγάνειν, ὥστε τὸ ψεῦδος ἀντὶ τοῦ ἀγνοεῖν εἴληπται. ἐπὶ μὲν οὖν τῶν ἁπλῶν, ὥσπερ εἴρηται, ἢ θιγγάνει ὁ νοῦς αὐτῶν καὶ καθάπερ εἰσὶν 25
ἅπτεται τῆς φύσεως αὐτῶν καὶ ἁπλῇ ἐπιβολῇ, ὥσπερ καὶ ἡ ὄψις τῶν χρωμάτων· καὶ ἀληθεύει οὐχ ὡς καταφάσκων αὐτῶν τι ἀλλ' οἷον ὁρῶν
35 αὐτά, ὡς καὶ ἡ ὄψις τὰ χρώματα· οὐδὲ γὰρ αὕτη τι καταφάσκει αὐτῶν ἀλλὰ μόνον ὁρᾷ. ὅταν οὖν ταῦτα οἷον ὁρᾷ ὁ νοῦς, φάσιν αὐτῶν ἔχει ἀλλ' οὐ κατάφασιν· ἡ γὰρ κατάφασις ἐπὶ συνθέτου λέγεται ὑποκειμένου καὶ κατη- 30
γορουμένου. ἢ οὖν θιγγάνει καὶ ἅπτεται αὐτῶν καὶ ἀληθεύει, ἢ οὐ θιγ-

---

3 μὲν L: δὲ A 9 συγκέηται M: σύγκειται ALF φῶμεν M: φαμὲν ALF
28 ἀντὶ LF: ἀπὸ A 29 φάναι LS: ζητῆσαι A φάσιν L: φύσιν A 32 καθάπερ εἰσὶν M: κατὰ ἀπέρεισιν AL

γάνει οὐδ' οἷον ὁρᾷ αὐτὰ οὐδ' ὅλως ἐννοεῖ τι περὶ αὐτῶν, καὶ λέγεται
ἔχειν περὶ αὐτῶν ἄγνοιαν, οὐ μὴν ψεύδεσθαι. | ἐπεὶ οὐδ' ἡ ὄψις ὅταν 572
ἐν νυκτὶ μὴ ὁρᾷ τὰ χρώματα, λέγεται ψεύδεσθαι ἀλλ' ἀγνοεῖν αὐτά. τὸ
γὰρ ψεύδεσθαι ἐπὶ συνθέτων λέγεται, ὅταν τὸ μὴ ὂν τόδε τι λέγῃ εἶναι
5 αὐτό, οἷον τὸ μὴ ὂν λευκὸν ξύλον λέγῃ αὐτὸ λευκόν, ἢ τὸ ὂν λέγῃ μὴ ὄν,
οἷον τὸ ἄνθρωπον μὴ εἶναι ζῷον. ὥστε ἀληθεύει μὲν περὶ τὰ ἁπλᾶ ὁ
νοῦς, ὅταν καθάπερ εἰσὶ καὶ ἁπλαῖς ἐπιβολαῖς ἅπτηται αὐτῶν. ἔστι μὲν 5
οὖν περὶ τὰ ἁπλᾶ ἀληθεύεσθαι, ὅταν αὐτῶν θιγγάνῃ ὁ νοῦς, καὶ οἷον φάσιν
ἔχειν ἀλλ' οὐ κατάφασιν, ἀπατηθῆναι δὲ ἢ ψεύδεσθαι περὶ αὐτὰ οὐκ ἐν-
10 δέχεται· ἡ γὰρ ἀπάτη καὶ τὸ ψεῦδος περὶ τὰ σύνθετα ὑφίσταται, ὅταν τὸ
μὴ κατά τινος ὑπάρχον ὑπάρχειν λέγηται ἢ τὸ ὑπάρχον μὴ ὑπάρχειν. εἰ-
πὼν δὲ ὅτι ἀπατηθῆναι περὶ τὸ τί ἐστι καὶ τοὺς ὁρισμοὺς οὐκ ἔστιν 10
(οὐ γὰρ χωρίζονται τῶν ὧν εἰσιν ὁρισμοί, ὡς τὸ καθῆσθαι καὶ γράφειν
τῶν καθημένων καὶ γραφόντων), λέγει ὅτι οὐδὲ περὶ τὰς μὴ συνθέτους
15 καὶ ἁπλᾶς ἔστιν ἀπατηθῆναι οὐσίας, περὶ ὧν ἤδη πεπαύμεθα λέγοντες·
κατὰ συμβεβηκὸς δὲ ἔστιν ἀπατηθῆναι, εἴ τις τὸ μὴ θιγγάνειν ἀπάτην
βούλεται λέγειν. εἰσὶ δὲ πᾶσαι αἱ ἁπλαῖ οὐσίαι ἐνέργειαι, ἀλλ' οὐ δυνά-
μει· πρῶτον μὲν ὡς εἴπερ ἦσαν δυνάμει, ἐγίνοντο ἂν περὶ αὐτὰς ἀπάται. 15
εἰ γὰρ εἶχον ἔννοιαν περὶ τῆς ἁπλῆς οὐσίας ὡς ἔστι τοδί, αὕτη δὲ δυνάμει
20 οὖσα τόδε τι κεκίνητο εἰς ὃ ἐδύνατο, ἠπατήθησαν ἄν· ὥσπερ γὰρ ὁ καθή-
μενος ὅταν σταίη, ὁ καθήμενον ἔτι αὐτὸν ὑπολαμβάνων ἀπατᾶται καὶ ψεύ-
δεται, οὕτω δὴ συνέπεσεν ἂν καὶ ἐπ' αὐτῆς. ἔπειτα εἰ ἦσαν δυνάμει,
ἐγίνοντο ἂν καὶ ἐφθείροντο· τὸ γὰρ δυνάμενον τόδε τι γενέσθαι γί- 20
νεται ἐκεῖνο ὅπως δύναται· καὶ εἰ ἐγίνοντο, ἔκ τινος ἂν ἐγίνοντο καὶ τοῦτο
25 εἰς ἄπειρον. νῦν δὲ τὸ ὂν αὐτὸ οὐ γίνεται. καὶ εἴη ἂν λέγων ὅτι τὸ
κυρίως ὂν καὶ ἡ ἁπλῆ ὑπερούσιος οὐσία καὶ ἀκινήτως κινοῦσα, ὁ πολυτί-
μητος θεός, οὐ γίνεται οὐδὲ φθείρεται. ἢ τὸ νῦν δὲ τὸ ὂν αὐτὸ οὐ γί-
νεται οὐδὲ φθείρεται ἴσον ἂν εἴη τῷ νῦν δὲ τὸ ὂν καὶ ἡ οὐσία τοῦ
ἁπλοῦ, ὁποῖον ἄν ποτε εἴη, οὐ γίνεται οὐδὲ φθείρεται· πᾶν γὰρ τὸ γινό- 25
30 μενον σύνθετόν ἐστιν. ὅσα δέ, φησί, τῶν ὄντων ἐστὶν ὅπερ εἶναί τι
καὶ ἐνεργείᾳ, τουτέστιν ὅσα ἐστὶν ὅπερ ὄντα καὶ ἐνεργείᾳ, τουτέστιν ὅσα
εἰσὶν ἐνέργειαι καὶ εἴδη, περὶ ταῦτα οὐκ ἔστιν ἀπατηθῆναι, ἀλλ' ἢ
ἅπτεσθαι αὐτῶν τὸν νοῦν καὶ ἀληθεύειν ἢ μὴ ἅπτεσθαι, καὶ οὐκ ἔστι
τοῦτο ἀπάτη. καὶ ζητεῖται τὸ τί ἐστι περὶ αὐτῶν οὐχ ὡς κατηγοροῦντες
35 αὐτῶν τι, ἀλλὰ μόνον νοοῦντες καὶ οἱονεὶ ὁρῶντες. τὸ δὲ ταῦτα οἷον ὁρᾶν 30
ἐγγίνεται τοῖς εἰς ἄκρον ἐπιστήμης ἐλθοῦσι καὶ εὖ ζήσασιν.

p. 1051ᵇ33 Τὸ δὲ εἶναι ὡς τὸ ἀληθὲς καὶ τὸ μὴ εἶναι ὡς τὸ 573
ψεῦδος, ἓν μέν ἐστιν, εἰ σύγκειται, ἀληθές.

Τὸ ὂν τὸ ὡς ἀληθές, φησί, καὶ τὸ μὴ ὂν τὸ ὡς τὸ ψεῦδος, ἕνα μέν

7 καθάπερ εἰσὶ M: κατὰ ἀπέρεισιν AL 9 ψευσθῆναι LF 15 περὶ ὧν M Bonitz: καὶ ὅλως AL 30 ὅσα δὴ Metaph. 33 αὐτῶν — μὴ ἅπτεσθαι LFS: om. A 39 μέν LF: δὲ A

ἐστι τρόπον, εἰ σύγκειται ὁ κατηγορούμενος τῷ ὑποκειμένῳ καί φαμεν αὐτὸν συγκεῖσθαι, τοῦτό ἐστιν ὂν τὸ ὡς ἀληθές· εἰ δὲ μὴ σύγκειται, λέγεται δὲ συγκεῖσθαι, μὴ ὂν τὸ ὡς ψεῦδος. τὸ δὲ ἕν, τουτέστιν ἄλλον δὲ τρόπον, εἴπερ ὂν οὕτως ἐστί, ἤτοι ἅνπερ ἐστὶν ἁπλοῦν, οὕτως ἐστὶν ἡ περὶ αὐτὸ ἀλήθεια, οὐχ ὥστε καταφάσκειν τι αὐτοῦ ἀλλὰ κατά τινα φάσιν αὐτὸ νοεῖν καὶ οἷον ὁρᾶν. εἰ δὲ μὴ οὕτως, δηλονότι εἰ δὲ μή ἐστιν ἁπλοῦν, οὐκ ἔστι περὶ αὐτὸ τὸ ἀληθεύειν μόνον θιγγάνοντα. καὶ σαφηνίζει αὐτὸ λέγων τὸ δὲ ἀληθὲς τὸ νοεῖν ταῦτα, ἀπάτη δὲ περὶ αὐτὰ οὐκ ἔστιν ἀλλ' ἄγνοια. ἄγνοια δ' οὐχ οἵα ἡ τυφλότης ὡς μὴ δυνηθῆναί ποτε νοῆσαι, ἀλλὰ τοιαύτη οἵα ὑπάρχει, ὅταν τις μὴ περί τινος λογίζηται· ἡ δὲ τυφλότης τοιοῦτόν ἐστιν, ὁποία ἐστὶν ἡ ἄγνοια ὅταν τὸ νοητικὸν μηδαμῶς τις ἔχῃ· ὁ γὰρ τούτου ἐστερημένος οὐδέποτε ἄν τι νοήσειεν, ὥσπερ οὐδὲ ὁ ἐστερημένος τῶν ὀφθαλμῶν βλέψειέ ποτε.

p. 1052a4 Φανερὸν δὲ καὶ ὅτι καὶ περὶ τῶν ἀκινήτων οὐκ ἔστιν ἀπάτη κατὰ τὸ ποτέ, εἴ τις ὑπολαμβάνει ἀκίνητα.

Εἰ ἡ κατὰ τὸ ποτὲ ἀπάτη περὶ τὰ ἐνδεχόμενα καὶ ἄλλως ἔχειν ἐστί, τὰ δὲ ἀκίνητα καὶ ἀίδια οὐκ ἐνδέχεται ἄλλως ἔχειν, οὐκ ἂν εἴη περὶ αὐτὰ ἀπάτη ἡ κατὰ τὸ ποτέ, ἀλλ' ἢ ὥσπερ εἴρηται πρὸ ὀλίγου, ἢ ἀεὶ ἀπατηθήσεται ἢ ἀεὶ ἀληθεύσει. εἰ γάρ τις καὶ μὴ οἴοιτο μεταβάλλειν τὸ τρίγωνον ἀλλ' ἀκίνητον αὐτὸ ὑπολαμβάνοι, οὐκ ἂν ὑπολάβοι ὡς αἱ τρεῖς αὐτοῦ γωνίαι ποτὲ μὲν δυσὶν ὀρθαῖς ἴσαι εἰσὶ ποτὲ δὲ οὔ. εἰ γὰρ τοῦτο νοήσοι, ὑπολήψοιτο ἂν αὐτὸ καὶ μεταβάλλειν· ἀλλ' ὑπόκειται ὑπολαμβάνειν αὐτὸ ἀμετάβλητον. ἀλλὰ τοῦτο μὲν ὑπολαβεῖν οὐκ ἐνδέχεται, ἀλλὰ τὶ μὲν τὶ δ' οὔ, τουτέστιν ἄρτιον μὲν ἀριθμὸν πρῶτον ὑπολαμβάνειν μηδένα εἶναι ἐνδέχεται, ἢ τινὰς μὲν εἶναι ἀρτίους πρώτους τινὰς δὲ οὔ, καὶ τοῦτο ἐνδέχεται· τὸ δὲ τὸν δύο λαβεῖν αὐτὸν καθ' αὑτὸν καὶ ὑπολαμβάνειν αὐτὸν ποτὲ μὲν ἄρτιον πρῶτον ποτὲ δὲ οὐ πρῶτον, οὐκ ἐνδέχεται. τὸ δὲ οὐ γὰρ ἔτι τινὰ μὲν τινὰ δὲ οὐκ οἴησεται τοιοῦτον ἂν εἴη· οὐ γὰρ οἰήσεται ὁ τοὺς ἀριθμούς, ὥσπερ τὸ τρίγωνον, ἀκινήτους οἰόμενος ὅτι τὶς μὲν ἀριθμὸς πρῶτος ὢν ποτὲ ἔσται καὶ μὴ πρῶτος, ὁ δὲ κινουμένους αὐτοὺς οἰόμενος οὗτος τοῦτο πείσεται· ὥστε ἢ ἀληθεύσει, εἰ τὸν δύο ἄρτιον ὑπολαμβάνει, ἢ ἀεὶ ψεύσεται, εἰ μὴ οὕτως αὐτὸν ἔχειν ὑπολήψεται. μέχρι τῶν ὧδε πεπλήρωνται αἱ εἰς τὸ Θ τῶν Μετὰ τὰ φυσικὰ σχολαί.

---

13 βλέψει LF 20 ὑπολαμβάνοι MF: ὑπολαμβάνει AL ὑπολάβοι M: ὑπολάβῃ ALF 22 ὑπολήψοιτο M: ὑπολήψαιτο ALF 32. 33 μέχρι—σχολαί om. LF

Ἐπεὶ οἱ τὰς ἰδέας τιθέμενοι καὶ αὐτοὲν ἐδόξαζον, τοῦτο αὐτὸ λέγοντες εἶναι τὴν φύσιν αὐτοῦ καὶ ἐν τούτῳ οὐσιῶσθαι ἐν τῷ ἓν εἶναι (οὐδὲ γὰρ ὥσπερ ὁ Σωκράτης ἓν ὂν ὑπόκειται αὐτός, κατηγορεῖται δὲ αὐτοῦ τὸ ἕν, οὕτως ἔλεγον καὶ ὡς αὐτοενὶ ὑποκεῖσθαί τινα φύσιν, λέγεσθαι δὲ κατ' αὐτῆς τὸ αὐτοέν, οὔτε ὡς οἱ φυσικοὶ μίαν λέγοντες τὴν ἀρχὴν ὑπετίθουν αὐτῇ πῦρ ἢ ὕδωρ ἢ ἀέρα, ἀλλ' οὐσιῶσθαι αὐτὸ ἐν τῷ ἓν εἶναι, καὶ εἶναι αὐτοῦ φύσιν τὸ ἕν, μηδὲ ὂν αὐτὸ λέγοντες ἀλλὰ μόνον ἕν· καὶ ὅτῳ φίλον πῶς ταῦτα λέγουσι μαθεῖν, ἐντυγχανέτω τὸν ἐπιγραφόμενον Παρμενίδην ἢ Περὶ ἰδεῶν τοῦ Πλάτωνος διάλογον) — ἐπειδὴ οὖν ταύτην εἶχον περὶ τοῦ ἑνὸς τὴν ἔννοιαν, ζητῆσαι ἐν τῷ παρόντι βιβλίῳ προτίθεται εἰ ἔστι τι τοιοῦτον ἓν ἢ μή. πρότερον δὲ διαίρεσιν ποιεῖται τοῦ ἑνὸς καὶ λέγει τίνα ἐστὶ τὰ κυρίως σημαινόμενα τοῦ ἑνὸς καὶ πῶς τὸ ἓν τέως ἐν τοῖς αἰσθητοῖς εἶναι ὑπολαμβάνομεν. λέγει δὲ ὅτι τῷ ἑνὶ πανταχοῦ ὡς ἀρχῇ μέτρου χρώμεθα καὶ ἐν ἀριθμοῖς καὶ ἐν μεγέθεσι καὶ ἐν μέλεσι· τὴν γὰρ δίεσιν ἀρχὴν τῶν μελῶν ποιούμεθα. περὶ δὴ τούτων καὶ ἄλλων τοιούτων πρότερον τὸν λόγον ποιεῖται, καὶ οὕτω ζητεῖ εἰ δύναται εἶναί τι τοῦτο αὐτὸ ἔχον φύσιν τὸ ἕν, εἶτα ζητεῖ καὶ περὶ τῶν ἐναντίων τίνα ἐστὶ καὶ ὅλως περὶ τῶν ἀντικειμένων καὶ πῶς εἰσι. τὰ μὲν οὖν ἐνταῦθα λεχθησόμενα τοιαῦτα, ἰτέον δὲ ἡμῖν ἐπὶ τὴν τῶν λεγομένων σαφήνειαν.

p. 1052a15 Τὸ ἓν ὅτι μὲν λέγεται πλεοναχῶς. ἐν τοῖς περὶ τοῦ ποσαχῶς διῃρημένοις εἴρηται πρότερον.

Ἐν τῷ Δ τῇδε τῆς πραγματείας εἴρηκε περὶ τῶν τοῦ ἑνὸς σημαινομένων, ὅτε καὶ περὶ τῶν ἄλλων ἁπάντων ὧν ἐκεῖσε ἐμνήσθη ἐπεσκέπτετο ποσαχῶς ἕκαστον λέγεται. καὶ νῦν πάλιν ὑπομιμνήσκει λέγων τὸ ἓν

1 Tit. σχόλια — μετὰ τὰ φυσικά M: σχόλια εἰς τὸ ἰῶτα A: om. LF 2 αὐτὸ LF: om. A 4 ἓν ὧν LF αὐτός LF: αὐτό A 5 ὡς delendum censet Bonitz 7 εἶναι (post ἓν) LFS: om. A 13 πῶς τὸ ἓν LF: τὸ om. A 23 ἐν τῷ Δ] c. 6

ὅτι μὲν λέγεται πλεοναχῶς εἴρηται ἐν ἐκείνοις· οἱ συγκεφαλαιούμενοι δὲ τρόποι τῶν πρώτων καὶ καθ' αὑτὰ λεγομένων ἕν, τουτέστιν οἱ πρῶτοι τῶν τοῦ ἑνὸς σημαινομένων τρόποι, ἀλλὰ μὴ οἱ κατὰ συμβεβηκὸς λεγόμενοι (οὗτοι γὰρ πάμπολλοί εἰσιν), οἱ πρῶτοι δὴ τέσσαρές εἰσι, καὶ τίνες οὗτοι καταλέγει. τό τε γὰρ συνεχές, φησίν, ἓν λέγεται· τὸ δὲ συνεχὲς ἢ ἁπλῶς καὶ καθόλου λέγεται (ἁπλῶς συνεχὲς καὶ οὐ κυρίως λέγεται τὸ ἁφῇ καὶ δεσμῷ ἢ κόλλῃ), τὸ δὴ συνεχὲς ἓν λέγεται ἢ τὸ ἁπλῶς ὂν συνεχές, ἢ τὸ μάλιστά γε τῇ φύσει συνεχὲς ἕν ἐστιν· | φύσει δὲ συνεχῆ τά τε ζῷα καὶ τὰ φυτὰ καὶ ὅλως τὰ ἐκ φύσεως γινόμενα ἀλλὰ μὴ ἀπὸ τέχνης. καὶ τούτων πάλιν τῶν φύσει συνεχῶν μάλιστα καὶ κυριώτατα ἓν λέγεται οὗ ἡ κίνησις ἀδιαιρετωτέρα καὶ μᾶλλον ἁπλῆ. τοιοῦτον δ' ἂν εἴη τὸ κυκλοφορητικὸν σῶμα· τῶν μὲν γὰρ ζῴων αἱ κινήσεις οὔκ εἰσιν ἁπλαῖ, οὐδ' ἀδιαίρετοι. ἧ μὲν γὰρ στάσει διαλαμβάνονται (ἐν γὰρ ταῖς τῶν ποδῶν ἀντερείσεσιν, ὅτε κινοῦνται, στάσεις γίνονται) οὔκ εἰσιν ἁπλαῖ· ἧ δὲ οὐ πᾶν ἅμα τὸ ζῷον κινεῖται ἀλλ' οὐδὲ τὰ μόρια αὐτοῦ (κινουμένου γὰρ τοῦ δεξιοῦ ποδὸς καὶ προηγουμένου ὁ λαιὸς ἵσταται, πάλιν τούτου προηγεῖσθαι μέλλοντος ἵσταται ὁ δεξιός) εἰσὶ διαιρεταί· διαιροῦνται γὰρ ἐν ταῖς στάσεσι. τοῦ δ' οὐρανοῦ ἅτε ἄρθρα μὴ ἔχοντος ἀλλ' ἑνὸς ὄντος καὶ συνεχοῦς, οὐ δυνατόν ἐστι τὸ μὲν αὐτοῦ κινεῖσθαι τὸ δὲ μή, ἀλλ' ἅπαντα τὰ μόρια αὐτοῦ ἅμα κινοῦνται· ὥστε κυριώτερον ἓν τῶν ἐνταῦθα τὸ κυκλοφορητικόν ἐστιν. ὅτι δὲ τοῦτο λέγει κυρίως ἕν, μετ' ὀλίγον καὶ αὐτὸς δηλώσει. ἔτι, φησί, τοιοῦτον καὶ μᾶλλον, τουτέστιν ἔτι ἓν λέγεται καὶ μᾶλλον ἓν τὸ ὅλον καὶ ἔχον τινὰ μορφὴν καὶ εἶδος. καὶ συμπεριείληφε διὰ τούτου τοῦ τρόπου πάντα τὰ φυσικὰ μεγέθη τά τε κυκλοφορητικὰ καὶ τὰ ὑπὸ σελήνην. ἐπειδὴ δὲ εἰδός τί ἐστι καὶ ἡ ναῦς καὶ ἡ οἰκία, λέγει μάλιστα δὲ εἴ τι φύσει τοιοῦτόν ἐστι καὶ μὴ βίᾳ, ὥσπερ ὅσα κόλλῃ ἢ γόμφῳ ἢ συνδέσμῳ. γόμφῳ μέν ἐστιν ἓν ἡ ναῦς, κιβώτιον, συνδέσμῳ ὁ φάκελος, κόλλῃ δὲ βιβλίον. ὅσα δὴ ἔχει μορφὴν καὶ εἶδος φύσει ἀλλὰ μὴ βίᾳ, ὥσπερ ὅσα γόμφῳ ἐστὶν ὡς ἡ ναῦς, ἀλλ' ἔχει ἐν ἑαυτοῖς τὸ αἴτιον τοῦ συνεχῆ εἶναι, ἓν λέγεται. ταῦτα δ' ἐστὶ τὰ ἐν ἑαυτοῖς ἔχοντα τὸ αἴτιον τοῦ συνεχῆ εἶναι, ὧν ἡ κίνησις μία καὶ ἀδιαίρετος τόπῳ καὶ χρόνῳ. εἰ γὰρ ἐν ἄλλῳ μὲν τόπῳ κινεῖταί τι, ἐν ἄλλῳ δὲ ἕτερον, ἐξ ἀνάγκης διαιρετή ἐστιν ἡ κίνησις, ὥσπερ ἔχει ἡ τῶν ζῴων βάδισις· ἐν ἄλλῳ μὲν γὰρ χρόνῳ κινεῖται ὁ δεξιὸς ποὺς καὶ ἐν ἄλλῳ ὁ λαιός. εἰ δὴ ταῦθ' οὕτως ἔχει, ἔκδηλον ὅτι εἴ τι φύσει κινήσεως ἀρχὴν ἔχει τῆς πρώτης τὴν πρώτην, ὅτι τοῦτο πρῶτον μέγεθος ἕν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. δέδεικται ἐν τῷ Θ τῆς Φυσικῆς ἀκροάσεως ὡς ἡ κατὰ τόπον κίνησις προτέρα ἐστὶ τῶν ἄλλων κινήσεων, αὐξήσεως φθίσεως καὶ τῶν ἄλλων, τῆς

---

1 ὅτι μὲν LF: μὲν ὅτι A 3 τῶν τοῦ LF: τῶν om. A 6 ἁπλῶς δὲ συνεχὲς coni. Bonitz 17. 18 διαιρεταί LF: διαιρετοί A 19. 20 τὶ μὲν et τὶ δὲ LF 33 post τόπῳ fort. addendum ἢ χρόνῳ 34 ἡ τῶν LF: ἡ om. A 36 φύσει κινήσεως Bonitz: φύσει A: φύσεως LFM: κινήσεως S 38 ἐν τῷ Θ τῆς Φυσικῆς ἀκροάσεως] c. 7

δὲ κατὰ τόπον πάλιν δέδεικται ἐκεῖσε προτέρα ἡ κύκλῳ. τούτων ἐκεῖσε
δειχθέντων λέγει. ἐπειδὴ τὸ κυκλοφορητικὸν σῶμα ἀρχὴν ἔχει ἐν ἑαυτῷ 30
κινήσεως, ἡ δὲ κύκλῳ κίνησις πρώτη ἐστὶ τῆς κατὰ τόπον, ἥτις πάλιν ἡ
κατὰ τόπον πρώτη τῶν ἄλλων, τὸ κυκλοφορητικὸν σῶμα δῆλον ὅτι πρῶ-
5 τόν ἐστι | μέγεθος· ἡ γὰρ τῶν μορίων αὐτοῦ κίνησις οὐκ ἐν ἄλλῳ καὶ 576
ἄλλῳ χρόνῳ γίνεται, ἀλλ' ἅμα πάντα ἐν τῷ αὐτῷ χρόνῳ κινοῦνται. ἔστιν
οὖν, ὥσπερ εἴρηται, ἡ κυκλοφορία πρώτη τῆς φορᾶς. καὶ τὸ ἔχον ἄρα
ταύτην τὴν ἀρχὴν πρῶτόν ἐστι μέγεθος τοῦ ἔχοντος τὴν τῆς φορᾶς ἀρ-
χήν. τὰ μὲν δὴ οὕτως ἓν λέγεται ἢ τὸ συνεχὲς ἢ τὸ ὅλον (ὅλον 5
10 δὲ ποῖον λέγεται εἴρηται ἐν τῷ Δ), τὰ δὲ λέγεται ἓν ὧν ἂν ὁ λόγος εἷς
ᾖ. καὶ τίνων ὁ λόγος εἷς ἐστιν ἐπάγει· ὧν ἡ νόησις μία καὶ ἡ ἐπι-
στήμη. τίνων δὲ πάλιν ἡ νόησίς ἐστι μία ἐπιφέρει, ὧν ἀδιαίρετος ἡ
νόησις. ἡ δὲ τοῦ ἀδιαιρέτου καὶ κυρίως ἑνὸς ἡ ἀδιαίρετος νόησίς ἐστιν ἢ
εἴδει ἢ ἀριθμῷ. ὥστε ἐξ ὧν λέγει ὁ μὲν καθόλου ἄνθρωπος καὶ ἵππος
15 καὶ ὅλως τὰ εἰδικώτατα εἴδη, καὶ ὁ Σωκράτης καὶ ὁ Πλάτων καὶ ἁπλῶς 10
τὰ ἄτομά εἰσιν ἕν, τὸ δὲ ζῷον τὸ καθόλου ἓν οὐκ ἔστιν, ὅτι διαιρεῖται εἴς
τε τὸ ζῷον πτηνὸν καὶ εἰς τὸ ζῷον πεζὸν καὶ εἰς τὸ ζῷον ἔνυδρον. ὧν
αἱ νοήσεις καὶ ἐπιστῆμαι διάφοροι· ἄλλη γὰρ νόησις καὶ ἐπιστήμη ζῴου
πτηνοῦ καὶ ἄλλη ζῴου πεζοῦ. ὁ δὲ ἄνθρωπος οὐ διαιρεῖται εἰς ἕτερα εἴδη
20 εἰδικώτατον ὂν εἶδος, οὐδὲ οἱ κατὰ μέρος πολλῷ μᾶλλον ἄνθρωποι διαι- 15
ροῦνται εἰς ἀνθρώπους. εἰ δὴ ἓν λέγομεν ὧν ἡ κίνησις μία καὶ ὧν ἡ
νόησις καὶ ἡ ἐπιστήμη ἡ αὐτή, ταῦτα δὲ διὰ τὸ εἶδος συμβαίνει, ἓν ἂν
εἴη πρῶτον τὸ ταῖς οὐσίαις αἴτιον τοῦ ἑνός· τοῦτο δ' ἐστὶ τὸ εἶδος.
καὶ ἐπανακεφαλαιοῦται διὰ βραχέων τὰ λεχθέντα λέγων λέγεται μὲν οὖν
25 τὸ ἓν τοσαυταχῶς, τό τε συνεχὲς φύσει καὶ τὸ ὅλον (ὁ γὰρ μο- 20
νόχειρ συνεχὴς μέν ἐστιν, ἀλλ' οὐ καὶ ὅλος, ὥστε διαφέρει), καὶ τὸ καθ'
ἕκαστον καὶ ἄτομον, καὶ τὸ καθόλου καὶ τὸ εἶδος. λέγεται δ' ἓν πάντα
ταῦτα ἐν τῷ ἢ τὴν κίνησιν εἶναι ἀδιαίρετον ἢ τὴν νόησιν ἢ τὸν λόγον
καὶ τὸ εἶδος.

30 p 1052ᵇ1 Δεῖ δὲ κατανοεῖν ὅτι οὐχ ὡσαύτως ληπτέον λέγεσθαι
ποῖά τε ἓν λέγεται καὶ τί ἐστι τὸ ἑνὶ εἶναι καὶ τίς αὐτοῦ λόγος.

Ἐπειδὴ ἑτέρα ἐστὶν ἡ φύσις τοῦ ἑνὸς καὶ ἕτερα τὰ καθ' ὧν κατη-
γορεῖται (ἄλλο γὰρ Σωκράτης καὶ ἄλλο τὸ ἓν τὸ κατὰ τοῦ Σωκράτους 25
κατηγορούμενον), λέγει ὅτι δεῖ κατανοεῖν ὅτι ἑτέρα ἐστὶν ἡ ζητοῦσα ζή-
35 τησις ποῖά τε τῶν φυσικῶν πραγμάτων ἓν λέγεται καὶ ἑτέρα ἡ τὸ ἑνὶ εἶναι
καὶ τὸν λόγον καὶ τὴν φύσιν τοῦ ἑνὸς ζητοῦσα. τοῦτο δὴ θεὶς ἐπάγει ὅτι
τὸ μὲν ἓν λέγεται τοσαυταχῶς ὁσαχῶς διωρίσθη (διωρίσθη δὲ τετραχῶς),
καὶ ἕκαστον τῶν ὄντων ἓν λέγεται ᾧ ἄν τις τῶν τοῦ ἑνὸς διορισθέντων

---

8 τῆς φορᾶς LF: τῆς om. A 10 ἐν τῷ Δ] c. 26 20 ὂν] ὧν LF οἱ L: om. A 32 ἕτερα τὰ LF: ἑτέρα τοῦ A

τρόπων ὑπάρξῃ. τὸ δὲ | ἑνὶ εἶναι καὶ ἡ φύσις τοῦ ἑνὸς ὁτὲ μὲν τούτων 577
τινὶ ὑπάρξει. λέγων τούτων, τὸ συνεχὲς φύσει, τὸ ὅλον, τὸ ἔχον μορφὴν
καὶ εἶδος καὶ ὅσα ἄλλα εἴρηται, ὁτὲ δὲ ἡ φύσις τοῦ ἑνὸς ὑπάρξει ἄλλῳ
τινὶ ἑτέρῳ ὄντι τῶν ἀπηριθμημένων. ὅπερ ἕτερον ἐγγὺς τῷ ὀνόματί ἐστι.
5 τουτέστι μᾶλλον τῶν ἄλλων τῷ ἑνὶ ἐγγίζει καὶ πλησιαίτερον ἐκείνων τῇ
τοῦ ἑνός ἐστι φύσει καὶ κυριωτέρως τὸ ἓν κατὰ τούτου λέγεται, καὶ ἔστι
μεταξὺ τῆς τοῦ ἑνὸς φύσεως καὶ τοῦ συνεχοῦς καὶ τοῦ ὅλου καὶ τῶν τοι-
ούτων. τοῦτο δὲ τὸ μᾶλλον ἐγγίζον τῷ ἑνὶ ὁποῖόν ἐστι μετ' ὀλίγον εἰσό-
μεθα, ὅταν καὶ αὐτὸς περὶ αὐτοῦ λέγῃ, ὅταν λέγῃ οὕτωσί μάλιστα δὲ τὸ
10 μέτρον εἶναι πρῶτον ἑκάστου γένους καὶ κυριώτατα τοῦ ποσοῦ.
ἔστιν οὖν ἄλλο ὃ καὶ μᾶλλον ἐγγὺς τῷ ὀνόματί ἐστιν, ἐκεῖνα δὲ τὰ ἀπη- 10
ριθμημένα ἓν δυνάμει εἰσὶν ἕν, ἤτοι φύσεις τινὲς καὶ κατ' αὐτῶν λέγεται
τὸ ἕν. ἀλλὰ μὴν καὶ ἐκεῖνο τὸ παρὰ τὰ ἄλλα, ὃ καὶ μᾶλλον ἐγγὺς τοῦ
ὀνόματός ἐστι, φύσις τίς ἐστι καὶ κατηγορεῖται κατ' ἐκείνου τὸ ἕν· οὐ γὰρ
15 οὐσίωται ἐν τῷ ἑνὶ εἶναι. καὶ οἶμαι τὸ δυνάμει ἐκεῖνα ἴσον ἐστὶ τῷ
ἐκεῖνα, τό τε συνεχὲς καὶ τὰ λοιπά, ὡς πρὸς τὸ ἄλλο, ὃ καὶ μᾶλλον ἐγ- 15
γύς ἐστι τῷ ὀνόματι, ἐξεταζόμενα δυνάμει εἰσὶν ἕν, καθ' αὑτὸ δὲ τοῦτο.
μή ποτε δὲ ἐπειδή, ὡς ἐρεῖ, τὸ ἕν, ὅπερ ἐγγὺς τῷ ὀνόματί ἐστιν, οὐδὲν
ἄλλο τυγχάνει ὂν ἢ τὸ μέτρον καὶ ἀρχὴ τοῦ ποσοῦ ἢ ποσόν, καὶ τούτου
20 μάλιστα τὸ μέτρον τοῦ διωρισμένου ποσοῦ. ὅπερ ἐστὶν ἡ μονάς. δι' ἣν
λέγεται καὶ ἡ δίεσις ἓν καὶ μέτρον καὶ ἀρχὴ τῶν φθόγγων καὶ τοῦ βάρους
ἡ λίτρα, μήποτε οὖν διὰ ταῦτα πόρρω ἠνίξατο τοῦτο, λέγων, ὅτι ἡ μονὰς 20
ἐγγύς ἐστι τῷ ὀνόματι, τὰ ἄλλα ἥ τε δίεσις καὶ ἡ λίτρα καὶ ἡ ποδιαία
γραμμὴ καὶ τὰ ἄλλα ὧν ἐκεῖσε μνημονεύσει δυνάμει εἰσὶν ἓν καὶ οὐ καθ'
25 αὑτό. τὸ δὲ ὥσπερ περὶ στοιχείου καὶ αἰτίου εἰ δέοι λέγειν ἐπί
τε τοῖς πράγμασι διορίζοντα καὶ τὰ ἑξῆς συνεχές ἐστι τοῖς ἄνω τοῖς
δεῖ δὲ κατανοεῖν ὅτι οὐχ ὡσαύτως ληπτέον λέγεσθαι ποιά τε ἓν 25
λέγεται. καὶ ἔστιν ἡ πᾶσα τοῦ λόγου συνέχεια τοιαύτη· δεῖ κατανοεῖν
ὅτι ἑτέρα ἐστὶν ἡ ζητοῦσα ζήτησις τὰ ὑποκείμενα, καθ' ὧν τὸ ἓν λέγεται,
30 καὶ ἑτέρα ἡ τὸ ἑνὶ εἶναι καὶ τὴν φύσιν καὶ τὴν οὐσίαν τοῦ ἑνὸς ζητοῦσα,
ὥσπερ καὶ περὶ στοιχείου καὶ αἰτίου· διαφέρει γὰρ τὸ ζητεῖν τίς φύσις
καὶ λόγος τοῦ στοιχείου, ὅτι ἐξ οὗ πρώτου φέρε εἰπεῖν ἐλαχίστου καὶ εἰς
ὃ ἔσχατον ἐλάχιστον τὰ ἐκ τούτου ἀναλύεται, τῆς ζητήσεως, ἥπερ ζητεῖ 30
τίνων τὸ στοιχεῖον καὶ ἡ τοιαύτη | φύσις κατηγορεῖται, καὶ τίνι συνέβη 578
35 στοιχείῳ εἶναι, πότερον τῷ πυρὶ ἢ ἄλλῳ τινί. ὅτι δὲ διάφοροι αἱ τοιαῦται
ζητήσεις δῆλον· ἄλλον γὰρ ἀποδίδομεν τοῦ πράγματος, λέγω δὴ τοῦ πυρός,
ὅρον καὶ ἄλλον τοῦ ὀνόματος, ὄνομα λέγων αὐτὸ τὸ κατηγόρημα ἤτοι τὸ
στοιχεῖον. κατηγορεῖται γὰρ τὸ στοιχεῖον κατὰ τοῦ πυρός· φαμὲν γὰρ τὸ 5
πῦρ στοιχεῖον. καὶ ἔστι, φησί, τὸ πῦρ τρόπον μέν τινα στοιχεῖον, τρόπον
40 δέ τινα οὐκ ἔστιν· ὅταν μὲν γὰρ ὡς πῦρ ἐξετάζῃ τις αὐτὸ καὶ τὴν φύσιν
αὐτοῦ τίς ἐστιν, ὅτι ξηρὰ καὶ θερμή, μὴ πολυπραγμονῶν εἴτε γίνεταί τι

---

2 τινὶ LFS: ἑνὶ A 11 καὶ μᾶλλον LF: καὶ om. A 17 καθ' αὑτὸ LFS: καὶ καθ' αὑτὸ A 23 καὶ ἡ λίτρα L: om. A 38 φαμὲν LF: φανερὸν A

ἐξ αὐτοῦ εἴτε καὶ μή, οὐκ ἔστι στοιχεῖον· ὅταν δὲ ὡς πρᾶγμα καὶ φύσιν τινά, ὅτι ἐξ αὐτοῦ γίνεται τὰ ἄλλα καὶ εἰς αὐτὸ ἀναλύεται, ἐστὶ στοιχεῖον. ἢ τὸ ἔστι τὸ πῦρ τρόπον μέν τινα στοιχεῖον, τρόπον δέ τινα οὐκ ἔστι λέγοι ἂν ὅτι ἐπειδὴ κυρίως καὶ πρώτη ἀρχὴ πάντων καὶ στοιχεῖον ἡ ἀνείδεός ἐστιν ὕλη, τρόπον μέν τινα τὸ πῦρ ὡς πρὸς αὐτὴν συγκρινόμενον οὐκ ἔστι στοιχεῖον, τρόπον δέ τινά ἐστιν· τὰ γὰρ σύνθετα πάντα προσεχῶς ἐξ αὐτοῦ καὶ γῆς καὶ ἀέρος καὶ ὕδατος συνίσταται. τὸ δὲ ὄνομα οἷον τὸ στοιχεῖον, ὃ κατὰ τοῦ πυρὸς λέγεται, σημαντικόν ἐστιν τοῦ ἔστι τι ὃ γέγονεν ἐκ τούτου πρώτου τοῦ πυρός, ἐνυπάρχοντος τοῦ πυρὸς τῷ γεγονότι ἐξ αὐτοῦ ἤτοι τῷ στοιχειωτῷ, διὰ τὸ συμβεβηκέναι τῷ πυρὶ τοδί, τουτέστι τὸ ἐξ αὐτοῦ ὡς πρώτου ἐνυπάρχοντος εἶναι τὰ ἄλλα. ὅτι γὰρ συμβέβηκε τῷ πυρὶ ἐξ αὐτοῦ πρώτου γίνεσθαί τινα, ἐνυπάρχοντι τοῖς ἐξ αὐτοῦ γινομένοις, διὰ τοῦτο λέγεται στοιχεῖον. τὸ δ' ἔστιν ἴσως καθ' αὑτὸ καὶ τὸ ἄπειρον πρόσκειται, ἐπειδὴ οἱ ἓν τὸ στοιχεῖον λέγοντες καὶ ἄπειρον αὐτὸ ὑπετίθεντο· λέγοι δ' ἂν ὅτι ἴσως ἐστὶ καὶ τὸ ἄπειρον στοιχεῖον, ὡς εἰ ἔλεγε 'τοῦτο γὰρ πάνυ πολλὰς εὐθύνας δεδωκὸς λεγέσθω νῦν κατὰ πολλὴν ἄδειαν στοιχεῖον'. ὡς οὖν ἐπὶ τοῦ στοιχείου ἔχει, οὕτω καὶ ἐπὶ τοῦ αἰτίου καὶ τοῦ ἑνὸς καὶ τῶν τοιούτων ἁπάντων. τὸ δὲ διὸ καὶ τὸ ἑνὶ εἶναι τὸ ἀδιαιρέτῳ ἐστὶν εἶναι, εἴ τι συνίημι, οὐδεμίαν πρὸς τὰ προσεχῶς λεχθέντα ἀκολουθίαν ἔχει, ἀλλ' οἶμαι ἐπανάληψίς ἐστι τῶν περὶ τοῦ ἑνός, ἵνα ἀκολούθως εἴποι καὶ ποῖόν ἐστιν ἐκεῖνο τὸ ἕν, ὅπερ μάλιστα ἐγγὺς τῷ ὀνόματί ἐστιν. καὶ εἴη ἂν λέγων διὰ τούτου ὅτι τὸ ἑνὶ εἶναι ἤτοι ἡ φύσις τοῦ ἑνός, τοῦτό ἐστι τὸ ἀδιαίρετον εἶναι· ὅπερ ἓν οὐ καθ' αὑτό ἐστιν ἀλλὰ τόδε τι, ἄνθρωπος, εἰ τύχοι, μονὰς ἢ λίθος ἤ τι ἄλλο ἰδίᾳ χωριστὸν ὄν, ἤτοι ἀδιαίρετον ἢ τόπῳ ἢ εἴδει ἢ διανοίᾳ ἢ τῷ ὅλῳ καὶ ἀδιαιρέτῳ. τίνα δέ ἐστι ταῦτα, εἴρηται πολλάκις. |

p. 1052ᵇ18 Μάλιστα δὲ τὸ μέτρον εἶναι πρῶτον ἑκάστου γένους καὶ κυριώτατα τοῦ ποσοῦ. 579

Εἰπὼν ὅτι τὸ ἑνὶ εἶναί ἐστι τὸ ἀδιαιρέτῳ εἶναι ἢ τόπῳ ἢ εἴδει καὶ τὰ λοιπὰ ὅσα κατελεξάμην, μάλιστα δέ, φησί, τὸ ἑνὶ εἶναι καὶ ἡ φύσις τοῦ ἑνός ἐστι τὸ μέτρον εἶναι πρῶτον ἑκάστου γένους καὶ ὑποκειμένου, κυριώτατα δὲ ἓν ἐστι τὸ πρῶτον μέτρον τοῦ ποσοῦ· ἔστι γὰρ καὶ ψόφων καὶ μελῶν μέτρον, ἀλλὰ κυριώτατα ἓν καὶ μέτρον τοῦ ποσοῦ ἐστι, καὶ τοῦτό ἐστι τὸ ἕν, ὅπερ πρὸ ὀλίγου ἔλεγεν ὅτι μάλιστα ἐγγίζει τῷ ὀνόματι, τὸ πρῶτον μέτρον τοῦ ποσοῦ. ἐντεῦθεν γὰρ καὶ ἐπὶ τὰ ἄλλα ἐλήλυθε,

---

7 καὶ γῆς FM: καὶ om. AL 8 τοῦ (ante ἔστι) LF: οἷον A 10 στοιχειωτῷ F: στοιχείῳ τῷ AL τοδί, τουτέστι τὸ F: om. AL 14 κὰὶ L: τὸ A 15 λέγοι δ' ἂν M: λέγει AL 20 τῶν M: τὰ AL 22 ὅτι L: om. A 24 τύχοι L: τύχῃ A 25 ἰδίᾳ χωριστὸν LFS, cf. Metaph. cod. Aᵇ: ἀδιαχώριστον A Metaph. vulg. 30 κατέλεξε λέγει LF φησί om. LF 31 εἶναι — πρῶτον μέτρον (32) LF: om. A 33 τοῦ F: τὸ AL 34. 35 τὸ πρῶτον LF: τῷ πρῶτον A

καὶ λέγεται ἓν καὶ μέτρον τὸ στάδιον τῶν ἑκατὸν σταδίων καὶ ἡ δίεσις τῶν φθόγγων καὶ ἡ λίτρα τοῦ βάρους. ἔστιν οὖν μέτρον καὶ κυρίως ἓν ᾧ τὸ ποσὸν γινώσκεται· γινώσκεται δὲ τὸ ποσὸν ᾗ ποσὸν ἢ ἑνί, ὡς ὁ δέκα ἀριθμὸς τῇ μονάδι, ἢ ἀριθμῷ, ὡς ὁ ἑκατὸν τῷ δέκα ἀριθμῷ· μονὰς γάρ ἐστιν ὁ δέκα ἀριθμὸς ὡς πρὸς τὸν ἑκατόν. κυριώτερον δὲ πᾶς ἀριθμὸς τῷ ἑνὶ γινώσκεται· εἰ μὲν οὖν τῇ μονάδι, αὐτόθεν δῆλον ὅτι τῷ ἑνί, εἰ δ' ἀριθμῷ ὡς ὁ ἑκατὸν ὑπὸ τοῦ δέκα, τῇ δεκάδι ὡς ἑνὶ πάλιν χρώμεθα· ὥστε δῆλον ὅτι πᾶν ποσὸν ᾗ ποσὸν τῷ ἑνὶ γινώσκεται, καὶ ᾧ πρώτῳ πόσα ἐστὶ τὰ ἀπηριθμημένα, εἴτε εἴκοσιν εἴτε ἑκατὸν εἴτε ἄλλος ὁστισοῦν ἀριθμός, γινώσκεται, τοῦτο ἕν ἐστιν ἢ ἀνάλογόν γε ἑνί. ὥστε καὶ τὸ στάδιον, εἰ ὑπ' αὐτοῦ πρώτου τὰ ἑκατὸν ἔγνωμεν στάδια, ἕν ἐστι καὶ διὰ τοῦτο τὸ ἓν ἀριθμοῦ ἀρχὴ ᾗ ἀριθμός. ἐντεῦθεν δὲ ἀπὸ τοῦ ἀριθμοῦ καὶ τοῖς ἄλλοις μέτρον λέγεται ᾧ πρώτῳ ἕκαστον γινώσκεται, καὶ ἔστιν ἐν ἑκάστῳ τὸ μέτρον ἓν καὶ χρώμεθα ὡς ἑνί. ἐν γὰρ τοῖς μήκεσιν ᾧ πρώτῳ γινώσκεται τὸ μετρηθὲν μῆκος ὡς ἑνὶ χρώμεθα. ὡσαύτως καὶ ἐν πλάτει καὶ ἐν βάρει καὶ ἐν τάχει. εἰπὼν δὲ ὅτι ἐν μήκει, ἐν πλάτει καὶ ἐν βάθει, καὶ προσθεὶς ἐν βάρει, ἐν τάχει, τὴν αἰτίαν τίθησιν τοῦ ὅπως τὰς μὲν τρεῖς διαστάσεις εἴρηκεν, μῆκος πλάτος βάθος, ἐπὶ δὲ τοῦ βάρους εἰπὼν βάρος οὐκ εἶπε καὶ κοῦφον, ὁμοίως εἰπὼν τάχος οὐκ εἶπε καὶ βραδυτῆτα. φησὶ δὴ ὅτι τὸ γὰρ βάρος καὶ τάχος κοινὸν ἐν τοῖς ἐναντίοις, ὡς εἰ ἔλεγε 'διὰ τοῦτο εἰπὼν βάρος οὐκ εἶπον καὶ κουφότητα, καὶ τάχος οὐ βραδυτῆτα, ὅτι τὸ βάρος δύναται δηλοῦν καὶ τὸ κοῦφον, καὶ ἔστι κοινὸν ἀμφοῖν τοῦ τε βάρους καὶ τοῦ κούφου· ὡσαύτως καὶ τὸ τάχος τὴν βραδυτῆτα.' καὶ λέγει ὅπως δηλωτικόν ἐστι τὸ βάρος αὐτοῦ τε τοῦ βάρους καὶ τοῦ κούφου. διττὸν γάρ ἐστιν ἑκάτερον· βαρὺ γὰρ λέγεται καὶ τό τινος βαρύτερον, λέγεται δὲ βαρὺ καὶ τὸ ὁποιανοῦν ἔχον βαρύτητα. ἀλλὰ καὶ ταχὺ λέγεται καὶ τό τινος ταχύτερον, λέγεται δὲ καὶ τὸ ὁποσηνοῦν ἔχον ταχυτῆτα. εἰ δὴ ταῦθ' | οὕτως ἔχει, 580 τὸ βαρὺ δηλοῖ καὶ τὴν γῆν, ἥπερ ἐστὶν ἁπλῶς βαρύ, δηλοῖ καὶ τὸν ἀέρα, ὃς ὡς μὲν πρὸς τὸ ὕδωρ κοῦφος, ὡς δὲ πρὸς τὸ πῦρ βαρύς ἐστι. δηλοῖ ἄρα ἀμφότερα τὸ βαρύ, τήν τε γῆν ἁπλῶς οὖσαν βαρεῖαν καὶ τὸν ἀέρα κοῦφον ὄντα ὡς πρὸς αὐτήν. ἀλλὰ καὶ τὸ τάχος δηλοῖ μὲν καὶ τὴν τῆς ἀπλανοῦς κίνησιν, δηλοῖ δὲ καὶ τὴν τοῦ Σωκράτους, ἥτις τοῦ Σωκράτους εἰ καὶ πάνυ λίαν ἐστὶ βραδεῖα καὶ σχεδὸν οὐδὲ κίνησις ὡς πρὸς τὴν τῆς ἀπλανοῦς ἐξεταζομένη, ὅμως ἐστὶν ἄλλης τινὸς ταχυτέρα, οἷον τῆς κινήσεως τῆς χελώνης. δῆλον ἄρα ὡς καὶ τὸ τάχος σημαντικόν ἐστι τῆς βραδυτῆτος. λέγεται δὴ βάρος καὶ τὸ ὁποσηνοῦν ἔχον ῥοπὴν καὶ βαρύτητα καὶ τὸ ἔχον ὑπεροχὴν καί τινος ὂν βαρύτερον, καὶ τάχος καὶ τὸ ὁπηλικηνοῦν κίνησιν καὶ ταχυτῆτα καὶ τὸ ὑπεροχὴν κινήσεως καὶ τὸ ταχύ-

---

1 μέτρον τὸ LF: post μέτρον add. μὲν A 7 τῇ δεκάδι] τὴν δεκάδα AL 13 πρώτῳ LS: τρόπῳ A 18 τοῦ ὅπως LF: τοῦ om. A 25 ἐστιν] φησιν L 28 ὁποσηνοῦν Bonitz: ὁπωσοῦν ALM 29 legendum δηλοῖ δὲ καὶ τὸν 31 τὸ βαρὺ LF: om. A 32 τῆς L: τοῦ A

τερον ὄν τινος. ἔστι γάρ τι τάχος καὶ τοῦ βραδέος, οἷον τοῦ Σωκράτους, καὶ βάρος τοῦ κουφοτέρου, οἷον τοῦ ἀέρος.

p. 1052b31 Ἐν πᾶσι δὴ τούτοις μέτρον καὶ ἀρχὴ ἕν τι καὶ ἀδιαίρετον.

Εἰπὼν ὅτι ἀρχὴ μέν ἐστι καὶ μέτρον ἐν πλάτει ἐν βάθει ἐν βάρει, καὶ τὴν αἰτίαν θεὶς τοῦ τίνος ἕνεκεν ἐν βάρει εἰπὼν καὶ ἐν τάχει οὐκ εἶπε καὶ ἐν κουφότητι καὶ βραδυτῆτι, λέγει ὅτι ἐν ἅπασι τούτοις τῷ τε βάρει καὶ τοῖς λοιποῖς μέτρον καὶ ἀρχὴ τὸ ἕν ἐστι καὶ ἀδιαίρετον, καὶ πιστοῦται τὸ ὡς ἀδιαιρέτῳ τῷ μέτρῳ καὶ τῇ ἀρχῇ ἐν ἅπασι κεχρῆσθαι τῇ τῆς ποδιαίας παραθέσει· ἐπεὶ γάρ, φησί, καὶ ἐν ταῖς γραμμαῖς χρῶνται ὡς ἀτόμῳ τῇ ποδιαίᾳ γραμμῇ. καὶ οὐ τοῦτο λέγει ὅτι ἄτομός ἐστι, (πᾶσα γὰρ γραμμὴ διαιρετή· οὐδὲ γὰρ σύγκειται ἐκ στιγμῶν), ἀλλ' ὅτι ὡς πρὸς τὸ μέγεθος τῆς μετρουμένης ὑπὸ τῆς ποδιαίας ἄτομον αὐτὴν ὑπολογίζεσθαι χρή. ὡς γὰρ ἡ δεκὰς μονάδι ἔοικε πρὸς τὴν ἑκατοντάδα, οὕτως εἰ καὶ τὴν Ἀθήνηθεν ὡς Αἴγυπτον γραμμὴν ἡ ποδιαία μετρεῖ, ἀδιαίρετός ἐστι καὶ σημείου λόγον ἔχει πρὸς αὐτήν, ὥσπερ καὶ τὴν ὅλην γῆν τηλικαύτην οὖσαν τὸ μέγεθος σημεῖον πρὸς τὴν ἀπλανῆ πιστεύομεν. ὥστε πανταχοῦ τὸ μέτρον ὥσπερ ἕν τι ζητοῦσι καὶ ἀδιαίρετον· τοῦτο δέ, φησί, τὸ ἁπλοῦν, τουτέστι τοῦτο δὲ τὸ μέτρον ὅπερ ὡς ἀδιαίρετον ζητοῦσιν, ἁπλοῦν ἐστιν ἢ τῷ ποιῷ ἢ τῷ ποσῷ, τῷ μὲν ποσῷ ἁπλοῦν ἡ μονάς, τῷ δὲ ποιῷ, ἐπειδὴ καὶ ὑγρῶν καὶ ξηρῶν καὶ λευκῶν φύσεις μετροῦμεν, τούτων τὸ μέτρον ἁπλοῦν ἐστι τῷ ποιῷ ἀλλ' οὐ τῷ ποσῷ· τὸ γὰρ ἁπλοῦν τῷ ποσῷ ἀδιαίρετον, ξηρὰ δὲ καὶ ὑγρὰ διαιρετά. ἀλλὰ καὶ τὸ λευκὸν διαιρετὸν κατὰ συμβεβηκός, τῷ τὸ ἐν ᾧ ἐστι διαιρετὸν εἶναι. ταῦτα εἰπὼν λέγει καὶ ποῖόν ἐστι κυρίως καὶ ἀκριβέστατα ἓν ὡς ἀδιαίρετον καὶ ὁποῖον οὐκ | ἔστι, καί φησιν ὅπου μὲν οὖν δοκεῖ μὴ εἶναι ἀφελεῖν ἢ προσθεῖ- 581
ναι τοῦτο ἀκριβὲς τὸ μέτρον καὶ ἁπλῶς ἓν καὶ ἀδιαίρετον. διὰ τοῦτο δὴ ἀκριβέστατον μέτρον τὸ τοῦ ἀριθμοῦ ἡ μονάς· οὐκ ἔστι γὰρ προσθεῖναι τῇ μονάδι ἢ ἀφελεῖν· ἀδιαίρετον γὰρ αὐτὴν τίθεται. ἀπὸ σταδίου δὲ καὶ ταλάντου καὶ ἀεὶ τοῦ μείζονος μᾶλλον ἂν ἀφέλοι τις ἢ τοῦ ἐλάττονος· μᾶλλον γὰρ ἀπὸ τοῦ μείζονος ἀφελεῖν τις δύναται ἢ ἀπὸ τοῦ βραχυτάτου· εἰ δὲ μᾶλλον ἀφελεῖν δυνατὸν ἀπὸ τοῦ μείζονος, δῆλον ὡς καὶ μᾶλλον προσθεῖναι· τὸ γὰρ ἀφαιρεθὲν δυνάμεθα πάντως προσθεῖναι. τὸ δὲ ἐν δὲ τοῖς ἄλλοις μιμοῦνται τὸ τοιοῦτον μεταξὺ παρεμβέβληται. λέγει δ' ἂν δι' αὐτοῦ ὅτι ἀπὸ τοῦ μέτρου τοῦ ἀριθμοῦ, τοῦτο δ' ἐστὶν ἡ μονάς, κατὰ μίμησιν δὴ τοῦ μέτρου τοῦ ἀριθμοῦ καὶ τὰ ἄλλα ἀδιαίρετά φασι καὶ μέτρα, τὴν ποδιαίαν λέγων τἆλλα καὶ τὸ στάδιον. καὶ εἴρηται ὅπως ἀδιαίρετον τὸ στάδιον λέγεται, ὅτι πρὸς τὸ μῆκος ὃ μετρεῖ ἕκαστον τούτων

---

12 γὰρ σύγκειται L: post γὰρ add. ἂν A 15 τὴν ἀπὸ ἀθήνηθεν μέχρις αἰγύπτου LF 17 πεπιστεύκαμεν LF 21 μετροῦσι LF 28 δὴ L: δὲ A 31 βραχυτέρου coni. Bonitz 33 ἐν δὲ L: δὲ om. A

ἀδιαίρετον εἶναι νομίζομεν, ὥσπερ καὶ τὴν ἅπασαν γῆν ὡς πρὸς τὴν ἀπλανῆ. ὥστε ἀφ' οὗ πρώτου κατὰ τὴν αἴσθησιν μὴ ἐνδέχεται, τουτέστιν ὅπερ πρῶτον ἀναίσθητον καὶ ἀμερὲς καὶ ἀδιαίρετον καὶ ὅλως μὴ ἐνδεχόμενον διαιρεθῆναι νομίζουσι, τοῦτο μέτρον ἐστί. καὶ ἐλέχθη πῶς ἀδιαίρετα λέγεται, ὅτι ὡς πρὸς τὰ μετρούμενα. πρὸς γὰρ τὸν ἐν Ῥόδῳ κολοσσὸν ἢ τὸν Καύκασον τὸ ὅρος ἢ λίτρα οὐδενὸς βάρους αἴσθησιν ἐμποιεῖ, ἀλλ' ἀναίσθητος πάντῃ πάντως δοκεῖ· καὶ τότε δὴ ἴσασι τὸ ποσὸν τῆς ξηρότητος ἢ τοῦ βάρους, ὅταν εἰδῶσι διὰ τούτου τοῦ μέτρου τοῦ ἀμεροῦς καὶ ἀναισθήτου δοκοῦντος ὁπόσον ἐστὶ τὸ μετρηθέν. καὶ δὴ τὴν κίνησιν τῇ ἁπλῇ καὶ ταχυτάτῃ καὶ βραχείᾳ κρίνουσιν. ἐν γὰρ τῇ ἀστρολογίᾳ ἓν καὶ ἀρχὴ καὶ μέτρον ἡ τοιαύτη κίνησίς ἐστιν· ἔστι δὲ κίνησις ἁπλῆ καὶ ταχυτάτη καὶ διὰ τοῦτο βραχεῖα ἡ τῆς ἀπλανοῦς, αὕτη ἄρα μέτρον καὶ ἕν. καὶ ἐν μουσικῇ ἡ δίεσις· ἔστι δὲ ἡ δίεσις ὁ λίαν σμικρότατος φθόγγος τῆς χορδῆς, οὗ δὴ καὶ πρῶτον αἰσθανόμεθα καὶ ἀναίσθητοι τοῦ βραχυτέρου καὶ σμικροτέρου ἐκείνου ἐσμέν, εἰ τέως ἔστι σμικρότερος ἐκείνου. ἀλλὰ καὶ ἐν φωνῇ μέτρον τὸ στοιχεῖον. καὶ ἔστι ταῦτα πάντα ἓν οὕτως ὡς ἀδιαίρετα, οὐχ ὡς κοινόν δέ τι καὶ γένος τὸ ἓν κατ' αὐτῶν λέγεται, ἀλλ' ὡς ὁμώνυμος φωνή, ὥσπερ εἴρηται, ἢ μᾶλλον ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν.

p. 1053a14 Οὐκ ἀεὶ δὲ τῷ ἀριθμῷ ἓν τὸ μέτρον, ἀλλ' ἐνίοτε πλείω, οἷον ἡ δίεσις μὴ κατὰ τὴν ἀκοὴν ἀλλ' ἐν τοῖς λόγοις.

Ἐπειδὴ τὸ μέτρον διττόν, ὅ τε λόγος αὐτοῦ καὶ αὐτό, οἷον ὅ τε λόγος τοῦ πήχεος καὶ τὸ εἶδος αὐτοῦ τὸ ἐν τῇ ψυχῇ ἡμῶν καὶ αὐτὸς ὁ ξύλινος πῆχυς, καὶ ἡ δίεσις ὁμοίως διττή. ὅ τε λόγος αὐτῆς καὶ τὸ εἶδος καὶ αὐτὸς ὁ αἰσθητὸς τοῖς ὠσὶ φθόγγος, καὶ ἡ διάμετρος, τό τε εἶδος αὐτῆς καὶ αὐτὴ ἡ γραμμὴ ἡ ἐν τῷδε τῷ τετραγώνῳ οὖσα, | καὶ ἐπὶ τῶν ἄλλων 582
ὡσαύτως, λέγει ὅτι τὸ μέτρον οὐκ ἀεὶ τῷ ἀριθμῷ ἕν ἐστιν, ἀλλ' ἐνίοτε πλείω. αἱ διέσεις γάρ, φησί, δύο, ἀλλ' οὐχὶ κατὰ τὴν ἀκοήν· αὕτη γὰρ μία τῷ ἀριθμῷ ἐστιν· ἀλλὰ μία μὲν αὕτη, ἑτέρα δὲ ἡ κατὰ τὸν λόγον καὶ τὸ εἶδος. καὶ αἱ φωναί (λέγων φωνὰς νῦν τὰ στοιχεῖα τῶν φωνῶν, τό τε ἄλφα καὶ τὸ βῆτα καὶ τὰ λοιπά) πλείονές εἰσιν, αὐτό τε τὸ ἄλφα καὶ τὸ ἐν τῷδε τῷ χάρτῃ γεγραμμένον. ὅτι δὲ ταῖς φωναῖς τῶν στοιχείων ὡς ἀρχαῖς καὶ μέτροις χρώμεθα διὰ τὸ ἐλαχίστοις εἶναι δῆλον. ἡ γὰρ Σωκράτης περιπατεῖ φωνὴ διαιρεῖται εἴς τε τὴν Σωκράτης καὶ εἰς τὴν περιπατεῖ· ἔστι δὲ ἡ Σωκράτης φωνὴ ἑτέρα τῆς [Σωκράτης] περιπατεῖ. ἀλλὰ καὶ ἡ Σωκράτης φωνὴ πάλιν διαιρεῖται εἴς τε τὴν σω καὶ κρα καὶ της συλλαβήν, καί εἰσιν ἕτεραι· καὶ ἡ σω συλλαβὴ εἴς τε τὸ σ καὶ ω, καὶ ἔστιν ὁ ὑπὸ τοῦ ω ἀποτελούμενος φθόγγος ἕτερος τοῦ ὑπὸ τοῦ σ. ὁ δὲ

---

7 πάντως—τῆς LFS: om. A 19 ἓν LF: τὸ ἓν A 21 οἷον αἱ διέσεις δύο μὴ κατὰ Metaph. vulg., cf. 28 28 οὐχὶ] οὐχ ἡ L: οὐχ αἱ F 35 ἔτι δὲ—περιπατεῖ AL: ἔστι scripsi et alterum Σωκράτης delevi: om. Bonitz 37 τὸ σ FM: τὴν σ AL

ὑπὸ τοῦ ω φθόγγος εἰς ἕτερον οὐ διαιρεῖται. ὥστε [ἐν] τούτοις τὰς φωνὰς μετροῦμεν ἐλαχίστοις τε οὖσι καὶ σημείοις ἐοικόσιν· ὡς γὰρ τὰ σημεῖα ἀδιαίρετα, οὕτω καὶ οἱ ὑπὸ τούτων φθόγγοι. καὶ ἡ διάμετρος δὲ δυσὶ μετρεῖται. εἰ γὰρ μετρεῖται φέρε εἰπεῖν δακτύλῳ, ὁ δάκτυλος διττὸς τό τε τοῦ δακτύλου τί ἦν εἶναι καὶ τὸ εἶδος καὶ αὐτὸς οὗτοσὶ ὁ μετρῶν αὐτήν· ὁμοίως καὶ ἡ πλευρὰ δυσὶ μετρεῖται μέγεθος οὖσα, εἴτε δάκτυλος εἴη τὸ μετροῦν εἴτε ἄλλο τι· διττὸν γὰρ κἀκεῖνο ἔσται. δῆλον δὴ γέγονεν ἐκ πάντων ὅτι μέτρον πάντων τὸ ἕν ἐστιν· δέδεικται γὰρ ὅτι πᾶν ᾧπερ ἂν ὡς μέτρῳ τις χρῷτο ὡς ἑνὶ τούτῳ χρῆται, ὅτι τὸ μετρούμενον διαιροῦντες εἰς αὐτό, οἷον τὸ δεκάπηχυ μέγεθος διαιροῦντες εἰς δέκα πήχεις, γνωρίζομεν τοὺς ἐξ ὧν ἐστι πήχεις ὁπόσοι εἰσίν. διαιρεῖται δὲ τὸ δεκάπηχυ ἢ κατὰ τὸ εἶδος ἢ κατὰ τὸ ποσόν, κατὰ μὲν τὸ εἶδος, ὅταν διέλωμεν αὐτὸ εἰς τὰ ἐξ ὧν συνίσταται, πυρὸς γῆς καὶ τοῖν μεταξύ, ἢ εἰς τὸ μέγεθος τὸ τοιονδί· κατὰ μέγεθος δέ, ὅταν διαιρεθῇ εἰς δέκα πήχεις. οὕτω μὲν οὖν ὁ ἡμέτερος καθηγεμὼν ἐξηγήσατο. μήποτε δὲ ἐπειδή, ὡς εἴρηται, ὁ πῆχυς διττὸς λέγεται, τό τε εἶδος αὐτοῦ καὶ ὁ λόγος καὶ οὗτοσὶ ὁ μερικὸς καὶ αἰσθητός, λέγει ὅτι τὸ δεκάπηχυ ἢ εἰς τοὺς λόγους τῶν ἐν αὐτῷ δέκα πηχῶν διαιρεῖται ἄτμητον ὂν κατὰ μέγεθος καὶ ἕν, ἢ οὐκ εἰς τοὺς λόγους ἀλλὰ κατὰ μέγεθος διαιρεθὲν οὐκέτι ἕν ἐστι καὶ συνεχὲς ἀλλὰ πλείω. ὥσπερ ἂν εἰ τὸν Σωκράτην διέλοιμεν εἴς τε τὸ ζῷον καὶ τὸ πεζὸν δίποδον, ἕνα καὶ συνεχῆ αὐτὸν διατηροῦμεν, εἰ δὲ εἰς κεφαλὴν καὶ χεῖρας διέλοιμεν, οὐ τῇ ἐπινοίᾳ ἀλλὰ κατ' ἀλήθειαν οὐκέτι εἷς ἐστιν· οὕτως καὶ ἐπὶ τοῦ δεκαπήχεος ἔχει. δῆλον ἄρα ὅτι τὸ ἓν ἀδιαίρετον, ὅτι τὸ πρῶτον καὶ μέτρον ἕκαστον ἀδιαίρετον λαμβάνουσιν. οὐχ ὁμοίως δὲ τὴν ποδιαίαν γραμμὴν καὶ τὴν μονάδα ἀδιαίρετον λαμβάνομεν, ἀλλὰ τὴν μὲν μονάδα πάντῃ πάντως ἀδιαίρετον, τὴν δὲ ποδιαίαν ὡς πρὸς ὃ μετρεῖ μέγεθος καὶ πρὸς τὴν αἴσθησιν· ἀναίσθητος γὰρ καὶ ἀμερὴς δοκεῖ πρὸς τὸ ὑπ' αὐτῆς μετρούμενον, καθάπερ εἴρηται καὶ πρότερον, ἐπεὶ καθ' αὑτὴν ἡ ποδιαία ὡς μέγεθος ἐπ' ἄπειρόν ἐστι διαιρετή. τὸ δὲ ἴσως πρόσκειται ἢ διὰ τοὺς λέγοντας ἐξ ἀτόμων συγκεῖσθαι τὰ μεγέθη, ἢ διὰ τὴν ἀσθένειαν τοῦ τε ὀργάνου, ᾧ χρῆται εἰς τὴν τμῆσιν, καὶ τοῦ τέμνοντος ζῴου, ἐπεὶ τῇ οἰκείᾳ φύσει πᾶν μέγεθος τμητόν ἐστιν. τὸ δὲ μέτρον, φησίν, ἀεὶ συγγενές ἐστι τῷ μετρουμένῳ· οὐ γὰρ μετροῦμεν μέγεθος γλυκύτητι ἀλλὰ μεγέθει καὶ φωνὴν φωνῇ καὶ βάρος βάρει καὶ μονάδας μονάδι. οὕτω γὰρ εἰκός ἐστι λέγειν ἀλλ' οὐχὶ ὅτι τὸ τῶν ἀριθμῶν μέτρον ἀριθμός ἐστι· συμβήσεται γὰρ λέγειν τὴν μονάδα ἀριθμὸν μέτρον οὖσαν. ὁ δ' ἀξιῶν τοῦτο. λέγω δὴ τὸ λέγειν ὅτι ὥσπερ τὸ μέτρον τῶν φωνῶν φωνή ἐστιν, οὕτω καὶ τὸ μέτρον τῶν ἀριθμῶν ἀριθμός, οὐχ ὁμοίως ἀξιοῖ. ἀλλ' ὥσπερ ἂν εἴπερ ἠξίου ὅτι τὸ τῶν μονάδων μέτρον ἔστω μονάδες ἀλλὰ μὴ μονάς, ψεῦδος ἂν ἠξίου,

---

1 ἐν ALF: c. S del. Bonitz 2 γὰρ LF: om. A 6 μέγεθος—ἔσται (7) M Bonitz: ὄντα μεγέθη ἥτε διάμετρος καὶ ὁ δάκτυλος AL: ἥ τε — δάκτυλος om. F: κύκλος pro δάκτυλος S 8 ᾧπερ M: ὅπερ ALF 21 διέλοιμεν scripsi: διέλομεν AL 28 ἐπεὶ LF: αὐτῶν A

οὕτως καὶ ὁ τὸ τῶν ἀριθμῶν μέτρον ἀξιῶν ἀριθμὸν εἶναι ψεῦδος ἀξιοῖ. οἱ γὰρ ἀριθμοὶ μονάδες εἰσίν. τῶν δὲ μονάδων οὐκ ἂν εἴη μέτρον ὁ ἀριθμός, ἀλλ' ἡ μονάς. ἐπειδὴ δὲ μέτρον ἐκεῖνό φαμεν τὸ ποιοῦν ἡμᾶς γνωρίζειν τὸ πρᾶγμα, ποιεῖ δὲ ἡμᾶς καὶ ἡ ἐπιστήμη γνωρίζειν τὰ πράγματα ὥσπερ καὶ ἡ αἴσθησις, φαμὲν καὶ αὐτὰς μέτρον, ἐπεὶ κατὰ ἀλήθειαν ἥ τε ἐπιστήμη καὶ ἡ αἴσθησις μετροῦνται ὑπὸ τῶν πραγμάτων ἀλλ' οὐ μετροῦσιν αὐτά· ὅπου γὰρ ἂν ὁρίσῃ ἤτοι περιορίσῃ καὶ περικλείσῃ τὰ αἰσθητὰ καὶ ἐπιστητά, ἐκεῖσε ἵστανται καὶ περαιτέρω προβαίνειν οὐ δύνανται· δυσκόλων γάρ τινων ὄντων πραγμάτων ἄχρι τινὸς αὐτοῖς πρόσεισιν ἡ ἐπιστήμη εἴκουσι καὶ δίοδον διδοῦσιν, εἶτα ὥσπερεὶ ἀποφράττουσιν αὐτὴν καὶ περαιτέρω προβαίνειν οὐκ ἐῶσιν· ὥστε ἐμέτρησαν τὴν δύναμιν αὐτῆς, καὶ ὅσον μὲν ἠδύναντο χωρῆσαι, συνεχώρησαν τούτου ἐφάψασθαι, ὅσον δὲ μή, ἐκώλυσαν. τοῦτο δὴ συμβαίνει καὶ ἐπὶ τῆς αἰσθήσεως· ὥστε μετροῦνται ἀλλ' οὐ μετροῦσιν. ἀλλὰ συμβαίνει ὥσπερ ἂν εἴ τινος ἐμὲ μετροῦντος ἔγνων τυχὸν ὅτι δίπηχύς εἰμι, διὰ τὸ δὶς τὸν πῆχυν ἐμοὶ ἐπιβαλεῖν, εἶτα ἔλεγον ὅτι ἐμὲ ἐμέτρησα· καταχρηστικώτερον γὰρ ἂν εἶπον τοῦτο· διότι | γὰρ ἔγνων ὁπόσος εἰμί, τοῦτο ἔμελλον λέγειν, ἐπεὶ τῇ ἀληθείᾳ ἐμετρήθην· οὕτω καὶ τὴν ἐπιστήμην φαμὲν μετρεῖν, ὅτι ποιεῖ ἡμᾶς εἰδέναι, ἐπεὶ μετρεῖται ὑπὸ τῶν πραγμάτων. ὁ δὲ Πρωταγόρας μέτρον πάντων τὸν ἄνθρωπόν φησιν. ὥσπερ εἰ τὸν ἐπιστήμονα εἰπὼν ἢ τὸν αἰσθανόμενον μέτρον. τοῦτο εἰπεῖν αὐτῷ συνέβη, ὅτι ἔχουσιν ὁ μὲν αἴσθησιν ὁ δὲ ἐπιστήμην. ἅ φαμεν μέτρα τῶν ὑποκειμένων· ὥστε τὸν ἄνθρωπον μέτρον λέγων ὁ Πρωταγόρας, τὴν ἐπιστήμην φησὶ μέτρον καὶ τὴν αἴσθησιν. οὐδὲν οὖν λέγων περιττὸν καὶ σοφὸν δοκεῖ σοφόν τι λέγειν. τίς οὖν ἀνάγκη ἦν εἰπεῖν ὅτι ὁ ἄνθρωπος μέτρον, ἀλλὰ μὴ ὅτι ἡ ἐπιστήμη καὶ ἡ αἴσθησις;

p. 1053b4 Ὅτι μὲν οὖν τὸ ἓν εἶναι μάλιστά ἐστι κατὰ τὸ ὄνομα ἀφορίζοντι μέτρον τι. καὶ κυριώτατα τοῦ ποσοῦ. φανερόν.

Δείξας ὅτι τῷ ἑνὶ πάντες ὡς μέτρῳ χρῶνται καὶ μάλιστα τῷ ἐν τῷ ποσῷ. ὃ καὶ μᾶλλον τῷ τοῦ ἑνὸς ὀνόματι ἐγγίζειν ἔφησεν, συμπεραίνεται τὸν λόγον λέγων ὅτι μὲν οὖν τὸ ἓν εἶναι μάλιστά ἐστι μέτρον, καὶ κυριώτατα μέτρον τὸ ἐν τῷ ποσῷ ἕν, δῆλον· ὅπερ μέτρον ἀφορίζουσιν ἤτοι ὀνομάζουσιν. ἢ ἀφορίζουσιν ἀντὶ τοῦ γινώσκουσι κατὰ τὸ ὄνομα τοῦ ἑνός. ἢ τὸ ἀφορίζουσιν ἀντὶ τοῦ χωρίζουσιν ἀπὸ τῶν ὑπ' αὐτοῦ μετρουμένων κατὰ τὸ ὄνομα τοῦ ἑνός· τὰ γὰρ μεμετρημένα ἢ διπήχη κατὰ τὴν δυάδα λέγεται ἢ τριπήχη κατὰ τὴν τριάδα ἢ κατὰ ἄλλον ὁντινοῦν ἀριθμόν, μόνον δὲ τὸ μετροῦν, αὐτὸ δὴ τὸ μέτρον, κατὰ τὴν μονάδα ὠνόμασται ἐν ἅπασι τοῖς μετρουμένοις. μέτρον δὲ τὸ μὲν ἔσται, ἐὰν ᾖ διαιρετὸν κατὰ

---

14. 15 τινος — μετροῦντος F: τις ἐμὲ μετρήσας AL 22 ἅς φαμεν LF 27 ἓν LF: om. A 28 ποσοῦ, εἶτα τοῦ ποιοῦ, φανερόν Metaph. 29 πάντες LF: πάντη A 38 διαιρετὸν] ἀδιαίρετον coni. Bonitz

τὸ ποσόν, ὡς ἡ ποδιαία, τὸ δὲ κατὰ τὸ ποιόν, ὡς τὸ λευκόν· τὸ γὰρ λευκὸν κατὰ ποιὸν διαιρεῖται. ἐπεὶ οὖν τὸ μὲν μέτρον πῶς μέν ἐστι διαιρετὸν πῶς δὲ ἀδιαίρετον, ἡ μὲν μονὰς πάντῃ πάντως καὶ ἁπλῶς ἐστιν ἀδιαίρετος· τὰ δὲ λοιπὰ ἢ ἓν ἀδιαίρετα. ἢ δὲ μεγέθη διαιρετά. ἐγὼ γὰρ ἢ ἕν εἰμι ἀδιαίρετός εἰμι· οὐ γάρ εἰμι εἷς καὶ πολλοὶ ὡς ὁ καθόλου ἄνθρωπος, ὥστε καὶ διαιρεῖσθαί με εἰς ἑτέρους ἀνθρώπους· ὡς δὲ ποσὸν πάντῃ εἰμὶ διαιρετός. οὕτως οὖν τὰ περὶ τοῦ ἑνὸς διορίσας

p. 1053ᵇ9 Ζητητέον, φησί, ποτέρως ἔχει, καθάπερ ἐν τοῖς διαπορήμασιν ἐπήλθομεν, τί ἐστι τὸ ἓν καὶ πῶς δεῖ περὶ αὐτοῦ λαβεῖν.

Πότερον οὖν οὐσία τίς ἐστι καὶ ἐν τῷ ἓν εἶναι οὐσίωται. καθάπερ οἵ τε Πυθαγόρειοί φασι πρότερον καὶ ὁ Πλάτων ὕστερον, ἢ μᾶλλον ὑπόκειται τῷ ἑνὶ φύσις τις, καὶ πῶς δεῖ γνωριμωτέρως λεχθῆναι, ἄρα ὥσπερ οἱ περὶ φύσεώς φασιν· ἐκείνων γὰρ ὁ μὲν Ἐμπεδοκλῆς ἓν τὴν φιλίαν εἴρηκεν. Ἀναξιμένης δὲ τὸν ἀέρα. ἄλλοι δὲ τὸ 585 ἄπειρον, ὥστε τούτων ἕκαστος τῷ ἑνὶ φύσιν τινὰ ὑπετίθετο. ταῦτα θεὶς εὐθύνει τὸν λόγον δεικνὺς μὴ εἶναί τι ἓν αὐτὸ καθ' αὑτὸ καὶ οὐσιωμένον ἐν τούτῳ, συλλογιζόμενος ὧδε· τὸ ἓν καθόλου ἐστίν· οὐδὲν τῶν καθόλου οὐσία τυγχάνει, τὸ ἓν ἄρα οὐκ ἔστιν οὐσία. καὶ ὅτι μὲν τὸ ἓν καθόλου ἐστί πώς φησι· κατὰ πάντων γὰρ τῶν ὄντων κατηγορεῖται. ὅτι δὲ καὶ τὰ καθόλου οὐκ εἰσιν οὐσίαι, δέδεικται ἐν τῷ Ζ τῇδε τῆς πραγματείας, ὅτε ἔλεγε περὶ ὅρου καὶ τῆς οὐσίας. εἰ δὴ ὥσπερ ἐκεῖσε δέδεικται μηθὲν τῶν καθόλου οὐσία ἐστίν, οὐδ' αὐτὸ τοῦτο τὸ ὡς ἓν καὶ παρὰ τὰ πολλὰ ὑπάρχον οὐσία ἐστί· κοινὸν γάρ ἐστι τὸ παρὰ τὰ πολλὰ καὶ κατὰ τῶν πολλῶν λεγόμενον καὶ μόνον κατηγόρημα καὶ ὄνομα ἀλλ' οὐ φύσις τις· εἰ δὴ ταῦθ' οὕτως ἔχει, δῆλον ὅτι οὐδὲ τὸ ἓν οὐσία τίς ἐστιν. εἰ γὰρ τὰ καθόλου οὐκ οὐσίαι, τὸ ἓν καὶ τὸ ὄν, ὅσῳ τῶν ἄλλων ἐστὶ καθολικώτερα (κατὰ γὰρ τῶν δέκα γενικωτάτων γενῶν κατηγορεῖται), τοσούτῳ οὐκ ἔσονται οὐσίαι· ὥστε οὔτε τὰ γένη (λέγων γένη ἢ τὰ δέκα γενικώτατα γένη ἢ ἁπλῶς πᾶν ὃ ἂν εἴη καθόλου) εἰσὶ φύσεις τινὲς καὶ οὐσίαι χωρισταὶ τῶν κατὰ μέρος, οὔτε τὸ ἓν γένος ἐνδέχεται εἶναι καὶ φύσις τις αὐτὴ καθ' αὑτήν, δι' ἅσπερ αἰτίας οὐδὲ τὸ ὂν οὐδ' ἡ καθόλου οὐσία δύναται εἶναι. αἱ δ' αἰτίαι εἴρηνται ἐν τῷ Ζ ταύτης τῆς πραγματείας.

p. 1053ᵇ24 Ἔτι δ' ὁμοίως ἐπὶ πάντων ἀναγκαῖον ἔχειν. λέγεται δ' ἰσαχῶς τὸ ὂν καὶ τὸ ἕν.

Καὶ τοῦτο ἐπιχείρημα δεικτικόν ἐστι τοῦ μὴ ἂν εἶναι τὸ ἓν οὐσίαν,

---

1. 2 τὸ γὰρ λευκὸν LF: om. A  2 μὴ διαιρεῖται coni. Bonitz  8 Κατὰ δὲ τὴν οὐσίαν καὶ τὴν φύσιν ζητητέον Metaph.  14 ἄρα F: ἄρα AL  15 Ἀναξιμένης M Brandis Bonitz: Ἀναξίμανδρος ALFS et Io. Phil.  21 et 32 ἐν τῷ Z] c. 13  30 πᾶν ὃ ἂν LF: ὃ ἂν ὂν ἂν A

λέγων ὅτι ἐὰν ἐπὶ τῶν ἐννέα κατηγοριῶν τῶν παρὰ τὴν οὐσίαν οὐδέν τι δύναται ἓν εἶναι καὶ καθ' αὑτὸ ὑφεστὼς ἀλλ' ἑκάστῳ ἑνὶ ὑπόκειται ἢ λευκὸν ἢ ψόφος ἢ ἄλλο τι, εἰκότως οὐδὲ ἐν τῇ οὐσίᾳ ἔσται τι ἕν, ᾧ μὴ ὑπόκειται ἢ Σωκράτης ἢ θεὸς ἢ ἄλλο τι. ὁμοίως δὴ ἐπὶ πάντων ἀναγκαῖον ἔχειν. τίς γὰρ ἡ αἰτία τοῦ τοῖς μὲν ποιοῖς ἢ ποσοῖς ἢ τοῖς ἄλλοις λέγειν ὡς ὑπόκειταί τις φύσις τῷ ἑνί, τῷ δὲ ἐν τῇ οὐσίᾳ ἑνὶ οὐχ ὑποκείσεταί τι, ἀλλ' αὐτὸ ἔσται οὐσία. λέγεται δὲ τὸ ἓν καὶ τὸ ὂν ἰσαχῶς, ὅτι καὶ ἀντιστρέφει, ὡς ἐδείχθη ἐν ταύτῃ τῇ πραγματείᾳ· ὥστε εἴπερ ἐν τοῖς ποιοῖς ἐστί τι τὸ ἓν καί τις φύσις ἑτέρα παρὰ τὸ ἕν, ὁμοίως δὲ καὶ ἐν τοῖς ποσοῖς, ζητητέον τί τὸ ἓν ὥσπερ καὶ τὸ ὄν· οὐ γὰρ ἱκανὸν τὸ λέγειν ὅτι τοῦτο αὐτὸ τὸ ἓν εἶναι καὶ ἡ φύσις ἐστὶν αὐτοῦ. ὅτι δὲ ἐν ταῖς παρὰ τὴν οὐσίαν κατηγορίαις ὑπόκειταί τις φύσις τῷ ἑνὶ δῆλον. ἔστι γὰρ ἐν χρώμασί τι τὸ ἓν οἷον τὸ λευκόν, τὰ δ' ἄλλα ὥσπερ τὸ φαιὸν καὶ ἐρυθρὸν ἐκ τούτου τέ εἰσι καὶ τοῦ μέλανος. τὸ δὲ μέλαν ἐστὶ στέρησις λευκοῦ | ὥσπερ καὶ τὸ σκότος φωτός· στέρησις γὰρ φωτὸς τὸ σκότος ἐστίν. 586
ταῦτα δὲ παρέλκοντά ἐστι, τό τε ὅτι ἐκ τοῦ λευκοῦ καὶ τοῦ μέλανός ἐστι τὰ ἄλλα, καὶ τὸ ὅτι τὸ μέλαν στέρησίς ἐστι τοῦ λευκοῦ ὥσπερ καὶ τὸ σκότος φωτός· οὐδεμίαν γὰρ κατ' ἐμὲ ἀκολουθίαν ἔχει πρὸς τὰ λεγόμενα. ἔστι μὲν οὖν, ὡς εἴρηται, ἐν χρώμασί τι τὸ ἓν οἷον λευκόν· ὥστε εἰ πάντα τὰ ὄντα χρώματα ἦν καὶ μηδὲν ἦν τῶν ἄλλων, ἦν ἂν ἀριθμός τις τὰ ὄντα, τουτέστιν ἦν ἂν ἀριθμός τις τῶν χρωμάτων. αὐτὸς δὲ εἶπεν ἦν ἂν ἀριθμός, εἶτα ἐπήγαγεν ἀλλὰ τίνων; καὶ ἐρωτήσας διὰ τοῦ ἀλλὰ τίνων; ἀποκρίνεται λέγων δῆλον ὅτι χρωμάτων, ὡς εἰ ἔλεγεν ὅτι οὐκ αὐτὸ τοῦτο ἀριθμὸς ἦν ἄν, ἀλλ' ἀριθμὸς χρωμάτων. ὅτι δὲ ἀριθμὸς ἂν ἦν τῶν χρωμάτων, δῆλον. ἢ γὰρ δέκα ἦν ἂν ἢ χίλια ἢ δεκάκις μύρια ἢ ἄλλος ὁστισοῦν ἀριθμός· ὥστε καὶ τὸ ἓν τὸ μέτρον τοῦ τοιούτου ἀριθμοῦ ἦν ἄν τι, οἷον τὸ λευκὸν τὸ μετροῦν τὰ λευκὰ τοῦ τῶν λευκῶν ἀριθμοῦ ἦν ἄν τι, καὶ ἦν ἂν ὡς ἡ μονὰς πρὸς τοὺς ἀριθμοὺς οὕτω τὸ ἓν τῷ λευκῷ ἓν πρὸς τὸν ἐν τοῖς λευκοῖς ἀριθμόν. καὶ εἰ μέλη τὰ ὄντα ἦν, ἀριθμὸς ἄν τις ἦν τῶν μελῶν. καὶ τὸ ἓν ἡ δίεσις μέτρον αὐτῶν. καὶ οὐκ ἂν ἦν ὁ τῶν μελῶν ἀριθμὸς οὐσία καὶ ἐν αὐτῷ τούτῳ, ἐν τῷ ἀριθμὸς εἶναι, οὐσίωτο, ἀλλ' ἀριθμὸς μελῶν. ἀλλὰ καὶ εἰ πάντα τὰ ὄντα φθόγγοι ἦσαν, ἦν ἂν ἀριθμὸς τῶν στοιχείων, ὧν εἰσιν οἱ φθόγγοι, καὶ τὸ ἓν μέτρον τῶν στοιχείων ἦν ἂν στοιχεῖον φωνῆεν δηλαδὴ ἢ σύμφωνον. καὶ εἰ σχήματα ἦν τὰ ὄντα, ἦν ἂν ἀριθμὸς τῶν σχημάτων, καὶ τὸ ἓν τρίγωνον. ὥστε εἴπερ καὶ ἐν τοῖς πάθεσι καὶ ἐν τοῖς ποσοῖς καὶ ποιοῖς καὶ ἐν κινήσει ἀριθμῶν ὄντων, καὶ ἐν ἅπασιν ἑνός τινος, καὶ ἔστιν ἐπὶ πάντων τῶν τοιούτων ἀριθμὸς καὶ τὸ ἓν τινὸς ἀριθμὸς καὶ τινὸς ἕν, καὶ οὐκ ἐν τούτῳ αὐτῷ ἐν τῷ ἑνὶ εἶναι οὐσίωται, δεδειγμένον ἂν εἴη ἐκ τούτων ὅτι καὶ ἐπὶ τῶν οὐσιῶν οὕτως ἔχειν ἀνάγκη πᾶσα· ὥσπερ γὰρ ἐπὶ τῶν ἄλλων οὕτω καὶ ἐπὶ τῆς οὐσίας. οὕτως οὖν δείξας ἐκ τῆς ἐπαγωγῆς

---

1 fort. λέγον 3 ᾧ M: ὃ ALF 5 ἔχειν M: ἔχει ALF τοῦ ἐν μὲν τοῖς ποιοῖς coni. Bonitz 6 ὡς LF: om. A 8 ὡς ἐδείχθη] Γ 2 p. 1003b22 sqq.

ὅτι τὸ ἓν κατηγόρημά ἐστιν ἀλλ' οὐκ οὐσία, συμπεραίνεται λέγων ὅτι μὲν 25
οὖν τὸ ἓν ἐν ἅπαντι γένει ἐστί τις φύσις καὶ ὑπόκειταί τι αὐτῷ,
ἀλλ' οὐδενός ἐστι φύσις αὐτὸ τοῦτο τὸ ἓν εἶναι, τουτέστιν οὐκ ἔστι τις
φύσις αὐτὸ τὸ ἓν καθ' αὑτὴν οὖσα, φανερόν, καὶ ὥσπερ ἐν χρώμασιν ἓν
5 ἀκούσαντες τὸ ἓν χρῶμά τι ζητοῦμεν, λευκὸν φέρε ἢ μέλαν, οὕτω καὶ ἐν
οὐσίᾳ τὸ ἓν ἢ ἄνθρωπον ἢ ἄλλο τι ζητητέον. ἐπειδὴ δὲ ἀνωτέρω εἴρηκεν 30
ὅτι τὸ ἓν καὶ τὸ ὂν ἰσαχῶς λέγεται, λέγει ὅτι δὲ τὸ αὐτὸ ὅπερ ἐστὶν ἓν
καὶ ὄν ἐστι καὶ πάλιν, δῆλον τῷ τε παρακολουθεῖν ἰσαχῶς ταῖς |
κατηγορίαις καὶ μὴ εἶναι ἐν μηδεμιᾷ, μήτε ἐν τῇ τί ἐστι, λέγων 587
10 τί ἐστι τὴν οὐσίαν, μήτε ἐν τῇ ποιόν, ὅπερ ἓν ὑπάρχον οὐ καὶ ὄν ἐστιν
ἢ ὂν οὐ καὶ ἕν, ἀλλ' ὁμοίως ἔχει, καὶ ὥσπερ τὸ ὂν ἐν πᾶσίν ἐστιν
οὕτω καὶ τὸ ἕν.

p. 1054ᵃ16 Καὶ οὐ τῷ προσκατηγορεῖσθαι ἕτερόν τι τὸ εἷς ἄνθρωπος τοῦ ἄνθρωπος.

15 Οἶμαι δ' ἔνστασίν τινα δυναμένην φέρεσθαι πρὸς τὸν δεικνύντα λόγον 5
ὅτι τὸ ἓν οὐκ ἔστιν αὐτὸ καθ' αὑτὸ οὐδ' οὐσία τις, διὰ τούτου λύει. ἡ
δὲ ἔνστασις τοιαύτη τις ἂν εἴη. εἰ μή ἐστι τὸ ἓν φύσις τις ἀλλ' ὄνομα
μόνον, πῶς φαμεν ὅτι τὸ ζῷον ἕν ἐστι καὶ κατηγόρηται μὲν τὸ ἔστι κατὰ
τοῦ ζῴου, προσκεκατηγόρηται δὲ τῷ ἔστι τὸ ἕν; ὁμοίως φαμὲν ὅτι ἔστιν
20 ὁ ἄνθρωπος εἷς καὶ γέγονε· κἀνταῦθα τρίτον προσκατηγορούμενον τὸ εἷς.
ὥστε ἔστι τὸ ἕν, ὃ κατὰ τοῦ ζῴου ἢ τοῦ ἀνθρώπου ἐκατηγορήθη, ἕτερον 10
αὐτῶν ὂν καὶ φύσις τις καὶ οὐσία. λύει οὖν ταύτην τὴν ἔνστασιν, λέγων
οὐ διὰ τὸ προσκατηγορεῖσθαι τὸ εἷς τοῦ ἀνθρώπου δυνατὸν λέγειν ὅτι τὸ
εἰπεῖν ἄνθρωπος ἕτερόν ἐστι τοῦ λέγειν εἷς ἄνθρωπος καὶ διὰ τοῦτο τὸ ἓν
25 ἔστι τι· ὥσπερ γὰρ οὐ τὸ ἔστι φύσις τίς ἐστιν αὐτὴ καθ' αὑτὴν καὶ οὕτω
κατηγορεῖται τοῦ ἀνθρώπου, οὕτως οὐδὲ τὸ ἕν. καὶ διὰ τοῦτο τὸ ἄνθρω- 15
πος ταὐτόν ἐστι τῷ εἷς ἄνθρωπος, καὶ τὸ ἑνὶ εἶναι ταὐτόν ἐστι τῷ ἑκάστῳ
εἶναι· τὸ γὰρ ἑνὶ εἶναι ταὐτόν ἐστι τῷ ἑνὶ ἵππῳ.

p. 1054ᵃ20 Ἀντίκειται δὲ τὸ ἓν καὶ πολλὰ κατὰ πλείους τρόπους.

30 Καὶ ταῦτα δείκνυσιν ὅτι οὐκ ἔστι τὸ ἓν οὐσία, εἴπερ τῇ οὐσίᾳ οὐδὲν
ἀντίκειται· ἅμα τε οὖν τοῦτο δείκνυσι καὶ ἅμα τὰ τῷ ἑνὶ πάντα παρα-
κολουθοῦντα διορίζει, ὧν πρῶτόν ἐστι τὸ ἀντικεῖσθαι αὐτῷ τὰ πολλὰ κατὰ 20
πλείους τρόπους, ὧν, φησί, τρόπων καθ' ἕνα μὲν ἀντίκειται τὸ ἓν καὶ τὰ
πολλὰ ὡς ἀδιαίρετον καὶ διαιρετόν, τὸ μὲν ἓν ὡς ἀδιαίρετον, τὰ δὲ πολλὰ
35 ὡς διαιρετόν· τὸ μὲν γὰρ ἢ διαιρεθὲν ἢ μὴ διαιρεθὲν μὲν διῃρημένον δὲ
ὑπονοούμενον πλῆθός τι καὶ πολλὰ λέγεται, τὸ δ' ἀδιαίρετον, ὡς τὸ ση-

---

2 γένει M: om. ALF 8 καὶ ἔμπαλιν coni. Bonitz 11 τὸ ὄν LF: τὸ ἓν A 12 καὶ τὸ ὄν LF
13 οὐ τῷ] τῷ μὴ Metaph. vulg. 18 τὸ ἓν ζῷον ἕν LF 28 τὸ γὰρ ἑνὶ ALFM: τὸ γὰρ ἵππῳ
εἶναι coni. Bonitz 29 καὶ τὰ πολλὰ Metaph. vulg. 30 καὶ διὰ ταῦτα e S coni. Bonitz

μεῖον καὶ ἡ μονάς, καὶ διαιρετὸν μὲν ὡς ἡ ποδιαία γραμμὴ μὴ διαιρεθὲν δέ, ἓν λέγεται. ἐπεὶ δὲ αἱ ἀντιθέσεις τετραχῶς, τὸ ἓν καὶ τὰ πολλὰ ὡς τὰ ἐναντία ἀντίκειται, καὶ οὔτε ὡς τὰ πρός τι οὔτε ὡς ἕξις καὶ στέρησις οὔτε ὡς κατάφασις καὶ ἀπόφασις. εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη τὸ ἓν οὐσία, εἴπερ μηδέν ἐστι τῇ οὐσίᾳ ἐναντίον. λέγεται δὲ τὸ ἓν τὸ ἀδιαίρετον ἐκ τοῦ ἐναντίου καὶ δηλοῦται τὸ ἓν τὸ ἀδιαίρετον ἐκ τοῦ ἐναντίου αὐτοῦ τοῦ διαιρετοῦ· δηλοῦται δὲ ἐξ αὐτοῦ διὰ τὸ τὸ διαιρετὸν καὶ τὸ πλῆθος μᾶλλον αἰσθητὸν εἶναι· ἐκ γὰρ τοῦ ταῦτα διαιρεῖν ἡμᾶς καὶ καταντᾶν εἰς βραχύτατόν τι ὃ μὴ δυνάμεθα τεμεῖν, εἰς ἔννοιαν ἤκομεν τοῦ ἑνὸς καὶ ἀδιαιρέτου, ὥστε τῷ λόγῳ καὶ τῇ γνώσει διὰ τὴν αἴσθησιν πρότερον τὸ πλῆ|θος 588 τοῦ ἑνός, τῇ δὲ φύσει τὸ ἓν τοῦ πλήθους.

p. 1054ᵃ29 Ἔστι δὲ τοῦ μὲν ἑνός, φησίν, ὥσπερ καὶ ἐν τῇ διαιρέσει διεγράψαμεν.

Πεποίηκε γὰρ διαίρεσιν ἐν τοῖς Περὶ τἀγαθοῦ, ὡς καὶ ἐν ἄλλοις εἴπομεν, δι' ἧς ἅπαντα τὰ ἐναντία εἴς τε τὸ πλῆθος καὶ τὸ ἓν ἀνήγαγεν. ἔστι δὴ τοῦ μὲν ἑνὸς τὸ ταὐτὸν καὶ ὅμοιον καὶ ἴσον, τοῦ δὲ πλήθους τὸ ἕτερον καὶ ἀνόμοιον καὶ ἄνισον.

p. 1054ᵃ32 Λεγομένου δὲ τοῦ ταὐτοῦ πολλαχῶς, ἕνα μὲν τρόπον κατ' ἀριθμόν.

Ἐπειδή, φησί, τὸ ταὐτὸν πολλαχῶς λέγεται, δῆλον ὅτι καὶ τὸ ἕτερον καὶ τὸ ἀνόμοιον πολλαχῶς λεχθήσεται. ὅτι δὲ τὸ ταὐτὸν πολλαχῶς λέγεται λέγει· ἕνα μὲν τρόπον ταὐτὸν λέγεται τὸ κατ' ἀριθμόν, ὃ λέγομεν ἐνίοτε ταὐτὸ τοῦτο· λέγομεν γάρ ποτε ὅτι τὸ μουσικὸν ταὐτόν ἐστι τῷ λευκῷ διὰ τὸ τὸν Σωκράτην, ἐν ᾧ εἰσι, τὸν αὐτὸν εἶναι καὶ ἕνα τῷ ἀριθμῷ. ἄλλον δὲ τρόπον τὸ ταὐτὸν λέγεται, ἂν καὶ λόγῳ καὶ ἀριθμῷ ᾖ· σὺ γὰρ σαυτῷ καὶ τῷ εἴδει καὶ τῷ ἀριθμῷ (τούτου γὰρ δηλωτικόν ἐστι τὸ καὶ τῇ ὕλῃ ταὐτόν) ὁ αὐτὸς καὶ εἷς εἶ. ἔτι ταὐτὰ λέγεται ὧν ὁ λόγος τῆς πρώτης οὐσίας (λέγων πρώτην οὐσίαν τὴν προσεχῆ οὐσίαν) εἷς ᾖ, οἷον αἱ ἴσαι γραμμαὶ εὐθεῖαι αἱ αὐταὶ λέγονται διὰ τὸ ἴσον. ὁμοίως ταὐτὰ λέγονται τὰ ἴσα καὶ ἰσογώνια τετράγωνα, καίτοι πλείω· ἀλλ' ἡ ἰσότης ἑνότης τις ἐν τούτοις ἐστὶ καὶ ἑνοῖ αὐτὰ καὶ ταὐτὰ ἀπεργάζεταί τε καὶ ποιεῖ. ὅμοια δὲ λέγονται ἂν ὦσι ταὐτὰ καὶ οὐκ ὦσι· τὸ γὰρ μεῖζον τετράγωνον τῷ ἐλάττονι τετραγώνῳ ἐστὶ ταὐτὸν καὶ οὐκ ἔστιν· ᾗ μὲν γὰρ ὁ λόγος αὐτῶν καὶ τὸ εἶδος οὐ διαφέρει ἀλλὰ τὸ αὐτό ἐστιν, εἰσὶ ταὐτά, ᾗ δὲ τὸ μέν ἐστι μεῖζον τὸ δὲ ἔλαττον, οὔκ εἰσι ταὐτά· κατὰ δὴ τὸ μεῖζον καὶ ἔλαττον οὐ λέγονται ταὐτὰ ἀλλ' ὅμοια. ὅμοια οὖν, φησί, λέγονται ἂν

---

6 τὸ ἀδιαίρετον LF: τὸ om. A 13 post διαιρέσει add. τῶν ἐναντίων Metaph. vulg. 14. 15 εἴπομεν] cf. p. 250,20 262,19 18 καὶ ἕνα μὲν L, ut Metaph. libri plerique 22 ταὐτὸν LF: om. A τὸ L: τὸν A 24 εἰσι LF: ἐστι A 36 ἂν] τὰ coni. Bonitz

μὴ ταὐτὰ ἁπλῶς ὄντα ἀλλὰ κατά τι διαφέροντα, τυγχάνοντα δὲ μὴ διάφορα κατὰ τὴν οὐσίαν καὶ τὸ εἶδος, ἀλλὰ τὸ αὐτὸ μὲν ἔχοντα εἶδος, κατὰ δὲ τὰ σύνθετα διαφέροντα· καὶ γὰρ Σωκράτης καὶ Πλάτων ὡς ἄνθρωποι ἀδιάφοροι, ὡς δὲ ἄτομοι διάφοροι. τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ μηδὲ 25
5 κατὰ τὴν οὐσίαν ἀδιάφορα τὴν συγκειμένην, κατὰ τὸ εἶδος ταὐτά, ὥσπερ εἴπομεν ἐπὶ τῶν τετραγώνων. ἀλλὰ καὶ αἱ ἄνισοι εὐθεῖαι ὅμοιαι λέγονται, διότι ἁπλῶς οὔκ εἰσιν αἱ αὐταὶ ἀλλὰ διαφέρουσι κατὰ τὸ ἄνισον, κατὰ δὲ τὸν λόγον καὶ τὴν οὐσίαν οὐ διαφέρουσιν· εὐθεῖαι γάρ εἰσι. τὰ δὲ ὅμοια λέγεται, ἂν τὸ αὐτὸ εἶδος ἔχοντα, ἐν οἷς τὸ
10 μᾶλλον καὶ τὸ ἧττον ἐγγίνεται, μήτε μᾶλλον μήτε ἧττον ᾖ. οἷον 30
ἐν τῷ λευκῷ ἐγγίνεται τὸ μᾶλλον καὶ ἧττον· ἔστι γὰρ λευκὸν λευκοῦ μᾶλλον καὶ ἧττον· ἂν οὖν δύο τινὰ ἔχοντα λευκόν, ἐν ᾧ τὸ μᾶλλον καὶ ἧττον ἐγγίνεται, μή ἐστι τὰ ἐν αὐτοῖς λευκὰ τὸ μὲν μᾶλλον τὸ δὲ ἧττον 589
ἀλλ' ὁμοίως ἀμφοῖν ἡ λευκότης ὑπάρχει, λέγεται ὅμοια. ὅμοια οὖν ταῦτα
15 λέγεται, ὅτι τὸ ἐν αὐτοῖς λευκὸν οὐκ ἔστι τὸ μὲν μᾶλλον τὸ δὲ ἧττον, καίτοι δυνατοῦ ὄντος τοῦ τὸ μὲν εἶναι μᾶλλον λευκὸν τὸ δὲ ἧττον. τὰ δὲ ὅμοια λέγεται ἐναντίως τοῖς προσεχῶς λεχθεῖσιν, οἷον εἴ τινα δύο εἴη, ἀμφότερα δὲ λευκά, ἐστὶ δὲ τοῦ μὲν τὸ λευκὸν μᾶλλον τοῦ δὲ ἧττον, ὅμοια 5
λέγεται, ὅτι τὸ αὐτὸ εἶδος ἔχουσι· λευκὰ γὰρ ἀμφότερα. τοῦτο γὰρ ἐσή-
20 μανε διὰ τοῦ τὰ δὲ ἂν ᾖ τὸ αὐτὸ πάθος καὶ ἓν τὸ εἶδος καὶ διὰ τῶν ἑξῆς. τὰ δ' ὅμοια λέγεται ἢ ἂν τὰ πλείω ἔχῃ τὰ αὐτὰ ἢ ἂν τὰ πρόχειρα, λέγων πρόχειρα τὰ μᾶλλον τῇ αἰσθήσει ὑποπίπτοντα. ἀλλ' ἐπὶ τῶν παραδειγμάτων ἔστω σαφὲς τὸ λεγόμενον. ἔστω δὴ τὸ α καὶ β καὶ 10
γ, καὶ τὸ μὲν α ἔστω λευκὸν καὶ βαρὺ καὶ σκληρόν, τὸ δὲ β λευκὸν καὶ
25 βαρὺ καὶ μαλακόν, τὸ δὲ γ λευκὸν καὶ μαλακόν· μᾶλλον δὴ τὸ β ἐστὶν ὅμοιον τῷ α ἤπερ τὸ γ, διότι τὸ μὲν γ ἓν μόνον ἔχει τοῦ α τὸ λευκόν, τὸ δὲ β δύο τό τε λευκὸν καὶ τὸ βαρύ. τὸ μὲν οὖν β τῷ α ὅμοιον λέγεται καθὸ τὰ πλείω ἔχει· ὁ δὲ κατάτερος τῷ ἀργύρῳ κατὰ τὸ πρόχειρον, οἷον τὸ λευκόν· μᾶλλον γὰρ τὸ ἐν αὐτοῖς λευκὸν ὑποπίπτει τῇ αἰσθήσει 15
30 ἢ τὸ βαρύ. καὶ ὁ χρυσὸς τῷ πυρὶ κατὰ τὸ ξανθὸν ἢ πυρρόν. ὥστε ἐπεὶ τὸ ταὐτὸν καὶ ὅμοιον πολλαχῶς λέγεται, καὶ τὸ ἕτερον καὶ τὸ ἀνόμοιον πολλαχῶς λεχθήσεται.

p. 1054b14 Καὶ τὸ μὲν ἄλλο ἀντικειμένως καὶ τὸ αὐτό.

Διὰ τούτων πρόκειται δεῖξαι ὅπως τὸ ἄλλο καὶ τὸ ἕτερον ἔχει πρὸς 20
35 τὸ ταὐτόν, καὶ ἐρεῖ ὅτι τὸ μὲν ἄλλο ἀντίκειται τῷ ταὐτῷ, καὶ διὰ τοῦτο ἐπὶ πάντων καὶ ὄντων καὶ μὴ ὄντων λέγονται, καὶ διαιροῦσι τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν. τοῦτο δέ, λέγω δὴ τὸ ἐπὶ πάντων διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἴδιόν ἐστι τῶν ἀντιφατικῶς ἀντικειμένων. τὸ δὲ ἕτερον

---

7 ὅμοιαι M: ὅμοιοι ALF 9 λέγεται M: λέγοιτο ALF 14 λέγεται ὅμοια M: λέγεται ὅμοιον ALF 16 τοῦ LF: om. A 20 τὸ εἶδος] τῷ εἴδει Metaph. vulg. 30 ἢ πυρόν libri 38 ἀντιφατικῶς LF: ἀντιφαντικῶς A

καὶ ταὐτὸν οὐ διαιροῦσιν ἐπὶ πάντων τῶν ὄντων καὶ μὴ ὄντων τὸ ἀληθὲς καὶ ψεῦδος, ἀλλ' ἐπὶ μόνων τῶν ὄντων· εἰ δὲ τοῦτο, οὐκ ἀντιφατικῶς ἀντίκεινται. τὸ μὲν οὖν ἄλλο, φησί, καὶ τὸ ταὐτὸ ἀντίκειται, καὶ ἐπὶ τούτῳ ἅπαν πρὸς ἅπαν ἢ ταὐτὸν ἢ ἄλλο· πᾶν γὰρ καὶ ὂν καὶ μὴ ὂν πρὸς ἅπαν ἢ ταὐτόν ἐστιν ἢ ἄλλο· εὐθὺς τὸ μὴ ὂν πρὸς τὸ ὂν ἄλλο ἐστίν. εἰπὼν δὲ ὅτι τὸ ἄλλο καὶ τὸ ταὐτὸν ἀντίκειται, πρὸ τοῦ εἰπεῖν πῶς τὸ ἕτερον ἔχει πρὸς τὸ ταὐτό, μεταξὺ πάλιν περὶ τοῦ ὁμοίου λέγει, λέγων τὸ δὲ ἂν μὴ καὶ ἡ ὕλη καὶ ὁ λόγος ἴδιος, λέγων ἴδιον τὸ ἕτερον, ὥσπερ ἂν εἴ τις εἴποι ἴδιον εἶναι τὸ τρίγωνον τοῦ κύκλου ἀντὶ τοῦ ἕτερον. καὶ εἴη ἂν λέγων ὅτι εἰ μὴ καὶ ἡ ὕλη καὶ ὁ λόγος, τουτ|έστιν εἰ μὴ διάφορός 590
ἐστιν ἢ ὁ λόγος ἢ ἡ ὕλη, οὐ λέγεται ὅμοιον. ἂν γὰρ καὶ ὁ λόγος καὶ ἡ ὕλη εἰσὶ τὰ αὐτά, οὐ λέγονται ὅμοια ἀλλὰ ταὐτά. ταὐτοὶ γὰρ λέγονται οἱ χαλκοῖ ἀνδριάντες, ἀλλ' οὐχ ὅμοιοι, ἐπεὶ καὶ τὸ εἶδος καὶ τὴν ὕλην τὰ αὐτὰ ἔχουσιν. ἂν δὲ ὁ μὲν ᾖ χαλκοῦς ὁ δὲ χρυσοῦς, λέγονται ὅμοιοι· διαφέρουσι γὰρ κατὰ τὴν ὕλην. πάλιν εἰ εἴη τρίπους καὶ λέβης ἀμφότεροι ἐκ χαλκοῦ, λέγονται καὶ οὗτοι ὅμοιοι, ὅτι τῷ εἴδει διαφέροντες τῇ ὕλῃ ἀδιάφοροί εἰσιν. λέγεται δὲ ὅμοιον καὶ τὸ πλησιαίτερον· λέγεται γὰρ ὅμοιον τὸ πράσινον χρῶμα τῷ φοινικῷ· πλησιαίτερον γάρ ἐστιν ἤπερ τὸ ἁλουργόν. πάλιν ἡ ῥητὴ εὐθεῖα πρὸς ῥητὴν ὁμοία λέγεται, ὡς ἐν τοῖς μαθηματικοῖς. ταῦτα μεταξὺ περὶ τοῦ ὁμοίου παρεμβαλών, λέγει περὶ τοῦ ἑτέρου καὶ τοῦ ταὐτοῦ. ἢ τὸ μὲν ἕτερον ἢ ταὐτὸν πᾶν πρὸς ἅπαν λέγεται, ὅσα καὶ ἓν καὶ ὄν, τουτέστιν ὅσα εἰσὶ καὶ ἓν καὶ ὄντα, ἢ ταὐτὰ λέγεται ἢ ἕτερα, ἐπὶ δὲ τῶν μὴ ὄντων οὐ λέγεται. καὶ τὴν αἰτίαν συντόμως ἐπήγαγεν εἰπὼν οὐ γὰρ ἀντίφασίς ἐστι τοῦ ταὐτοῦ, ἴσον λέγων τῷ οὐ γὰρ ἀντιφατικῶς ἀντίκειται τὸ ταὐτὸν καὶ ἕτερον, ἵνα λέγηται καὶ ἐπὶ τῶν μὴ ὄντων, ἀλλ' ἐπὶ μόνων τῶν ὄντων, τὸ δὲ μὴ ταὐτὸ λέγεται καὶ ἐπὶ τῶν μὴ ὄντων. ὥστε τὸ ταὐτὸν καὶ ἕτερον ἢ ἓν θέλει εἶναι ἢ οὐχ ἕν, ὑπάρχον καὶ ἓν καὶ ὄν. καὶ συμπεραίνεται λέγων τὸ μὲν οὖν ἕτερον καὶ ταὐτὸν οὕτως ἀντίκεινται ὡς ἐπὶ μόνων τῶν ὄντων τὸ μὲν ἀληθεύεσθαι λεγόμενον τὸ δὲ μή.

p. 1054b23 Διαφορὰ δὲ καὶ ἑτερότης ἄλλο.

Διακρίνει καὶ τὴν διαφορὰν ἀπὸ τῆς ἑτερότητος, ἄλλο λέγων εἶναι διαφορὰν καὶ ἄλλο ἑτερότητα. τὸ μὲν γὰρ ἕτερον, φησίν, οὐκ ἀνάγκη κατά τι κοινωνεῖν· ἡ γὰρ οὐσία ἑτέρα οὖσα τοῦ ποιοῦ οὐ κοινωνοῦσιν ἀλλήλοις κατά τι· τέως δὲ πᾶν ὃ ἂν ᾖ ὂν ἢ ταὐτόν ἐστιν ἢ ἕτερον· τὸ δὲ διάφορόν τινος τινὶ διάφορον. ὃ δὲ λέγει, οἶμαι, τοιοῦτόν ἐστιν· τὸ δὲ διάφορόν τινος τινὶ κατά τι κοινωνεῖ· ὁ γὰρ ἵππος τοῦ ἀνθρώπου διαφέρει,

---

2 ἀντιφατικῶς LF: ἀντιφαντικῶς A 8 ἴδιος] εἷς Metaph. vulg. 17 καὶ τὸ πλησιαίτερον] διὸ σὺ καὶ ὁ πλησίον ἕτερος Metaph. vulg. πλησιαίτερον LF: πλησιέστερον A λέγεται γὰρ LF: λέγουσι γὰρ A 21 πᾶν LF: om. A 33. 34 κατά τι LF: om. A 34 ποσοῦ LF ἀλλήλοις LF: ἀλλήλων A

καὶ ὅμως κοινωνοῦσι κατὰ τὸ ζῷον, ὥστε ἀνάγκη ταὐτό τι εἶναι, ᾧ κοι- 25
νωνοῦσι διαφέροντα ὄντα. τοῦτο δὲ τὸ ταὐτό, τουτέστι τοῦτο δὲ καθ'
ὃ κοινωνοῦσι διάφορα ὄντα, ἢ γένος ἢ εἶδός ἐστιν. ὁ μὲν γὰρ Σωκρά-
της καὶ Πλάτων διάφοροι ὄντες τῷ εἴδει καὶ τῷ γένει κοινωνοῦσιν, ἵππος
5 δὲ καὶ ἄνθρωπος τῷ γένει μόνῳ. αὐτὸς δέ φησιν ὅτι γένει μὲν ὧν μή
ἐστι κοινὴ ἡ ὕλη, ὡς ἔχει ἡ οὐσία καὶ τὸ ποσόν· τούτοιν γὰρ οὐκ ἔστι 30
κοινὴ ὕλη. σημεῖον δὲ ὅτι οὐκ ἔστι γένεσις εἰς ἄλληλα· οὔτε γὰρ ἡ οὐσία
ποσὸν γίνεται οὔτε τὸ ποσὸν οὐσία, ὥσπερ ὁ ἀὴρ ὕδωρ καὶ τὸ ὕδωρ ἀήρ. |
εἴδει δὲ διαφέρουσι, φησίν, ὧν τὸ αὐτὸ γένος. γένος δέ ἐστι, φησίν, 591
10 ἐν ᾧ ἀμφότερα τὰ διάφορα κατὰ τὴν οὐσίαν ταὐτόν εἰσιν· ἵππος γὰρ καὶ
ἄνθρωπος κατὰ τὴν τοῦ ζῴου οὐσίαν οἱ αὐτοί. ὥστε καὶ τἀναντία διά-
φορα· κοινὸν γὰρ ἔχουσι τὸ ὑποκείμενον τὴν οὐσίαν, ὥσπερ ἄνθρωπος καὶ
ἵππος τὸ ζῷον, πορρωτέρω δὲ τὴν οὐσίαν.

p. 1054b32 Ὅτι δὲ καλῶς τοῦτο ὑποτιθέμεθα, δῆλον ἐκ τῆς ἐπα-
15 γωγῆς.

Ὅτι, φησί, καλῶς ὑποτιθέμεθα, διάφορα λέγοντες εἶναι τὰ τινὶ κοινω-
νοῦντα, ἐκ τῶν καθ' ἕκαστα δῆλον· πάντα γὰρ τὰ διαφέροντα οὐ μόνον
ἐστὶν ἕτερα ἀλλὰ καὶ ταὐτά, ὡς ὁ ἵππος καὶ ὁ ἄνθρωπος. ὥστε τὰ μὲν
διάφορα καὶ ἕτερα, τὰ δὲ ἕτερα οὐ διάφορα· ἡ γὰρ ἐν Σωκράτει καὶ Πλά- 10
20 τωνι, οὐχ ἡ προσεχὴς ἀλλ' ἡ πόρρω καὶ ἀνείδεος ὕλη ἕτεραι μέν εἰσι,
διάφοροι δὲ οὐκ εἰσι· κατὰ τί γὰρ ἂν διαφέροιεν ἀνείδεοι οὖσαι; ἀλλὰ
τὰ μὲν τὸ γένος ἕτερα, λέγων τὰ μὲν τὰ ἕτερα, τὰ μὲν οὖν ἕτερα
κατὰ τὸ γένος ἐστὶν ἕτερα, τὰ δ' ἐν τῇ αὐτῇ συστοιχίᾳ, τουτέστι τὰ
δὲ ὅμοια ἐν τῇ αὐτῇ τυγχάνουσι σειρᾷ, ὥστε ἐν τῷ αὐτῷ γένει καὶ τὰ 15
25 αὐτὰ τῷ γένει. εἴρηται δ' ἐν τῷ Δ ποῖά φαμεν ταὐτὰ τῷ γένει.

Ἐπεὶ δὲ τῶν διαφερόντων τὰ μὲν πλεῖον διαφέρει τὰ δ' ἔλαττον
(πλεῖον γὰρ διαφέρει τὸ ἄλουργὸν τοῦ ἐρυθροῦ, ἔλαττον δὲ τοῦ πρασίνου),
ἔστι τις καὶ μεγίστη διαφορά, καὶ αὕτη ἡ μεγίστη διαφορά ἐστιν ἡ
ἐναντίωσις. μεγίστη δὲ διαφορά ἐστιν ἡ τοῦ λευκοῦ πρὸς τὸ μέλαν. ὥστε 20
30 κατὰ τοῦτο εἴη ἂν τῇ οὐσίᾳ ἐναντίον τὸ ποσόν· πλεῖστον γὰρ ἀλλήλων
διεστήκασιν· ἐναντία δὲ οὐχ ὥστε καὶ μεταβάλλειν εἰς ἄλληλα ἢ εἶναι
ἀναιρετικὰ ἀλλήλων, ἀλλ' ἢ μόνον κατὰ τὴν πλείστην ἀπ' ἀλλήλων διά-
στασιν. εἰπὼν δὲ ὅτι 'τὴν μεγίστην διαφορὰν λέγω ἐναντιότητα' λέγει ὅτι
δ' ἡ μεγίστη διαφορὰ ἡ ἐναντιότης ἐστὶ δῆλον ἐκ τῆς ἐπαγωγῆς.

35 p. 1055a6 Τὰ μὲν γὰρ γένει διαφέροντα. 25

Οἶμαι δὲ γένος νῦν λέγει τὴν ὕλην, καὶ εἴη ἂν λέγων ὅτι τὰ γένει
διαφέροντα, ἀντὶ τοῦ τὰ μὴ τὴν αὐτὴν ἔχοντα ὕλην, ὡς ἡ οὐσία καὶ

---

6 ἡ ὕλη LF: ἡ om. A 20 ἕτεραι LF: ἕτεροι A 25 ἐν τῷ Δ] c. 9 33 ὅτι—λέγω LF: μεγίστην διαφορὰν τὴν A 36 λέγει M: λέγειν ALF

τὸ ποσόν, οὐκ ἔχει ὁδὸν εἰς ἄλληλα οὐδὲ γίνονται ἐξ ἀλλήλων, ἀλλ' ἀπέχει πλεῖστον, καὶ οὐ συμβλητά, τουτέστιν οὐδὲν αὐτοῖς κοινόν· συμβλητὰ γὰρ ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς ἔλεγε τὰ ἔχοντα κοινόν τι. τοῖς δὲ διαφέρουσι τῷ εἴδει αἱ γενέσεις ἐκ τῶν ἐναντίων εἰσὶν ὡς ἐσχάτων. γίνεται μὲν γὰρ ἐκ φαιοῦ λευκόν, ἀλλ' οὐκ ἔστι τὸ φαιὸν καὶ τὸ λευκὸν ἡ ἐσχάτη καὶ πλεῖστον ἀπέχουσα ἐναντιότης, ἀλλὰ τὸ λευκὸν καὶ μέλαν· ἀλλ' ὅμως τὸ λευκὸν ἐκ | τοῦ φαιοῦ ὡς ἐξ ἐσχάτου γί- 592
νεται. ὥστε τῶν κυρίως ἐσχάτων ἐστὶ τὸ διάστημα μέγιστον. εἰ δὴ τὰ ἐναντία ἔσχατα, τὸ δὲ τῶν ἐσχάτων διάστημα μέγιστον, τῶν ἐναντίων ἄρα τὸ διάστημα μέγιστον. καλῶς ἄρα ἐλέγετο, ὅτι ἡ μεγίστη διαφορά ἐστιν ἡ ἐναντίωσις. οὕτως οὖν δείξας ὅτι ἡ μεγίστη διαφορά ἐστιν ἡ ἐναντίωσις, δείκνυσι καὶ ὅτι ἡ μεγίστη διαφορὰ τέλειος, ὥστε ἂν ἡ ἐναντιότης μεγίστη διαφορά, αὕτη δὲ τέλειος, ἡ ἐναντιότης ἄρα τέλειος. ἀλλ' εἰ τοῦτο, καὶ ἓν ἑνὶ ἐναντίον· τῷ γὰρ τελείῳ δῆλον ὡς ἓν τέλειον ἀντικείσεται. δείκνυσιν οὖν ὅτι ἡ μεγίστη διαφορὰ τέλειος. τὸ μέγιστον γάρ, φησίν, ἐν ἑκάστῳ γένει καὶ ὑποκειμένῳ τέλειον· μέγιστον γάρ φαμεν, οὗ μὴ ἔστιν ὑπερβολή· μέγιστος γὰρ ὁ κόσμος, ὅτι οὐκ ἔστι τι τὸ ὑπερβάλλον αὐτοῦ. ἀλλὰ καὶ τέλειόν φαμεν οὗ μή ἐστιν ἔξω δυνατόν τι λαβεῖν. ἀλλὰ μὴν καὶ ἡ τελεία διαφορὰ τέλος ἔχει, τοῦ δὲ τέλους οὐδὲν ἔστιν ἔξω λαβεῖν· ἐν παντὶ γὰρ τὸ τέλος ἔσχατον καὶ περιέχει τὸ οὗ ἐστι τέλος· διὸ οὐδέν ἐστιν ἔξω αὐτοῦ οὐδὲ προσδεῖται οὐδενὸς τὸ τέλειον. ὥστε εἰ καὶ τὰ ἄλλα τῷ ἔχειν τέλος λέγεται τέλεια. ἡ δὲ μεγίστη διαφορὰ τέλος ἔχει, καὶ αὕτη ἄρα τέλειός ἐστιν. ἐπειδὴ δὲ πολλαχῶς λέγεται τὰ ἐναντία (εἴρηται γὰρ ὅτι τὰ ἐναντία λέγεται τὰ ἐν τῷ αὐτῷ γένει ὄντα καὶ τὰ ἐν τῷ αὐτῷ ὑποκειμένῳ καὶ τὰ ὑπὸ τὴν αὐτὴν δύναμιν, καὶ ὅσα ἄλλα εἴρηται ἐν τῷ Δ. ὅτε περὶ τούτων ἔλεγεν). ἐπεὶ οὖν πολλαχῶς λέγεται. ἀκολουθήσει αὐτοῖς τὸ τελείως οὕτως, ὡς ἂν καὶ τὸ ἐναντίοις εἶναι ὑπάρχῃ αὐτοῖς· εἰ γὰρ ὑπάρχει αὐτοῖς τὸ ἐναντίοις εἶναι διὰ τὸ ἐν τῇ αὐτῇ δυνάμει εἶναι, καὶ τὸ τέλειον οὕτως ὑπάρξει. οἷον τοῖς μὲν ἐναντίοις καὶ ἐν τῷ αὐτῷ γένει οὖσιν ἀκολουθήσει τὸ τέλειον ὧδί· τέλειος δὲ ἐναντιότης τῶν ἐν τῷ αὐτῷ γένει ὄντων ἐστίν, ἧς μηδὲν ἔστιν ἔξω λαβεῖν. τοῖς δ' ὑπὸ τὴν αὐτὴν δύναμιν ὧδί· ἔστι γὰρ τέλειος ἐναντιότης τῶν ὑπὸ τὴν αὐτὴν δύναμιν, ἧς μηδὲν ἔστιν ἔξω τι λαβεῖν. πάλιν τέλειος ἐναντιότης ἐστὶ τῶν ὑπὸ διάφορα γένη ὄντων. ἧς μηδὲν ἔστιν ἔξω λαβεῖν τι. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

p. 1055a19 Τούτων δὲ ὄντων φανερὸν ὅτι οὐκ ἐνδέχεται ἑνὶ πλείω ἐναντία εἶναι.

Εἴπερ ἐναντιότης ἐστὶν ἡ μεγίστη διαφορὰ καὶ ἧς μηδὲν ἔστιν ἔξω

---

3 ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς] B 4. 5 11 ἐναντίωσις LF: ἐναντιότης utrobique A 14 δῆλον ὡς LF: om. A 25. 26 ἐν τῷ Δ] c. 10 28 ἐναντίοις LF: ἐναντία A 30 δὲ] fort. γὰρ

τι λαβεῖν, φανερὸν ὡς ἓν ἑνὶ ἐναντίον. τοῦ γὰρ ἐσχάτου ἐσχατώτερόν τι οὐκ ἔστι, τὰ δὲ ἐναντία τὰ ἔσχατα, ὥστε οὐκ ἂν εἴη πλείω δυοῖν τὰ ἔσχατα. ἄλλως τε πᾶσα ἐναντιότης ἕν ἐστι διάστημα, παντὸς δὲ ἑνὸς διαστήματος δύο τὰ ἔσχατα, ὥστε καὶ πάσης ἐναντιότητος δύο τὰ ἔσχατα. ὅλως δὲ εἰ ἔστιν ἐναντιότης | διαφορά, ἡ δὲ διαφορὰ δυοῖν, καὶ 593 ἡ τέλειος, τουτέστιν ἡ διαφορὰ δυοῖν ἔσται.

p. 1055ª23 Ἀνάγκη δὲ καὶ τοὺς ἄλλους ὅρους ἀληθεῖς εἶναι τῶν ἐναντίων.

Ὅπερ ἡμεῖς προείπομεν, αὐτὸς νῦν λέγει. φησὶ γὰρ ὅτι ὁ ὁρισμὸς τῶν ἐν τῷ αὐτῷ γένει ἐναντίων ἀληθεύσει καὶ ἐν τοῖς ὑπὸ τὴν αὐτὴν δύναμιν καὶ ἐν τοῖς ἄλλοις· καὶ γὰρ ἡ ἐν αὐτοῖς τέλειος διαφορὰ πλεῖστον διαφέρει. ὥστε ῥητέον ὡς τέλειος διαφορὰ τῶν ὑπὸ τὴν αὐτὴν δύναμίν ἐστιν, ἧς μηδὲν ἔστιν ἔξω τι λαβεῖν· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. τὸ δὲ δέδεικται γὰρ ὅτι πρὸς τὰ ἔξω τοῦ γένους οὐκ ἔστι διαφορά, οἶμαι, λύσις ἐστὶν ἐνστάσεως δυναμένης φέρεσθαι πρὸς τὸν ἓν ἑνὶ ἐναντίον λέγοντα λόγον. εἴποι γὰρ ἄν τις ὡς εἰ διὰ τοῦτο ἓν ἑνὶ ἐναντίον, ὅτι τὰ πλεῖστον ἀλλήλων διεστηκότα δύο εἰσίν, ἰδοὺ πλεῖστον ἀφέστηκε τοῦ λευκοῦ τὸ μέλαν, ἀλλ' ἔτι μᾶλλον ἡ γραμμή· τί γὰρ κοινὸν γραμμῆς καὶ λευκοῦ; ὥστε δύο κατὰ πολὺ ἀφεστηκότα ἐστὶ τοῦ λευκοῦ, τό τε μέλαν καὶ ἡ γραμμή· εἰ δὲ τοῦτο, καὶ δύο ἐναντία ἐστὸν αὐτῷ. πρὸς ταύτην οὖν οἶμαι τὴν ἔνστασιν τοῦτο ἐπῆκται τὸ λέγον δέδεικται γὰρ ὅτι πρὸς τὰ ἔξω τοῦ γένους οὐκ ἔστι διαφορά, τουτέστι τὰ ὑπὸ ἕτερα γένη καὶ μὴ ὑπάλληλα ὄντα οὐ χρὴ ἀντιτιθέναι, ἀλλὰ τὰ ὑπὸ τὸ αὐτό. ἀλλὰ πῶς αὐτὸς εἴρηκεν ὅτι ἡ οὐσία καὶ τὸ ποσὸν πλεῖστον ἀφεστήκασι γένη ὄντα ἕτερα; ἢ τὰ μὲν γενικώτατα γένη ἀντιτεθήσονται ὥσπερ εἴπομεν, τὰ δὲ ὑπ' αὐτὰ οὐδαμῶς. οὐ γὰρ ἀντίκειται ζῷον λευκῷ ἢ τοῦτο γραμμῇ· δέδεικται γὰρ ὅτι πρὸς τὰ ἔξω καὶ ὑπ' ἀλλότρια γένη ὄντα οὐκ ἔστι διαφορὰ ἤτοι ἐναντιότης. τούτων δὲ αὕτη μεγίστη, τουτέστι τῶν δ' ἐν τῷ αὐτῷ γένει αὕτη ἡ ἐναντιότης ἡ μεγίστη ἐστὶ διαφορὰ καὶ ἐναντία τὰ ἐν τῷ αὐτῷ γένει πλεῖστον διαφέροντα· ἡ γὰρ τούτων διαφορὰ μεγίστη καὶ τέλειός ἐστιν. ὡσαύτως καὶ τὰ πλεῖστον ἐν τῷ αὐτῷ δεκτικῷ διαφέροντα ἐναντία· ἡ γὰρ ὕλη καὶ τὸ ὑποκείμενον αὐτοῖς τὸ αὐτό. καὶ τὰ ὑπὸ τὴν αὐτὴν δύναμιν· ἡ γὰρ νόσος καὶ ἡ ὑγίεια πλεῖστον ἀφεστήκασιν ἀλλήλων ὄντα ὑπὸ τὴν αὐτὴν δύναμιν τὴν ἰατρικήν· ἡ γὰρ ἰατρικὴ περὶ ἕν τι γένος ἐστὶ τὰ σώματα, περὶ δὲ τὰ σώματά ἐστι τἀναντία ὑγίεια καὶ νόσος· ἡ αὐτὴ ἄρα δύναμίς ἐστι τῶν ἐναντίων.

---

11 καὶ γὰρ καὶ ἡ LF 20 ἐστὸν scripsi: ἔστον LF: ἔστω A: ἔσται Bonitz 24 αὐτὸς εἴρηκεν] cf. p. 618, 28 sqq. 26 ὑπ' αὐτὰ c. S Bonitz: ὑφ' αὐτὰ ALF λευκῷ LF: λευκοῦ A 27 καὶ LF: om. A 31 πλεῖστον FS: om. AL

p. 1055ᵃ33 Πρώτη δ' ἐναντιότης ἐστὶν ἕξις καὶ στέρησις, οὐ πᾶσα δέ.

Τὸ γὰρ φαιὸν στέρησίς ἐστι λευκοῦ, καὶ οὐ δήπου τὸ φαιὸν καὶ τὸ λευκὸν πρώτη ἐναντιότης, ἀλλ' ἡ τέλειος ἐναντιότης αὕτη ἐστὶ πρώτη. τὰ δ' ἄλλα κατὰ ταῦτα λεχθήσονται ἐναντία. τὸ γὰρ λευκὸν σῶμα ἐναντίον λέγεται τῷ μέλανι σώματι διὰ τὸ λευκὸν καὶ τὸ μέλαν, καὶ ἡ ὑγίανσις δὲ λῆψις οὖσα ὑγιείας ἐναντία | λέγεται τῇ νοσάνσει ἀποβολῇ οὔσῃ ὑγιείας 594 λήψει δὲ νόσου. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

p. 1055ᵃ38 Εἰ δὴ ἀντίκειται μὲν ἀντίφασις καὶ στέρησις καὶ ἐναντιότης.

Τὸ προκείμενόν ἐστι δεῖξαι ὅτι ἡ στέρησις καὶ τὰ ἐναντία ὑπὸ τὴν ἀντίφασίν ἐστι, καὶ τρόπον τινά, ὡς ἐρεῖ, ἀντιφάσεις εἰσὶν ἥ τε στέρησις καὶ τὰ ἐναντία. ἀλλ' εἰ τοῦτο, μᾶλλόν ἐστιν ἀντίθεσις ἡ ἀντίφασις καὶ στερήσεως καὶ τῶν ἐναντίων· καὶ εἰ τοῦτο, πῶς λέγουσιν ὅτι ἐν τῷ πέμπτῳ τμήματι τοῦ Περὶ ἑρμηνείας γυμνάζων τοὺς ἀκροατὰς λέγει ὅτι μᾶλλον ἡ ἀντίφασις ἀντίκειται ἤπερ τὰ ἐναντία. ἐπεὶ αὐτὸς τὴν ἐναντιότητα μᾶλλον ἀντικεῖσθαι τῆς ἀντιφάσεως βούλεται, δείκνυσιν οὖν, ὡς εἴρηται, ὅτι ὑπὸ τὴν ἀντίφασίν εἰσιν ἥ τε στέρησις καὶ τὰναντία· τέως δὲ πρῶτον δείκνυσιν ὅτι τὰ ἐναντία οὐκ ἀντίκειται ὡς τὰ ἀντιφατικῶς ἀντικείμενα. ὃ ταὐτόν ἐστι τῷ ὡς κατάφασις καὶ ἀπόφασις. συλλογιζόμενος ἐν τῷ β σχήματι ὧδε· ἀντιφάσεως οὐδέν ἐστι μεταξύ, τῶν δὲ ἐναντίων ἔστι τι μεταξύ, τὰ ἐναντία ἄρα οὐκ ἀντίκειται ὡς τὰ ἀντιφατικῶς ἀντικείμενα. εἰ οὖν, φησίν, ἀντίκεινται μὲν ἀντίφασις καὶ στέρησις καὶ ἐναντιότης καὶ τὰ πρός τι, τῶν δὲ τριῶν πρώτη ἡ ἀντίφασις, μεταξὺ δὲ ἀντιφάσεως οὐκ ἔστι τι, ἐπί τινων δὲ ἐναντίων ἐνδέχεται εἶναί τι μεταξύ, δῆλον ὡς οὐ ταὐτὸν ἀντίφασις καὶ τὰ ἐναντία.

p. 1055ᵇ3 Ἡ δὲ στέρησις ἀντίφασίς τίς ἐστιν.

Καὶ τοῦτο θεὶς πρὸ τοῦ πῶς ἐστιν ἀντίφασις εἰπεῖν διαίρεσιν ποιεῖται τῆς στερήσεως λέγων ἢ γὰρ τὸ ἀδύνατον ὅλως ἔχειν λέγεται ἐστερῆσθαι ἢ ὃ ἂν πεφυκὸς ἔχειν μὴ ἔχῃ, ἢ ὅλως ἢ πῶς ἀφορισθέν. ἀδύνατον μὲν γὰρ ὅλως ἔχειν τὸν λίθον ὄψιν καὶ λέγεται καὶ αὐτὸς ἐστερῆσθαι ὄψεως. πέφυκε δὲ ἔχειν τὸ παιδίον ἐν τῇ διετίᾳ ὀδόντας, καὶ εἰ μὴ ἔχει, λέγεται ὀδόντων ἐστερῆσθαι. τὸ δὲ ἢ ὅλως ἢ πῶς ἀφορισθὲν ἐπανάληψίς ἐστιν· καὶ ἔστι τὸ μὲν ἢ ὅλως ἴσον τῷ μηδαμῶς ἔχον ἢ μὴ

---

7 ἐναντία LF: ἐναντίον A 15 τοῦ Περὶ ἑρμηνείας] c. 14 23 ἀντίκεινται LF: ἀντίκειται A. 31 μὲν γὰρ M: om. ALF

πεφυκὸς ἔχειν, λεγόμενον δὲ ἐστερῆσθαι· τὸ δὲ ἢ πῶς πρόσκειται, ὅτι ἐλέγετο ἐν τῷ Δ τῆσδε τῆς πραγματείας ὅτι καὶ τὸ ἔχον φαύλους πόδας ἐστερῆσθαι ποδῶν λέγεται, καὶ ἀπύρηνα ὁμοίως τὰ πυρῆνας ἔχοντα βραχυτάτους. ὅτι δὲ τὸ ἐστερῆσθαι πολλαχῶς λέγεται, ὑπομιμνήσκει ἡμᾶς διὰ τῶν ἐν τῷ Δ ῥηθέντων, λέγων πολλαχῶς γὰρ τοῦτο λέγεται, ὥσπερ διῄρηται ἡμῖν ἐν ἄλλοις. εἴπερ οὖν ἡ τὸ ἀδύνατον ἔχειν λέγουσα στέρησις τὸ μὴ δυνατὸν δηλοῖ, τὸ δὲ μὴ δυνατὸν ἀπόφασίς ἐστι τοῦ δυνατοῦ, ὁμοίως δὲ καὶ τὸ μὴ ἔχειν τοῦ ἔχειν, εἰκότως ἄρα ἐλέγετο ὅτι ἡ στέρησις ἀντίφασίς τίς ἐστιν ἢ ἀδυναμία διορισθεῖσα ἢ συνειλημμένη τῷ δεκτικῷ. ὅταν μὲν γὰρ φῶ τυφλότης, αὐτὴν διωρισάμην καὶ ἐδήλωσα τὴν ἀδυναμίαν ἤτοι αὐτὴν τὴν στέρησιν μόνην· ἂν δὲ τυφλὸν εἴπω, | τὴν τυφλότητα μετὰ τοῦ ὑποκειμένου αὐτῇ ἐσήμανα· τὸ γὰρ τυφλὸν αὐτή ἐστιν ἡ στέρησις μετὰ τοῦ ὑποκειμένου, ὥσπερ καὶ ὅταν εἴποι τις λευκότητα, δηλοῖ τὸ εἶδος τῆς λευκότητος καὶ τὴν φύσιν αὐτῆς, ὅταν δὲ λευκόν, τὸ σῶμα τὸ λελευκασμένον. ἀλλὰ πῶς μεταξὺ στερήσεώς τινος ἔστι τι; ὅταν γὰρ λέγω ὅτι οὔτε ἴσον οὔτε ἄνισόν ἐστιν, ἐμφαίνω ὅτι ἔστι τι μεταξύ· ἀντιφάσεως δὲ ὅτι οὐκ ἔστι τι μεταξὺ δέδεικται. ὅτε ἐδείκνυεν ὡς οὐ συναληθεύει ἡ ἀντίφασις. ἢ ὅτι ἡ μὲν ἀντίφασις ἀορισταίνει· λέγοντες γὰρ ὅτι ἴσον ἐστίν, ἴσον οὐκ ἔστιν, ἡ ἀπόφασις τὸ ἴσον μόνον ἀναιρεῖ, οὐδὲν δὲ τίθησιν· ἡ δὲ στέρησις, οἷον τὸ ἄνισον, καὶ τὸ ἴσον ἀναιρεῖ καὶ τίθησί τινα καὶ ἐναντιότητα. μεταξὺ δὲ ἐναντίων τινῶν εἶναί τι οὐδὲν κωλύει, εἰ μὴ καὶ ἀνάγκη. διὰ δὴ τοῦτο ἀντιφάσεως μὲν οὐκ ἔστι μεταξύ τι. καὶ ὅτι. ὃ καὶ μᾶλλον ἀληθές, ἡ μὲν ἀντίφασις ἐπὶ πάντων καὶ ὄντων καὶ μὴ ὄντων διαιρεῖ τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν, διὰ τὸ ὡς εἴρηται τὴν ἀπόφασιν μόνον τὸ ὑπὸ τῆς καταφάσεως δηλωθὲν ἀποφάσκειν, ἡ δὲ στέρησις ἐπὶ τῶν παρὰ τὸ ποσὸν κατηγοριῶν συμψεύδεται· ὡς γὰρ ἡ κατάφασις ἡ ὅτι ἡ ψυχὴ ἢ τὸ λευκὸν ἴσα ἐστὶ λέγουσα ψεύδεται, οὕτω καὶ ἡ στέρησις ἡ ὅτι ἡ ψυχὴ ἄνισός ἐστιν ἀποφαινομένη ἢ ὅτι τὸ λευκόν. διὰ οὖν τὸ συμψεύδεσθαι αὐτὰς ἔχει χώραν ἡ μεσότης ἡ λέγουσα ὅτι ἡ ψυχὴ οὔτε ἴση ἐστὶν οὔτε ἄνισος. ὁμοίως δὲ καὶ ἐπὶ πάντων τῶν συμψευδομένων· ἐπὶ δὲ τῆς ἀντιφάσεως οὐδαμῶς. τῆς γὰρ καταφάσεως τῆς ὅτι ἡ ψυχὴ ἴση ἐστὶ λεγούσης ψευδομένης, ἡ ἀπόφασις ἡ ὅτι ἡ ψυχὴ ἴση οὐκ ἔστι λέγουσα ἀληθεύει. διὰ τὸ μόνον, ὡς εἴρηται. ἀναιρεῖν τὸ ἴσον. μηθὲν δὲ ἕτερον τιθέναι. διὰ ταῦτα δὴ ἀντιφάσεως μὲν οὐκ ἔστι μεταξύ τι, στερήσεως δέ τινος ἔστι. καὶ τὴν αἰτίαν τοῦ τῆς στερήσεως εἶναί τι μεταξύ, τῆς δ' ἀντιφάσεως μὴ εἶναι συντόμως ἐπήγαγεν εἰπὼν ἴσον μὲν γὰρ ἢ οὐκ ἴσον πᾶν, ἴσον δὲ ἢ ἄνισον οὐ πᾶν, ὃ ταὐτόν ἐστι τῷ ἡ μὲν ἀντίφασις ἡ λέγουσα ὅτι πᾶν ἢ ἴσον ἐστὶν ἢ οὐκ ἴσον ἐπὶ πάντων διαιρεῖ τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν, ἡ δὲ στέρησις, ὡς ἐπὶ τῆς ψυχῆς εἴρηται, συμψεύδεται τῇ ἕξει, καὶ διὰ τοῦτο ἔχει χώραν ἐπὶ ταύταιν

---

2 et 5 ἐν τῷ Δ] c. 22 6 διῄρηται LF: εἴρηται A 12 εἴπω M Bonitz: ἐρῶ ALF αὐτῇ LF: αὐτῆς A 20 καὶ τὸ ἴσον LF: om. A 21 τίθησι M: θέσιν ALF 29 αὐτὰς LF: αὐτὸς A 36 δ' LF: om. A 38 ἢ ἴσον LF: ἢ om. A

ἡ μεσότης. οὐκ ἐπὶ πάντων δὲ συμψεύδεται ἡ στέρησις τῇ ἕξει καὶ αὕτη τῇ στερήσει· ἐπὶ γὰρ τοῦ δεκτικοῦ καὶ ὑποκειμένου αὐταῖν διαιροῦσι τὸ ψεῦδος ἀπὸ τῆς ἀληθείας. ἐπὶ γὰρ τοῦ ποσοῦ τῆς ἕξεως ψευδομένης ἀληθεύει ἡ στέρησις. πᾶν γὰρ ποσὸν ἢ ἴσον ἐστὶν ἢ ἄνισον.

5 p. 1055ᵇ11 Εἰ δὴ αἱ μὲν γενέσεις τῇ ὕλῃ ἐκ τῶν ἐναντίων.

Δείξας ὅτι ἡ στέρησις ἀντίφασίς τίς ἐστι δείκνυσιν ὅτι καὶ ἡ ἐναντιότης. τοῦτο δὲ δείκνυσι διὰ τοῦ δεῖξαι | ὅτι αἱ ἐναντιότητες στερήσεις 596
εἰσίν· εἰ οὖν αἱ ἐναντιότητες στερήσεις, αἱ δὲ στερήσεις ἀντιφάσεις τινές, καὶ αἱ ἐναντιότητες ἄρα ἀντιφάσεις εἰσί. δείκνυσι δ' ὑποθετικῶς τὸ
10 προκείμενον ὧδε. εἰ οὖν αἱ γενέσεις τῶν ἐναντίων, γίνονται δὲ διὰ τὴν ὑποκειμένην αὐτοῖς ὕλην, εἰ οὖν αἱ γενέσεις ἐν τῇ ὕλῃ τῇ ὑποκειμένῃ ἐκ τῶν ἐναντίων εἰσί, πᾶσα δὲ γένεσις ἢ ἐκ τοῦ εἴδους ἐστὶ καὶ τῆς 5
τοῦ εἴδους ἕξεως (τοῦτο δ' ἐκ παραλλήλου κεῖται) ἢ ἐκ τῆς τοῦ εἴδους στερήσεως, ἐκδηλότατόν ἐστιν ὅτι ἡ ἐναντιότης στέρησίς ἐστιν. εἰ
15 γὰρ τὸ μουσικὸν ἐκ τοῦ ἀμούσου, ὅπερ ἐστὶ στέρησις, γίνεται, πᾶσα δὲ γένεσις ἐκ τοῦ ἐναντίου, τὸ μουσικὸν ἄρα καὶ τὸ ἄμουσον καὶ ἐναντιότης καὶ στέρησίς ἐστι. τοῦτο δὴ καὶ ἐπὶ τῶν ἄλλων οὕτως εὕροις ἄν. ὅτι 10
δὲ πᾶσα γένεσις ἢ ἐκ τοῦ εἴδους καὶ τῆς ἕξεως ἢ ἐκ τῆς στερήσεώς ἐστι. δέδεικται ἐν τῇ Περὶ γενέσεως, ἀλλὰ καὶ νῦν ὑπομνηστέον. ὅταν γὰρ ἐκ
20 τοῦ μουσικοῦ ἢ τοῦ λευκοῦ γένηται ἄμουσον ἢ μέλαν, ἐξ εἴδους γέγονεν ἡ γένεσις καὶ ἕξεως· διώρισται γὰρ ἐν τῇ Περὶ γενέσεως ὡς τὰ κρείττονα τῶν εἰδῶν καὶ ἕξεις εἰσὶ καὶ μᾶλλον εἴδη, τὰ δὲ χείρονα στερήσεις· ὅταν δὲ ἐξ ἀμούσου ἢ μέλανος γένηται μουσικὸν ἢ λευκόν, ἐκ στερήσεώς ἐστιν 15
αὕτη ἡ γένεσις. ὥστε εἰ τὸ μέλαν καὶ τὸ λευκὸν ἐναντία, τὸ δὲ μέλαν
25 στέρησίς ἐστι λευκοῦ καὶ τὸ ἄμουσον μουσικοῦ, φανερὸν ὅτι πᾶσα ἐναντιότης στέρησίς ἐστι καὶ ἕξις. οὐ πᾶσα δὲ στέρησις ἐναντιότης. αἴτιον δὲ τοῦ μὴ πᾶσαν στέρησιν ἐναντιότητα λέγεσθαι ὅτι πολλαχῶς ἡ στέρησις λέγεται· στέρησις γὰρ καὶ τὸ φαιὸν λέγεται τοῦ λευκοῦ, ἐναντίον δ' οὐκ ἔστι κυρίως· ἐναντία γάρ ἐστιν ἐξ ὧν ἐσχάτων, ὡς ἡ λευκοῦ καὶ μέλανος 20
30 ἐξ ἀλλήλων ἔχει γένεσις, καὶ ὥσπερ εἴρηται ἔναγχος, ἐναντία ἐστὶν ὧν τὸ διάστημα μέγιστόν ἐστιν, ἡ δὲ τοῦ λευκοῦ καὶ φαιοῦ ἀπ' ἀλλήλων διάστασις οὐ μεγίστη. ὥστε τὸ φαιὸν στέρησις μέν ἐστι λευκοῦ, ἐναντιότης δὲ τὸ φαιὸν καὶ λευκὸν οὐκ ἔστιν. οὐκ ἄρα πᾶσα στέρησις ἐναντιότης. ὅτι δὲ πᾶσα ἐναντιότης στέρησίς ἐστι, φανερόν, φησίν, ἐκ τῆς ἐπαγωγῆς. 25
35 πᾶσα γὰρ ἐναντιότης ἔχει στέρησιν· εὐθὺς γὰρ ἡ ψυχρότης στέρησιν ἔχει θερμοῦ, καὶ ἡ μελανία λευκοῦ, καὶ ἡ ἀνισότης ἰσότητος, καὶ ἡ ἀνομοιότης ὁμοιότητος, καὶ ἡ κακία ἀρετῆς. ἐκ τούτου δὲ ποριζόμεθα ὡς ἡ στέρησις οὐχ ἕτερόν τί ἐστιν ἢ θάτερον τῶν ἐναντίων, ἤτοι τὸ ἓν μόριον τῆς ἐν-

---

6 ἐστι L: om. A 11 αὐτοῖς L: αὐτῆς A 14 ἐκδηλότατον F idemque e S coni. Bonitz: ⁻λευκότατον AL 17 δὴ LF: δὲ A οὕτως LF: om. A 19 et 21 ἐν τῇ Περὶ γενέσεως] A 3

ἀντιότητος· τὸ γὰρ μέλαν τὸ ἓν τῆς ἐναντιώσεώς ἐστιν. εἰ γὰρ ὅλη ἡ ἐναντιότης τὰ δύο ἐστὶ τὸ λευκὸν καὶ μέλαν, τὸ μέλαν ἄρα τὸ ἕτερόν ἐστι τῶν ἐναντίων. πᾶσα δὴ ἐναντιότης στέρησιν ἔχει καὶ ἔστιν ἡ στέρησις τὸ ἕτερον τῶν ἐναντίων. οὐχ ὁμοίως δὲ πάντα ἐστερῆσθαι λέγεται, ἀλλὰ διαφέρει, ὥσπερ εἴρηται. καὶ εἴρηται ὅτι τὸ μὲν ἐστερῆσθαι | λέγεται, 597 ἂν μόνον ᾖ ἐστερημένον. ὁ γὰρ λίθος ἐστερῆσθαι ὄψεως λέγεται οὐχ ὡς τὰ πεφυκότα μὲν ἔχειν καὶ μὴ ἔχοντα, ἀλλ' ὅτι μόνον οὐκ ἔχει. τὸ δὲ ἐὰν ᾖ ποτὲ πεφυκὸς ἔχειν μὴ ἔχῃ ὅτε πέφυκεν ἔχειν, ἢ εἰ ἐπεφύκει ἔν τινι μορίῳ ἔχειν, ὡς ἐν τῷ ὀφθαλμῷ ὄψιν, μὴ ἔχῃ, ἢ τῷ κυρίῳ. ὁ γὰρ τῆς δεξιᾶς χειρὸς στερηθεὶς ἄχειρ λέγεται ὅτι τοῦ κυριωτέρου μέρους ἐστέρηται· κυριώτερον γὰρ ἡ δεξιὰ τῆς λαιᾶς· πάντῃ δὲ ἄχειρ λέγεται ὁ ἀμφοῖν ταῖν χεροῖν στερηθείς. διὸ ὅσων μὲν ἐναντίων ἐστὶ τὸ ὑποκείμενον ὡρισμένον, οἷον περιττοῦ καὶ ἀρτίου ὁ ἀριθμός, τούτων οὐδέν ἐστι μεταξύ· ὅσων δὲ οὐχ ὡρισμένον, τούτων ἔστιν. οὐχ ὡρισμένον δὲ τὸ ὑποκείμενόν ἐστιν ἀγαθῷ καὶ κακῷ· ἐν ἁπάσαις γὰρ ταῖς κατηγορίαις ἐστὶ καὶ ἀγαθὸν καὶ κακόν, ὥστε ἀόριστον αὐτῶν τὸ ὑποκείμενον, καὶ διὰ τοῦτό εἰσί τινα οὔτε ἀγαθὰ οὔτε κακά· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. φανερὸν τοίνυν γέγονε διὰ τῆς ἐπαγωγῆς ὅτι ἀεὶ θάτερον τῶν ἐναντίων λέγεται κατὰ στέρησιν καὶ ἔστι πᾶσα ἐναντιότης στέρησις. συλλογιστέον δή· τὰ ἐναντία στερήσεις. πᾶσαι αἱ στερήσεις ἀντιφάσεις εἰσί τινες, καὶ τὰ ἐναντία ἄρα ὑπὸ τὴν ἀντίφασίν εἰσιν ὥσπερ καὶ αἱ στερήσεις. τὸ δὲ ἀπόχρη δὲ κἂν τὰ πρῶτα καὶ τὰ γένη τῶν ἐναντίων, οἷον τὸ ἓν καὶ πολλὰ τοιοῦτον ἂν εἴη. εἰ πάντα τὰ ἐναντία ὑπὸ τὸ ἓν καὶ τὰ πολλὰ ἀνάγεται (καὶ εἴρηταί μοι πολλάκις ὅτι διαίρεσιν πεποίηκε, καθ' ἣν πάντα τὰ ἐναντία ὑπὸ τὸ ἓν ἀνήγαγε καὶ τὰ πολλά), τὸ δὲ ἓν καὶ τὰ πολλὰ ἀντίφασίς τίς ἐστιν, ὡς δειχθήσεται, πάντα ἄρα τὰ ἐναντία ὑπ' αὐτὴν ἀνάγεται.

p. 1055ᵇ30 Ἐπεὶ δὲ ἓν ἑνὶ ἐναντίον, ἀπορήσειεν ἄν τις πῶς ἀντίκειται τὸ ἓν καὶ τὰ πολλά.

Ζητεῖ πῶς ἀντίκειται τὸ ἓν καὶ τὰ πολλά, πότερον ὡς τὰ ἐναντία, ὡς στέρησις καὶ ἕξις, ὡς τὰ πρός τι, ἢ ὡς κατάφασις καὶ ἀπόφασις. ὁμοίως δὴ τὸ ἴσον τῷ μεγάλῳ καὶ τῷ μικρῷ κατὰ ποῖον τουτωνὶ τῶν τρόπων ἀντίκειται; καὶ τέως ὅτι τὸ ἓν καὶ τὰ πολλὰ ἀντικείμενά ἐστι δείκνυσι λέγων 'εἰ γὰρ τὸ πότερον ἐν τοῖς ἀντικειμένοις εἰώθαμεν λέγειν, λέγεται δὲ τὸ πότερον καὶ ἐπὶ τοῦ ἑνὸς καὶ τῶν πολλῶν, δῆλον ὅτι ἀντικείμενά ἐστιν.' ἀλλὰ καὶ ὅτι τὸ πότερον ἐπὶ τῶν ἀντικειμένων λέγεται δῆλον· λέγομεν γὰρ πότερον λευκόν ἐστιν ἢ μέλαν καὶ πότερον λευκὸν ἢ οὐ λευκόν. πότερον δὲ τὸ προκείμενον ἄνθρωπός ἐστιν ἢ [οὐ] λευκόν, οὗ φαμεν διὰ τὸ μὴ ἀντικεῖσθαι | τὸν ἄνθρωπον καὶ τὸ λευκόν, εἰ μὴ ἐξ ὑποθέσεως· εἰ γὰρ 598

---

9 ἔχῃ scripsi: ἔχει ALF καὶ μὴ ἔχει M 12 ἐναντίων LF: ἐναντίω A
19 ἐναντιότης LF: ἐναντία A 26 αὐτὴν LF: αὐτὰ A 37 οὐ c. S del. Bonitz

ὑποθοῖτό τις μηδέν τι ἄλλο εἶναι τῶν ἁπάντων εἰ μὴ μόνον ἄνθρωπον καὶ λευκόν, δυνησόμεθα λέγειν τούτου ὑποκειμένου, πότερον τὸ προκείμενον ἄνθρωπός ἐστιν ἢ λευκόν; καὶ πάλιν εἰ θείημεν ὡς ἔστιν ἐν τῇδε τῇ οἰκίᾳ σήμερον ἐξ ἀνάγκης ἢ ἐλεύσεσθαι Κλέωνα ἢ Καλλίαν, μηδένα δὲ ἕτερον, ἐροῦμεν διὰ τὴν ὑπόθεσιν, πότερον Κλέων ἐστὶν ἢ Καλλίας ὁ ἐληλυθώς; εἰ δὲ καὶ ἄλλοι τινὲς ἤμελλον ἐλεύσεσθαι, οὐκ ἐροῦμεν τὸ πότερον Καλλίας ἐστὶν ὁ ἐληλυθὼς ἢ Κλέων, διὰ τὸ ἐνδέχεσθαι μηδέτερον εἶναι τούτων τὸν ἐλθόντα, ἀλλ' ἕτερον οἷον τὸν Σωκράτην.

p. 1055ᵇ36 Ἀλλ' οὐκ ἀνάγκη.

Ἐν οὐδενὶ γένει καὶ ὑποκειμένῳ δυνατόν ἐστι τὸ πότερον ἐρωτᾶν ἀλλ' ἐξ ὑποθέσεως, ἐπὶ δὲ τῶν ἀντικειμένων ἐξ ἀνάγκης. ἀλλὰ καὶ τοῦτο τὸ ἐξ ὑποθέσεως ἐκ τῶν κυρίως ἀντικειμένων ἐλήλυθεν· διὰ γὰρ τὸ μὴ δύνασθαι ἅμα τὰ ἀντικείμενα ὑπάρχειν, ὑπόκειται δὲ καὶ ἐνταῦθα μὴ δύνασθαι ἅμα αὐτοὺς ἐληλυθέναι ἀλλὰ τὸν μὲν πρότερον τὸν δὲ ὕστερον (ἀλλὰ καὶ οὗτος ὁποῖος ἂν τύχῃ εἴτε Κλέων εἴτε Καλλίας) διὰ οὖν τὸ μὴ δύνασθαι τὰ ἀντικείμενα ὑπάρχειν, ὑπόκειται δὲ καὶ ἐνταῦθα μὴ ἅμα αὐτοὺς ἐληλυθέναι, λέγεται τὸ πότερος ἦλθεν· εἰ γὰρ ἐνεδέχετο ἅμα αὐτοὺς ἐλθεῖν, γελοῖον τὸ ἐρωτᾶν πότερος ἦλθεν. εἰ δὲ καὶ ἅμα ἐνδεχομένων ἐλθεῖν ἐρωτᾷ τις τὸ πότερος ἦλθεν, εὐθὺς εἰς τὸ ἓν καὶ τὰ πολλὰ ἐμπίπτει, τουτέστιν εἰς τὴν ἀντίφασιν, οἷον ἀμφότεροι ἦλθον ἢ ὁ εἷς. καὶ οὕτω πάλιν τὸ πότερον ἐπὶ ἀντιφάσεως λέγεται. εἰ δὴ ἐν τοῖς ἀντικειμένοις, ὥσπερ εἴρηται, ἡ τοῦ ποτέρου ζήτησις, λέγομεν δὲ καὶ πότερον μεῖζον ἢ ἴσον ἢ ἔλασσον, τίς ἔσται ἡ ἀντίθεσις τοῦ ἴσου πρὸς τὸ μεῖζον καὶ ἔλασσον καὶ κατὰ τίνα τῶν τοῦ ἀντικειμένου τρόπων ἀντίκεινται; οὔτε γὰρ τὸ ἴσον ἑνὶ μόνῳ οἷον τῷ μείζονι ἢ τῷ ἐλάσσονι ἀντίκειται. τίς γάρ ἐστι λόγος τοῦ τῷ μείζονι μὲν ἀντικεῖσθαι τὸ ἴσον τῷ ἐλάττονι δὲ μή, ἢ ἔμπαλιν τῷ ἐλάττονι μὲν ἀλλ' οὐ καὶ τῷ μείζονι; ἀλλὰ μὴν εἴπερ ἀντικείσονται τῷ ἴσῳ καὶ τὸ μεῖζον καὶ τὸ ἔλασσον, ἔσονται δύο ἑνὶ ἐναντία, δέδεικται δὲ ὅτι ἓν ἑνὶ ἐναντίον.

p. 1056ᵃ7 Ἔτι τῷ ἀνίσῳ ἐναντίον τὸ ἴσον.

Ἀλλὰ μὴν τὸ ἄνισον δηλωτικόν ἐστι τοῦ μείζονος καὶ ἐλάσσονος· ὥστε εἰ ἐναντίον τῷ ἴσῳ τὸ ἄνισον, καὶ οὕτως δύο εἰσὶν ἐναντία. εἰ δὲ τὸ ἄνισον ἀμφότερα δηλοῖ, τὸ μεῖζον καὶ ἔλασσον, οὐκ εἰκός ἐστι λέγειν ὅτι τὸ ἄνισον χρὴ ὡς ἕν τι ὄνομα λαμβάνειν καὶ ἀντιτιθέναι τῷ ἴσῳ, καὶ οὕτως ἐπάγειν ὅτι ἓν τὸ ἄνισον ἑνὶ τῷ ἴσῳ ἐναντίον. τοῦτο γὰρ τοῖς ὑπὸ τὴν δυάδα τὸ ἄνισον ἀνάγουσι βοηθεῖ· ἐπειδὴ γὰρ τὸ ἄνισον δυοῖν ἐστι

13 et 16 ὑπόκειται] exspectes ὑποκεῖσθαι 14 ἀλλὰ — ἐληλυθέναι (17) ALF: om. Bonitz 19 τὸ πότερος ἦλθεν] fort.: τὸ πότερον, cf. 21 24 ἀντικειμένου LF: ὑποκειμένου A 27 μὴν F: μὲν AL

δηλωτικόν, εὐλόγως αὐτὸ ὑπὸ τὴν δυάδα ἀνάγουσι. τῷ δὲ λέγοντι ὡς ἐπειδὴ τὸ ἄνισον ἕν ἐστιν ὄνομα καὶ ἀντιτιθέμενον τῷ ἴσῳ, ὡς ἓν ἑνὶ ἀντιτίθεται, οὐδαμῶς βοηθεῖ· οὐ γὰρ τὰ ὀνόματά εἰσι τὰ ἀντικείμενα, ἀλλὰ τὰ ὑπὸ τῶν | ὀνομάτων σημαινόμενα πράγματα. ὥστε εἰ καὶ ἕν ἐστι τὸ 599 ἄνισον ὄνομα, ἀλλ' ἐπειδὴ δυοῖν ἐστι δηλωτικόν, ὁ τοῦτο τῷ ἴσῳ ἀντιτιθεὶς δύο ἑνὶ ἀντέθηκεν· ὥστε ἔσονται τῷ ἑνὶ δύο ἐναντία, ὅπερ ἀδύνατον. ἔτι τὸ μὲν ἴσον μεταξὺ φαίνεται τοῦ τε μεγάλου καὶ τοῦ μικροῦ, ἐναντίωσις δὲ μεταξὺ οὐκ ἔστι, τὸ ἴσον ἄρα οὐκ ἔστιν αὐτοῖς ἐναντίον. ἄλλως τε εἰ ἐναντιότητα λέγομεν τὴν μεγίστην καὶ τελείαν διάστασιν, οὐκ ἂν εἴη μεταξύ τινος· μεταξὺ γάρ τινος οὖσα συμβαίνει αὐτὴν μὴ εἶναι τελείαν. καὶ ἡ μὲν ἐναντιότης μεταξύ τινος, ὡς εἴρηται, οὐκ ἔστιν, αὕτη δὲ μᾶλλον ἔχει ἑαυτῆς τι μεταξύ, ὡς τὸ φαιὸν ἡ λευκότης καὶ μελανία. δέδεικται ἄρα ὅτι τὸ ἴσον τῷ μείζονι καὶ ἐλάττονι οὐκ ἀντίκειται ὡς τὰ ἐναντία· συμβαίνει γὰρ δύο ἑνὶ εἶναι ἐναντία καὶ τὰ λοιπὰ ὡς εἴρηται.

p. 1056a15 Λείπεται δὴ ἢ ὡς ἀπόφασιν ἀντικεῖσθαι ἢ ⟨ὡς⟩ στέρησιν.

Δείξας τὴν τοῦ ἴσου πρὸς τὸ μεῖζον καὶ ἔλασσον ἀντίθεσιν μὴ οὖσαν ὡς τὰ ἐναντία, λέγει λειπόμενον εἶναι ἀντικεῖσθαι αὐτὰ ἢ ὡς ἀπόφασιν ἢ ὡς στέρησιν. τέως δὲ τὸ λέγειν ὅτι καθ' ἕνα τῶν δύο τούτων τρόπων ἢ τῷ μείζονι μόνῳ ἀντίκειται τῷ δὲ ἐλάσσονι μή, ἢ τῷ ἐλάσσονι μὲν μόνῳ τῷ μείζονι δὲ μή, οὐκ ἐνδέχεται. διὰ τί γὰρ ἑνὶ ὁτῳοῦν αὐτοῖν καὶ οὐκ ἀμφοῖν ἀντικείσεται; ἀπορήσας οὖν λύει λέγων ἀμφοῖν ἄρα ἀπόφασις στερητική. τουτέστιν ἀντίκειται ἄρα τὸ ἴσον τῷ μείζονι καὶ ἐλάσσονι ὡς ἀπόφασις στερητική. τὸ γὰρ ἴσον ἀπόφασίς ἐστι τοῦ μείζονος καὶ ἐλάσσονος· ἴσον γάρ ἐστι τὸ μήτε μεῖζον μήτε ἔλασσον, καὶ ἐπὶ τούτῳ ἀντικεῖσθαι αὐτοῖς ὡς ἀπόφασις στερητικὴ πρὸς ἀμφότερα λέγεται, οἷον πότερον ἴσον ἢ μεῖζον ἢ ἔλασσον. πρὸς θάτερον δὲ οὐ λέγεται μόνον τὸ πότερον· οὐ γὰρ λέγομεν πότερον ἴσον ἢ μεῖζον ἢ ἔμπαλιν πότερον ἴσον ἢ ἔλασσον, ἀλλ' ἀεὶ τρία, τουτέστιν ἀλλ' ἀεὶ τὸ πότερον πρὸς τὰ τρία λέγεται, ἀλλ' οὐ πρὸς τὰ δύο. ἀλλὰ πότερον ἴσον ἢ μεῖζον ἢ ἔλασσον. εἰπὼν δὲ ὅτι τὸ ἴσον ἀπόφασίς ἐστι στερητικὴ τοῦ μείζονος καὶ ἐλάττονος ἐπάγει οὐ στέρησις δὲ ἐξ ἀνάγκης· οὐ γὰρ πᾶν ἴσον ἢ μεῖζον ἢ ἔλασσον, ἀπόφασιν στερητικὴν λέγων τὴν ἐπὶ μιᾶς κατηγορίας διαιροῦσαν τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν. ἐπὶ δὲ τῶν ἄλλων συμψευδομένην τῇ καταφάσει, ὥσπερ τὸ ἴσον ἐπὶ μόνου τοῦ ποσοῦ. πᾶν γὰρ ποσὸν ἢ ἴσον ἐστὶν ἢ μεῖζον ἢ ἔλασσον· ἐπὶ δὲ τῶν ἄλλων ψεύδεται· τὸ γὰρ λευκὸν οὔτε ἴσον ἐστὶν οὔτε μεῖζον ἢ ἔλασσον. ἔστιν οὖν στερητικὴ ἀπόφασις ἢ στερητικὴ στέρησις (ἀμφοτέρως γὰρ γράφεται) αὕτη ἡ ἐπὶ μιᾶς κατηγορίας μετὰ τῆς οἰκείας καταφάσεως τὸ ψεῦδος διαιροῦσα καὶ τὴν ἀλήθειαν. ἀναγκαία δὲ στέρησίς ἐστιν ἢ ἀπόφασις ἡ ἐπὶ πάντων καὶ ὄντων

---

15 ὡς ante στέρησιν addidi coll. l. 17 17 εἶναι LF: om. A 19 ἀντικείσεται LF 31 ἴσον ὃ μὴ μεῖζον Metaph. 32 στέρησιν στερητικὴν λέγων ἀπόφασιν τὴν ἐπὶ LF

καὶ μὴ ὄντων διαιροῦσα τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν· αὕτη δέ ἐστιν ἡ κυρίως ἀπόφασις. ἡ γὰρ ἴσον οὐκ | ἔστιν ἀπόφασις μετὰ τῆς ἴσον ἐστὶ 600 καταφάσεως' διαιρεῖ ἐπὶ πάντων τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. τῆς γὰρ ὅτι ἡ ψυχὴ ἴση ἐστὶ καταφάσεως ψευδομένης ἡ ἀπόφασις ἡ ὅτι ἡ ψυχὴ οὐκ ἔστιν ἴση ἀληθής ἐστιν. οὐκ ἔστιν οὖν τὸ ἴσον στέρησις ἀναγκαία· οὐ γὰρ ἐπὶ πάντων διαιρεῖ τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν· οὐ γὰρ πᾶν ἢ ἴσον ἢ μεῖζον ἢ ἔλασσόν ἐστιν (οὐδὲν γὰρ τούτων ἡ ψυχὴ ἢ τὸ λευκόν), ἀλλ' ἐν οἷς πέφυκε τὸ ἴσον εἶναι (πέφυκε δ' ἐν τῷ ποσῷ· ἴδιον γὰρ ποσοῦ τὸ ἴσον καὶ ἄνισον), ἐν τούτοις διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. ἔστι δὴ τὸ ἴσον τὸ μήτε μέγα μήτε μικρόν, ὥστε τὸ ἴσον στέρησίς ἐστι μεγάλου καὶ μικροῦ. τὸ δὲ πεφυκὸς μέγα ἢ μικρὸν εἶναι πρόσκειται αὐτῷ ὡς εἰ ἔλεγεν 'οὐ πᾶν λέγω ἴσον ἀλλὰ τὸ πεφυκὸς μέγα εἶναι ἢ μικρόν'. τὴν γὰρ ψυχὴν ἴσην οὔ φαμεν· οὐδὲ γὰρ πέφυκε μεγάλη εἶναι ἢ μικρά· ἀμερὴς γὰρ καὶ ἄποσος· τὸν δὲ πῆχύν φαμεν, διότι ἴσος μέν ἐστιν ἑτέρῳ πήχει, μείζων δὲ τοῦ ἡμίσεος, ἐλάσσων δὲ τῶν δύο πήχεων. ἔστιν οὖν τὸ ἴσον τὸ μήτε μέγα μήτε μικρόν, καὶ ἀντίκειται ἀμφοῖν ὡς ἀπόφασις στερητική· διὸ καὶ μεταξύ ἐστι τοῦ μείζονος καὶ ἐλάσσονος. καὶ τὸ μήτε ἀγαθὸν μήτε κακὸν τῷ τε ἀγαθῷ καὶ τῷ κακῷ ἀντίκειται· ἀνώνυμον δέ ἐστι τὸ μήτε ἀγαθὸν μήτε κακόν. καὶ τὴν αἰτίαν τοῦ ἀνώνυμον εἶναι ἐπήνεγκεν, εἰπὼν πολλαχῶς γὰρ λέγεται ἑκάτερον τό τε ἀγαθὸν καὶ τὸ κακόν. ἐπὶ γὰρ τῶν δέκα κατηγοριῶν ἐστι καὶ ἀγαθὸν καὶ κακόν· καὶ γὰρ καὶ ἐν οὐσίᾳ ἐστὶ καὶ ἀγαθὸν καὶ κακόν, καὶ ἐν ποσῷ καὶ ἐν ποιῷ καὶ ταῖς ἄλλαις. εἰ δὲ τοῦτο, ἀόριστον ἄρα τὸ μεταξύ, ὥστε καὶ ἀνώνυμον· τὰ γὰρ ἀόριστα καὶ ἀνώνυμα. ἀλλὰ μᾶλλον ὠνομασμένον ἐστὶ τὸ μήτε λευκὸν μήτε μέλαν· ὅμως οὐδὲ τοῦτο λέγεται ἕν, ἀλλὰ μήτε λευκὸν μήτε μέλαν ἐστὶ καὶ τὸ φαιὸν καὶ τὸ ἁλουργὸν καὶ τὸ πράσινον καὶ τὰ λοιπά. ὅμως ὡρισμένα εἰσὶ τὰ χρώματα καὶ μέτρῳ οὐ πάνυ πολλῷ ἀλλὰ βραχεῖ ὑποπίπτουσιν, ἐφ' ὧν λέγεται στερητικῶς ἡ ἀπόφασις αὕτη, λέγων ἀπόφασιν ταύτην τὸ μήτε λευκὸν μήτε μέλαν. ταύτην δέ, φησί, τὴν ἀπόφασιν ἀνάγκη ἢ φαιὸν εἶναι ἢ ὠχρὸν ἢ τοιοῦτόν τι ἄλλο. ὥστε ἐπειδὴ ἡ τοιαύτη ἀπόφασις ἐν τοῖς ἐν τῷ αὐτῷ γένει ἢ τῇ αὐτῇ κατηγορίᾳ οὖσι λέγεται τοῖς λέγουσιν ὅτι μεταξὺ χειρὸς καὶ ὑποδήματος οὐκ ἔστι τὸ μήτε χεὶρ μήτε ὑπόδημα ὄν, οὐκ ὀρθῶς αὐτοῖς ἐπιτιμῶσιν οἱ λέγοντες ὅτι ἔστι μεταξὺ χειρὸς καὶ ὑποδήματος τὸ μήτε χεὶρ μήτε ὑπόδημα διὰ τὸ καὶ μεταξὺ ἀγαθοῦ καὶ κακοῦ εἶναι τὸ μήτε ἀγαθὸν μήτε κακόν. οὐκ ὀρθῶς οὖν ἐκείνοις οὗτοι ἐπιτιμῶσιν· οὐ γάρ | ἐστι πάντων 601 μεταξύ, οὐδ' ἀνάγκη τοῦτο συμβαίνειν. ἡ μὲν γὰρ συναπόφασις (λέγων συναπόφασιν τὸ μήτε ἀγαθὸν μήτε κακὸν διὰ τὸ συναποφάσκειν ἀμφότερα. καὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν), ἡ μὲν δὴ συναπόφασις τῶν ὁμολογουμένως ἀντικειμένων ἐστί, καὶ ὧν ἐστί τι μεταξὺ καὶ διάστημα, δι' οὗ γίνεται ἡ

---

7 οὐδὲν scripsi: οὐδὲ libri 18 καὶ τῷ κακῷ LF: τῷ om. A 24 τῷ γὰρ ἀορίστῳ LF 26 μέλαν ἐστὶ LF: post μέλαν add. τοιοῦτο δ' A φαιόν, ἔστι καὶ LF

μεταβολὴ ἐκ τοῦδε εἰς τόδε, οἷον ἐκ τοῦ κακοῦ εἰς τὸ ἀγαθὸν καὶ ἔμ- 5
παλιν. ἡ δὲ χεὶρ καὶ τὸ ὑπόδημα ὁμολογουμένως μὴ ὄντα ἀντικείμενα·
πῶς ἂν εἴη τούτων συναπόφασις; οὔτε γὰρ ἀντικείμενά εἰσιν, οὔτε ἔστιν
αὐτῶν διαφορά· ἐν ἄλλῳ γὰρ γένει· ὧν δ' ἐστὶ συναπόφασις, ταῦτα ὁμο-
5 γενῆ ἐστιν. οὕτω γὰρ τοῦ ῥητοῦ τοῦ ἐν ἄλλῳ γὰρ γένει, ὧν αἱ συν-
αποφάσεις εἰσί, χρὴ ἀκούειν· εἰ γὰρ μὴ οὕτως, ἀδιανόητον ἔσται τὸ 10
λεγόμενον καὶ ἐναντίον τοῖς λεγομένοις. δύναται καὶ ὡς ἐλλιπὲς εἰρῆσθαι
τὸ ἐν ἄλλῳ γὰρ γένει ὧν αἱ συναποφάσεις εἰσί, καὶ εἰ προστεθείη
τῷ γένει τὸ οὐκ εἰσιν, ἵν' ᾖ τὸ πᾶν τοιοῦτον 'ἐν ἄλλῳ γὰρ γένει οὐκ
10 εἰσιν ὧν αἱ συναποφάσεις εἰσί', σαφὲς ἂν εἴη τὸ λεγόμενον. τὸ δὲ 'οὔτε
γὰρ ἀντικείμενά ἐστιν οὔτε ἔστιν αὐτῶν διαφορὰ' λέγοι ἂν διαφορὰν τὴν
διαιρετικὴν τοῦ γένους, οἷόν ἐστιν ἐπὶ χρώματος μὲν τὸ διακριτικὸν καὶ 15
συγκριτικόν, ἐπὶ ζῴου δὲ λογικοῦ τὸ θνητὸν καὶ ἀθάνατον. καὶ εἴη ἂν
λέγων ὅτι τοῦ ὑποδήματος καὶ τῆς χειρὸς οὐκ ἔστι συναπόφασις, ὅτι οὐδὲ
15 ἔστιν αὐτῶν διαφορά. καὶ τὴν αἰτίαν τοῦ μὴ εἶναι ἀντιδιῃρημένας ἐν αὐ-
τοῖς διαφορὰς προσέθηκεν, εἰπὼν ἐν ἄλλῳ γὰρ γένει εἰσίν· ὧν δὲ ἔστι
συναπόφασις, ἐν τῷ αὐτῷ εἰσι γένει. καὶ ἄλλως, ὧν εἰσιν αἱ συναπο- 20
φάσεις, ἕν ἐστι τὸ ὑποκείμενον καὶ τὸ αὐτό, τοῦ δὲ ὑποδήματος καὶ τῆς
χειρὸς προσεχὲς οὐδέν ἐστιν ὑποκείμενον.

20 p. 1056b3 Ὁμοίως δὲ καὶ περὶ τοῦ ἑνὸς καὶ τῶν πολλῶν ἀπο-
ρήσειεν ἄν τις.

Ζητήσας ὅτι τὸ ἓν καὶ τὰ πολλὰ πῶς ἀντίκειται καὶ μνησθεὶς τοῦ
ἴσου καὶ μείζονος καὶ ἐλάσσονος μεταξὺ καὶ εἰπὼν ὅπως ἀντίκεινται, ἀνα-
τρέχει ἐπὶ τὸ ἓν καὶ τὰ πολλά, λέγων 'ὁμοίως τῷ ἴσῳ καὶ μείζονι καὶ 25
25 ἐλάττονι ἀπορήσειεν ἄν τις πῶς ἀντίκειται τὸ ἓν καὶ τὰ πολλά', λέγων 'εἰ
γὰρ ἁπλῶς καὶ ὡς ἔτυχέ τις ἀντικεῖσθαι ταῦτα νομίσειε, συμβαίνει ἔνια
ἀδύνατα.' τὸ γὰρ ἕν, φησίν, ὀλίγον ἢ ὀλίγα ἔσται, τὸ δὲ ὀλίγον ἢ τὰ
ὀλίγα πλῆθός εἰσιν· λέγεται γὰρ καὶ ὀλίγον πλῆθος καὶ ὀλίγα πλήθη. τὸ
δὲ πλῆθος διαιρετόν· τὸ ἓν ἄρα ἐστὶ διαιρετόν, ὅπερ ἄτοπον. πῶς δὲ τὸ
30 ἓν ὀλίγον ἐστίν, ἐντεῦθεν δῆλον. τὰ πολλὰ ἀντίκεινται τοῖς ὀλίγοις, τὰ δὲ 30
δύο πολλά· εἰ δὲ τὰ δύο πολλά, τίνι μᾶλλον τοῦ ἑνὸς ὀλίγῳ ἀντικείσονται;
οὐδενὶ δηλονότι ἄλλῳ ἀλλ' αὐτῷ τῷ ἑνί. τὰ δύο ἄρα πολλὰ ὄντα τῷ ἑνὶ
ὡς ὀλίγῳ ἀντίκεινται. ἀλλὰ μὴν τὸ ὀλίγον πλῆθος, τοῦτο δὲ διαιρετόν·
τὸ ἓν | ἄρα διαιρετόν. ὅτι δὲ τὰ δύο πολλά ἐστι, δῆλον· εἰ γὰρ τὸ δι- 602
35 πλάσιον πολλαπλάσιον, τὸ δὲ διπλάσιον ἐκ τοῦ δύο ἔσχε τὸ διπλάσιον λέ-
γεσθαι, καὶ τὰ δύο ἄρα πολλαπλάσιον. ἀλλὰ τὸ πολλαπλάσιον πολλά ἐστι,
καὶ τὰ δύο ἄρα πολλά· εἰ δὲ τὰ δύο πολλά, τὸ ἓν ἔσται ὀλίγον. πρὸς τί
γὰρ ἄλλο τὰ δύο πολλὰ λεχθήσεται, εἰ μὴ πρὸς τὸ ἓν καὶ τὸ ὀλίγον; τοῦ 5
γὰρ ⟨ἑνὸς⟩ οὐκ ἔστιν οὐδὲν ἔλαττον καὶ ὀλιγώτερον· ὥστε εἰ τὰ δύο πολλά,

---

16 γὰρ L: om. A 17. 18 συναποφάσεις L: ἀποφάσεις A 23 ἀντίκειται LF: ἀντίκειται A 38. 39 τοῦ γὰρ — ἓν ὀλίγον (p. 629,1) L: om. AF 39 ἑνὸς addidi

καὶ τὸ ἓν ὀλίγον. ἔτι ὥσπερ ἐν μήκει τὸ μακρὸν καὶ τὸ βραχύ, οὕτως ἐν πλήθει τὸ πολὺ καὶ ὀλίγον, καὶ ὃ ἂν ᾖ πολὺ καὶ πολλά (τὸ γὰρ πολὺ πλῆθος πολλά ἐστι), καὶ τὰ πολλὰ πολύ· τὰ γὰρ πολλὰ δένδρα λέγονται πολὺ πλῆθος. εἰ μή τι ἄρα, φησί, διαφέρει ἐπὶ συνεχεῖ ἀορίστῳ, συνεχὲς λέγων ἀόριστον, εἴ τί περ ὑγρόν, ὡς τὸ ὕδωρ καὶ ὁ ἀήρ. ἀόριστα γὰρ οἰκείῳ ὄντα ὅρῳ, ἀλλοτρίῳ εὐόριστά ἐστι, λέγω δὴ τῷ ἐν ᾧ εἰσιν ἀγγείῳ. ὑγρὸν γὰρ ἐν τῇ Περὶ γενέσεως ἐλέγετο, ὃ δυσόριστον ὂν οἰκείῳ ὅρῳ εὐόριστόν ἐστιν ἀλλοτρίῳ. τὸ οὖν ὕδωρ συνεχὲς ἀόριστον ὂν πολὺ λέγεται, πολλὰ δὲ οὔ. εἰ οὖν τὸ ὀλίγον λέγεται ὀλίγα, τὸ ὀλίγον πλῆθός τί ἐστιν· ἀλλ' εἰ τοῦτο, καὶ ἡ μονὰς πλῆθός τί ἐστιν, ἐπειδὴ καὶ ὀλίγον. ταῦτα εἰπὼν λέγει πῶς τὸ ἓν καὶ τὰ πολλὰ ἀντίκειται, ἅμα δὲ λύει καὶ τὸν παραλογισμόν, ἐξ οὗ συνάγεται ὅτι τὸ ἓν πλῆθός τί ἐστιν. ψευδὴς γάρ ἐστιν ἡ πρότασις ἡ πᾶν πολὺ καὶ πολλὰ λέγουσα, ἐξ ἧς ὁμοιότητος συνήγετο καὶ πᾶν τὸ ὀλίγον ὀλίγα. λέγει οὖν ὅτι ἴσως τὰ πολλὰ λέγεται καὶ πολύ, καὶ ἔμπαλιν, οὐκ ἐπὶ πάντων δέ, ἀλλὰ διαφέρει· τὸ γὰρ ὕδωρ πολὺ μὲν λέγεται, πολλὰ δὲ οὐδαμῶς, ἀλλ' ὅσα διαιρετά ἐστι λέγεται πολλά, λέγων νῦν διαιρετὰ οὐ τὰ ἀδιαίρετα δυνάμενα δὲ διαιρεθῆναι, ἀλλὰ τὰ ἤδη κατ' ἐνέργειαν διῃρημένα. ὅσα δὴ οὖν, φησί, διῃρημένα εἰσὶν ἐνεργείᾳ, ἐν τούτοις λέγεται τὰ πολλά· ὥστε ἕνα μὲν τρόπον λέγεται, ἐὰν ᾖ πλῆθος ἔχον ὑπεροχὴν ἢ ἁπλῶς ἢ πρός τι· τοὺς γὰρ ἑκατὸν ἄνδρας πολλοὺς φαμεν οὐχ ἁπλῶς ἀλλὰ πρὸς τοὺς δέκα, ἁπλῶς δὲ πολλοὶ οἱ ἑκατὸν λέγονται, ὅταν αὐτοὶ καθ' αὑτοὺς θεωρῶνται μὴ προσλογιζομένων τῶν δέκα. ὁμοίως δὲ καὶ τὸ ὀλίγον κατὰ τὸν αὐτὸν τρόπον λέγεται, ἐὰν ᾖ πλῆθος ἔχον ἔλλειψιν· οἱ γὰρ δέκα ἄνδρες πλῆθός τί εἰσιν ἔχοντες ἔλλειψιν πρὸς τοὺς ἑκατόν. ἄλλον δὲ τρόπον πολλὰ λέγεται, ὅταν ᾖ πλῆθος ὡς ἀριθμός· αἱ γὰρ ἑκατὸν μονάδες πρὸς τὰς δέκα πολλαὶ λέγονται, ὅπερ πολύ, λέγω δὴ τὸ ὡς ἀριθμὸς πολύ, ἀντίκειται τῷ ἑνὶ ὡς μέτρον μετρητῷ· ἑκατοντάκις γὰρ ἡ μονὰς πολλαπλασιασθεῖσα τὸν ἑκατὸν πεποίηκεν. οὕτως γὰρ λέγομεν ἓν καὶ πολλὰ ἐπὶ τοῦ ἀριθμοῦ, ὥσπερ εἴ τις εἴποι ἓν καὶ τὰ ἕνα· ὁ γὰρ δέκα ἀριθμὸς δεκάκις ἐστὶ τὸ ἕν, ὥσπερ καὶ τὰ δέκα λευκὰ δεκάκις τὸ ἓν λευκόν. ἔστιν οὖν | τὰ πολλὰ καὶ τὸ ἓν 603
ἐν ἀριθμοῖς ὡς τὰ μεμετρημένα καὶ τὸ μέτρον καὶ τὸ μετρητόν (τὸ δὲ μέτρον καὶ τὸ μετρητὸν ἐκ παραλλήλου κεῖται)· ὥστε τὰ πολλὰ καὶ τὸ ἓν ὡς τὰ πρός τι ἀντίκεινται, λέγω δὴ ὡς τὸ μέτρον καὶ τὸ μεμετρημένον. οὕτω καὶ τὰ πολλαπλάσια λέγεται· ἕκαστος γὰρ ἀριθμὸς πολλά ἐστιν, ὅτι πολλὰ ἕνα· ὁ γὰρ δέκα δέκα ἕνα ἐστίν· μετρητὸς γάρ ἐστι τῷ ἑνί, καὶ ἔστιν ἕκαστος ἀριθμὸς ἢ τὸ ἐν ἀριθμῷ πολλαπλάσιον ὡς τὸ ἀντικείμενον τῷ ἑνί, οὐχ ὡς τῷ ὀλίγῳ· τῷ γὰρ ὀλίγῳ τὸ μὴ ἐν ἀριθμῷ πολὺ

5 ἀορίστῳ] εὐορίστῳ Metaph. vulg. 7 ἐν τῇ Περὶ γενέσεως] B 2 p. 329ᵇ30
12 παραλογισμόν LF: παρόντα συλλογισμόν A 14 οὖν LF: om. A 18 ἤδη LF: εἴδη A 23 δὲ LF: om. A 28 exspectes ὡς μέτρῳ μετρητόν 31. 32 ἓν ἐν LS: ἐν om. A 34 ante λέγω add. ὡσαύτως LF 37. 38 τὸ ἀντικείμενον LF: τὰ ἀντικείμενα A

ἀντίκειται. οὕτω μὲν οὖν ἐστι καὶ τὰ δύο πολλὰ ὡς μετρηθέντα ὑπὸ τῆς μονάδος, ὡς δὲ πλῆθος ἔχον ὑπεροχὴν ἢ ἁπλῶς ἢ πρός τι οὐκ ἔστιν, ἀλλ' ἔστι τῶν τοῦ ἀριθμοῦ πολλῶν πρῶτον πολὺ τὸ δύο· καὶ τὰ τρία γὰρ καὶ τὰ πέντε καὶ τὰ εἴκοσι καὶ τὰ λοιπὰ πολλά ἐστιν, ἀλλὰ πρῶτον τὸ δύο ἐν ἀριθμοῖς πολύ ἐστιν. πολὺ μὲν οὖν ἐστι πρῶτον, ὀλίγα δὲ ἁπλῶς· ὀλιγώτερος γὰρ ἀριθμός, εἰ δεῖ τέως ἀριθμὸν τὸν δύο λέγειν, οὐκ ἔστιν· ἡ γὰρ μονὰς οὐδ' ὅλως ἐστὶν ἀριθμός. εἰ οὖν ἁπλῶς ἡ δυὰς ὀλίγον (πλῆθος γάρ ἐστιν ἔλλειψιν ἔχον πρῶτον) ἡ μονὰς ἄρα οὐκ ἔστιν ὀλίγον· τὸ γὰρ ὀλίγον καὶ πλῆθος. εἰ δὲ μή ἐστιν ὀλίγον, ψεύδεται ἄρα ἡ λέγουσα πρότασις ὅτι τὰ ὀλίγα καὶ ὀλίγον καὶ τὸ ὀλίγον ὀλίγα, ἐξ ἧς συνήγετο ὅτι τὸ ἓν πλῆθός ἐστιν.

p. 1056b28 Διὸ οὐκ ὀρθῶς ἀπέστη Ἀναξαγόρας εἰπὼν ὅτι ὁμοῦ πάντα χρήματα ἦν.

Ἐπειδὴ τοῖς πολλοῖς τὸ ὀλίγον δέδεικται ὅτι ἀντίκειται καὶ τὰ πολλὰ τῷ ὀλίγῳ, ἐστὶ δὲ ἁπλῶς ὀλίγον ἡ δυάς, ἔδει, φησί, τὸν Ἀναξαγόραν μὴ οὕτως εἰπόντα ἀπηλλάχθαι ὅτι ἦν ὁμοῦ πάντα χρήματα ἄπειρα καὶ πλήθει καὶ σμικρότητι, ἀλλ' εἰπεῖν ὅτι καὶ ὀλιγότητι. καὶ τοῦτο εἰπὼν οὐκ ἂν αὐτὰ ἄπειρα ἔφασκε· τὸ γὰρ ὀλίγον ἁπλῶς τὰ δύο ἐστί, τὰ δὲ δύο οὐκ ἄπειρα. τὸ δὴ ὀλίγον ἁπλῶς διὰ τὰ δύο ἐστὶν ἀλλ' οὐχὶ διὰ τὴν μονάδα, ὥσπερ φασί τινες· ἡ γὰρ μονὰς ἐλάσσων μὲν λέγεται τῆς δυάδος, ὀλίγη δὲ οὐ λέγεται διὰ τὸ ὀλίγον ἐν πλήθει θεωρεῖσθαι. τοῦτο δὲ μεταξὺ τῷ Ἀναξαγόρᾳ ἐγκαλέσας πάλιν ἐπὶ τὸ ἓν καὶ τὰ πολλὰ ἀνατρέχει, λέγων ἀντίκειται δὴ τὸ ἓν καὶ τὸ πολὺ τὰ ἐν ἀριθμοῖς ὡς μέτρον μετρητῷ· ταῦτα δέ, οἷον τὸ μέτρον καὶ τὸ μετρητόν, ἀντίκειται ὡς τὰ πρός τι, οὐ τὰ καθ' αὑτὰ πρός τι, ἀλλ' ὡς τὰ πρός τι τὰ μὴ καθ' αὑτά· εἴρηκε γὰρ ἐν τῷ Δ ὅτι τῶν πρός τι τὰ μέν εἰσι καθ' αὑτά, τὰ δὲ οὐ καθ' αὑτά, καὶ καθ' αὑτὰ μὲν ὡς τὸ διπλάσιον καὶ τὸ ἥμισυ, μὴ καθ' αὑτὰ δὲ ὄψις καὶ διάνοια. | λέγεται γὰρ ἡ ὄψις τῶν πρός τι, 604 οὐχ ὅτι αὐτὴ ἄλλου λέγεται οἷον τοῦ ὀφθαλμοῦ, ἀλλ' ὅτι ἄλλο πρὸς αὐτὴν οἷον τὸ ὁρατόν, καὶ ἡ διάνοια λέγεται τῶν πρός τι, οὐχ ὅτι αὕτη ψυχῆς λέγεται διάνοια ἀλλ' ὅτι πρὸς αὐτὴν λέγεται τὸ διανοητόν. καὶ εἴρηταί μοι περὶ τούτων ἐκεῖσε ἀκριβέστερον. ἀντίκειται οὖν τὸ τοιοῦτον ἓν καὶ τὰ πολλὰ ὡς τὰ μὴ καθ' αὑτὰ πρός τι. εἴρηται δέ, φησίν, ἐν ἄλλοις, λέγων καὶ αἰνιττόμενος τὸ Δ, ὅτι τὰ πρός τι διχῶς λέγεται, τὰ μὲν ὡς ἐναντία, ὡς τὸ διπλάσιον φέρε καὶ ἥμισυ, τὰ δὲ ὡς ἐπιστήμη πρὸς ἐπιστητόν. ἡ γὰρ ἐπιστήμη τῶν πρός τι λέγεται, οὐχ ὅτι ἄλλου λέγεται οἷον τοῦ ἐπιστήμονος, ἀλλ' ὅτι τὸ ἐπιστητὸν λέγεται πρὸς αὐτήν.

---

6 ὀλιγώτερος L: ὀλιγώτερα A 21 "lege διὰ τὸ τὸ ὀλίγον" Bonitz 24 οἷον—μετρητόν M Brandis Bonitz: οἷον τὸ ἓν καὶ τὸ πολὺ τὰ ἐν ἀριθμῷ ALFS 26 ἐν τῷ Δ] c. 15 28 γὰρ LF: om. A 29 οἷον τοῦ ὀφθαλμοῦ LF: om. A 30 αὕτη] αὐτὴ coni. Bonitz 35 ἐναντία L: ἐναντίον A

τὸ δὲ ἕν, φησίν, ἔλαττον μὲν τῶν δύο λέγεσθαι οὐδὲν κωλύει, ὀλίγον δ 10
οὐ λέγεται· οὐ γὰρ πᾶν ἔλαττον καὶ ὀλίγον. τὸ δὲ πλῆθος οἷον ὡς γένος
ἐστὶ τοῦ ἀριθμοῦ· κατηγορεῖται γὰρ καὶ τῶν ἐν τῷ ἀριθμῷ πολλῶν καὶ
τῶν μὴ ἐν τῷ ἀριθμῷ. πῶς δὲ οἷον γένος ἐστὶ τοῦ ἀριθμοῦ ἐπάγει. ἐστὶ
5 γὰρ ὁ ἀριθμὸς πλῆθος ἑνὶ μετρητόν· ὁ γὰρ δέκα πλῆθός τι ὢν τῷ
ἑνὶ μετρεῖται. καὶ ἀντίκειται τὸ ἓν καὶ ὁ ἀριθμὸς οὐχ ὡς τὰ ἐναντία ἀλλ'
ὡς τὰ μὴ καθ' αὑτὰ πρός τι, ὥσπερ εἴρηται· ᾗ γάρ ἐστι τὸ ἓν μέτρον 15
ὁ δὲ ἀριθμὸς μετρητόν, ταύτῃ ἀντίκεινται. καὶ ἐπὶ τούτῳ οὐ πᾶν, ὃ ἂν
ᾖ ἓν καὶ ἀδιαίρετον, ἀριθμός ἐστιν, ἀλλ' εἰσὶ πολλὰ ἓν καὶ ἀδιαίρετα τὰ
10 ἐν ταῖς ἀκτῖσι τοῦ ἡλίου ὁρώμενα ξύσματα, καὶ οὔκ εἰσιν ἀριθμός, εἰ
τάχα καὶ ἔστιν ἀριθμὸς αὐτῶν. ἢ ἴσον ἂν εἴη τὸ διὸ οὐ πᾶν ὃ ἂν ᾖ
ἓν ἀριθμός ἐστιν, οἷον εἴ τι ἀδιαίρετον, τῷ οὐκ εἴ τι ἓν ὂν καὶ
ἀδιαίρετον, ἀριθμός ἐστιν. ὁ γὰρ δέκα ὡς δέκα ἀριθμὸς ἕν ἐστιν, ἀλλὰ 20
διαιρεῖται εἰς μονάδας· ὥστε τὸ ἓν καὶ ἀδιαίρετον οὐκ ἔστιν ἀριθμός. καλ-
15 λίων δέ, οἶμαι, ἡ προτέρα ἐξήγησις. ἰστέον δὲ ὅτι ἐν ἀριθμῷ πολλὰ λέγει
αὐτὰς καθ' αὑτὰς τὰς μονάδας νοουμένας, μὴ ἐν ἀριθμῷ δὲ πολλὰ τὰ
παρωνύμως ἀπὸ τῶν μονάδων λεγόμενα, οἷον δέκα ἄνδρας καὶ τὰ ὅμοια.

p. 1057a7 Ὁμοίως δὲ λεγομένη ἡ ἐπιστήμη πρὸς τὸ ἐπιστητὸν 25
οὐχ ὁμοίως ἀποδίδωσιν.

20 Ὥσπερ τὸ ἓν πρὸς τὰ πολλὰ λέγεται (λέγεται δὲ ὡς μέτρον πρὸς με-
τρητόν), οὕτω καὶ ἡ ἐπιστήμη, φησί, πρὸς τὸ ἐπιστητὸν ὡς μέτρον πρὸς
μετρητόν, πλὴν οὐχ ὁμοίως· δοκεῖ γὰρ ὅτι ὡς τὸ ἕν ἐστι μέτρον, οὕτω καὶ
ἡ ἐπιστήμη· οὐκ ἔστι δέ, ἀλλὰ μᾶλλον μετρεῖται ὑπὸ τοῦ ἐπιστητοῦ. δόξειε
μὲν γὰρ ἄν, φησί, μέτρον ἡ ἐπιστήμη εἶναι, τὸ δὲ ἐπιστητὸν τὸ
25 μετρούμενον, συμβαίνει δὲ πᾶσαν ἐπιστήμην τὸ ἐπιστητὸν εἶναι 30
(ὅταν γὰρ ἡ ἐπιστήμη καταλήψηται καὶ γνῷ τὸ ἐπιστητόν. τρόπον τινὰ ἐπι-
στητὸν γίνεται· ὅπερ γὰρ τὸ ἐπιστητόν, ὥσπερ καὶ ὁ νοῦς τὸ νοητόν· ὑπὸ
γὰρ τῶν ἐπιστητῶν ἥ τε ἐπιστήμη καὶ ὁ νοῦς ὑπὸ τῶν νοητῶν τελειοῦνται, ὡς
ἐν τῇ Περὶ ψυχῆς δέδεικται)· τὸ δὲ | ἐπιστητὸν ἐπιστήμη οὐκ ἔστιν. καὶ 605
30 διὰ τοῦτο τρόπον τινὰ μετρεῖται ἡ ἐπιστήμη τῷ ἐπιστητῷ. περὶ τούτου δὲ
εἴρηκε καὶ πρότερον· ἔνθα δὴ ἔδει καὶ ταῦτα τετάχθαι, καὶ ἡμεῖς περὶ
τούτων ἐκεῖσε εἴπομεν. τὸ δὲ πλῆθος, φησίν, οὔτε τῷ ὀλίγῳ ἐναντίον
οὔτε τῷ ἑνί· οἷον γὰρ γένος ἐστὶ τοῦτο· ἀλλὰ τούτῳ μέν (λέγων τούτῳ
τῷ ὀλίγῳ) τῷ ὀλίγῳ, φησίν, ἀντίκειται τὸ πολὺ ὡς ὑπερέχον πλῆθος 5
35 ὑπερεχομένῳ πλήθει. τὸ δὲ ἕν, ὥσπερ εἴρηται, τὸ μέν ἐστι διαιρετόν (τὸ
γὰρ πηχυαῖον μέγεθος ὂν διαιρετόν ἐστιν), τὸ δέ ἐστιν ἓν τὸ ὡς πρός τι,

---

1 δὲ LF: om. A 7 μὴ om. LF post τι add. καὶ οὐχ ὡς τὰ κατὰ συμβεβηκὸς LF 26 καταλήψηται sic AL: καταλήψεται FM 28 ὑπὸ F: om. AL 29 ἐν τῇ Περὶ ψυχῆς] Γ 4 30 δὲ LF: om. A 33 γένος ἐστὶ τοῦτο LF: τὸ γένος ἐστὶ τούτῳ A 35 post ἐστι iterant ὥσπερ εἴρηται AL

ὡς ἡ μονάς· μέτρον γάρ ἐστι τοῦ ἀριθμοῦ, τὸ δὲ μέτρον τῶν πρός τι· ὥστε τὸ τοιοῦτον ἓν τῶν πρός τί ἐστιν. τῷ οὖν ἑνὶ τῷ διαιρετῷ ἀντίκειται τὸ πολὺ ὡς ὀλίγῳ, τῷ δὲ ἀδιαιρέτῳ οὐκ ἀντίκειται. τὸ δὲ ἕτερον ἓν ἐστι τὸ ἀδιαίρετον τὸ ὡς πρός τι. καὶ σαφηνίζει ἐπὶ παραδείγματος ὅπως τὸ ἓν τῶν πρός τί ἐστι, λέγων ὥσπερ ἡ ἐπιστήμη ἐπιστητῷ, ἂν ᾖ ἀριθμὸς τὸ δὲ ἓν μέτρον, τουτέστιν ὥσπερ ἡ ἐπιστήμη καὶ τὸ ἐπιστητὸν τῶν πρός τί ἐστιν, οὕτω καὶ ἐπὶ τοῦ ἀριθμοῦ ὑποληπτέον· ἔστω γὰρ ἡ ἐπιστήμη ἀριθμός, τὸ δὲ ἐπιστητὸν ἓν καὶ μέτρον· ἡ ἐπιστήμη ἄρα ἤτοι ὁ ἀριθμὸς καὶ τὸ ἐπιστητὸν τὸ ἓν τῶν πρός τί εἰσιν.

---

9 post εἰσιν initium capitis VII Metaph. Ἐπεὶ δὲ τῶν ἐναντίων ἐνδέχεται εἶναί τι μεταξὺ καὶ ἐνίων ἔστιν ἀνάγκη add. A: om. LF

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Κ ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ.

Ἐν τῷ παρόντι βιβλίῳ δεκάτῳ ὄντι τῆς ὅλης πραγματείας, κάππα δὲ ἐπιγραφομένῳ, ἐπαναλαμβάνει τὰ ἀποδειχθέντα αὐτῷ καὶ ἀναγνωρίζει ἡμῖν ὡς ἡ τοιαύτη πραγματεία ἑτέρα ἐστὶ τῆς φυσικῆς καὶ τῆς μαθηματικῆς καὶ μόνη ἀξία καλεῖσθαι σοφία. ἀλλ' ἡ μὲν πρόθεσις τοῦ παρόντος βιβλίου αὕτη ἐστίν, ἄνωθεν δὲ πάλιν ῥητέον. ζητήσας ἐν τοῖς πρώτοις λόγοις περὶ τῆς πασῶν κρείττονος ἐπιστήμης πότερον τῶν πρακτικῶν τίς ἐστιν ἢ τῶν θεωρητικῶν, ἔδειξεν ὅτι πάσης πρακτικῆς ἡ ὁποιαοῦν θεωρητικὴ κρείττων ἐστί, πάλιν δὲ τῶν θεωρητικῶν πασῶν ἡ σοφία, ἣν ἐν- 25
10 ταῦθα ζητοῦμεν, διὰ τὸ κρείττους εἶναι τὰς τῆς σοφίας ἀρχὰς τῶν τῶν ἄλλων ἐπιστημῶν ἀρχῶν. | ἐπεὶ δὲ ἄδηλον ἦν εἰ ὅλως εἰσὶν ἀρχαὶ τῆς 606
προκειμένης ἐπιστήμης, ἐτράπετο εἰς τοῦτο καὶ ἔδειξεν ὅτι εἰσὶν ἀρχαὶ τῆς προκειμένης ἐπιστήμης καὶ χρῆται ἀρχαῖς. εἶτα μέλλων δεῖξαι τίνες εἰσὶν αἱ τῆς σοφίας ἀρχαί, καὶ ὅτι κρείττους τῶν ταῖς ἄλλαις ὑποβεβλημένων
15 ἐπιστήμαις ἀρχῶν, ἱστόρησε τὰς τῶν παλαιοτέρων ἃς εἶχον περὶ ἀρχῶν 5
δόξας, καὶ ἀποσεισάμενος εἴ τι τούτοις περὶ αὐτῶν μὴ καλῶς εἴρηται, ἀκόλουθον ἔγνω εἰπεῖν τὴν περὶ τῶν ζητουμένων ἀρχῶν αὐτῷ βούλησίν τε καὶ δόξαν. ἐπεὶ δὲ πᾶσα γνῶσις καὶ μάθησις ἐκ τῶν σαφεστέρων γίνεται, εἶπεν ὅτι "ἀνάγκη πρὸς τὴν ἐπιζητουμένην ἐπιστήμην ἐπελθεῖν ἡμᾶς πρῶ-
20 τον περὶ ὧν ἀπορῆσαι δεῖ πρῶτον· ἔστι γὰρ τοῖς εὐπορεῖν βουλομένοις 10
προύργου τὸ διαπορῆσαι καλῶς." καὶ ἀπορήσας ἐν τῷ Β ταύτης τῆς πραγματείας ὅσα ἐκεῖσε αὐτῷ ἠπόρηται, ἐν τοῖς μετὰ τὸ Β ἄχρι τοῦ παρόντος, ὃ κάππα τοῖς Περιπατητικοῖς ἔθος καλεῖν, λέγων τὰ δοκοῦντα αὐτῷ τε καὶ τῇ ἀληθείᾳ εἶναι ἐχόμενα τῆς πραγματείας ταύτης, ἔλυσε τῶν ἐκεῖ ἀπο-
25 ρηθέντων ὅσα τοῖς λεγομένοις ἀκολούθως καὶ οἰκείως παρενέπιπτε. μέλ- 15
λων δὲ καὶ τὰ λοιπὰ λῦσαι διά τε τοῦ παρόντος βιβλίου καὶ τῶν ἐφεξῆς, πάλιν ὑπομιμνήσκει ἀπὸ τῶν ἐκεῖσε ἀπορηθέντων ὅσα ἢ ὅλως οὐ τετύχηκε λύσεως ἢ οὐκ αὐτάρκως. καὶ πρότερόν φησιν ὅτι μὲν ἡ προκειμένη ἡμῖν σοφία ἐπιστήμη τίς ἐστιν ἀρχὰς ἔχουσα δῆλον ἡμῖν ἐκ τῶν πρώτων λό-

---

1 σχόλια — φυσικά A, qui titulum post ῥητέον (6) ponit: ἀριστοτέλους add. M: om. LF
19 ἀνάγκη κτλ.] B 1 p. 995 a 24 20 εὐπορεῖν ex Metaph. B 1 Bonitz: ἀπορεῖν ALFS 26 λοιπὰ L: πολλὰ AS 27 ἢ — τετύχηκε L: ὅλως οὔτε ἔσχηκεν A

γων γέγονεν, ἐν οἷς διηπορούμέν τε πρὸς τὰ ὑπὸ τῶν ἄλλων περὶ ἀρχῶν εἰρημένα καὶ ἐζητοῦμεν εἴτε καλῶς λέγουσιν εἴτε μὴ καλῶς. τὰ περὶ ἐκείνων γὰρ σκοποῦντες ἅμα ἀπεδείκνυμεν ὅτι ἡ ζητουμένη σοφία ἀρχαῖς χρῆται.

p. 1059a 20 Ἀπορήσειε δ' ἄν τις, πότερον μίαν ὑπολαβεῖν εἶναι δεῖ τὴν σοφίαν.

Ἀνάμνησιν, ὥς μοι εἴρηται, τῶν ἐν τῷ B ταύτης τῆς πραγματείας ἀπορηθέντων ποιεῖται, καί φησιν ἀπορήσειεν ἄν τις πότερον ἡ σοφία μία τίς ἐστιν ἐπιστήμη ἢ πλείους, μία δὲ οὐχ οὕτως ὥς φαμεν τὴν ἀριθμητικὴν καὶ γεωμετρίαν καὶ φυσικὴν καὶ ἀστρονομίαν ἁπάσας μίαν, ὅτι πᾶσαι ἐν μιᾷ τυγχάνουσιν οὖσαι τῇ τοῦ Σωκράτους ψυχῇ (λέγονται γὰρ καὶ αὗται μία τις, ὅτι ἅπασαι ἐν μιᾷ ψυχῇ συναθροισθεῖσαι ἀπετέλεσαν μίαν τινὰ καθολικωτέραν ἑκάστης ὁποιασοῦν τούτων), οὐχ οὕτω δὴ ζητοῦμεν εἰ ἔστιν ἡ σοφία μία, ἀλλ' εἰ μία ἐστὶ τῷ ἀριθμῷ ἢ οὐκ ἔστι μία τῷ ἀριθμῷ ἀλλὰ πλείους. καὶ εἰπὼν πρῶτον συλλογίζεται ὅτι οὐ μία, λέγων τῆς μιᾶς ἐπιστήμης τῷ ἀριθμῷ αἱ ἀρχαὶ ἐναντίαι εἰσί· τῶν γὰρ ἐναντίων μία ἡ ἐπιστήμη καὶ ἡ μία τῶν ἐναντίων· τῆς δὲ σοφίας αἱ ἀρχαὶ οὐκ εἰσιν ἐναντίαι· καὶ συμπεραίνει, ἡ προκειμένη ἄρα ἐπιστήμη, ἡ σοφία, οὐκ ἔστι μία. ἀλλὰ καὶ ὅτι αἱ τῆς σοφίας ἀρχαὶ οὐκ εἰσιν ἐναντίαι δείκνυσιν 607 οὕτω. τῆς σοφίας αἱ ἀρχαὶ αἱ πρώτισται οὐσίαι καὶ ἀίδιοί εἰσι· τῇ οὐσίᾳ οὐδέν ἐστιν ἐναντίον· τῆς σοφίας ἄρα αἱ ἀρχαὶ οὐκ εἰσιν ἐναντίαι. εἰ γὰρ ταῖς μερικαῖς ταύταις καὶ αἰσθηταῖς οὐσίαις οὐδέν ἐστιν ἐναντίον, ταῖς νοηταῖς καὶ ἀιδίοις, εἰπεῖν δὲ καὶ ὑπερουσίοις τί ἂν εἴη ἐναντίον; τοῦτο καὶ ἐπινοηθῆναι φαυλότατον. τοιαύτη μὲν ἡ ἐπιχείρησις, καθ' ἣν ἐνέστη ὅτι ἡ σοφία οὐκ ἔστι μία. ἐπιχειρεῖ δὲ καὶ εἰς τοὐναντίον λέγων 'εἰ δὲ μὴ ἔστι μία ἀλλὰ πλείους, τίνες αὗται, πότερον ἀριθμητικὴ ἢ ἄλλη τις, καὶ πότερον ἑπτὰ ἢ πέντε ἢ ἄλλος τις ἀριθμός, ἔχει οἷον ἂν ῥηθείη πολλὴν ἀπορίαν.' ἀλλὰ καὶ τὰς ἀποδεικτικὰς ἀρχάς (εἰσὶ δὲ τὸ ἐπὶ παντὸς ἡ κατάφασις ἢ ἡ ἀπόφασις, καὶ τὸ εἰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ἴσα, καὶ τὰ ὅμοια), τὸ περὶ τούτων θεωρῆσαι μιᾶς ἐστιν ἢ πλειόνων; εἰ μὲν γὰρ μιᾶς, οἷον φέρε τῆς ἀριθμητικῆς, διὰ τίνα λόγον ταύτης ἐστὶ τοῦτο καὶ οὐ τῆς γεωμετρίας, ἢ διὰ τί ταύτης καὶ οὐκ ἄλλης ὁποιασοῦν; εἰ δὲ μὴ μιᾶς ἐστι τὸ τὰς ἀποδεικτικὰς ἀρχὰς ἐπισκέπτεσθαι ἀλλὰ πλειόνων, ποίας δεῖ ταύτας τιθέναι, πρακτικὰς ἢ θεωρητικάς; καὶ τῶν θεωρητικῶν φυσικὴν ἢ ἄλλην τινά; ἔτι πασῶν τῶν οὐσιῶν μία ἐστὶν ἐπιστήμη ἢ οὔ; εἰ μὲν γὰρ μή ἐστι μία πασῶν τῶν οὐσιῶν, ποίων οὐσιῶν ποία ἐστὶ χαλεπὸν ἀποδοῦναι. εἰ δὲ πάλιν τις θήσει πασῶν τῶν οὐσιῶν μίαν εἶναι ἐπιστήμην, ἄδηλον πῶς πλειόνων ἐνδέχεται μίαν εἶναι· ἡ γὰρ μία τῶν ἐναντίων, αἱ δὲ οὐσίαι οὐκ ἐναντίαι. ἔτι ζητήσειεν ἄν τις εἰ ἡ ἀπόδειξις

18 καὶ M: om. AL 20 πρώτισται L: πρώτιστοι A 29 καὶ τὰ τῷ αὐτῷ L 39 εἰ Brandis Bonitz: om. ALM

περὶ τὰς οὐσίας ἐστὶν ἢ περὶ τὰ καθ' αὑτὸ συμβεβηκότα ταῖς οὐσίαις. ἢ εἰ ἔστιν ἡ ἀπόδειξις περὶ τὰ καθ' αὑτὸ συμβεβηκότα, τῶν δὲ οὐσιῶν καὶ τοῦ τί ἦν εἶναι ἀπόδειξις οὐκ ἔστιν, ὡς δέδεικται ἐν τῷ δευτέρῳ τῶν Ὑστέρων ἀναλυτικῶν, οὐκ ἂν εἴη τῶν οὐσιῶν ἡ ἀπόδειξις, ἀλλ' ἑτέρα τις. ἀλλ' ἐὰν ἡ τῶν οὐσιῶν ἑτέρα τῆς τῶν συμβεβηκότων, τίς ἐστιν ἑκατέρα αὐτῶν, καὶ ποία τούτων ἡ σοφία, ἡ τῶν συμβεβηκότων ἢ ἡ τῶν οὐσιῶν; καί φησιν ὅτι ἐπεὶ ἡ ἀποδεικτικὴ σοφία περὶ τὰ συμβεβηκότα ἐστίν, ἡ περὶ τὰ πρῶτα, τουτέστιν ἡ περὶ τὰς πρώτας ἀρχὰς οἷαι ἂν καὶ εἶεν, ἐκείνη ἐστὶν ἡ τῶν οὐσιῶν. οὔτε οὖν ἐν οὐδενὶ τούτων τὴν ἐπιζητουμένην σοφίαν θετέον, οὔτε περὶ τὰς ἐν τοῖς Φυσικοῖς εἰρημένας αἰτίας, ὕλην, εἶδος, ποιητικὸν καὶ τελικόν. καὶ ὅτι περὶ ὕλην καὶ εἶδος καὶ ποιητικὸν οὐκ ἔστιν, εἴρηται ἐν τοῖς πρώτοις ταύτης τῆς πραγματείας βιβλίοις. ἄυλος γὰρ ἦν ἣν ἐνταῦθα ζητοῦμεν ἀρχήν, ἀλλ' οὐδέ ἐστί τι ταύτης ποιητικόν (αὕτη γάρ ἐστι τὸ πάντων πρῶτον καὶ πάντων | αἴτιον), 608 ἀλλὰ καὶ ὑπὲρ εἶδος αὕτη· εἰδῶν γὰρ ποιητική. ὅτι δὲ οὐδὲ περὶ τελικόν ἐστιν ἡ σοφία, δείκνυσι λέγων οὔτε γὰρ περὶ τὸ ἕνεκά τινος· ἕνεκα γάρ τινος τὸ τελικόν φησιν, αὐτὸ δὲ εἶπε καὶ τἀγαθόν. εἰπὼν δὲ οὔτε γὰρ περὶ τὸ ἕνεκά τινος δέδωκεν ἡμῖν προσυπακούειν ὅτι οὔτε περὶ τὰ λοιπὰ τρία, εἶδος ὕλην ποιητικόν· ὁ γὰρ σύνδεσμος ὁ γάρ ἐλλείποντός ἐστιν ἀποδοτικός. δείκνυσιν οὖν τὸ προκείμενον οὕτως. ἡ σοφία περὶ τὰ ἀκίνητα· τὸ ἀγαθὸν καὶ τὸ ἕνεκά τινος ἐν τοῖς ἀκινήτοις οὐκ ἔστι· παντέλεια γὰρ ἐκεῖνα καὶ ἀνενδεῆ καὶ οὐδενὸς ἐφιέμενα· καὶ συμπεραίνει ἡ σοφία ἄρα οὐκ ἔστι περὶ τὸ ἕνεκά του. εἰπὼν δὲ ὅτι ἡ σοφία περὶ τὸ ἕνεκά του οὐκ ἔστι, λέγει ἐν τίσιν ἔστι τὸ ἕνεκά του. τὸ ἕνεκά του, φησί, τοιοῦτον δ' ἐστὶ τἀγαθόν, ἐν τοῖς πρακτοῖς ὑπάρχει· ὃ γάρ τις πράττει, ἕνεκεν ἀγαθοῦ ἢ φαινομένου ἀγαθοῦ πράττει. ἐν τοῖς πρακτοῖς οὖν τἀγαθὸν καὶ ἐν τοῖς οὖσιν ἐν κινήσει, ἤτοι τοῖς φυσικοῖς καὶ τεχνητοῖς. καὶ τοῦτο πρῶτον κινεῖ· τὸ γὰρ ἀγαθὸν ἢ τὸ φαινόμενον ὀφθὲν ἐκίνησε τὴν ὄψιν καὶ αὕτη τὴν φαντασίαν καὶ αὕτη τὴν ὄρεξιν καὶ αὕτη τὸ ζῷον, ὥστε τὸ πρῶτον κινοῦν τὸ ἕνεκά του καὶ τὸ ἀγαθόν ἐστιν. εἰ δὴ ἡ σοφία περὶ τὰ ἀκίνητα, ἐν δὲ τοῖς ἀκινήτοις τὸ ἕνεκά τινος οὐκ ἔστιν, ἡ σοφία ἄρα οὐκ ἔστι περὶ τὸ ἕνεκά του.

p. 1059a38 Ὅλως δ' ἀπορίαν ἔχει, πότερόν ποτε περὶ τὰς αἰσθητὰς οὐσίας ἐστίν.

Τὸ λεγόμενόν ἐστιν· ἡ ζητουμένη ἐπιστήμη περὶ αἰσθητάς ἐστιν οὐσίας ἢ οὐ περὶ αἰσθητὰς ἀλλὰ περί τινας ἑτέρας. ἀλλ' εἰ περὶ ἑτέρας καὶ οὐ περὶ τὰς αἰσθητάς, τίνες οὖσαι τυγχάνουσιν αἵπερ εἰσὶ παρὰ τὰς αἰσθητάς. περὶ ἃς ἐστιν ἡ σοφία. πότερον τὰ εἴδη. τουτέστιν αἱ ἰδέαι. ἢ

1. 2 ἢ εἰ L: εἰ om. A 2 ἡ L: om. A 3. 4 ἐν τῷ δευτέρῳ τῶν Ὑστέρων ἀναλυτικῶν] c. 3 16 ἕνεκά τινος] οὗ ἕνεκεν Metaph. vulg. 17. 18 τὸ τελικὸν — τινος LS: om. A 19 γάρ L: τέ A 25 πρακτοῖς S: πρακτικοῖς AL 26 πρακτοῖς L: πρακτικοῖς A

τὰ μαθηματικά; ἀλλ' ὅτι μὲν οὖν οὐκ εἰσιν ἰδέαι δέδεικται διὰ πλειόνων· κἂν δῶμεν εἶναι τὰ εἴδη, διὰ τί, φησίν, ὥσπερ ἐπὶ τῶν μαθηματικῶν οὐχ οὕτως ἔχει καὶ ἐπὶ τῶν ἄλλων ὧν ἔστιν εἴδη, τουτέστι διὰ τί, ὥσπερ μεταξὺ τοῦ αὐτοτριγώνου καὶ τῶν αἰσθητῶν τριγώνων εἶναί φασι τὰ μαθηματικὰ τρίγωνα ἐν ὑπάρξει καὶ καθ' αὑτὰ ὄντα, ἀλλ' οὐ τῇ ἐπινοίᾳ τὸ εἶναι ἔχοντα, οὐχ οὕτως ἐστὶ μεταξὺ τοῦ αὐτοανθρώπου καὶ τῶν καθ' ἕκαστα ἀνθρώπων τρίτος ἄνθρωπος ἐν ὑπάρξει καὶ καθ' αὑτὸν ὤν; τὸν γὰρ αὐτοάνθρωπον εἶπε παρ' αὐτόν, τουτέστι παρὰ τὸν αὐτοάνθρωπον. ἐνστὰς οὖν οὕτω πρὸς τὰς ἰδέας ἐπιχειρεῖ καὶ εἰς τοὐναντίον, λέγων εἰ δ' αὖ μή ἐστιν ὡς λέγουσι, τουτέστιν εἰ δὲ μὴ δῶμεν μηδὲ συγχωρήσομεν εἶναι ἰδέας, περὶ ποῖα πραγματεύεσθαι φήσομεν τὸν μαθηματικόν; οὐ γὰρ δὴ περὶ τὰ καθ' ἕκαστα καὶ αἰσθητά· οὐδὲν γὰρ | τῶν 609 ἐνταῦθα μῆκος ἁπλατὲς ἢ εὐθὺ ἢ σφαῖρα κατὰ σημεῖον ἁπτομένη τοῦ ἐπιπέδου. περὶ γὰρ τοιαῦτα ὁ μαθηματικὸς πραγματεύεται καὶ ταῦτα ζητεῖ. εἰ οὖν ἐνταῦθα οὐδέν ἐστι τοιοῦτον, εἰ μὴ δῶμεν εἶναι αὐτομῆκος καὶ αὐτοσφαῖραν, ἔσται ὁ μαθηματικὸς περὶ τὰ μὴ ὄντα, οὐδεμία δὲ ἐπιστήμη περὶ τὸ μὴ ὄν ἐστι. ταῦτα εἰπὼν οὐδὲν πρὸς τοῦτο λέγει ὡς πολλάκις εὐθύνας ταύτην τὴν δόξαν, λέγει δὲ ὅτι οὐδὲ περὶ τὰ μαθηματικά ἐστιν ἡ σοφία· οὐδὲν γὰρ αὐτῶν ἐστι χωριστὸν καὶ καθ' αὑτὸ ὑπάρχον, ἀλλ' ἐν μόνῃ τῇ ἐπινοίᾳ ἔχει τὸ εἶναι, ἡ δὲ σοφία περὶ τὰ καθ' αὑτὸ ὄντα καὶ ὄντως ὄντα ἐστίν. οὔτε δὴ τῶν μαθηματικῶν ἐστιν ἡ σοφία οὔτε τῶν αἰσθητῶν καὶ μερικῶν οὐσιῶν· ταῦτα γὰρ φθαρτά ἐστιν, ἡ δὲ σοφία τῶν ἀφθάρτων καὶ ἀιδίων.

p. 1059b14 Ὅλως δ' ἀπορήσειεν ἄν τις, ποίας ἐστὶν ἐπιστήμης τὸ διαπορῆσαι περὶ τῆς τῶν μαθηματικῶν ὕλης.

Καὶ τοῦτο ζητήσειεν ἄν τις, φησί, ποίας ἐπιστήμης ἐστὶ τὸ ζητεῖν τὴν ὑποκειμένην τοῖς μαθηματικοῖς ὕλην. τῆς φυσικῆς προφανῶς οὐκ ἔστιν· αὕτη γὰρ περὶ τῶν ἐχόντων ἀρχὴν κινήσεως καὶ στάσεως ἐν αὑτοῖς [τοῦ κινεῖσθαι καὶ ἵστασθαι] ἐστὶ καὶ περὶ τὴν ὑποκειμένην τούτοις ὕλην, τὰ δὲ μαθηματικὰ ἀκίνητα. ἀλλ' οὐδὲ τῆς ἀποδεικτικῆς· ἡ γὰρ ἀποδεικτικὴ τὸ γένος καὶ τὸ ὑποκείμενον τοῖς μαθηματικοῖς λαβοῦσα ὡς ὁμολογούμενον, οἷον ὅτι ἔστω τὸ μέγεθος, ζητεῖ τὰ καθ' αὑτὰ συμβεβηκότα αὐτῷ, τί τὸ εὐθὺ καὶ τί τὸ συμπίπτειν τὰς εὐθείας ἢ μὴ συμπίπτειν, οὐ μὴν τὴν τοῦ μεγέθους ἢ ὅ τί ποτ' ἂν εἴη τὸ τοῖς μαθηματικοῖς ὑποκείμενον φύσιν ζητεῖ. τὸ δὲ περὶ γὰρ αὐτὸ τοῦτο τὸ γένος τὴν ζήτησιν ποιεῖται ἐλλιπῶς καὶ λίαν ἀρχαιοπρεπῶς εἴρηται· εἴη δ' ἂν ἴσον τῷ αὐτὸ τοῦτο τὸ γένος καὶ τὴν ὑποκειμένην τοῖς μαθηματικοῖς ὕλην ὁμολογούμενον λαβὼν ὅτι ἔστι τοδί, τὴν ζήτησιν καὶ τὴν σκέψιν ποιεῖται

---

7 καθ' αὑτὸν L: καθ' αὑτὸ A 14 καὶ τοιαῦτα ζητεῖ L 27 προφανῶς L: προφανῆς A 29 τοῦ κινεῖσθαι καὶ ἵστασθαι c. S del. Bonitz τούτοις L: om. A 31 ὡς L: om. A

τῶν συμβεβηκότων αὐτῷ καθ' αὑτό· τοῦτο γὰρ δεῖ προσυπακούειν. εἰ οὖν μήτε τῆς φυσικῆς ἐστι μήτε τῆς ἀποδεικτικῆς τὸ ζητεῖν τὴν τῶν μαθηματικῶν ὅλην, τὸ λειπόμενόν ἐστι τὴν σοφίαν περὶ αὐτῆς ζητεῖν.

Ταῦτα εἰπὼν ἔτι, φησίν, ἀπορήσειεν ἄν τις εἰ ἡ ζητουμένη σοφία περὶ τὰς ἀρχάς ἐστι καὶ τὰ καλούμενα ὑπό τινων στοιχεῖα (λέγει δὲ πῦρ καὶ γῆν καὶ τὰ τούτων μεταξύ) ἢ οὔ. καὶ ἐρωτήσας ἀποκρίνεται λέγων ταῦτα δὲ πάντες ἐνυπάρχοντα τοῖς συνθέτοις τιθέασι, δυνάμει λέγων 'ἢ οὐκ ἔστι περὶ τὰς τοιαύτας ἀρχὰς ἡ ζητουμένη σοφία· αἱ μὲν γὰρ τοιαῦται ἀρχαί, τὸ πῦρ καὶ ἡ γῆ καὶ ὁ ἀὴρ καὶ τὸ ὕδωρ, ἐνυπάρχουσι τοῖς συνθέτοις ζῴοις καὶ φυτοῖς καὶ τοῖς τοιούτοις, καὶ | ὅτι τούτοις ἐνυπάρχουσι, πάντες ὁμολογοῦσιν· ἡ δὲ σοφία τῶν χωριστῶν ἐστι καὶ παντελῶς ἀμεθέκτων.' τῶν μὲν οὖν τοιούτων ἀρχῶν καὶ στοιχείων οὐκ ἔστιν ἡ σοφία, μάλιστα δὲ δόξειεν ἂν εἶναι τῶν καθόλου· πᾶς γὰρ λόγος καὶ πᾶσα ἐπιστήμη τῶν καθόλου, αὕτη δὲ ὅσῳ τῶν ἄλλων μᾶλλον τιμιωτέρα καὶ καθολικωτέρα, τοσούτῳ μᾶλλον τῶν καθολικωτάτων ἔσται, καθολικώτατα δὲ πάντων τὸ ἓν καὶ τὸ ὄν. ταῦτα γὰρ τῶν πάντων περιεκτικά· ἅπαν γὰρ οὐσίαν τινὰ καὶ φύσιν ἔχον καὶ ὕπαρξιν καὶ ὄν ἐστι καὶ ἕν. διὰ τὸ καθολικώτατα δὴ εἶναι καὶ διὰ τὸ συναναιρεῖν, μὴ συναναιρεῖσθαι δέ, ἔσονται τὸ ὂν καὶ τὸ ἓν ἀρχαί. τοῦτο γὰρ τῆς ἀρχῆς οἰκειότατον τὸ συναναιρεῖν καὶ μὴ συναναιρεῖσθαι. ὅτι δὲ συναναιρεῖ δῆλον· μὴ γὰρ ὄντος τοῦ ἑνὸς ἢ τοῦ ὄντος οὐδὲν ἔσται τῶν ἀπὸ τούτων λεγομένων. οὕτω ἐπιχειρήσας ὅτι μάλιστα τὸ ὂν καὶ τὸ ἓν ἔσονται ἀρχαί, ἐνίσταται πρὸς τοῦτο λέγων ἢ δὲ τὰς διαφορὰς αὐτῶν ἀνάγκη μετέχειν. ἔστι δὲ ὃ λέγει δυνάμει τοιοῦτον. ὡς μὲν καθολικώτατα τὸ ὂν καὶ τὸ ἓν δόξειεν ἂν εἶναι ἀρχαί· καθὸ δὲ συμβαίνει ταῦτα κατηγορεῖσθαι τῶν διαφορῶν (ἡ γὰρ λογικότης καὶ ὄν ἐστι καὶ ἕν, καὶ ἡ θνητότης καὶ αἱ λοιπαί), τὰ δὲ γένη τῶν διαφορῶν ὅτι οὐ κατηγορεῖται ἀπειράκις εἴρηται, ταύτῃ οὐκ ἔσονται τὸ ὂν καὶ ἓν γένη καὶ ἀρχαὶ ἀλλ' ὀνόματα μόνον. καθὸ οὖν, φησίν, εἴ τις τὸ ὂν καὶ τὸ ἓν ἀρχὰς θήσει, συμβαίνει τούτων μετέχειν τὰς διαφοράς, τουτέστι κατηγορεῖσθαι ταῦτα τῶν διαφορῶν, κατὰ τοῦτο οὐκ ἂν δόξειε τιθέναι αὐτὰ γένη καὶ ἀρχάς.

p. 1059b34 Ἔτι δ' εἰ μᾶλλον ἀρχὴ τὸ ἁπλούστερον τοῦ ἧττον τοιούτου.

Κἀνταῦθα λείπει τὸ ἔτι ζητήσειεν ἄν τις πότερον τὰ γένη εἰσὶν ἀρχαὶ ἢ τὰ εἴδη. καὶ ἔστι τὸ μὲν ἔτι δ' εἰ μᾶλλον ἀρχὴ τὸ ἁπλούστερον τοῦ ἧττον τοιούτου κατασκευαστικὸν τοῦ ὅτι μᾶλλον ἀρχαὶ τὰ εἴδη τῶν γενῶν. πρόεισι δὲ ἡ ἐπιχείρησις ἐπὶ ἀξιώματι τῷ τὰ συνθετώτερα ἧττόν εἰσιν ἀρχαὶ τῶν ἁπλουστέρων· οἰκεῖον γὰρ ἀρχῇ τὸ ἁπλοῦν.

---

9 καὶ ὁ ἀὴρ L: om. A 13 ἂν L: om. A 17 ἔχον L: ἔχει A 18 δὴ L: δεῖ A 22 et 29 τὸ ἓν L: τὸ om. A 25 δόξειεν ἂν εἶναι M Bonitz: δοξάζουσιν ὡς εἰσιν A: δόξουσιν ὡς εἰσιν L

ἐπεὶ οὖν τὰ συνθετώτερα ἧττόν εἰσιν ἀρχαὶ ἤπερ τὰ ἁπλούστερα, τὰ δὲ γένη συνθετώτερα καθὸ πλειόνων περιεκτικά, τὰ δὲ εἴδη ἁπλούστερα ἢ πάλιν ταῦτα ἐλαττόνων περιεκτικά, τὰ εἴδη ἂν εἴη μᾶλλον ἀρχαὶ ἤπερ τὰ γένη. ἔσχατα δὲ τῶν ἐκ τοῦ γένους εἶπε τὰ εἰδικώτατα εἴδη. ἔνδοξος δὲ ἡ ἐπιχείρησις καὶ προφανῆ μᾶλλον τῶν ἄλλων ἔχουσα τὸν παραλογισμόν. οὕτω μὲν οὖν δόξειεν ἂν τὰ εἴδη μᾶλλον εἶναι ἀρχὰς ἤπερ τὰ γένη. ἢ δὲ πάλιν τὰ γένη συναναιρεῖ τὰ εἴδη, οὐ συναναιρεῖται δὲ τοῖς εἴδεσι, δόξει ὅτι τὰ γένη εἰσὶν ἀρχαί. καὶ τοῦτο γὰρ ἀρχῆς ἀρετὴ τὸ συναναιρεῖν καὶ μὴ συναναιρεῖσθαι. |

p. 1060a1 Τὰ μὲν οὖν τὴν ἀπορίαν ἔχοντα ταῦτα καὶ τοιαῦτά ἐστιν. 611

Εἰπὼν ὅτι τὰ τὴν ἀπορίαν ἔχοντα ταῦτα καὶ προσθεὶς τὸ καὶ τοιαῦτα, ὡς μηνυτικὸν τοῦ εἶναι καὶ ἄλλας ἀπορίας παρὰ τὰς εἰρημένας εὐθὺς ἐπάγει ἀπορίαν λέγων ἔτι δεῖ θεῖναί τι παρὰ τὰ καθ' ἕκαστα, ἐν οἷς ἔσται ἡ σοφία, ἢ οὔ, ἀλλὰ τῶν καθ' ἕκαστά ἐστιν ἡ σοφία, διὰ τὸ μηθὲν εἶναί τι παρὰ τὰ καθ' ἕκαστα; καὶ λύει λέγων ὅτι τὰ καθ' ἕκαστα φθαρτά ἐστιν, ἡ δὲ σοφία τῶν ἀφθάρτων καὶ ἀιδίων. ἀλλ' οὐδὲ τῶν παρὰ τὰ καθ' ἕκαστά ἐστιν ἡ σοφία. τὰ γὰρ παρὰ τὰ καθ' ἕκαστα ἢ γένη ἢ εἴδη. ταῦτα δὲ ἐν τοῖς καθ' ἕκαστα, καὶ εἰσὶν ὁμοιώματα τῶν ἐν οἷς ὑπάρχουσιν, ἡ δὲ σοφία περὶ τὰ ὄντως ὄντα καὶ ἀμέθεκτα. αἰνιξάμενος δὲ διὰ τοῦ εἰπεῖν ὅτι διότι γὰρ τοῦτο ἀδύνατον εἴρηται, ὅτι περὶ ἄλλα τινά ἐστιν ἡ σοφία καὶ οὐ περὶ τὰ γένη ἢ τὰ εἴδη, ἐπάγει καὶ γὰρ ὅλως ἀπορίαν ἔχει πότερον δεῖ ὑπολαβεῖν οὐσίαν εἶναι χωριστήν, ἴσον λέγων εἰ μὴ ἔστιν ἕτερά τινα περὶ ἃ ἔσται ἡ σοφία, ἀπορίαν ἔχει πότερον ἔστι τινὰ χωριστὰ παρὰ τὰς δεῦρο οὐσίας ἢ οὐκ ἔστιν, ἀλλὰ τὰ αἰσθητά ἐστι τὰ ὄντα, ἐν οἷς καὶ περὶ ἃ ἀνάγκη ὑπάρχειν τὴν σοφίαν. ἐοίκαμεν γὰρ ζητεῖν ἄλλην οὐσίαν παρὰ ταύτας καὶ σκοποῦμεν ἰδεῖν εἴ τί ἐστι χωριστὸν καὶ καθ' αὑτὸ καὶ μηδὲν ὂν τῶν αἰσθητῶν.

p. 1060a13 Ἔτι δ' εἰ παρὰ τὰς αἰσθητὰς οὐσίας ἑτέρα οὐσία.

Τὸ ἀπορούμενον τοιοῦτον· εἰ ἔστι παρὰ τὰς αἰσθητὰς οὐσίας τις ἑτέρα, οἷόν φασί τινες τὸν αὐτοάνθρωπον. παρὰ ποίας τῶν αἰσθητῶν δεῖ τιθέναι ταύτην εἶναι, τουτέστι τίνων εἰσὶν ἰδέαι καὶ τίνων οὔ; εἰ γὰρ ἔστιν ἀνθρώπου ἰδέα καὶ ἵππου, διὰ τί οὐ καὶ φυτοῦ; εἰ δὲ ἔστι καὶ φυτοῦ, καὶ οἰκίας καὶ ὅλως τῶν ἀψύχων διὰ τί οὐκ ἔσται; τῶν γὰρ τεχνητῶν οὔ φασιν ἰδέας οἱ ταύτας τιθέμενοι. εἰ δέ εἰσιν ἰδέαι καὶ τῶν φυσικῶν καὶ τῶν τεχνητῶν καὶ ἁπλῶς ἁπάντων τῶν αἰσθητῶν, ἄλογον τὸ ἰσαρίθμους τοῖς

---

4 ἰδικώτατα L 8 γὰρ L: om. A 10 καὶ τοιαῦτα L: post καὶ add. τὰ A 11 ἐστιν ἕτερα Metaph. vulg. 13 ἀπορίας L: om. A 14 "post ἔτι adde πότερον e S" Bonitz 33 ἰδέα Bonitz: ἰδία AL

τῇδε κατασκευάζειν ἰδέας. ὁ γὰρ τῶν δύο γνῶσιν σχεῖν μὴ δυνηθεὶς πολλῷ μᾶλλον τῶν τεττάρων οὐχ ἕξει· ἡ γὰρ γνῶσις τῶν ἐλαττόνων μᾶλλόν ἐστι καὶ πεπερασμενωτέρων. οὗτοι δὲ τὰς ἰδέας διὰ συστολὴν τῶν τῇδε πεποιηκότες λελήθασιν ἑαυτοὺς διπλασίονα λαμβάνοντες. εἴρηται δὲ περὶ τούτου ἐν τῷ μείζονι Α αὐτάρκως. εἰ μὲν οὖν χωριστάς τις ἀρχὰς τὰ εἴδη λέγει, ταῦτα συμβαίνει· εἰ δὲ μὴ χωριστὴν τῶν σωμάτων λέγει τὴν ζητουμένην ἀρχήν, τίνα ταύτην φήσειεν εἶναι εἰ μὴ τὴν ἀνείδεον ὕλην; αὕτη γὰρ ἐνεργείᾳ μὲν οὐδέν ἐστιν οὐδὲ ἔχει οἰκεῖόν τι εἶδος, δυνάμει δέ ἐστι πάντα. πλὴν οὐδέποτε χωρὶς εἴδους. εἰ οὖν τὴν ἀνείδεον ὕλην λέγει τις εἶναι τὴν ζητουμένην ἀρχήν, μᾶλλον ἔσται τὸ εἶδος ἀρχὴ τὸ ταύτην ὁρίζον καὶ κοσμοῦν, καὶ οὐχὶ αὕτη. ἀλλ' οὐδὲ τὸ εἶδος | δυνατὸν λέγειν 612
εἶναι τὴν ζητουμένην ἀρχήν· ἡ γὰρ ζητουμένη ἀρχὴ ἀίδιος, πᾶν δὲ ἔνυλον εἶδος φθαρτόν. εἰ οὖν τις θείη τὴν ζητουμένην ἀρχὴν τὸ ἔνυλον εἶναι εἶδος, πᾶν δὲ ἔνυλον εἶδος φθαρτόν (ἔνυλα δὲ λέγω τὰ μετὰ τὴν σεληνιακὴν σφαῖραν), ὅλως οὐκ ἔσται ἀίδιος ἀρχὴ καὶ καθ' αὑτὴν καὶ χωριστή. ἀλλ' ἄτοπον· ἔστι γὰρ καὶ ζητεῖται ὑπὸ τῶν χαριεστάτων καὶ σοφωτάτων. ἄλλως τε εἰ μὴ ἔστι τοιαύτη ἀρχή, πῶς ἔσται τάξις, μηδενὸς ὄντος ἀιδίου καὶ μένοντος καὶ τάττοντος ἅπαντα ὥσπερ ἔχει; εἰ δὲ ἔστι τις οὐσία καὶ ἀρχὴ οἵαν ζητοῦμεν ἀίδιος καὶ χωριστή, καὶ μία καὶ ἡ αὐτὴ τῶν ἀιδίων ἐστὶν ἀρχὴ καὶ φθαρτῶν. ἀπορία πολλή, διὰ τί πάντων ἀπὸ μιᾶς ὄντων ἀρχῆς τὰ μέν ἐστι φθαρτὰ τὰ δὲ ἄφθαρτα· ἄτοπον γάρ. εἰ δὲ ἄλλη μὲν ἡ τῶν φθαρτῶν ἄλλη δὲ ἡ τῶν ἀφθάρτων ἀρχή, ἡ τῶν φθαρτῶν ἀρχὴ φθαρτή ἐστιν ἢ ἄφθαρτος. εἰ μὲν ἄφθαρτος, διὰ τί τὰ ἀπ' αὐτῆς μὲν φθαρτά, τὰ δὲ ἀπὸ τῆς ἑτέρας ἄφθαρτα, ἀφθάρτων ἀμφοῖν οὐσῶν; εἰ δὲ φθαρτὴ ἡ τῶν φθαρτῶν ἀρχή, ἔσται τις ἄλλη εἰς ἣν φθαρήσεται, ἐκείνη δὲ φθαρτή ἐστιν ἢ ἄφθαρτος. εἰ μὲν ἄφθαρτος, διὰ τί τὰ ἀπ' αὐτῆς φθαρτά; καὶ τοῦτο ὁμοίως ἐπὶ πάντων· εἰ δὲ πᾶσαι φθαρταί, εἰς ἄπειρον ἥξει· τοῦτο δὲ ὅτι ἀδύνατον δέδεικται ἐν τῷ ἐλάττονι α. εἰ δὲ δεῖ τὴν ζητουμένην ἀρχὴν ἀκίνητον εἶναι, τὸ δὲ ἓν καὶ ὂν ἀκίνητα δοκεῖ εἶναι, ταῦτα ἔσονται ἀρχαί. ἢ εἴ τις, φησί, ταῦτα ἀρχὰς θήσει, πρῶτον μέν, εἰ δέδεικται πολλάκις καὶ ἔτι δειχθήσεται ὅτι τὸ ὂν καὶ ἓν οὐ σημαίνει τόδε τι (καὶ τί δύναται τὸ τόδε τι ἐπήγαγεν οὐσίαν), εἰ οὖν μὴ σημαίνει ἑκάτερον αὐτῶν οὐσίαν οὐδ' ἔστιν οὐδέτερον τούτων οὐσία, οὐκ ἔσονται χωριστὰ καὶ καθ' αὑτά. οὐδὲν γὰρ τῶν παρὰ τὴν οὐσίαν χωριστὸν καὶ καθ' αὑτό, ἀλλ' ἐν τῇ οὐσίᾳ πᾶν τὸ τοιοῦτον τὸ εἶναι ἔχει· τὰς δὲ ἀιδίους καὶ πρώτας ἀρχὰς τοιαύτας ζητοῦμεν χωριστάς τε καὶ καθ' αὑτάς. εἰ δέ ἐστιν οὐσία καὶ τὸ ὂν καὶ τὸ ἕν, καὶ διὰ τοῦτο καὶ ἀρχαί, πάντα ἔσονται ἀρχαί· ὡς γὰρ ὧν τὸ ζῷον κατηγορεῖται πάντα ἔμψυχα αἰσθητικά ἐστιν, οὕτως εἴπερ εἰσὶν οὐσίαι τὸ ὂν καὶ τὸ ἕν, πάντα ὧν ταῦτα κατηγορεῖται

5 ἐν τῷ μείζονι A] c. 9 11 λέγειν L: λέγει A 13 θείη M: θήσειε AL: fort. θήσει 19 οἵαν L: οἵας A 22 ἄλλη δὲ] καὶ ἄλλη L 24 οὐσῶν M: ὄντοιν AL 26 ἀπ' αὐτῆς L: ὑπ' αὐτῆς A 32 τὸ L: om. A 37 καὶ ἀρχαί L: ἀρχή A 38 ἀρχαί] οὐσίαι coni. Brandis 39 οὐσίαι M Bonitz: οὐσία ALS

οὐσίαι ἔσονται, καὶ ἔσται καὶ τὸ ποιὸν καὶ τὸ ποσὸν καὶ αἱ λοιπαὶ κατη-
γορίαι οὐσία· ψεῦδος δὲ τὸ εἶναι πάντα οὐσίαν. τὸ δὲ ἐπ' ἐνίων γὰρ καὶ
τὸ ἓν κατηγορεῖται οὐ παρέργως πρόσκειται, ἀλλὰ διὰ τοὺς ἀριθμοὺς καὶ
τὰ πλήθη. εἰ γὰρ καὶ μονάδες εἰσίν, ἐξ ὧν οἱ ἀριθμοὶ καὶ ἐξ ὧν τὰ 30
5 πλήθη, ᾗ τοσάσδε ἐν ἑαυτῷ ὁ ἀριθμὸς ἔχει μονάδας, οὐκ ἔστιν εἷς· ὁμοίως
καὶ ἐπὶ τοῦ πλήθους. ἔτι, φησί, τοῖς λέγουσι τὸ αὐτοὲν οὐσίαν, ἐκ δὲ
τούτου καὶ τῆς ὕλης γεννῶσι τοὺς ἀριθμοὺς | πρῶτον, φάσκουσί τε καὶ 613
αὐτοὺς οὐσίας, ἐκ δὲ τῶν ἀριθμῶν πάλιν τἆλλα γεννῶσι, πῶς ἔσται τὸ
λεγόμενον ἀληθές; ἐξ ὧν γὰρ λέγουσι, συμβαίνει τὴν δυάδα καὶ τοὺς λοι-
10 ποὺς ἀριθμοὺς ἓν εἶναι καὶ κατηγορεῖσθαι κατ' αὐτῶν τὸ ἕν· ὡς γὰρ τὰ
ἐξ ὕλης καὶ τοῦ ἀνθρωπείου εἴδους ὄντα ἄνθρωποί εἰσιν, οὕτως καὶ τὰ ἐκ
τοῦ ἑνὸς καὶ τῆς ὕλης ἕν. πῶς δὲ ἐκ τοῦ ἑνὸς καὶ τῆς δυάδος ἤτοι τῆς 5
ὕλης πρῶτον τοὺς ἀριθμοὺς ἐποίουν, ἐκ δὲ τῶν ἀριθμῶν τὰ ἄλλα, εἴρηται
ἐν τῷ μείζονι Α. ἀλλὰ μὴν οὐδὲ γραμμὰς οὐδὲ ἐπιφανείας θετέον τὰς
15 ζητουμένας ἀρχάς· οὐδὲν γὰρ τούτων χωριστὸν καὶ οὐσία ἐστίν, ἀλλὰ το-
μαὶ μόνον, στιγμὴ γραμμῆς καὶ αὕτη ἐπιφανείας. ἄλλως τε καὶ πῶς ἄν
τις τὴν στιγμὴν ἢ τὸ ταύτῃ ἰσοδυναμοῦν ἓν οὐσίαν ὑπολάβοι; πάσης γὰρ 10
φυσικῆς οὐσίας ἐστὶ γένεσις, καὶ διὰ χρονικῆς παρατάσεως ἡ ὕπαρξις αὐ-
τῆς γίνεται, τῆς δὲ στιγμῆς γένεσις οὐκ ἔστιν, ὡς πολλάκις δέδεικται ἐν
20 τῇδε τῇ πραγματείᾳ. ἔτι, φησίν, ἔχει ἀπορίαν εἰ πᾶσα ἐπιστήμη περὶ τὰ
καθόλου, ταὐτὸν δὲ εἰπεῖν περὶ ἀρχάς, οὐδὲν δὲ τῶν καθόλου ἐστὶν οὐσία,
ὡς δέδεικται ἐν τῷ Ζ ταύτης τῆς πραγματείας, πῶς ἂν αἱ ἀρχαὶ οὐσίαι 15
εἶεν. ζητοῦμεν δὲ τοιαύτας ἀρχὰς αἵτινες ἔσονται οὐσίαι καὶ αἱ κυρίως
οὐσίαι. εἰ δὲ τοῦτο, οὐκ ἄρα εἰσὶν αἱ ζητούμεναι ἀρχαὶ τὰ καθόλου. ἡ
25 μὲν οὖν διάνοια τοῦ παρέχει δ' ἀπορίαν καὶ τὸ πᾶσαν μὲν ἐπιστή-
μην εἶναι τῶν καθόλου καὶ τῶν ἑξῆς αὕτη, ἡ δὲ κατὰ μέρος αὐτῶν
σαφήνεια τοιαύτη. πᾶσα ἐπιστήμη τῶν καθόλου ἐστὶ καὶ τοῦ τοιουδί,
τουτέστι τοῦ ὁμοιώματος τῶν κατὰ μέρος (τὰ γὰρ καθόλου ὁμοιώματα καὶ 20
ἀπομάξεις τῶν μερικῶν), ἡ δὲ οὐσία, ὡς δέδεικται ἐν τῷ Ζ, οὐκ ἔστι τῶν
30 καθόλου, ἀλλὰ μερική. μᾶλλον γάρ, ἤτοι κυρίως γὰρ οὐσία τόδε τι,
τουτέστι μερική ἐστι καὶ χωριστὴ καὶ καθ' αὑτὸ ἀλλ' οὐ τοιόνδε καὶ
ὁμοίωμα. πανταχῇ γὰρ τὸ τόδε τι ἐπὶ τῆς οὐσίας τῷ Ἀριστοτέλει λαμ-
βάνεται, ὥσπερ τὸ τοιόνδε ἐπὶ τῶν ποιοτήτων. τὰ δὲ ὁμοιώματα ποιότη- 25
τες, τὸ δὲ καθόλου ὁμοίωμα· τὸ καθόλου ἄρα ὁμοίωμα καὶ ποιότης καὶ
35 τοιόνδε. εἰ οὖν ἡ ἐπιστήμη περὶ ἀρχάς, αἱ δὲ ἀρχαὶ καθόλου, τὰ δὲ καθό-
λου οὐκ οὐσίαι, αἱ ἀρχαὶ ἄρα οὐκ οὐσίαι. ἔτι, φησίν, ἔστι τι παρὰ τὸ
σύνολον, λέγων σύνολον τὸ ἐξ ὕλης καὶ εἴδους, ἢ οὔ; εἰ γὰρ μὴ ἔστι
τι παρὰ τὰ σύνολα, ταῦτα δὲ πάντα φθαρτά, ἄτοπον τὸ τὴν σοφίαν φθαρ-
τῶν εἶναι· δεῖ γὰρ εἶναί τινων. εἰ δὲ ἔστι τι παρὰ τὸ σύνολον, τὸ εἶδος 30
40 ἂν εἴη καὶ ἡ μορφή. τοῦτο δὲ ἐπὶ τίνων μὲν χωρίζεται, ἐπὶ τίνων δ' οὔ,

---

7 τε καὶ] δὲ καὶ coni. Bonitz p. 1002a32 cf. H 5 p. 1044b22 14 ἐν τῷ μείζονι A] c. 6 22 et 29 ἐν τῷ Z] c. 13 19 δέδεικται κτλ.] B 5 38. 39 φθαρτῶν L: τῶν φθαρτῶν A

οὐ ῥᾴδιον συνιδεῖν· ἐπ' ἐνίων γὰρ δῆλον ὡς οὐκ ἔστι χωριστὸν τὸ εἶδος, οἷον ἐπὶ οἰκίας. ἐπεὶ δὲ αἱ λογικαὶ ψυχαὶ εἴδη εἰσὶ τῶν ἐχόντων αὐτάς, ὥσπερ καὶ | αἱ ἄλογοι τῶν ἀλόγων, οὐ δέδεικται δέ που ἐν ταύτῃ τῇ 614
πραγματείᾳ εἰ χωρίζονται, προσέθηκε τὸ ἐπ' ἐνίων, ἴσον λέγων ὡς εἰ μὴ
5 ἐπὶ πάντων ἐστὶ φανερὸν εἴτε χωρίζονται τὰ εἴδη εἴτε μή, ἐπ' ἐνίων δ' οὖν φανερὸν ὥς εἰσιν ἀχώριστα. ἔτι, φησίν, αἱ ἀρχαὶ τῷ εἴδει εἰσὶν αἱ αὐταὶ ἢ τῷ ἀριθμῷ. εἰ μὲν γὰρ ἀριθμῷ, ἓν ἔσται πάντα, τουτ- 5
έστιν οὐκ ἔσται πλῆθος· ἐπειδὴ γὰρ τὰ ἄλφα τῷ μὲν εἴδει ἐστὶν ἓν τῷ δὲ ἀριθμῷ πολλά, διὰ τοῦτό εἰσι καὶ πολλαὶ συλλαβαὶ ἔχουσαι τὸ α, ὡς
10 τὸ Ἀρίσταρχος, Ἀριστοτέλης· εἰ δὲ ἓν ἦν τῷ ἀριθμῷ τὸ α, μία ἂν ἦν συλλαβὴ ἢ ἓν ὄνομα ἢ εἷς λόγος, ἐν ᾧ ἂν τὸ α ηὑρίσκετο. ἀλλὰ περὶ τούτου εἴρηταί μοι ἐν τῷ Β πλατύτερον· ἐμνήσθη γὰρ τούτου καὶ ἐκεῖσε. 10

p. 1060ᵇ31 Ἐπεὶ δέ ἐστιν ἡ τοῦ φιλοσόφου ἐπιστήμη τοῦ ὄντος ᾗ ὄν καθόλου καὶ οὐ κατὰ μέρος.

15 Θεὶς τὰς ἀπορίας ἐντεῦθεν ἐπάγει τὰς λύσεις τούτων, καὶ πρῶτον τῆς λεγούσης πότερον τῆς μιᾶς ἐστιν ἐπιστήμης θεωρῆσαι τὴν τοῦ ὄντος ᾗ ὄν φύσιν ἢ οὔ. καὶ δείκνυσιν ὅτι μιᾶς ἐστι, λέγων ὅτι τὸ ὂν οὐχ ὁμωνύμως καθ' ὧν λέγεται κατηγορεῖται, οὔτε μὴν συνωνύμως, ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς 15
καὶ πρὸς ἕν, ἅπερ εἰσὶ μεταξὺ τῶν συνωνύμων καὶ ὁμωνύμων. τὰ μὲν γὰρ
20 ὁμώνυμα μόνου τοῦ ὀνόματος κοινωνεῖ, τὰ δὲ συνώνυμα καὶ ὀνόματος καὶ πράγματος· τὰ δὲ ἀφ' ἑνὸς καὶ πρὸς ἓν οὔτε ταὐτά εἰσι τοῖς συνωνύμοις (ἐκοινώνει γὰρ ἂν καὶ τῆς φύσεως σὺν τῷ ὀνόματι) οὔτε μὴν τοῖς ὁμωνύμοις· μόνου γὰρ ἂν τοῦ ὀνόματος ἐκοινώνουν. αἱ οὖν δέκα κατηγορίαι ὧν τὸ ὂν κατηγορεῖται οὔτε συνώνυμοί εἰσιν (αἱ αὐταὶ γὰρ ἂν ἦσαν καὶ 20
25 οὐκ ἂν διέφερεν ἡ οὐσία τοῦ ποσοῦ οὔτε αὖ τὸ ποσὸν τῆς οὐσίας, οὐδὲ αἱ λοιπαὶ ἀλλήλων)· ἀλλὰ μὴν οὐδὲ ὁμωνύμως αὐτῶν τὸ ὂν κατηγορεῖται· μετέχουσι γὰρ ὀντότητος καί εἰσιν ἐν ὑπάρξει καὶ τῆς τοῦ ὄντος οὐ πάντῃ ἐστέρηνται φύσεως, ἀλλ' οὐ πρώτως, ἀλλὰ πρώτως μὲν ἡ οὐσία, δευτέρως δὲ καὶ αἱ λοιπαὶ ἐννέα κατηγορίαι. ὥστε ᾗ μὲν μετέχουσι τοῦ ὄντος καὶ 25
30 ᾗ εἰσι, ταύτῃ ἀφεστήκασι τῶν ὁμωνύμων, ᾗ δὲ οὐκ εἰσιν αἱ αὐταὶ τῇ οὐσίᾳ ἀλλ' ἕτεραι καὶ χωρὶς αὐτῆς ἢ εἶναι ἢ ὑφίστασθαι οὐ δύνανται, ταύτῃ ἠλλοτρίωνται τῆς τῶν συνωνύμων φύσεως. ἐπεὶ οὖν τὰ ὄντα καὶ τοῦ ὀνόματος ὡς εἴρηται κοινωνοῦσι καὶ τῆς φύσεως αὐτοῦ, οὐδὲν κωλύει μίαν αὐτῶν εἶναι ἐπιστήμην. ὅτι δὲ τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἓν μίαν εἶναι 30
35 ἐπιστήμην δυνατόν ἐστιν, ἔδειξεν ἐν τῷ Β ταύτης τῆς πραγματείας. ἀλλ' ἡ μὲν τῶν λεγομένων ἔννοια τοιαύτη ἂν εἴη· τὰ δὲ κατὰ τὴν λέξιν τοιαῦτα. ἐπειδὴ ἡ σοφία τοῦ ἁπλῶς ὄντος ἐστὶν ᾗ ὄν καὶ οὐ τινὸς ὄντος (περὶ γὰρ τὸ τί ὂν γεω|μετρία ἐστὶ καὶ φυσικὴ καὶ αἱ λοιπαὶ αἱ κατὰ 615

---

12 ἐν τῷ B] p. 216, 12 sqq., cf. Metaph. B 4 p. 999ᵇ24 sqq. 20 μόνου L: μόνον A
23 ante μόνου add. κατὰ L 24 ὂν M: ἓν AL ἦσαν M: εἴησαν AL 35 ἐν τῷ B] immo Γ 2 p. 1003ᵇ12 36 τοιαύτη] αὕτη L 37 ᾗ ὄν L: om. A

μέρος), ἐπεὶ οὖν ἡ πρώτη φιλοσοφία τοῦ ὄντος ᾗ ὄν ἐστι θεωρητική (οὐ γὰρ ᾗ βαρύτητα ἔχει ἢ καθὸ θερμότητα ἢ ἄλλην τινὰ τῶν αἰσθητῶν ἐναντιώσεων τοῦτο θεωρεῖ, ἀλλ' ᾗ μόνον ὄν ἐστι καὶ ὀντότητος καὶ ὑπάρξεως μετέχει), τὸ δὲ ὂν λέγεται πολλαχῶς καὶ οὐ καθ' ἕνα τρόπον, τουτέστιν 5
5 οὐ λέγεται συνωνύμως καθ' ὧν λέγεται· εἰ μὲν οὖν τὸ ὄν, φησίν, ὁμωνύμως καθ' ὧν λέγεται ἐκατηγορεῖτο καὶ κατὰ μηδὲν κοινόν, τουτέστιν εἰ μὲν τὰ ὄντα μόνου τοῦ ὀνόματος τοῦ ὄντος μετεῖχον, τῆς δὲ φύσεως τοῦ ὄντος πάντῃ πάντως ἠλλοτρίωντο, ὥστε μὴ ἐν ὑπάρξει εἶναι μηδὲ ὀντότητος μετέχειν ἀλλ' εἶναι ταύτης ἐστερημένα, εὔλογον τὸ λέγειν μὴ εἶναι
10 αὐτῶν μίαν ἐπιστήμην, ἅτε ὁμώνυμα ὄντα καὶ μὴ κοινωνοῦντα γένους 10
τινὸς καὶ ὑποκειμένου· ὧν γὰρ οὐχ ἓν τὸ γένος καὶ τὸ ὑποκείμενον, τούτων οὐκ ἔστι μία ἐπιστήμη. ἐπεὶ δὲ οὐκ ἔστιν ὁμώνυμα ἀλλὰ σὺν τῷ ὀνόματι καὶ κατὰ κοινόν τί εἰσιν ὄντα, κατ' αὐτὸ δὴ καθ' ὃ μετέχουσιν ὑπάρξεώς τινος εἴη ἂν ὑπὸ μίαν ἐπιστήμην καὶ ἔσται αὐτῶν μία ἐπιστήμη
15 ἡ σοφία. ταῦτα εἰπὼν διὰ παραδείγματος σαφηνίζει πῶς ἐνδέχεται τοῦ 15
ὄντος εἶναι μίαν ἐπιστήμην καὶ πῶς ὅλως ὄντα λέγεται, λέγων 'ὡς γὰρ ἰατρικὸν λέγεται ὄργανον καὶ ἰατρικὸν θεώρημα καὶ ὑγιεινὸν οὖρον καὶ ὑγιεινὸν φάρμακον καὶ ὑγιεινὸν σιτίον, καὶ ἕκαστος τῶν τρόπων τούτων ὁ μὲν λέγεται ἀπὸ τοῦ ἰατρικοῦ ἔργου τοῦ ἐν τῷ νοσοῦντος σώματι γεγονό-
20 τος ὑπὸ τοῦ ἰατροῦ (ἀπ' αὐτοῦ γὰρ καὶ τὸ φάρμακον καὶ τὰ λοιπὰ λέγεται 20
ἰατρικά), ὁ δὲ ἀπὸ τῆς ὑγιείας (ἀπὸ ταύτης γὰρ ὑγιεινὸν ὠνόμασται σιτίον καὶ οὖρον), οὕτω καὶ τὰ ὄντα ἀπὸ ἑνός τινος, τῆς οὐσίας, ἥπερ κυρίως ὄν ἐστι, τὴν προσηγορίαν ταύτην εἴληφε· διὰ γὰρ τὸ ἕξεις εἶναι αὐτῆς ἢ πάθη λέγεται ὄντα.' ἐστὶ δὲ πάθος μὲν ὅταν θερμαίνηταί τι ἐπιπολαίως,
25 διάθεσις δὲ ὅταν διατεθῇ κατὰ τὴν θερμότητα ὡς καὶ λέγεσθαι θερμόν, ἕξις δὲ ὅταν μόνιμος ἡ διάθεσις γένηται.

p. 1061a10 Ἐπεὶ δὲ παντὸς τοῦ ὄντος πρὸς ἕν τι καὶ κοινὴ ἀνα- 25
γωγὴ γίνεται.

Τὸ λεγόμενον τοιοῦτον ἂν εἴη. ὥσπερ τὰ παρὰ τὴν οὐσίαν (εἰσὶ δὲ
30 ταῦτα ποσὸν ποιὸν ποῦ καὶ αἱ λοιπαὶ κατηγορίαι) διὰ τὸ πάθη ἢ ἕξεις εἶναι τῆς οὐσίας πρὸς ταύτην τε ἀνάγεται καὶ διὰ ταύτην ὄντα λέγεται, οὕτω καὶ ἑκάστη πασῶν τῶν ἐναντιώσεων. θερμότης ψυχρότης ξηρότης ὑγρότης ἰσότης ἀνισότης καὶ αἱ λοιπαί, πρὸς τὰς πρώτας διαφορὰς καὶ πρώτας τοῦ ὄντος ἐναντιώσεις ἀναχθήσονται καὶ ἀπὸ τούτων ἐναντιώσεις ῥη- 30
35 θήσονται· ὡς γὰρ τὰ ὄντα πρὸς τὴν οὐσίαν, οὕτως αἱ ἐναντιώσεις πρὸς τὴν πρώτην τοῦ ὄντος ἐναντίωσιν. τὰ δὲ ὄντα διὰ τὴν οὐσίαν καὶ λέγεται καὶ ἔστιν ὄντα· καὶ αἱ ἐναντιώσεις ἄρα διὰ τὴν αὐτῆς πρώτην ἐναντίωσιν ῥηθήσονται ἐναντιώσεις. αὗται δέ, φησίν, αἱ πρῶται τοῦ ὄντος ἐναντιώσεις

---

6 καὶ L: καὶ ἡ A 7 τοῦ ὄντος L: om. A 9 ταύτης scripsi: ταύτῃ libri
18 ἕκαστος LS: ἕκαστον A 24 τι L: om. A 27. 28 καὶ κοινὸν ἡ ἀναγωγὴ Metaph. vulg.

εἴτε τὸ πλῆθος καὶ ἕν εἰσιν εἴτε | ἡ ὁμοιότης καὶ ἡ ἀνομοιότης εἴτε 616
ἄλλαι τινές, ἔστωσαν τεθεωρημέναι. εἴρηκε γὰρ τίνες αὗταί εἰσιν ἐν τῷ
Περὶ τἀγαθοῦ ἐπιγραφομένῳ αὐτοῦ βιβλίῳ. ἐπεὶ δὲ τὰ ὄντα οὐ μόνον πρὸς
τὸ κυρίως ὄν, τὴν οὐσίαν, ἀνάγεται καὶ ἀπ' αὐτῆς ὄντα λέγεται, ἀλλὰ καὶ
5 πρὸς τὸ κυρίως ἕν, ὅπερ καὶ αὐτὸ ἡ οὐσία ἐστίν, οὐδέν, φησί, διαφέρει 5
εἴτε πρὸς τὸ ὂν τὴν τοῦ ὄντος ἤτοι τῶν ὄντων ἀναγωγὴν ποιούμεθα εἴτε
πρὸς τὸ ἕν· καὶ γὰρ καὶ ἀπὸ τοῦ ὄντος ἕνα λεχθήσεται καὶ ἀπὸ τοῦ ἑνὸς
ὄντα. εἰ γὰρ καὶ ὡς ἓν καὶ ὡς ὄντα λεγόμενα ἕτερά εἰσι κατ' αὐτὴν τὴν
προφορὰν τοῦ λόγου καὶ οὐ ταὐτά, ἀλλὰ τῇ γε φύσει ταὐτόν ἐστι τὸ ὂν
10 καὶ ἕν. καὶ ἐπεὶ καὶ ὁ βροτὸς καὶ ὁ ἄνθρωπος ἕτερα μὲν ἂν δόξαιεν κατ' 10
αὐτὴν τὴν τῶν δι' ὧν δηλοῦνται στοιχείων ἐκφώνησιν (ἐστὶ γὰρ ἀρκτικὸν
μὲν τοῦ βροτὸς τὸ βῆτα, τοῦ δὲ ἄνθρωπος τὸ ἄλφα), ἀλλ' οὐ διὰ τοῦτο
καὶ ἕτερά εἰσιν· οὕτως οὐδὲ τὸ ὂν καὶ τὸ ἓν ἕτερα ἔσται, διότι ὑπ' ἄλ-
λων μὲν τὸ ὂν δηλοῦται στοιχείων ὑπ' ἄλλων δὲ τὸ ἕν, ἀλλ' ἔσονται τὰ
15 αὐτά· ὃ γὰρ ὄν ἐστι τοῦτο καὶ ἓν καὶ ὅπερ ἓν καὶ ὄν. κατὰ δὲ τὴν λέξιν
τὴν εἰ γὰρ καὶ μὴ ταὐτόν ἐστι τὸ ὂν καὶ ἓν ἐλλείποι ἂν τὸ τῇ ἐκφω-
νήσει καὶ τοῖς δι' ὧν δηλοῦνται στοιχείοις, ἀλλ' ἕτερα, ὅμως ἀντιστρέφει 15
καὶ εἴ τι ὄν ἐστι καὶ ἕν ἐστι καὶ εἴ τι ἓν καὶ ὄν.

p. 1061a18 Ἐπεὶ δ' ἐστὶ τὰ ἐναντία πάντα τῆς αὐτῆς καὶ μιᾶς
20 ἐπιστήμης θεωρῆσαι· λέγεται γὰρ ἕκαστον αὐτῶν κατὰ στέρησιν·
καίτοι γε ἔνια ἀπορήσειέ τις ἄν.

Ἀσάφειαν πεποίηκε τὸ καίτοι γε κείμενον· ἔσται δὲ σαφὲς τὸ λεγό-
μενον, εἰ τὸ καίτοι γε ἀφέλωμεν, ὡς εἶναι τὸ λεγόμενον τοιοῦτον ἐπεὶ 20
δέ ἐστι τὰ ἐναντία πάντα τῆς αὐτῆς καὶ μιᾶς ἐπιστήμης θεω-
25 ρῆσαι, λέγεται δ' ἕκαστον αὐτῶν κατὰ στέρησιν, ἀπορήσειέ τις
ἂν πῶς λέγεται κατὰ στέρησιν καὶ τὰ ἑξῆς. ὃ δὲ ζητεῖ τοιοῦτον ἂν
εἴη. ἐπειδὴ τὰ ἐναντία λέγεται κατὰ στέρησιν (ἐπὶ πάσης γὰρ ἐναντιώ-
σεως τὸ χεῖρον αὐτῶν στέρησιν καλεῖ· ἐπὶ μὲν γὰρ τῆς τοῦ λευκοῦ καὶ
μέλανος ἐναντιώσεως τὸ μὲν μέλαν στέρησιν τὸ δὲ λευκὸν εἶδος καὶ ἕξιν,
30 καὶ τὸ μὲν φῶς ἕξιν τὸ δὲ σκότος στέρησίν φαμεν, καὶ ἐπὶ τῶν ἄλλων 25
ὁμοίως), ἐπεὶ οὖν πάσης ἐναντιώσεως τὸ ἕτερον λέγεται κατὰ στέρησιν,
φαμὲν δὲ καὶ τὸ φαιὸν ἐναντίον τῷ λευκῷ, καὶ ἁπλῶς τὰ μεταξὺ ἐναντία
τοῖς ἄκροις, ἔσται καὶ τὸ φαιὸν στέρησις καὶ πᾶν μεταξύ. εἰ οὖν καὶ τὸ
μέλαν στέρησίς ἐστι τοῦ λευκοῦ, ἔστι δὲ τοῦ λευκοῦ στέρησις καὶ τὸ φαιόν,
35 ἔσται τὸ μέλαν καὶ τὸ φαιὸν ταὐτόν· τούτου γάρ ἐστι δηλωτικὸν τὸ ἀπο- 30
ρήσειέ τις ἂν πῶς λέγεται κατὰ στέρησιν, ὧν ἐστιν ἀνὰ μέσον,
τουτέστιν, ὧν ἐναντίων ἔστι τι μεταξύ, πῶς τὸ μεταξὺ στέρησις τοῦ | κρείτ- 617
τονος τῆς ἐναντιώσεως λεχθήσεται; ἀνάγκη γάρ, εἰ ἐναντίον τὸ μέσον λέ-

2. 3 ἐν τῷ Περὶ τἀγαθοῦ] cf. p. 250,20 et 262,19 7 ἕνα L: ὄντα A 13 τὸ ἓν L: τὸ om. A 20 γὰρ] δ' Metaph. vulg.; cf. 25 26 post πῶς addendum ἔνια e S coni. Bonitz 29 et 30 μὲν L: om. A

γεται, καὶ στέρησιν λέγεσθαι. ταύτην τὴν ζήτησιν λύων λέγει ὅτι καὶ τὸ φαιὸν στέρησίς ἐστι τοῦ λευκοῦ, ἀλλ' οὐχ ὥσπερ τὸ μέλαν· τὸ γὰρ μέλαν παντελῶς στέρησιν ἔχει τοῦ λευκοῦ, τὸ δὲ φαιὸν πῇ ἐστέρηται τοῦ λευκοῦ. ἀσαφῶς δὲ καὶ περινενοημένως ἀπήγγελται τὸ περὶ πάντα δὴ τὰ τοι- 5
5 αῦτα τὴν στέρησιν δεῖ τιθέναι, μὴ τοῦ ὅλου λόγου, τοῦ τελευ-
ταίου δὲ εἴδους· καὶ εἴη ἂν τὸ λεγόμενον, περὶ πάντα τὰ τοιαῦτα, λέ-
γων τὰ τοιαῦτα τὰ ἔμμεσα ἐναντία, περὶ δὴ τὰ ἔμμεσα ἐναντία τὴν στέ-
ρησιν δεῖ τιθέναι, λέγων ἐνταῦθα στέρησιν τὸ φαιὸν ἢ ὅ τι ἂν εἴη τὸ
μεταξύ· περὶ οὖν τὰ ἔμμεσα ἐναντία τὸ μεταξὺ αὐτῶν οὕτως δεῖ στέρησιν
10 λέγειν, μὴ ὥστε δύνασθαι τὸν ὅλον λόγον τοῦ τελευταίου εἴδους ἤτοι τοῦ 10
μέλανος ἀναδέξασθαι, ὥστε λέγεσθαι τὸ φαιὸν χρῶμα συγκριτικὸν ὄψεως
καὶ διὰ τοῦτο ἀμέτοχον εἶναι παντελῶς τοῦ ὁρισμοῦ τοῦ λευκοῦ, οὐχ οὕτω
ταῦτα χρὴ στερήσεις λέγειν, ἀλλ' οὕτως· γινέσθω δὲ ἡμῖν ὁ λόγος ἐπὶ
τοῦ λευκοῦ καὶ μέλανος· οὐχ οὕτω λεκτέον τὸ φαιὸν στέρησιν, ὥστε μηδ'
15 ὅλως ἐπιδέχεσθαι τὸν τοῦ λευκοῦ ὁρισμόν, ἀλλὰ δύνασθαι μὲν τὸν τοῦ λευκοῦ
ἐπιδέχεσθαι ὁρισμόν, οὐχ ὅλον δέ (ἦν γὰρ ταὐτὸν τὸ φαιὸν τῷ λευκῷ) 15
ἀλλὰ πῇ. τοῦ τελευταίου οὖν εἴδους, λέγω δὴ τοῦ μέλανος, ἐστὶν ὅλος
ὁ λόγος ὁ χρῶμα συγκριτικὸν ὄψεως λέγων, τοῦ δὲ φαιοῦ οὐδαμῶς· καὶ
διὰ τοῦτο δύναται τὸ φαιόν πῃ δέξασθαι τὸν τοῦ λευκοῦ ὁρισμόν· καὶ εἴη
20 ἂν ὁ τοῦ φαιοῦ ὁρισμὸς χρῶμά πῃ διακριτικὸν ὄψεως. ὥστε οὐκ ἔστι τὸ
φαιὸν οὕτω στέρησις λευκοῦ, ὥσπερ τὸ μέλαν, οὐδὲ ἐστέρηται ὅλου τοῦ 20
ὁρισμοῦ τῆς λευκότητος. τελευταῖον δὲ εἶδος εἶπε τὸ μέλαν ἢ ὅτι μετὰ
τὸ φαιὸν τὸ μέλαν ἐστίν, ἢ τελευταῖον ἀντὶ τοῦ ἔσχατον· ἔσχατον γὰρ καὶ
τέλος μελάνσεως τὸ μέλαν, ὥσπερ καὶ λευκάνσεως τὸ λευκόν. ὃ μὲν οὖν
25 διὰ τούτων εἰπεῖν βούλεται, τοιοῦτον ἂν εἴη· αὐτὸς δὲ τὸν λόγον ἐπὶ τοῦ
δικαίου καὶ ἀδίκου πεποίηκε λέγων οἷον εἰ ἔστιν ὁ δίκαιος ὁ καθ' ἕξιν 25
τινὰ πειθαρχικὸς τοῖς νόμοις, τουτέστιν, εἰ ἔστι δικαίου ὁρισμὸς τὸ καθ'
ἕξιν τινὰ πειθαρχεῖν τοῖς νόμοις, οὐ πάντως ὁ ἄδικος (λέγων ἄδικον τὸν
μήτε δίκαιον μήτε ἄδικον, ἀλλὰ τὸν μέσον ὄντα δικαίου καὶ ἀδίκου), οὐ
30 πάντως οὖν, φησίν, ὁ μεταξὺ δικαίου καὶ ἀδίκου ἐστερημένος ἔσται ὅλου τοῦ
λόγου καὶ ὁρισμοῦ τοῦ δικαίου, ὥσπερ οὐδὲ τὸ φαιὸν τοῦ τῆς λευκότητος,
ἀλλ' ἔσται ὁ μεταξὺ δικαίου καὶ ἀδίκου ὁ ἐκλείπων πῃ περὶ τὸ πειθαρ- 30
χεῖν τοῖς νόμοις· ὥστε ᾗ μὲν ὅλως πειθαρχεῖ ἀφέστηκε τοῦ μηδ' ὅλως
πειθαρχοῦντος ἀδίκου, ᾗ δὲ ἐκλείπει καὶ οὐ πάντῃ ὡς ὁ δίκαιος πειθαρχεῖ
35 οὐκ ἔστιν ὁ αὐτὸς τῷ δικαίῳ. καὶ κατὰ τοῦτο καθ' ὃ ἐκλείπει πῃ περὶ τὸ
πειθαρχεῖν τοῖς νόμοις, ὑπάρξει αὐτῷ ἡ | στέρησις τοῦ δικαίου. πρόσ- 618
κειται δ' ἐν τῷ τοῦ δικαίου ὁρισμῷ τὸ καθ' ἕξιν, ὅτι πράξειεν ἄν τις
τὰ δικαίου καὶ ἄκων βιαζόμενος· ἀλλ' οὐχ οὗτος ὁ δίκαιος ἀλλ' ὁ ἀπὸ
ἕξεώς τινος ταῦτα πράττων. τὸ δὲ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν

---

3 παντελῆ L 12 ἀμέτοχον L: ἀμετέχον A 16 post γὰρ addendum ἂν coni. Bonitz 22. 23 μετὰ τὸ φαιὸν L: τὸ om. A 25 τοῦτ' ἂν εἴη L 32 ἐκλείπων L: ἐλλείπων A 34 et 35 ἐκλείπει L: ἐλλείπει A 35 περὶ τὸ L: τῷ A 37 ὁρισμῷ L: om. A 38 τὰ δίκαια L οὗτος M: οὕτως AL

ἄλλων εἴρηται ἀντὶ τοῦ καὶ ἐπὶ τῶν λοιπῶν τῶν μεταξύ τινων ὄντων, οἷον φαιοῦ χλιαροῦ καὶ τῶν ὁμοίων· οὕτω γὰρ καὶ αὐτὰ στερήσεις δεῖ λέγειν ὥσπερ εἴρηται.

p. 1061a28 Καθάπερ δὲ ὁ μαθηματικὸς περὶ τὰ ἐξ ἀφαιρέσεως τὴν θεωρίαν ποιεῖται.

Διὰ τούτων δύο τινὰ ὁμοῦ διδάσκει, πῶς ὁ φιλόσοφος τό τε ὂν σκοπεῖ καὶ τὴν περὶ τούτου θεωρίαν ποιεῖται, καὶ πῶς ἐπιστήμης ἐστὶ μιᾶς θεωρῆσαι τὸ ὂν ᾗ ὄν, λέγων καθάπερ ὁ μαθηματικὸς ἀφελὼν τῷ λόγῳ ἀπὸ τῶν σωμάτων σκληρότητας βαρύτητας μαλακότητας θερμότητας καὶ ὅλως τὰ αἰσθητά, ἤτοι τὰς αἰσθητὰς ἐναντιώσεις, μόνον καταλείπει τὸ συνεχὲς μέγεθος, τοῦτο δ' ἐστὶ γραμμαὶ ἐπίπεδα στερεά (τούτων γάρ ἐστι δηλωτικὸν τὸ τῶν μὲν ἐφ' ἓν τῶν δ' ἐπὶ δύο τῶν δ' ἐπὶ τρία) καὶ τὰ τούτοις ᾗ ποσά ἐστι καὶ συνεχῆ καθ' αὑτὰ ὑπάρχοντα σκοπεῖ (ᾗ γὰρ ποσὸν ἕκαστον τούτων καὶ ᾗ συνεχές. ἀλλ' οὐχ ᾗ βαρὺ οὐδ' ᾗ λευκὸν τὰ τούτοις συμβεβηκότα σκοπεῖ), ὥσπερ οὖν ὁ μαθηματικός, οὕτω καὶ ὁ φιλόσοφος, τὰ συμβεβηκότα καθ' αὑτὸ τῷ ὄντι θεωρῶν, οὐχ ᾗ κινούμενόν ἐστιν οὐδ' ᾗ ἄλλο τι τοῦτό τε καὶ τὰ τούτῳ ὑπάρχοντα θεωρεῖ, ἀλλ' ᾗ ὄντα καὶ ᾗ ὀντότητος μετέχει· ὥστε τὰ τῷ ὄντι ᾗ ὂν συμβεβηκότα καὶ τὰς τούτου ἐναντιώσεις, εἴτε τὸ ἕν εἰσι καὶ τὸ πλῆθος εἴτε ἄλλο τι, θεωρεῖν οὐκ ἄλλης τινός ἐστι πλὴν τῆς σοφίας. ἡ μὲν γὰρ φυσικὴ οὐχ ᾗ ὄντα ταῦτα θεωρεῖ, ἀλλ' ᾗ ἔχει ἐν ἑαυτοῖς ἀρχὴν καθ' ἣν δύναται κινεῖσθαι· ἥ τε διαλεκτικὴ καὶ ἡ σοφιστικὴ περὶ τὰ συμβεβηκότα τοῖς οὐσίν ἐστιν, οὐχ ᾗ δὲ ὄντα ταῦτα θεωρεῖ, ἀλλ' εἴτε συμβέβηκε τῳδὶ τῷ ὑποκειμένῳ εἴτε μὴ τὴν θεωρίαν ποιεῖται· ὥστε λείπεται τὸν φιλόσοφον εἶναι θεωρητικὸν τοῦ ὄντος καὶ τῶν τοιούτων ἐναντιώσεων ᾗ ὄντα εἰσίν. ἀλλ' ἡ μὲν τῶν λεγομένων διάνοια τοιαύτη τις ἂν εἴη. κατὰ δὲ τὴν λέξιν ὅταν λέγῃ τῶν μὲν γὰρ τὰς πρὸς ἄλληλα θέσεις σκοπεῖ καὶ τὰ ταύταις ὑπάρχοντα, τῶν μὲν λέγοι ἂν τῶν γραμμῶν· σκοπεῖ γὰρ ὁ μαθηματικὸς τὴν τῶν κύκλων θέσιν, πότερον οὕτω κεῖνται ὥστε καθ' ἓν σημεῖον ἀλλήλων ἅπτεσθαι ἢ ὥστε ἀλλήλους τέμνειν· ἀλλὰ καὶ αἱ εὐθεῖαι οὕτω κεῖνται ὡς ἀμβλεῖαν φέρε εἰπεῖν περιέχειν γωνίαν ἢ οὔ, καὶ πότερον αἱ εὐθεῖαι αἵδε σύμμετροί εἰσιν ἢ οὔκ εἰσι, πότερον οἱ ἐκκείμενοι ἀριθμοὶ ἡμιόλιον ἔχουσι πρὸς ἀλλήλους λόγον ἢ ἐπίτριτον ἢ ἄλλον ποιόν. ὥσπερ 619
δὲ ἐπὶ τῶν ποσῶν ἑτέρου ὄντος τοῦ ἐφ' ἑνὸς συνεχοῦς τῶν ἐπὶ δύο συνεχῶν, καὶ ταῦτα τῶν ἐπὶ τρία, μιᾶς ἐστι τῆς γεωμετρίας περὶ αὐτῶν θεωρεῖν (καὶ σημειωτέον ὅπως ἡν οἱ νεώτεροι στερεομετρίαν φασί, γεωμετρίαν αὐτὸς φάσκει), οὕτω καὶ ἐπὶ τοῦ ὄντος, καίτοι ἑτέρων οὐσῶν τῶν ἐννέα

10 τὰς αἰσθητὰς L: τὰς om. A 16 καθ' αὐτὸ L: om. A 23 τῳδὶ L: ἐπὶ A 30 post καὶ addendum εἰ vel πότερον coni. Bonitz 33 ποιόν Bonitz: ποῖον AL 34 fort. ἐφ' ἓν 35 ταῦτα] legendum τούτων 36 στερεωμετρίαν ALM

κατηγοριῶν τοῦ ποιοῦ καὶ τοῦ ποσοῦ καὶ τῶν λοιπῶν τῆς τε οὐσίας καὶ ἀλλήλων, οὐδὲν κωλύει μιᾶς εἶναι τὸ περὶ αὐτῶν θεωρεῖν.

p. 1061 b 17 Ἐπεὶ δὲ καὶ ὁ μαθηματικὸς χρῆται τοῖς κοινοῖς ἰδίοις.

Κοινὰ λέγει τὰ ἀξιώματα, τό τε ἀπὸ ἴσων ἴσα ἂν ἀφαιρεθῇ, τὰ κατα-
5 λειπόμενα ἴσα ἐστί, καὶ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις, καὶ τὰ λοιπά.
ἰδίοις δὲ λέγει ἄν, ἐπειδὴ τὰ τῷ αὐτῷ ἴσα ὁ γεωμέτρης ἰδίως ἐπὶ γραμ- 10
μῶν λαμβάνει, καὶ ὡς ἐπὶ αὐταῖς μόναις ἀληθεῦον· εἰ δὲ ἐπὶ ἀριθμοῖς,
οὐδὲν ὅλως προσλογίζεται. ὁμοίως καὶ ὁ ἀριθμητικὸς ὡς ἐπὶ μόνοις τοῖς
ἀριθμοῖς ἀληθεῦον τοῦτο θεωρεῖ, εἰ δὲ ἐπὶ γραμμαῖς, οὐ φροντίζει. καὶ
10 ταῦτα μὲν πρὸς τὴν λέξιν. ἡ δὲ τῶν λεγομένων διάνοια σαφής. ἔστι δὲ
τὰ λεγόμενα· ἐπεὶ γὰρ καὶ ὁ μαθηματικὸς πρὸς τῷ φυσικῷ καὶ τοῖς λοι- 15
ποῖς ἐπιστήμοσι χρῆται ταῖς ἀρχαῖς ὡς ἀληθέσιν ἀναποδείκτως, ὁ φιλό-
σοφος οὐ ποιήσει τοῦτο, ἀλλ' ἐπισκέψεται καὶ δείξει τὰς τοιαύτας ἀρχάς,
ὡς ἐνδέχεται δειχθῆναι. τὸ μὲν οὖν ἀπὸ τῶν ἴσων ἴσα ἂν ἀφαιρεθῇ, ἴσα
15 τὰ λειπόμενα, κοινὸν μέν ἐστιν, ὥσπερ εἴπομεν, ἐπὶ πάντων καὶ χρῶνται
αὐτῷ πᾶσαι αἱ ἐπιστῆμαι, ὁ δὲ μαθηματικὸς ποιεῖται τὴν τούτων θεωρίαν
ὡς χρησίμων ὄντων εἰς μόνην τὴν ὑποκειμένην τοῖς μαθήμασιν ὕλην καὶ 20
τῶν ταύτῃ καθ' αὑτὰ ὑπαρχόντων, οὐχ ᾗ δὲ ὄντα ἐστὶ σκοπεῖ τὰς γραμ-
μὰς καὶ γωνίας καὶ ἐπίπεδα, αἵπερ εἰσὶν ὕλη τῇ μαθηματικῇ, ἀλλ' ᾗ
20 συνεχὲς ἕκαστον αὐτῶν ἐστιν, εἴτε ἐφ' ἓν ὡς ἡ γραμμή, εἴτε ἐπὶ δύο
ὡς ἡ ἐπιφάνεια, εἴτε ἐπὶ τρία ὡς τὸ στερεόν. ἀλλ' ἡ μὲν μαθηματικὴ
καὶ αἱ λοιπαὶ περὶ τὰ μερικά εἰσι. καὶ οὕτως εἰσὶ περὶ αὐτά, ὥσπερ εἴρη- 25
ται, ἡ δὲ φιλοσοφία τὰ μερικὰ οὐ θεωρεῖ, οὐδὲ σκοπεῖ εἰ ἑκάστῳ τούτων
συμβέβηκέ τι· εἰ δὲ καὶ σκοπεῖ τὰ καθ' ἕκαστα, ἀλλὰ περὶ ἕκαστον τῶν
25 τοιούτων θεωρεῖ ᾗ ὄντα ἐστί. καὶ ὥσπερ ἡ μαθηματικὴ τὰ οἰκεῖα αὐτῇ
θεωρεῖ οὐχ ᾗ ὄντα ἀλλ' ᾗ ἐφ' ἓν εἰσι συνεχῆ ἢ καθὸ ἐπὶ δύο ἢ ἐπὶ
τρία, οὕτω καὶ ἡ φυσικὴ τὰ συμβεβηκότα τοῖς φυσικοῖς καὶ τὰς ἀρχὰς 30
τῶν φυσικῶν (ταῦτα γὰρ εἶπεν ὄντα· οὐ γὰρ μὴ ὄντα τὰ φυσικά) θεωρεῖ
οὐχ ᾗ ὄντα, ἀλλ' ᾗ κινούμενα καὶ ᾗ ἀρχὴν ἔχει τοῦ κινεῖσθαι. ἡ δὲ
30 πρώτη ἐπιστήμη τὰ φυσικά πως θεωρεῖ οὐχ ᾗ κινεῖται οὐδὲ ᾗ | ἀρχὴν 620
ἔχει τοῦ κινεῖσθαι ἀλλ' ᾗ ὄντα εἰσίν. εἰ τάχα δὲ ἡ μὲν μαθηματικὴ τὰ
ὄντα, γραμμάς φημι καὶ τὰ ὅμοια, ὡς συνεχῆ θεωρεῖ, ἡ δὲ φυσικὴ ὡς
κινούμενα, καὶ οὐδετέρα τούτων ὡς ὄντα ᾗ ὄντα θεωρεῖ, ἀλλ' οὖν ἐπειδὴ
ἀποδείκνυσι καὶ ὁ μαθηματικὸς καὶ ὁ φυσικός, καὶ οὐδέποτε ψεύδονται,
35 ὥσπερ ὁ διαλεκτικὸς καὶ ὁ σοφιστής (ὁ μὲν γὰρ διὰ τὸ βούλεσθαι πάντως 5
πεῖσαι ἐνίοτε λαμβάνει καὶ ψευδῆ, ὁ δὲ σοφιστὴς ἀεί), ἐπεὶ οὖν ἀποδει-
κνύουσι καὶ οὐ ψεύδονται, ὅπερ τῆς πρώτης καὶ μᾶλλον καὶ μάλιστά ἐστι

---

2 κωλύσει L 3 ἰδίως Metaph. vulg. 6 ὁ γεωμέτρης L: ἡ γεωμετρία A ἐπὶ L: περὶ A 8 ὅλως L: om. A 21 ὡς ἡ ἐπιφανεία M: om. AL 30 οὐχ ᾗ M: ᾗ οὐχ ᾗ AL 33 οὐδέτερα libri 34 καὶ ὁ φυσικός S Brandis Bonitz: om. AL

σοφίας, ἔσονται δι' αὐτὸ τοῦτο καὶ ἡ μαθηματικὴ καὶ ἡ φυσικὴ μέρη τῆς φιλοσοφίας.

p. 1061ᵇ34 Ἔστι δέ τις ἐν τοῖς οὖσιν ἀρχή, περὶ ἣν οὐκ ἔστι διεψεῦσθαι.

Τὸ προκείμενόν ἐστι δεῖξαι ὅτι οὐ συναληθεύει ἡ ἀντίφασις· οὐχ ἁπλῶς δὲ καὶ κυρίως τοῦτο δείκνυσιν (ἐκ προϋπαρχουσῶν γὰρ ἂν καὶ γνωριμωτέρων τοῦτο ἐπεποιήκει, οὐδὲν δὲ τῆς ἀντιφάσεως γνωριμώτερον), ἀλλ' ἐλέγχει καὶ δείκνυσι ψευδομένους τοὺς τὴν ἀντίφασιν συναληθεύειν λέγοντας· καὶ τοῦτό ἐστι τὸ δεῖξαι μὴ συναληθεύειν τὴν ἀντίφασιν τὸ τοὺς τοῦτο φάσκοντας ἐλέγξαι. καὶ ἡ μὲν πρόθεσις αὕτη. λέγει δ' ὅτι ἔστιν ἐν τοῖς οὖσιν ἀρχή, λέγων ἀρχὴν τὴν ἀντίφασιν, περὶ ἣν οὐ διαψευδόμεθα, ἔστι δὲ μάλιστα ἀναγκαῖον ποιεῖν ἡμᾶς τοὐναντίον, καὶ ἑρμηνεύων ὅπερ ἀναγκαῖον ἡμᾶς ποιεῖν τί ἐστιν ἐπήγαγε λέγων λέγω δὲ ἀληθεύειν. καὶ τοῦτο πάλιν σαφηνίζων ἐπιφέρει οἷον οὐκ ἐνδέχεται τὸ αὐτὸ καθ' ἕνα καὶ τὸν αὐτὸν χρόνον εἶναι καὶ μὴ εἶναι. καὶ εἴη ἂν τὸ λεγόμενον δυνάμει τοιοῦτον· τοσοῦτον ἀποδέω λέγειν ὅτι ἔστι περὶ τὴν ἀντίφασιν τὸ ψεύδεσθαι ὥστε καὶ ἀνάγκη ἀληθεύειν ἀλλ' οὐκ ἐνδεχόμενον· ἀληθεύειν δέ φημι οὐχ ὥστε τὴν ἀντίφασιν ἀληθεύειν, ἀλλὰ θάτερον μόριον τῆς ἀντιφάσεως· ἢ γὰρ ἡ κατάφασις ἢ ⟨ἡ⟩ ἀπόφασις. οὐ γὰρ ἐγχωρεῖ κατὰ τὸν αὐτὸν χρόνον τὸ αὐτὸ καὶ ἓν πρᾶγμα καὶ εἶναι καὶ μὴ εἶναι, οἷον καθήμενον καὶ μὴ καθήμενον, ἢ εἶναι ἄνθρωπον καὶ μὴ εἶναι ἄνθρωπον. τὸ δὲ καὶ τὰ ἄλλα τὰ τοῦτον αὐτοῖς ἀντικείμενα τὸν τρόπον εἴρηκε διὰ τὰς ἕξεις καὶ στερήσεις· ἀδύνατον γὰρ ἅμα τὸ αὐτὸ καὶ ἓν ζῷον καὶ ὄψιν ἔχειν καὶ τυφλὸν εἶναι. καὶ περὶ μὲν τούτων, τῆς τε ἀντιφάσεως καὶ τῶν καθ' ἕξιν καὶ στέρησιν ἀντικειμένων, ὥσπερ εἴρηται, κυρίως μὲν οὐκ ἔστιν ἀπόδειξις, ἀλλὰ πρὸς τὸν λέγοντα ὡς συναληθεύει ἡ ἀντίφασις ἔστιν ἀπόδειξις ἤτοι ἔλεγχος καὶ δεῖξις τοῦ ὅτι ψεύδεται· ὥστε οὐ προηγουμένως τὴν ἀντί-
φασιν | δείκνυμεν, ἀλλὰ τὸν ταύτην ἀναιροῦντα ἐλέγχοντες ἐκείνην βεβαιο- 621
τάτην εἶναι ἀποφαινόμεθα. εἰπὼν δὲ ὅτι τῆς ἀντιφάσεως ἀπόδειξις οὐκ ἔστι, τοῦ πῶς οὐκ ἔστι τὴν αἰτίαν ἐπήγαγεν εἰπὼν οὐ γὰρ ἔστιν ἐκ πιστοτέρας ἀρχῆς αὐτοῦ τούτου συλλογισμὸν ποιήσασθαι. ἐπειδὴ γὰρ πᾶσα ἀπόδειξις καὶ πᾶς ἀποδεικτικὸς συλλογισμὸς ἐκ προτέρων καὶ γνωριμωτέρων γίνεται, τῆς δ' ἀντιφάσεως οὐδέν ἐστι γνωριμώτερον, οὐκ ἂν εἴη ταύτης συλλογισμὸς καὶ ἀπόδειξις· ὥστε εἰ μέλλει εἶναι ταύτης συλλογισμὸς καὶ ἀπόδειξις, δεῖ εἶναι ταύτης γνωριμώτερόν τι καὶ πιστότερον· οὐκ ἔστι δέ, οὐδ' ἄρα ἀπόδειξις.

---

17 ἐνδεχομένως L 19 ἡ (post ἢ) addendum censet Bonitz 22 αὐτοῖς Bonitz: αὐτοῖς AL 26 πρὸς L: om. A 30 ἔστιν L: om. A 33 δ' L: om. A

p. 1062a5 Πρὸς δὲ τὸν λέγοντα τὰς ἀντικειμένας φάσεις τῷ δεικνύντι διότι ψεύδεται ληπτέον τι τοιοῦτον.

Εἰπὼν ὅτι τῆς ἀντιφάσεως ἀπόδειξις οὐκ ἐστιν, ἀλλ' εἴπερ ἄρα, πρὸς τὸν λέγοντα τὴν ἀντίφασιν συναληθεύειν, ὑποτίθησιν ἡμῖν καὶ κανόνας τινὰς καὶ παραγγέλματα παραδίδωσι, πῶς ἂν δι' αὐτῶν τὸν οὕτω λέγοντα ἐλέγξαιμεν. τῷ μέλλοντι καὶ διὰ φροντίδος ἔχοντι δεῖξαι ψευδόμενον τὸν ἀναιροῦντα τὴν ἀντίφασιν δεῖ λαβεῖν τοιοῦτόν τι πρᾶγμα, λίθον ἢ ξύλον ἢ ἄνθρωπον, ὅστις λίθος ἢ τὸ ξύλον κατ' ἀλήθειαν τὸ αὐτὸ ἔσται καὶ νῦν καὶ ὕστερον, κἂν μὴ τοῦτο δοκῇ τῷ τὴν ἀντίφασιν ἀναιροῦντι. οὕτω γὰρ μόνως, ἤτοι λαβόντι τι πρᾶγμα ὃ ταὐτὸ ἔσται καὶ νῦν καὶ ὕστερον, κἂν μὴ τῷ ταύτην ἀναιροῦντι δοκῇ, ἐλεγχθήσεται ὁ λέγων συναληθεύειν, ἤτοι ὁ ἀναιρῶν τὴν ἀντίφασιν. ἓν μὲν οὖν τοῦτο καὶ τοιοῦτο παράγγελμα. ἄλλο δὲ δεῖ ἡμᾶς λέγειν πρὸς αὐτόν· ἆρα συνίης καὶ αἰσθάνῃ ἔχεις τε ἔννοιάν τινα καὶ γνῶσιν τῶν ὑφ' ἡμῶν σοι λεγομένων ἢ οὔ; δεῖ γὰρ αὐτὸν καὶ αἴσθησιν ἔχειν καὶ γνῶσιν· εἰ γὰρ οὐδὲν τούτων ἔχει, ἔοικε φυτῷ, πρὸς δὲ τὸ πεφυτευμένον οὐδεὶς φρονῶν διαλέγοιτ' ἄν. τρίτον παράγγελμα τοιοῦτον· λεκτέον πρὸς αὐτὸν ὅτι ἕκαστον τῶν ὀνομάτων ἔστω γνώριμον ἐπὶ τίνος λέγεται καὶ δηλοῦν τι· οὐ γάρ ἐστι τὸ ἄνθρωπος ὄνομα ἀσήμαντον οὐδὲ ἐπὶ τοῦ τυχόντος λέγεται, ἀλλὰ καὶ σημαίνει καὶ δηλωτικόν ἐστι τοῦ ζῴου δίποδος· ὁμοίως δὴ καὶ τὰ ἄλλα ὀνόματα οὕτως ἔχει. τέταρτον ὅτι ἓν ἕκαστον τῶν ὀνομάτων ἑνὸς ἔστω δηλωτικὸν καὶ μὴ πολλῶν· εἰ δὲ ἔστι τι ὄνομα πλείω σημαῖνον ἀλλὰ μὴ ἕν, ὥσπερ τὸ κύων, διαιρετέον καὶ ὁριστέον ἐπὶ τίνος τῶν ὑπὸ τοῦ κύων ὀνόματος σημαινομένων τὸν λόγον ποιεῖται, πότερον ἐπὶ τοῦ χερσαίου ἢ τοῦ ἀστέρος. τούτων γὰρ προληφθέντων τε καὶ τεθέντων, ῥᾳδίως τὸν τοιοῦτον ἐξελέγξομεν. ὥστε τέτταρα ἢ πέντε (δυνατὸν γάρ ἐστιν αὐτὰ πέντε ποιεῖν) εἰσὶ τὰ παραγγελθέντα, ἓν μὲν καὶ πρῶτον τὸ λαβεῖν τι ὅπερ ἔσται τὸ αὐτὸ καὶ νῦν καὶ ὕστερον· δεύτερον δὲ τὸ συνιέναι ἀλλήλων καὶ γινώσκειν τὰ ὑφ' ἑκατέρων λεγόμενα· | τρίτον τὸ ἕκαστον τῶν ὀνομάτων εἶναι 622 γνώριμον, οἷον τὸ ἄνθρωπος ὄνομα λέγεται ἐπὶ τοῦ ζῴου δίποδος, τὸ ἵππος ἐπὶ τοῦ ζῴου τετράποδος χρεμετιστικοῦ· τέταρτον τὸ δηλωτικὰ εἶναι καὶ σημαντικά τινων πραγμάτων τὰ ὀνόματα ἀλλὰ μὴ ἀσήμαντα· πέμπτον τὸ ἑνὸς πράγματος ἕκαστον ὄνομα δηλωτικὸν εἶναι καὶ μὴ πολλῶν· εἰ δὲ καὶ πολλῶν ἐστι σημαντικόν, διορίζειν ἐπὶ τίνος τούτων τὸν λόγον ποιεῖται. ἀλλ' ἡ μὲν τῶν προκειμένων ἔννοια τοιαύτη τις ἂν εἴη, τὰ δὲ κατὰ τὴν λέξιν ὧδε ἂν ἔχοι. πρὸς δὲ τὸν λέγοντα τὰς ἀντικειμένας φάσεις τῷ δεικνύντι, τουτέστι τῷ δεικνύντι ἀνθρώπῳ καὶ ἐλέγχοντι τὸν λέγοντα τὰς ἀντικειμένας ἅμα εἶναι

2 ψεύδεται] ψεῦδος Metaph. vulg. 4 συναληθεύειν L: ἀληθεύειν A 13 συνίης M Bonitz: συνιεῖς A: συνιεῖς L 16 τὸ M: τὸν AL 23 τοῦ κύων L: τοῦ om. A

φάσεις· τῷ οὖν τοιούτῳ ἀνθρώπῳ πρὸ τῶν ἐλέγχων ἀναγκαῖόν ἐστι λαβεῖν τοιοῦτόν τι πρᾶγμα, ὅπερ κατὰ μὲν τὴν ἀλήθειαν τὸ αὐτὸ καὶ τῆς αὐτῆς φύσεως ἔσται· καὶ προσυπακουστέον τοῦ καὶ νῦν καὶ ὕστερον. ὁ δὴ τὸν ἀναιροῦντα τὴν ἀντίφασιν ἐλέγξαι βουλόμενος λαβέτω πρᾶγμά τι, ὅπερ νῦν τε καὶ ἐς ὕστερον κατὰ τὸ ἀληθὲς τὸ αὐτὸ ἔσται. καὶ τὴν αἰτίαν τοῦ ὅτι τὸ αὐτὸ ἔσται ἐπήγαγε διὰ τοῦ τῷ μὴ ἐνδέχεσθαι τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι, τουτέστι διὰ τὸ μὴ ἐνδέχεσθαι τὸν ὄντα νῦν ἄνθρωπον μὴ εἶναι καὶ ἐς ὕστερον ἄνθρωπον, εἴπερ ζῇ ἀλλὰ μὴ τέθνηκεν· εἰ γὰρ ὥσπερ τήμερον ἄνθρωπός ἐστι, καὶ αὔριον εἰ ζῇ ἄνθρωπος ἔσται. τὸ δὲ μὴ δόξει δ' εἶναι τὸ αὐτὸ συντακτέον τῷ ὃ ταὐτὸν μὲν ἔσται· τούτῳ γάρ ἐστι συνεχές. τοιοῦτον γάρ, φησί, ληπτέον ὃ τὸ αὐτὸ μὲν ἔσται, κἂν μὴ δόξῃ τοῦτο τῷ ἀναιροῦντι τὴν ἀντίφασιν. οὕτω μὲν οὖν κατὰ τὸν ὑφηγημένον τρόπον δεῖ ἡμᾶς ποιεῖν· οὕτω γὰρ ἂν μόνως ἀποδειχθείη τὸ προκείμενον ἡμῖν πρὸς τὸν φάσκοντα συναληθεύειν τὴν ἀντίφασιν ἐπὶ τοῦ αὐτοῦ. καὶ πρὸς τούτοις τοὺς μέλλοντας κοινωνήσειν λόγου ἤτοι διαλεχθῆναι δεῖ συνιέναι αὐτῶν, τουτέστιν ἀλλήλων. καὶ τὴν αἰτίαν δι' ἣν δεῖ συνιέναι ἀλλήλων προσέθηκεν εἰπὼν μὴ γινομένου γὰρ τούτου, ἤτοι μὴ συνιέντων γὰρ ἀλλήλων μηδὲ ὅλως νοούντων τὰ ὑπ' ἀλλήλων λεγόμενα, πῶς ἂν κοινωνήσαιεν λόγου; καὶ πρὸς τούτοις δεῖ ἕκαστον τῶν ὀνομάτων, οἷς χρώμεθα διαλεγόμενοι, γνώριμον εἶναι καὶ ἑνὸς δηλωτικόν· εἰ δὲ πλειόνων, φανερὸν ποιεῖν ἐπὶ τίνων τῶν ὑπὸ τοῦ ὀνόματος σημαινομένων τὸν λόγον ποιεῖται.

p. 1062a16 Ὁ δὴ λέγων εἶναι τοῦτο καὶ μὴ εἶναι, ὅ φησιν οὔ φησιν.

Εἰπὼν ὅσα προειλῆφθαι δεῖ πρὸς ἔλεγχον τῶν ἀναιρούντων τὴν ἀπόφασιν, ἐντεῦθεν τοὺς ἐλέγχους ἐπάγει δυνάμει λέγων· ἐπεὶ κεῖται ἡμῖν ὡς τὰ ὀνόματα ἑνός εἰσι δηλωτικὰ καὶ ὅτι ἕκαστον τῶν ὀνομάτων γνώριμόν ἐστιν ἐπὶ | τίνος λέγεται καὶ ἐπὶ τίνος οὔ, εἰ συναληθεύει ἡ ἀντί- 623
φασις, ἀναιρεῖται τὰ κείμενα. εἰ γὰρ τὸ ἄνθρωπος ὄνομα ἑνός ἐστι δηλωτικόν, ἔστι δὲ γνώριμον καὶ τίνος δηλωτικόν (τοῦ ζῴου γὰρ δίποδος), εἰ οὖν τὸ ἄνθρωπος τὸ ζῷον δίπουν δηλοῖ, εἴπερ ἀληθεύει ἐπ' αὐτοῦ καὶ τὸ μὴ ἄνθρωπος, οὐκ ἦν τὸ ἄνθρωπος ἑνὸς δηλωτικὸν οὐδὲ τοῦ ζῴου δίποδος μόνου ἀλλὰ καὶ ἄλλου, καθ' οὗ τὸ οὐκ ἄνθρωπος λεχθήσεται. οὐκ ἄρα δυνατόν ἐστιν, εἰ τὸ ἄνθρωπος ἑνός ἐστι δηλωτικόν, ἐφ' οὗ λέγεται ἐπὶ τούτου ἀληθεύειν καὶ τὸ μὴ ἄνθρωπος. αὐτὸς δὲ εἶπεν ὁ δὴ λέγων εἶναι τοῦτο καὶ μὴ εἶναι, ὅ φησιν οὔ φησιν, τουτέστιν ὁ

---

3 τοῦ καὶ νῦν L: καὶ om. A 4 λαβέτω M: εἰλήφθω AL 5 τε L: γε A 8 ἄνθρωπον L: om. A 8. 9 εἰ γὰρ ὥσπερ AL: ὥσπερ videtur delendum esse: ὥσπερ γὰρ M Bonitz 10 τῷ L: τοῦ A 13 ὑφηγημένον L, ut coniecit Bonitz: ὑγημένον A: εἰρημένον M 16 αὐτῶν c. S Bonitz: αὐτῶν AL 23 δὴ L: δεῖ A ante ὃ add. τοῦτο Metaph. ὅ φησιν L, cf. 36: ὃ ὅλως εἶναί φησιν A et Metaph. cod. E

λέγων τόδε τὸ προκείμενον φέρε εἰπεῖν ἄνθρωπον, εἰ ἀληθεύει ἐπ' αὐτοῦ καὶ τὸ μὴ ἄνθρωπος, ὅ φησιν ἄνθρωπον οὐκ ἦν ἄνθρωπος, ἀλλ' ἕτερόν τι ἦν παρὰ τὸν ἄνθρωπον, καὶ διὰ τοῦτο ἀληθεύει ἐπ' αὐτοῦ τὸ μὴ ἄνθρωπος. εἰ γὰρ ζῷον δίπουν ἐστὶν ὅ φησιν ἄνθρωπον, εἰ ἀληθεύει ἐπ' αὐτοῦ καὶ τὸ μὴ ἄνθρωπος, οὐδὲν ἄλλο φησὶν ἢ ὅτι τὸ ἄνθρωπος ὄνομα σημαῖνον τὸ ζῷον δίπουν οὐ σημαίνει τὸ ζῷον δίπουν. τοῦτο δὲ ἀδύνατον· κεῖται γὰρ τὰ ὀνόματα εἶναι ἑνὸς δηλωτικά· ὥστε εἰ τοῦ ζῴου δίποδος σημαντικόν ἐστι τὸ ἄνθρωπος, ψεῦδος τὸ κατ' αὐτοῦ λέγειν καὶ τὸν μὴ ἄνθρωπον. ἀλλ' εἰ τοῦτο, δῆλον ὡς ἀδύνατόν ἐστι συναληθεύειν τὴν ἀντίφασιν. ἔτι, φησίν, εἰ σημαίνει τι τὸ ὄνομα καὶ δηλωτικόν ἐστί τινος καὶ ἀληθῶς καθ' οὗ κατηγορεῖται λέγεται, ἀνάγκη τοῦτο εἶναι. εἰ γὰρ τὸ πῦρ δηλωτικὸν θερμῆς καὶ ξηρᾶς φύσεως, ἀνάγκη ταύτην τὴν φύσιν θερμὴν εἶναι καὶ ξηράν. ὃ δὲ ἀνάγκη εἶναι, τοῦτο οὐκ ἐνδέχεται μὴ εἶναι· ὥστε οὐκ ἂν ἐπ' αὐτοῦ ἀληθεύσοι καὶ τὸ πῦρ καὶ τὸ μὴ πῦρ, ἤτοι τὸ μὴ θερμὸν μηδὲ ξηρόν. ψεῦδος ἄρα τὸ λέγειν ὡς συναληθεύει ἡ ἀντίφασις ἐπὶ τοῦ αὐτοῦ.

p. 1062a23 Ἔτι δ' εἰ μηδὲν μᾶλλον ἡ φάσις ἢ ἡ ἀπόφασις ἀληθεύεται.

Πληκτικώτατον τοῦτο τὸ γενναιότατον. ὃ δέ φησι τοιοῦτόν ἐστιν. εἰ μηθὲν μᾶλλον ἡ κατάφασις ἐφ' ἑνὸς καὶ τοῦ αὐτοῦ ἀληθεύεται ἤπερ ἡ ἀπόφασις, ἀλλ' ἐπίσης ἀμφότεραι ἐπ' αὐτοῦ λέγονται, ὁ λέγων τὸν Σωκράτην ἄνθρωπον οὐδὲν μᾶλλον ἀληθεύσει τοῦ λέγοντος αὐτὸν οὐκ ἄνθρωπον· εἰ δὲ ὁ λέγων αὐτὸν οὐκ ἄνθρωπον ἀληθεύει, πολλῷ μᾶλλον ὁ λέγων αὐτὸν οὐχ ἵππον ἀληθεύσει· οὐκ ἔστι γὰρ ἵππος ὁ Σωκράτης. εἰ δὲ ἀληθεύοι ἐπὶ Σωκράτους τὸ οὐχ ἵππος, ἀληθεύσει ἐπ' αὐτοῦ καὶ τὸ ἵππος, ἐπεὶ κατ' αὐτοὺς συναληθεύει ἡ ἀντίφασις. ἔσται ἄρα ὁ Σωκράτης, ἢ κάλλιον εἰπεῖν ὁ Πρωταγόρας, καὶ ἄνθρωπος καὶ ἵππος. πάλιν ἐπεὶ ἐπὶ τοῦ Πρωταγόρου ἀληθεύει τὸ μὴ βοῦς, ἀληθεύσει καὶ ὁ βοῦς. ἔσται ἄρα ὁ Πρωταγόρας ἄνθρωπος ἵππος βοῦς καὶ τἆλλα πάντα. καὶ ἡ μὲν διάνοια τῶν λεγομένων | αὕτη. τὸ δὲ κατὰ τὴν λέξιν τὴν δόξειε δὲ κἂν 624 οὐχ ἵππον εἶναι φάσκων τὸν ἄνθρωπον ἢ μᾶλλον ἢ οὐχ ἧττον ἀληθεύειν ἢ οὐκ ἄνθρωπον τοιοῦτόν ἐστιν· εἰπὼν γὰρ ὅτι ὁ λέγων ἄνθρωπον, εἰ συναληθεύει ἡ ἀντίφασις, οὐδὲν μᾶλλον ἀληθεύει τοῦ λέγοντος οὐκ ἄνθρωπον, ἐπήγαγε τὸ δόξειε δὲ κἂν οὐχ ἵππον λέγων, τουτέστι καὶ ὁ λέγων τὸν ἄνθρωπον οὐχ ἵππον μᾶλλον ἀληθεύει τοῦ λέγοντος αὐτὸν μὴ ἄνθρωπον· οἰκειότερον γάρ ἐστι τὸν ἄνθρωπον λέγειν μὴ ἵππον, ἤπερ μὴ ἄνθρωπον. ὁ δὴ λέγων τὸν ἄνθρωπον μὴ ἵππον μᾶλλον ἀληθεύει ἤπερ ὁ λέγων μὴ ἄνθρωπον· ἤ, φησίν, εἰ μὴ μᾶλλον, ἀλλ' οὐδὲ ἧττον. ταῦτα εἰπὼν ἐπάγει τούτων τῶν ἐπιχειρήσεων οὐδεμία ἐστὶν

14 καὶ τὸ πῦρ A: om. L καὶ τὸ μὴ πῦρ L: om. A 20 ἐπίσης] ἐπὶ πάσης L 27 ἄρα M: om. AL 33 δόξει L

ἁπλῶς καὶ κυρίως ἀπόδειξις, ἀλλὰ πρὸς τὸν τιθέμενον συναληθεύειν τὴν ἀντίφασίν ἐστιν ἀπόδειξις ἤτοι ἔλεγχος. οὕτως ἀντειπὼν πρὸς ταύτην τὴν δόξαν λέγει ὅτι ἐάν τις οὕτω τε καὶ τοιαῦτα ἠρώτα τὸν Ἡράκλειτον, ταχέως ἂν ἐπεπείκει αὐτὸν μὴ λέγειν τὸ αὐτὸ καὶ ἓν καὶ ἀγαθὸν καὶ οὐκ ἀγαθὸν καὶ λευκὸν καὶ οὐ λευκόν. ἀλλ' ἐκεῖνον μὲν εἴ τις ταῦτα ἠρώτα ταχέως ἂν μετέπεισεν, αὐτὸς δὲ μὴ συνιεὶς ἑαυτοῦ μηδὲ ἐπιστήσας τοῖς ὑπ' αὐτοῦ λεγομένοις ταύτην ἔλαβε τὴν δόξαν. εἰ γὰρ ἐπέστησεν ὡς οὐκ ἐνδέχεται τὸ αὐτὸ καὶ ἀληθὲς καὶ μὴ ἀληθὲς καὶ ἀγαθὸν καὶ μὴ ἀγαθὸν εἶναι, οὐκ ἂν ἔφασκε συναληθεύειν τὴν ἀντίφασιν.

p. 1062a36 Ὅλως δ' εἰ τὸ λεγόμενον ὑπ' αὐτοῦ ἐστιν ἀληθές, οὐδ' ἂν αὐτὸ τοῦτο εἴη ἀληθές.

Εἰ τὸ λεγόμενον, φησίν, ὑπὸ τοῦ Ἡρακλείτου ἐστὶν ἀληθές (τί δ' ἐστὶ τὸ ὑπ' αὐτοῦ λεγόμενον ἐπάγει, λέγω δὲ τὸ ἐνδέχεσθαι τὸ αὐτὸ καθ' ἕνα καὶ τὸν αὐτὸν χρόνον εἶναί τε καὶ μὴ εἶναι), εἰ οὖν κατὰ τὴν Ἡρακλείτειον δόξαν ἀληθές ἐστι τὸ συναληθεύειν τὴν ἀντίφασιν, αὐτὸ τοῦτο, τουτέστι τὸ λέγον τοῦτο ῥητόν, ψεῦδος ἔσται. εἰ γάρ ἐστιν ἀληθὲς τὸ λέγειν ὡς συναληθεύει ἡ ἀντίφασις, ἔσται ἀληθὲς τὸ λέγειν καὶ ὅτι οὐ συναληθεύει· εἰ δὲ ἀληθὲς τὸ λέγειν ὅτι οὐ συναληθεύει, ψεῦδος τὸ ἀποφαίνεσθαι ὡς συναληθεύει. ψευδὴς ἄρα ὁ Ἡρακλείτειος λόγος.

p. 1062b2 Καθάπερ γὰρ καὶ διῃρημένων αὐτῶν οὐδὲν μᾶλλον ἡ κατάφασις ἢ ἡ ἀπόφασις ἀληθεύεται.

Ἔτι πρὸς Ἡράκλειτον ὁ λόγος. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὥσπερ γὰρ καθ' Ἡράκλειτον τὸ λέγειν ἰδίως καὶ χωρὶς ὅτι ὁ Σωκράτης ἄνθρωπός ἐστιν ἀληθές ἐστι καὶ πάλιν χωρὶς ὅτι ὁ Σωκράτης ἄνθρωπος οὐκ ἔστιν ἀληθὲς καὶ τοῦτο (ταῦτα δὲ εἶπε διῃρημένα), οὕτω καὶ συνῃρημένα καὶ ἡνωμένα καὶ ὡς μία κατάφασις λεγόμενα ἔσονται ἀληθῆ· ὥστε ἀληθές ἐστι λέγειν ἅμα ὅτι ὁ Σωκράτης ἄνθρωπος καὶ οὐκ ἄνθρωπος. ἀλλ' εἰ τοῦτο, ἔσται ἐπ' αὐτοῦ καὶ ἡ ἀπόφασις ἡ ὁ Σωκράτης οὔτε ἄνθρωπός ἐστιν οὔτε οὐκ ἄνθρωπος. τοῦτο δὲ ἀλογώτατον τὸ τὸν Σωκράτην εἶναι καὶ ἄνθρωπον καὶ οὐκ ἄνθρωπον καὶ | οὔτε ἄνθρωπον οὔτε οὐκ ἄν- 625
θρωπον. διῃρημένα δέ, ὥσπερ εἶπον, λέγει τὸ χωρὶς μὲν τὴν κατάφασιν χωρὶς δὲ τὴν ἀπόφασιν λέγεσθαι· συναμφότερα δὲ καὶ συμπεπλεγμένα τὸ λέγειν αὐτὰ ὡς μίαν κατάφασιν. τὸ δὲ οὐθὲν μᾶλλον ἡ ἀπόφασις ἢ τὸ ὅλον ὡς ἐν καταφάσει τιθέμενον ἀληθεύεται ἴσον ἐστὶ τῷ ὥσπερ γὰρ καθ' Ἡράκλειτον ἐν ᾧ ἂν ἡ κατάφασις ἀληθεύηται, ἐπὶ τούτου καὶ ἡ ἀπόφασις, οὕτω καὶ ἡ κατάφασις καὶ ἡ ἀπόφασις ἅμα

15 τὸ L: om. A 18 ἀληθὲς L: ἀληθεύει A 19 συναληθεύει L: συναληθεύσει A 21 ἡ M: om. AL 23. 24 ἄνθρωπος—Σωκράτης L: om. A 34 ἐν καταφάσει L: ἐν τῇ καταφάσει A

ὡς μία κατάφασις λεγόμεναι ἀληθεῖς ἔσονται, οἷον ὅτι τὸ ἀγαθὸν οὐκ ἀγαθόν. εἰ δὲ τοῦτο ἀληθές, ἀληθὴς καὶ ἡ τούτου ἀπόφασις ἡ οὔτε ἀγαθὸν οὔτε οὐκ ἀγαθὸν λέγουσα. ἔτι δ' εἰ μηθέν ἐστιν ἀληθὲς καταφῆσαι, κἂν αὐτὸ τοῦτο ψεῦδος εἴη. τὸ εἰ μηθέν ἐστιν ἀλη- 10
5 θὲς καταφῆσαι ἴσον ἐστὶ τῷ εἰ πᾶσα κατάφασις ψευδής ἐστι (πᾶν γὰρ τὸ μὴ ἀληθὲς ψεῦδος), εἰ οὖν πᾶσα κατάφασις ψευδής ἐστι, καὶ αὐτὸ τοῦτο τὸ λέγειν ὅτι πᾶσα κατάφασις ψευδής ἐστι (τούτου γάρ ἐστι δηλωτικὸν τὸ φάναι μηδεμίαν ἀληθῆ κατάφασιν ὑπάρχειν), αὐτὸ δὴ τοῦτο ψεῦδος ἔσται. εἰ γὰρ πᾶσα κατάφασις ψευδής ἐστιν, αὐτὸ δὲ τὸ λέγειν ὅτι πᾶσα κατά-
10 φασις ψευδὴς κατάφασίς ἐστι, ψεῦδος ἄρα τὸ λέγειν ὅτι πᾶσα κατάφασις 15
ψευδής. εἰ δ' ἔστι τι, τουτέστιν εἰ δὲ λέγοιεν ὅτι πᾶσα κατάφασις ψευδὴς πλὴν αὐτῆς τῆς λεγούσης ὅτι πᾶσα κατάφασις ψευδής ἐστιν (αὕτη γὰρ μόνη ἐστὶν ἁπασῶν τῶν καταφάσεων ἀληθής), καὶ οὕτω ψεῦδος τὸ πᾶσαν λέγειν ψευδῆ. ὥσπερ γὰρ εἴ τις λέγει πάντα ἄνθρωπον λευκόν,
15 εἴπερ εὑρεθῇ εἷς μὴ λευκός, ψευδὴς ἡ λέγουσα πάντα λευκόν, οὕτω καὶ 20
ἐπὶ τούτων. ὥστε λύοιτ' ἂν τὸ λεγόμενον ὑπὸ τῶν τὰ τοιαῦτα ἐνισταμένων καὶ ἀναιρούντων τὸ διαλέγεσθαι. εἰ γάρ ἐστι ταὐτὸν ἡ κατάφασις τῇ ἀποφάσει, οὐκ ἔσται διαλέγεσθαι.

Παραπλήσιον δὲ τοῖς ὑπὸ τοῦ Ἡρακλείτου λεγομένοις, φησίν,
20 ἐστὶ καὶ τὸ ὑπὸ τοῦ Πρωταγόρου λεγόμενον· κἀκεῖνος γὰρ ἔλεγεν 25
ὅτι πάντων τῶν πραγμάτων μέτρον ἐστὶν ὁ ἄνθρωπος, οὐδὲν ἄλλο λέγων ἢ ὅτι εἰ τοισδὶ μὲν δοκεῖ τὸ μέλι γλυκὺ τοισδὶ δὲ πικρόν, ἔστι τὸ μέλι καὶ γλυκὺ καὶ πικρὸν βεβαίως καὶ ἀμετακίνητως μένον ἐν τῷ εἶναι γλυκὺ καὶ πικρόν.

25 p. 1062b20 Λύοιτο δ' ἂν αὕτη ἡ ἀπορία θεωρήσασι πόθεν ἡ ἀρχὴ τῆς ὑπολήψεως ταύτης.

Μέλλων λύειν καὶ τὸν Πρωταγόρου λόγον λέγει ὅτι ῥητέον πρῶτον τὴν αἰτίαν ἐξ ἧς ταῦτα λέγειν αὐτός τε καὶ οἱ λοιποὶ ὥρμηνται· καί φησιν 30
ὅτι ἔνιοι μὲν ἐκ τῆς τῶν φυσιολόγων δόξης ταῦτα λέγειν ὡρμήθησαν, καὶ
30 τίς | ἐστιν ἡ τῶν φυσιολόγων δόξα, ἐπάγει. τὸ γὰρ μηδὲν ἐκ μὴ 626
ὄντος γίνεσθαι (τοῦτο δὲ ταὐτόν ἐστι τῷ τὸ γὰρ μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεσθαι, ἀλλὰ πᾶν ἐξ ὄντος τινὸς καὶ ὑποκειμένου) σχεδὸν πάντων ἐστὶ τῶν φυσικῶν δόγμα κοινόν· οὕτω γὰρ τὸ τῆς λέξεως ἀκό- 5
35 λουθόν ἐστιν. εἶτα τὸ τοῖς δ' ἐκ τοῦ μὴ ταὐτὰ περὶ τῶν αὐτῶν ἅπαντας γινώσκειν, τουτέστι τοῖς δὲ συνέβη τοιαῦτα περί τε τῶν πραγμάτων καὶ τῆς ἀντιφάσεως ἀποφαίνεσθαι ἐκ τοῦ μὴ τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἅπαντας γινώσκειν· ὃ γὰρ τοῖσδε δοκεῖ ἡδύ, τοῦτο ἄλλοις πικρόν, ὥστε οὐχ ἅπαντες τὸ αὐτὸ ἡδὺ γινώσκουσιν, οὐδ' αὖ πάλιν πικρόν.

---

13 ἁπασῶν L: ἀπὸ πασῶν A 16 λύοιτ' ἂν L: λύοις ἂν A 27 καὶ L: om. A 28 τε L: om. A 37 ἄλλοις L: τοῖς ἄλλοις A

εἰπὼν δὲ ὅτι οἱ μὲν ἐκ τῆς κοινῆς τῶν φυσιολόγων δόξης ταῦτ' ἔλεγον, οἱ δὲ ἐκ τοῦ μὴ πᾶσι τὰ αὐτὰ φαίνεσθαι, πρότερον τὴν αἰτίαν λέγει δι' ἣν ἐκ τῆς τῶν φυσιολόγων δόξης ὥρμηνται λέγειν, ὅτι τὸ λευκὸν καὶ οὐ λευκόν ἐστιν, ὁμοίως καὶ τὸ γλυκὺ οὐ γλυκύ. ἀσαφῶς δὲ πάνυ καὶ μεμελανωμένως ἑρμηνεύει ταῦτα. ἐπεὶ οὖν, φησίν, οὐ λευκὸν γίνεται ἐκ λευκοῦ τελέως ὄντος καὶ μηδαμῇ μὴ λευκοῦ, τουτέστιν ἐπεὶ κατ' ἐμέ τε τὸν Ἀριστοτέλην καὶ τὴν ἀληθείαν τὸ μὴ λευκὸν γίνεται ἐκ λευκοῦ τελέως ὄντος ἤτοι καθαρῶς λευκοῦ καὶ μηδαμῇ μὴ λευκοῦ, τουτέστι καὶ οὐ τῇ μὲν λευκοῦ τῇ δὲ μὴ λευκοῦ, ἀλλ' ἐκ τελειοτάτου λευκοῦ (εἰ γὰρ γίνεται μὴ λευκὸν ἐκ λευκοῦ πάντως γενήσεται), ἐπεὶ οὖν μὴ λευκόν, ὡς εἴρηται, ἐκ λευκοῦ γίνεται, νῦν δὲ γεγενημένον μὴ λευκόν, τουτέστι κατὰ δὲ τοὺς λέγοντας συναληθεύειν τὴν ἀντίφασιν τὸ γινόμενον μὴ λευκὸν οὐ γίνεται ἐκ λευκοῦ, ὡς ἡμεῖς φαμεν, ἀλλ' ἐκ μὴ λευκοῦ (τὸ γὰρ μὴ λευκὸν ἐκ μὴ λευκοῦ γεννῶσι), κατ' ἐκείνους δή, εἰ γίνεταί τι μὴ λευκόν, οὐδὲν ἄλλο συμβήσεται ἢ τὸ γινόμενον μὴ λευκὸν γίνεσθαι ἐκ μὴ λευκοῦ. ἔδει δὲ ἐκ λευκοῦ. εἰ δὲ γίνεται μὴ λευκὸν ἐκ μὴ λευκοῦ, γενήσεται τὸ μὴ λευκὸν κατ' ἐκείνους ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, εἰ μὴ ὑπῆρχε τὸ λευκὸν τὸ αὐτὸ καὶ μὴ λευκόν, τουτέστιν εἰ μὴ ὑπῆρχε τὸ μὴ λευκὸν τὸ αὐτὸ καὶ λευκόν· ὑπερβατῶς γὰρ ἀναγνωστέον. καὶ τὰ μὲν κατὰ τὴν λέξιν τοιαῦτα, ἡ δὲ τῶν προκειμένων ἔννοια τοιαύτη τις ἂν οἶμαι εἴη· οἱ ἐκ τῆς τῶν φυσιολόγων δόξης ὁρμηθέντες τοιαῦτα οἷα εἴπομεν λέγουσι, λαμβάνοντες πρότασιν ἐξ ἐπαγωγῆς ψευδῆ· ὥσπερ γάρ, φασίν, ἄνθρωπος ἐξ ἀνθρώπου καὶ ἵππος ἐξ ἵππου γίνεται, οὕτω καὶ τὸ μὴ λευκὸν ἐκ μὴ λευκοῦ γενήσεται, ἀλλ' οὐκ ἐκ λευκοῦ. ψευδὴς δὲ ἡ πρότασις αὕτη. εἰ γὰρ καὶ ὅτι μάλιστα ὁ ἄνθρωπος ἐξ ἀνθρώπου γίνεται, ἀλλὰ προσεχῶς ἐκ σπέρματος καὶ καταμηνίου, ἅπερ οὔκ εἰσιν ἄνθρωποι. ταύτην δὴ τὴν ψευδῆ πρότασιν τὴν ὅτι τὸ μὴ λευκὸν οὐκ ἐκ λευκοῦ ἀλλ' ἐκ μὴ λευκοῦ γίνεται λαμβάνοντες, | καὶ ἑτέραν, ψευδῆ καὶ ταύτην, ὅτι αἱ ἀπο- 627
φάσεις μὴ ὄντα καὶ μὴ ὄντων δηλωτικαί εἰσι, συνελογίζοντο οὕτωσί· εἰ τὸ μὴ λευκὸν γίνοιτο, ἐκ μὴ λευκοῦ ἂν γίνοιτο, τὸ δὲ μὴ λευκὸν μὴ ὄν ἐστι, τὸ μὴ λευκὸν ἄρα γενήσεται ἐκ μὴ ὄντος. οὐδὲν δὲ ἐκ μὴ ὄντος κατὰ τὴν τῶν φυσιολόγων δόξαν γίνεται. οὐκ ἄρα τὸ μὴ λευκὸν ἐκ μὴ λευκοῦ ἤτοι ἐκ μὴ ὄντος γενήσεται· ἐξ ὄντος ἄρα. ἀλλ' εἰ τὸ μὴ λευκὸν μὴ ὂν ἔσται, δηλονότι τὸ λευκὸν ὄν· ὥστε ἐπειδὴ δεῖ τὸ γινόμενον ἐξ ὄντος γίνεσθαι, ἔσται ἐξ οὗ τὸ μὴ λευκὸν γίνεται λευκόν, ταὐτὸν δὲ εἰπεῖν ὄν· καθὸ δὲ πάλιν τὸ μὴ λευκὸν ἐκ μὴ λευκοῦ γίνεται κατ' ἐκείνους, ἔσται τὸ ἐξ οὗ γενήσεται τὸ μὴ λευκὸν μὴ λευκόν· τὸ ἄρα ἐξ οὗ τὸ μὴ λευκὸν γίνεται ἔστι καὶ λευκὸν καὶ οὐ λευκόν, καὶ τὸ ἐξ οὗ τὸ γλυκὺ καὶ γλυκὺ καὶ μὴ γλυκύ· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. εἰ δὲ τοῦτο, συναληθεύει ἡ ἀντίφασις. ταύτην δὴ λύων τὴν ἀπορίαν λέγει ὅτι ἀληθές ἐστι τὸ λέγειν

---

2. 3 δι' ἣν L: δι' ἧς A 5 ἐκ in Metaph. non legitur 7 τε L: τὸ A 8 οὐδαμῇ L 10 οὖν μὴ L: ante μὴ add. τὸ A 17. 18 ὑπῆρχε μὴ λευκὸν τὸ αὐτὸ καὶ λευκόν Metaph. 27. 28 οὐκ—γίνεται L: ἐκ μὴ λευκοῦ ἀλλ' οὐκ ἐκ λευκοῦ A

ὅτι τὸ μὴ λευκὸν ἐκ τοῦ μὴ ὄντος γίνεται, ἀλλ' οὐκ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος ἀλλ' ἐκ τοῦ τὶ μὲν ὄντος τὶ δὲ μὴ ὄντος. εἴρηται δὲ περὶ τούτων ἐν τῷ Α τῆς Φυσικῆς ἀκροάσεως. ἀπορήσειε δ' ἄν τις πρὸς τὰ ἐν ἀρχῇ τῆς λέξεως λεγόμενα, πῶς φησι τὸ μὴ λευκὸν ἐκ τοῦ τελείως λευκοῦ γίνεσθαι· γίνεται γὰρ μὴ λευκόν τι, οἷον τὸ φαιόν, ἐκ μὴ λευκοῦ, οἷον τοῦ μέλανος. ἤ, οἶμαι, πρὸς τὴν ἡμετέραν φαντασίαν ἀποβλέψας τοῦτο εἴρηκεν· ἐπειδὴ γὰρ πᾶν τὸ γινόμενον ἐκ τῆς ἀποφάσεως αὐτοῦ γίνεται, ἅμα τῷ ἀκοῦσαι ὅτι γίνεται μὴ λευκόν, εὐθὺ τὴν ἀπόφασιν αὐτοῦ τὸ λευκὸν φανταζόμεθα.

p. 1062b33 Τό γε μὴν ὁμοίως προσέχειν ταῖς δόξαις καὶ ταῖς φαντασίαις τῶν πρὸς αὐτοὺς ἀμφισβητούντων εὔηθες.

Τὸ πρὸς αὐτοὺς σημαίνει τὸ πρὸς ἀλλήλους. τὸ δὲ λεγόμενόν ἐστι λύσις τοῦ λέγοντος λόγου τὸ αὐτὸ καὶ ἀγαθὸν καὶ οὐκ ἀγαθόν, καὶ λευκὸν καὶ μὴ λευκόν, διὰ τὸ μὴ τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἅπαντας γινώσκειν. φησὶ δὴ ὅτι τὸ προσέχειν ταῖς δόξαις τῶν πρὸς ἀλλήλους ἀμφισβητούντων * * παντελῶς γὰρ ἀλόγιστον τὸ λέγειν τὸ αὐτὸ γλυκὺ καὶ οὐ γλυκὺ διὰ τὸ τῷ μὲν ὑγιαίνοντι δοκεῖν γλυκὺ τῷ δὲ νοσοῦντι μὴ γλυκύ. δῆλον γὰρ ὡς οἱ νοσοῦντες ψεύδονται· ὅτε γὰρ καὶ ὑγίαινον, οὐκ ἐδόκει αὐτοῖς μὴ γλυκὺ ἀλλὰ γλυκύ. δοκεῖ δὲ αὐτοῖς, ἐπειδὰν νοσήσωσι, πικρὸν διὰ τὸ λωβηθῆναι αὐτῶν τὸ αἰσθητήριον καὶ κριτήριον τῶν τοιούτων χυμῶν. τούτου δ' οὕτως ἔχοντος | τοὺς μὲν ὑγιαίνοντας, ἅτε 628 τὸ αἰσθητήριον ἔχοντας ὑγιές, νομιστέον μέτρον τῶν πραγμάτων, καὶ τοιαῦτα λεκτέον τὰ πράγματα, οἷα ἂν αὐτοὶ εἶναι φῶσι, τοῖς δὲ νοσοῦσι μὴ πειστέον. ὁμοίως καὶ ἐπὶ ἀγαθοῦ καὶ κακοῦ καὶ καλοῦ καὶ αἰσχροῦ· ὅσα γὰρ ἂν εἴπωσιν ἀγαθὰ οἱ σπουδαῖοι, ταῦτα καὶ λεκτέον ἀγαθά, ὅσα δ' ἂν οἱ φαῦλοι, οὐ ῥητέον· ὡς γὰρ ἔχουσιν οἱ ὑγιαίνοντες πρὸς τοὺς νοσοῦντας, οὕτως οἱ σπουδαῖοι πρὸς τοὺς φαύλους.

p. 1063a6 Οὐδὲν γὰρ διαφέρει τοῦτο ἀξιοῦν ἢ τὰ φαινόμενα τοῖς ὑπὸ τὴν ὄψιν ὑποβάλλουσι.

Τὸ λεγόμενόν ἐστιν ὅτι τὸ λέγειν ὡς, ἐπειδὴ τῷ ὑγιαίνοντι φαίνεται γλυκὺ τὸ μέλι, τῷ νοσοῦντι δὲ πικρόν, ἔστι τὸ αὐτὸ καὶ γλυκὺ καὶ πικρόν, τοῦτο οὐδὲν διαφέρει τοῦ λέγειν ὡς, ἐπειδὴ τὸν δάκτυλον ὑποβαλὼν καὶ κινήσας τὴν ὄψιν, τὸ ἓν δύο μοι φαίνεται, ἂν δὲ μὴ κινῶ, πάλιν ἕν ἐστι, τὸ αὐτὸ καὶ ἓν καὶ οὐχ ἕν· ἄτοπον γὰρ τὸ λέγειν ὅτι τὸ ἓν δύο ἐστίν,

---

1 τὸ M: om. AL 3 ἐν τῷ Α τῆς Φυσικῆς ἀκροάσεως] c. 8 8 εὐθὺ L: om. A 10 ταῖς δόξαις καὶ ταῖς L: om. A 11 τῶν πρὸς αὐτοὺς om. A αὐτοὺς Bonitz: αὐτοὺς LM εὔηθες om. L 12 αὐτοὺς L: αὐτοὺς A 13. 14 καὶ λευκὸν L: καὶ om. A 16 post ἀμφισβητούντων addendum εὔηθες τὸ αὐτὸ L: αὐτὸ τὸ A 18 ὅτε M: ὅταν AL γὰρ LM: om. A 21 τοιούτων] λεχθέντων Metaph. 28 τοῦτο ἀξιοῦν M: τοῦ ἀξιοῦν AL

ἐπειδὴ ἠρεμοῦσα ἡ ὄψις ἓν αὐτὸ ὁρᾷ, κινουμένη δὲ καὶ παραφερομένη δύο. ὡς οὖν τοῦτο γελοῖον, οὕτω καὶ τὸ λέγειν ὅτι τὸ αὐτὸ καὶ γλυκύ ἐστι καὶ οὐ γλυκὺ διὰ τὸ τῷδε μὲν φαίνεσθαι γλυκὺ τῷδε δὲ οὐ γλυκύ. ταῦτα εἰπὼν λέγει ὅλως δὲ ἄτοπον διὰ τὸ ὁρᾶν ὅτι τὰ δεῦρο καὶ περὶ τὴν γῆν 15
5 ἐν ῥοῇ ἐστιν, ἀπὸ τούτων τοιαῦτα ἀποφαίνεσθαι κατὰ τῆς ἀληθείας. ἔδει δὲ μᾶλλον ἐκ τῶν ἀεὶ ὡσαύτως ἐχόντων καὶ μηδεμίαν μεταβολὴν ποιουμένων πλὴν τὴν κατὰ τόπον, ἐκ τούτων τἀληθῆ θηρεύειν. κόσμον δὲ λέγοι ἂν τὰς σφαίρας καὶ τοὺς ἐν αὐταῖς ἀστέρας.

p. 1063a17 Ἔτι δ' εἰ κίνησίς ἐστι καὶ κινούμενόν τι, κινεῖται δὲ
10 πᾶν ἔκ τινος.

Καὶ τοῦτο κατὰ τῶν λεγόντων συναληθεύειν τὴν ἀντίφασιν. λέγει δὲ 20
ἐπειδὴ κινήσεως οὔσης ἀνάγκη εἶναι καὶ κινούμενόν τι, πᾶν δὲ τὸ κινούμενον ἔκ τινος εἴς τι κινεῖται, ἐπειδὴ ταῦθ' οὕτως ἔχει, δεῖ ἄρα τὸ κινούμενον εἶναι ἐν ἐκείνῳ, τουτέστι συμβαίνει ἄρα κατὰ τοὺς
15 φάσκοντας συναληθεύειν τὴν ἀντίφασιν, εἶναι τὸ κινούμενον εἰς ὃ κινεῖται καὶ μὴ εἶναι, ὁμοίως εἶναι ἐν ᾧ ἐκινήθη καὶ μὴ εἶναι. πῶς δὲ τοῦτο συμβαίνει, οὕτως ἔσται δῆλον. ἐπεὶ γὰρ τὸ ἔκ τινος κινηθῆναι μέλλον 25
ἠρεμοῦν ἐν ἐκείνῳ ἐξ ἐκείνου κινεῖται, καθὸ ἐν ἐκείνῳ ἠρεμεῖ, ἔστιν ἐν ἐκείνῳ καὶ οὐκ ἔστι, διὰ τὸ συναληθεύειν τὴν ἀντίφασιν. εἰ γὰρ μέλλει
20 τι κινεῖσθαι ἐκ λευκοῦ, ἔστιν ἐν τῷ λευκῷ καὶ ἠρεμεῖ ἐν αὐτῷ. ἀλλ' ἐπεὶ κατ' αὐτοὺς ἐπὶ τοῦ λευκοῦ ἀληθεύει καὶ τὸ μὴ λευκόν, οὐκ ἔσται ἐν τῷ λευκῷ· ἔστιν ἄρα ἐν τῷ λευκῷ καὶ οὐκ ἔστιν. πάλιν ἐπεὶ κινεῖται εἰς τὸ μέλαν, οὐκ ἔστι μέλαν· ἀλλ' ἐπεὶ τὸ μὴ μέλαν κατ' αὐτοὺς 30
καὶ μέλαν ἐστί, κινεῖται εἰς τὸ μέλαν καὶ γίνεται ἐν τούτῳ, τουτέστι καὶ
25 ἔστιν ἐν τῷ μέλανι· τὸ γὰρ γίνεται ἀντὶ τοῦ ἔστιν εἴληπται αὐτῷ νῦν. 629
τὸ δὲ ἐπαχθὲν τούτοις τὸ τὸ δὲ κατὰ τὴν ἀντίφασιν μὴ ἀληθεύεσθαι κατ' αὐτοὺς πάνυ πολλὴν ἀσάφειαν ἐνεποίησεν. κεῖται γὰρ τὸ τό ἄρθρον καὶ ὁ δέ σύνδεσμος ἀντὶ τοῦ ἢ συνδέσμου· ἔδει γὰρ ἀντὶ τοῦ τὸ δὲ κατὰ τὴν ἀντίφασιν εἶναι ἢ κατὰ τὴν ἀντίφασιν μὴ συναληθεύε-
30 σθαι. καὶ εἴη ἂν τὸ κατάλληλον τῆς λέξεως τοιοῦτον· εἰ ἔστι κίνησις 5
καὶ κινούμενόν τι, κινεῖται δὲ πᾶν ἔκ τινος εἴς τι, ἢ ἔσται διὰ τὰ ὑπ' αὐτῶν λεγόμενα τὸ κινούμενον, ἐξ οὗ κινεῖται, καὶ οὐκ ἔσται, ἢ μὴ συναληθεύεσθαι τὴν ἀντίφασιν. εἰ οὖν ἐκεῖνα ἀδύνατα, ἀληθὲς ἂν εἴη τὸ μὴ συναληθεύεσθαι τὴν ἀντίφασιν.

35 p. 1063a22 Καὶ εἰ κατὰ τὸ ποσὸν συνεχῶς τὰ δεῦρο ῥεῖ καὶ κινεῖται.

Ἐπειδὴ τὰ πράγματα διὰ μὲν τὸ εἶδος ἔχουσι καὶ τὸ εἶναι καὶ τὸ 10

---

8 λέγει omisso ἂν L 13 ταῦθ' L: τοῦθ' A 20 τι LS: τις A 23 τὸ μὴ μέλαν L: μὴ om. A 33 ante τὴν fort. addendum δεῖ 37 μὲν τὸ L: τὸ μὲν τὸ A

λέγεσθαι ὃ λέγονται, διὰ δὲ τὴν ὕλην (ταύτην γὰρ εἶπε ποσόν, ὥσπερ μετ' ὀλίγον εἴποι ἂν τὸ εἶδος ποιόν) διὰ οὖν τὴν ὕλην ἔχουσι τὸ συνεχῶς ῥεῖν, λέγει ὡς εἴ τις συγχωρήσει τὰ δεῦρο συνεχῶς κατὰ τὴν ὕλην ῥεῖν καίπερ οὐκ ὂν ἀληθές (οὔτε γὰρ τὰ αὐξόμενα καὶ εἰς ἐπίδοσιν ἀγόμενα συνεχῶς ῥεῖ. οὔτε μὴν λίθοι καὶ ἄλλα πάμπολλα). διὰ τί κατὰ τὸ ποιὸν καὶ τὸ εἶδος οὐκ ἂν μένοι: τὸ γὰρ ποιὸν ἤτοι τὸ εἶδος καὶ ἡ οὐσία οὐ ῥεῖ, ἀλλὰ τὸ αὐτὸ μένει. εἰ οὖν φαίνονται οὗτοι κατηγοροῦντες κατὰ τοῦ αὐτοῦ καὶ ἑνὸς τὰ κατὰ τὰς ἀντιφάσεις, τουτέστι τὰς ἀντιφάσεις, ἐκ τοῦ ὑπειληφέναι τὸ ποσὸν καὶ τὴν ὕλην μὴ μένειν, μένει δὲ τὸ ποιὸν καὶ τὸ εἶδος καὶ ὡρισμένον τυγχάνει, δι' οὗ καὶ τὸ εἶναι τοῖς πράγμασι δίδοται, διὰ τοῦτο μᾶλλον οὐκ ἂν λεχθείη ἐπ' αὐτῶν ἡ ἀντίφασις. εἰ γὰρ διὰ τὸ ὑπολαμβάνειν αὐτὰ συνεχῶς ῥεῖν φασι συναληθεύειν τὴν ἀντίφασιν, εἰ μὴ ῥεῖ, οὐ συναληθεύσει. ἔτι, φησίν, εἰ συναληθεύει ἡ ἀντίφασις, ἔσται ὁ ἄρτος καὶ μὴ ἄρτος. ὅταν οὖν προστάξῃ αὐτοῖς ὁ ἰατρὸς φαγεῖν ἄρτον καὶ προσενέγκωσιν αὐτοῖς ἄρτον, διὰ τί οὔ φασιν ὅτι τουτὶ ἄρτος οὐκ ἔστι καὶ ἀπόφερε τοῦτον, ἀλλὰ προσίενται ὡς ἄρτον καὶ ἐσθίουσιν; ἐξ αὐτῶν δὴ τῶν ἔργων δεικνύουσιν ὅτι οὐχ ὡς λέγουσιν οὕτω καὶ φρονοῦσιν. τὸ δὲ οὐδὲν ἂν διέχοι φαγεῖν τὸ διέχοι ἀντὶ τοῦ διαφέροι. οὐδὲν ἂν οὖν διαφέροι φαγεῖν καὶ μὴ φαγεῖν, εἴ γε τὸ φαγεῖν ταὐτὸν τῷ μὴ φαγεῖν. τὸ δὲ καίτοι οὐκ ἔδει μὴ διαμενούσης παγίως μηδεμιᾶς φύσεως ἀντὶ τοῦ οὐκ ἔδει ὃ προσφέρονται ὡς ἄρτον εἶναι ἄρτον μηδὲν κατ' αὐτοὺς ἐν ταυτότητι μένον ἐν οὐδενὶ χρόνῳ. ἔτι, φησίν, ἐπεὶ συνεχῶς κατ' αὐτοὺς ἀλλοιούμεθα καὶ μηδέποτε διαμένομεν οἱ αὐτοί, διὰ τοῦτο οὐδέποτε ἡμῖν τὰ αὐτὰ φαίνεται καὶ οὐ διὰ τὸ τὰ πράγματα εἶναι καὶ ἡδέα καὶ μὴ ἡδέα καὶ ἀγαθὰ καὶ μὴ ἀγαθά. ὡς γὰρ τοῖς κάμνουσι διὰ τὸ μὴ ὁμοίαν ἔχειν τὴν ἕξιν νῦν τε | κάμνουσι καὶ πρότερον ὅτε ὑγίαινον οὐχ ὁμοίως φαί- 630
νονται τὰ κατὰ τὰς αἰσθήσεις ἀπὸ τῶν αἰσθητῶν ἐγγινόμενα αἰσθήματα, τὸν αὐτὸν δὴ τρόπον ἀναγκαῖόν ἐστιν ἔχειν, καὶ προσυπακουστέον τοῦ καὶ ἐφ' ἡμῖν· ὥστε τὰ μὲν πράγματα τὰ αὐτά ἐστιν, ἡμῖν δ' ἄλλοτε ἄλλα φαίνεται τῆς εἰρημένης. λέγω δὴ συνεχοῦς, μεταβολῆς γινο- 5
μένης ἐν ἡμῖν. εἰ δὴ συνεχῶς ἡμᾶς λέγει τις μεταβάλλειν, τὰ εἰρημένα ἕψεται. εἰ δὲ μὴ μεταβάλλομεν ἀλλ' οἱ αὐτοὶ διατελοῦμεν ὄντες καὶ ἐν ταυτότητι ὑπάρχοντες, εἰσὶν ἄρα τινὰ μένοντα καὶ μὴ ῥέοντα, περὶ ἃ οὐκ ἂν συναληθεύοι ἡ ἀντίφασις.

p. 1063b7 Πρὸς μὲν οὖν τοὺς ἐκ λόγου τὰς ἀπορίας ἔχοντας οὐ ῥᾴδιον διαλῦσαι μὴ τιθέντων τι.

Διδάσκει ἡμᾶς διὰ τούτων τίνες τῶν ταῦτα λεγόντων εὐίατοί τέ εἰσι καὶ ταύτης ἀποσχέσθαι τῆς δόξης δύνανται, τίνες δὲ οὔ. ὅσοι μὲν οὖν,

---

1 λέγονται L: λέγεται A 2 οὖν L: γοῦν A 5 τὸ ποιὸν καὶ L: om. A 19 εἴ γε — μὴ φαγεῖν] εἰ γὰρ τὸ φαγεῖν ταὐτὸν τῷ μὴ φαγεῖν ἔδει μὴ φαγεῖν L 26 τὴν ἕξιν νῦν L: post ἕξιν add. αὐτοῖς A 35 τὰς εἰρημένας ἀπορίας Metaph.

φησίν, οὕτω διετέθησαν ὑπὸ τῶν πεισάντων αὐτοὺς λόγων ὥστε μὴ μόνον λέγειν ὅτι ὁ δεικνὺς λόγος ὅτι τὸ αὐτὸ καὶ λευκὸν καὶ οὐ λευκόν ἐστιν ἀληθὴς καὶ ἀναντίρρητός ἐστιν, ἀλλὰ λέγειν ὅτι καὶ τουτὶ ὅπερ ὁρῶ καὶ ὡς ἄνθρωπον ὁρῶ καὶ ὡς μὴ ἄνθρωπον, πρὸς τούτους οὐ ῥᾴδιον ἢ καὶ 15
5 ὅλως ἀδύνατον διαλῦσαι τοὺς δι' ὧν ἀνεπείσθησαν ταῦτά τε λέγειν καὶ φρονεῖν λόγους, μὴ τιθέντων αὐτῶν μηδὲ συγχωρούντων τι, μήτε μὴν ἀπαιτούντων λόγον ὃς ἂν λῦσαι δυνηθείη τοὺς δι' ὧν ἀνεπείσθησαν λόγους. εἰ γὰρ τοσοῦτον αὐτοὺς ἠσπάσαντο ὥστε μηδὲ τῇ ἑαυτῶν αἰσθήσει πιστεύειν, ἀλλὰ λέγειν ὅτι ὃν ὁρῶ Σωκράτην καὶ ὡς ἄνθρωπον αὐτὸν ὁρῶ καὶ ὡς
10 μὴ ἄνθρωπον, πῶς ἂν οὗτοι ἀνέξονται ἀκοῦσαί τινος τἀναντία κατασκευ- 20
άζοντος ἢ ὅλως συγχωρήσαιέν τι; εἰ δὲ μὴ τίθενται μηδὲ συγχωροῦσί τι, πῶς ἂν αὐτοὺς λύσομεν; πᾶς γὰρ λόγος καὶ πᾶσα ἀπόδειξις ἐκ τοῦ τιθέναι τι καὶ ὁμολογεῖν γίνεται. ἐλλιπῶς δὲ πάνυ εἴρηται ἐν ἀρχῇ ἡ λέξις ἡ λέγουσα πρὸς μὲν οὖν τοὺς ἐκ λόγου τὰς ἀπορίας ἔχοντας οὐ ῥά-
15 διον διαλῦσαι μὴ τιθέντων τι· ἐλλείποι δὲ ἂν τὸ καὶ λέγοντας αὐ- 25
τοῖς φαίνεσθαι καὶ τὰ πράγματα τοιαῦτα. ὥστε ἔσται τὸ πλῆρες τοιοῦτον· πρὸς μὲν οὖν τοὺς ἔχοντας ἀπορίας ἐκ λόγου τινὸς γενομένου πρὸς αὐτούς. καὶ πείσαντος αὐτοὺς λέγειν ὅτι καὶ τὰ πράγματα αὐτοῖς τοιαῦτα φαίνεται οἷα καὶ λέγουσι. πρὸς δὴ τοὺς τοιούτους λόγος καὶ ἔλεγχος οὐκ ἔστι. πρὸς
20 δὲ τοὺς ἀποροῦντας καὶ λέγοντας ὅτι τουτὶ μὲν ἄνθρωπός ἐστιν, οὐ φαίνε- 30
ται δὲ ἡμῖν καὶ μὴ ἄνθρωπος, ἀλλὰ διὰ τοὺς πεπεικότας ἡμᾶς λόγους λέγομεν αὐτὸ καὶ ἄνθρωπον καὶ μὴ ἄνθρωπον, πρὸς τούτους ῥᾴδιον ἁπαντᾶν καὶ λύειν τὰ τούτων ἄπορα ἐκ τῶν προειρημένων· οὗτοι γὰρ διὰ τὸ πιστεύειν τῇ αἰσθήσει διψῶσιν ἀκοῦσαι καὶ λόγου σύμφωνα τοῖς φαινομένοις
25 φθεγγομένου. | ὥστε φανερὸν ἐκ πάντων τῶν εἰρημένων ὅτι οὐκ ἐν- 631
δέχεται τὰς ἀντικειμένας φάσεις περὶ τοῦ αὐτοῦ καθ' ἕνα χρόνον ἀληθεύειν, οὐδὲ τὰ ἐναντία, διὰ τὸ λέγεσθαι κατὰ στέρησιν καὶ ἕξιν· στέρησιν δὲ καὶ ἕξιν τοῦ αὐτοῦ ἅμα εἶναι οὐκ ἐνδέχεται. ὅτι δὲ τἀναντία κατὰ στέρησιν λέγεται, δῆλον, φησίν, ἐπ' ἀρχὴν τοὺς λό-
30 γους ἀναλύουσι τοὺς τῶν ἐναντίων, τουτέστι τοὺς λόγους λαμβάνουσι 5
τῶν ἐναντίων· εἰ γάρ ἐστιν ὑγίεια συμμετρία θερμῶν καὶ ξηρῶν, ἔσται ἡ νόσος ἀσυμμετρία τούτων, ἡ δ' ἀσυμμετρία στέρησίς ἐστι συμμετρίας. οὔτε δὴ τὰ ὡς στέρησις καὶ ἕξις ἐναντία ἅμα κατηγορεῖσθαι κατὰ τοῦ αὐτοῦ ἐνδέχεται, οὔτε μὴν τῶν ἀνὰ μέσον οὐδὲν ἐναντίων (λέγει δὲ τὸ φαιὸν
35 καὶ τὰ τοιαῦτα) οἷόν τε κατηγορεῖσθαι ἅμα καθ' ἑνὸς καὶ τοῦ αὐ- 10
τοῦ. εἰ γάρ ἐστι τόδε λευκόν, οὐχ οἷόν τε λέγειν αὐτὸ οὔτε μέλαν οὔτε λευκόν, τουτέστιν εἰ ἔστι λευκόν, οὐχ οἷόν τε λέγειν αὐτὸ καὶ φαιόν· συμβήσεται γὰρ εἶναι τὸ αὐτὸ λευκὸν καὶ μὴ λευκόν. ἐπεὶ δὲ συνέπλεξε τὸ μέλαν καὶ λευκὸν καὶ εἶπεν οὔτε μέλαν οὔτε λευκόν, εἶτα εἰπὼν ὅτι ψεῦδος
40 τὸ λευκὸν οὔτε μέλαν οὔτε λευκὸν λέγειν ἐπήγαγε θάτερον γὰρ τῶν

---

8 ἠσπάσαντο L: ἐσπάσαντο A 9 ὅτι L: om. A 11 μηδὲ L: μὴ A 12 λύσομεν M, cf. 10: λύσωμεν AL: λύσαιμεν Bonitz 22 καὶ ἄνθρωπον LM: καὶ om. A 23 λύειν] κωλύειν L γὰρ M: om. AL 29 φησίν M: φασίν AL

συμπεπλεγμένων ἀληθεύεται κατ' αὐτοῦ, ἤτοι τὸ ἕτερον, τουτέστι τὸ λευκόν, ἀληθεύεται κατὰ τοῦ λευκοῦ, καὶ οὐ τὸ ἀνὰ μέσον ἤτοι τὸ φαιόν. τὸ δὲ τοῦτο δ' ἐστὶν ἀντίφασις τοῦ λευκοῦ εἴρηκε διὰ τὸ οὐ λευκόν, καὶ εἰ ἔστι τὸ οὐ λευκὸν ἀντίφασις τοῦ λευκοῦ, οὐκ ἂν ἀληθεύσοι κατὰ τοῦ λευκοῦ· δέδεικται γὰρ ὡς ἀδύνατον τὰς ἀντιφάσεις ἀληθεύειν. ἀληθεύσει ἄρα κατὰ τοῦ λευκοῦ αὐτὸ τὸ λευκόν· ἀληθὲς γὰρ τὸ τὸ λευκὸν λέγειν λευκόν. καὶ συμπεραίνεται λέγων οὔτε δὴ καθ' Ἡράκλειτον λέγοντας ἐνδέχεται ἀληθεύειν (καὶ εἴη ἂν τὸ λεγόμενον, οὔτε δὴ εἰ τὸ αὐτὸ λέγομεν ἀγαθὸν καὶ οὐκ ἀγαθόν, ὥσπερ Ἡράκλειτος, ἀληθεύσομεν), οὔτε κατὰ Ἀναξαγόραν. εἰ δὲ οὕτω λέγοντες ὡς ἐκεῖνοι ἔλεγον ἀληθῆ λέγειν ὑπολάβοιμεν, συμβήσεται τἀναντία τοῦ αὐτοῦ κατηγορεῖν, ὅπερ ἐδείχθη ἀδύνατον. πῶς δὲ καὶ κατὰ Ἀναξαγόραν τὰ ἐναντία ἐν τῷ αὐτῷ ἅμα εἶναι συμβαίνει, λέγει. ὅταν γὰρ ἐν παντὶ καὶ τῷ τυχόντι πράγματι λέγῃ ὁ Ἀναξαγόρας εἶναι πάντα καὶ γλυκὺ καὶ πικρὸν καὶ λευκὸν καὶ μέλαν καὶ ἁπλῶς πάντα (πάντα γὰρ ἐν πᾶσι καὶ οὐ δυνάμει, ἀλλ' ἐνεργείᾳ καὶ ἀποκεκριμένα καὶ καθ' αὑτά), οὐδὲν ἕτερον λέγει ἢ τὰ ἐναντία ἐν τῷ αὐτῷ εἶναι.

p. 1063b30 Ὁμοίως δὲ οὐδὲ πάσας ψευδεῖς οὐδὲ ἀληθεῖς τὰς φάσεις δυνατόν.

Καὶ οἱ πάντα ἀληθῆ λέγοντες ψεύδονται καὶ οἱ πάντα ψευδῆ· φάσεις γὰρ τὰς περὶ τὰ πράγματα ὑπολήψεις φησίν. εἰ γὰρ πᾶσα φάσις ψευδής, δῆλον ὡς καὶ ἡ λέγουσα ὅτι πᾶσα φάσις ψευδὴς ψευδής ἐστιν· ὥστε ψεῦδος τὸ λέγειν πᾶσαν κατάφασιν ψευδῆ. εἰ δὲ πᾶσα κατάφασις ἀληθής, καὶ ἡ λέγουσα ὅτι πᾶσα κατάφασις ψευδὴς | ἀληθὴς ἔσται. εἰ δὲ ἀληθὲς τὸ 632
πᾶσαν κατάφασιν ψευδῆ εἶναι, ψεῦδος τὸ πᾶσαν κατάφασιν ἀληθῆ εἶναι. ὥστε καὶ τὸ λέγειν πᾶσαν ψευδῆ ψεῦδος καὶ τὸ λέγειν πᾶσαν ἀληθῆ.

p. 1063b36 Πᾶσα δ' ἐπιστήμη ζητεῖ τινας ἀρχὰς καὶ αἴτια.

Τὸ προκείμενόν ἐστι δεῖξαι τίνι διαφέρει ἡ σοφία τῶν ἄλλων ἐπιστημῶν. δείκνυσι δὲ τὴν διαφορὰν αὐτῆς πρὸς τὰς ἄλλας διὰ τοῦ δεῖξαι ὅτι αἱ μὲν ἄλλαι ἐπιστῆμαι λαβοῦσαι μέρος τι τοῦ ὄντος ὡς ὑπάρχον καὶ ὀντότητος μετέχον δεικνύουσι τὰ καθ' αὑτὸ συμβαίνοντα αὐτῷ ᾗ τοιοῦτόν ἐστιν καὶ οὐχ ᾗ ὄν. ἡ γὰρ γεωμετρία λαβοῦσα γραμμὰς σκοπεῖ τὰ συμβαίνοντα αὐταῖς ᾗ τοιαίδε εἰσίν, οἷον ᾗ ποσαὶ καὶ ἡ συνεχεῖς ἀλλ' οὐχ ᾗ ὄντα· καὶ ἡ φυσικὴ δὲ τὰ ὧν ἐστι θεωρητικὴ οὐχ ᾗ ὄντα θεωρεῖ, ἀλλ' ᾗ ἔχει ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως· καὶ αἱ ἄλλαι ὁμοίως. ὥστε τοῦτο διαφέρει ἡ σοφία τῶν ἄλλων ὅτι ἐκείνων ἡ μὲν τὰ ὑπ' αὐτὴν θεωρεῖ ὡς

---

1 ἀληθεύσεται Metaph. vulg. 7 τὸ L: om. A 11 ὑπολάβοιμεν M: ὑπολάβομεν AL 15 οὐ L: om. A 22 φάσις L: om. A 25 ἀληθῆ iterat L 31 δεικνύουσι L: δείκνυσι A 34 τὰ ὧν L: τῶν ὧν A

ποσὰ καὶ ὡς συνεχῆ. ἡ δὲ ὡς κινούμενα, ἄλλη δὲ ἄλλως, οὐδεμία δὲ σκοπεῖ ἢ δείκνυσι τίς φύσις συνεχοῦς καὶ τίς γραμμῆς, ἡ δὲ σοφία τὸ εἶναι καὶ τὴν φύσιν αὐτῶν θεωρεῖ καὶ ὅλως ᾗ ὄντα· ἡ γὰρ ἑκάστου φύσις τὸ εἶναι αὐτοῦ ἐστι. πᾶσα δή, φησίν, ἐπιστήμη ζητεῖ καὶ λαμβάνει ἀρχάς, ἀλλ' οὐδεμία τούτων οὔτε τὰς ἀρχὰς οὔτε τὰ ἐκ τῶν ἀρχῶν ᾗ ὄντα ἐστὶ θεωρεῖ, ὥσπερ εἴπομεν, ἀλλ' ἑτέρα τίς ἐστι, τουτέστιν ἡ σοφία, ἡ θεωροῦσα τὰς φύσεις καὶ τοὺς ὁρισμοὺς καὶ ὅλως τὸ εἶναι αὐτῶν τί ποτέ ἐστι. τῶν δὲ λεχθεισῶν ἐπιστημῶν, ἰατρικῆς καὶ φυσικῆς καὶ μαθηματικῆς καὶ τῶν λοιπῶν, τούτων ἑκάστη λαβοῦσα τὸ τί ἐστιν ἤτοι τὸν ὁρισμὸν ἑκάστου γένους ὡς προφανῶς ὄντα αὐτοῦ (τὸ γὰρ μῆκος ἁπλατὲς ὅτι ὁρισμός ἐστι τῆς γραμμῆς οὐκ ἀποδείκνυσιν ὁ μαθηματικὸς ἀλλ' ὁμολογούμενον λαμβάνει ὅτι τῆς γραμμῆς ἐστι), τούτων δὴ ἑκάστη ὁμολογούμενον λαβοῦσα ὅτι ὅδε ὁ ὁρισμὸς ἢ ἡ ὑπογραφὴ τῆσδε τῆς ἀρχῆς ἐστι, δείκνυσι τὰ ὑπὸ τὰς ἀρχάς, ἡ μὲν μαλακώτερον ὡς ἡ ἀστρονομία, ἡ δ' ἀκριβέστερον ὡς ἡ γεωμετρία. ἀλλ' οὐδὲ πᾶσαι ὁμοίως τὰς ἀρχὰς λαμβάνουσιν, ἀλλ' ἡ μὲν φυσικὴ φέρε εἰπεῖν δι' αἰσθήσεως λαβοῦσα ὅτι τὸ πῦρ θερμὸν καὶ ξηρόν, τὸ δ' ὕδωρ ψυχρὸν καὶ ὑγρόν, σκοπεῖ τὰ ἔργα αὐτῶν καὶ τὰ πάθη, ἡ δὲ γεωμετρία οὐκ ἀπὸ αἰσθήσεως, ἀλλ' ὑπέθετο ὅτι ἔστω σημεῖον οὗ μέρος οὐθέν. καὶ ἐπεὶ πᾶσαι αἱ ἐπιστῆμαι, ὡς εἴρηται, οὔτε τοὺς τῶν οἰκείων ἀρχῶν ὁρισμοὺς ἀποδεικνύουσιν, ἀλλ' ὁμολογούμενον λαμβάνουσιν ὅτι ὅδε ὁ ὁρισμὸς τοῦδέ ἐστιν, οὔτε μὴν τοὺς ἐκ τῶν ἀρχῶν (καὶ αὐτοὺς γὰρ ὁμολογουμένους λαμβάνουσι), φανερόν ἐστιν ἐκ τῆς τοιαύτης ἐπαγωγῆς ὅτι τῆς οὐσίας | καὶ τοῦ τί ἐστιν ἤτοι τοῦ ὁρισμοῦ οὐκ ἔστιν ἀπόδειξις. 633
τοῦτο δὲ ἦν ἓν τῶν ζητουμένων· ἐζητεῖτο γὰρ πότερον ἔστιν ἀπόδειξις τοῦ τί ἔστιν ἢ οὔ. ἀλλ' ἡ μὲν τῶν προκειμένων διάνοια οἶμαι τοιαύτη. ποιητικὴν δὲ λέγει ἐπιστήμην οἰκοδομικὴν τεκτονικὴν καὶ ἁπλῶς πάσας ὧν μετὰ τὴν πρᾶξίν ἐστιν ἔργον τι καὶ ποίημα μένον· πρακτικὴ δέ ἐστιν ἧς μετὰ τὴν πρᾶξιν οὐδέν ἐστιν, ὁποία ἐστὶν ἥ τε ὀρχηστικὴ καὶ ἡ κιθαριστική. περὶ ὧν ἐν τοῖς ἠθικοῖς τοῖς ἐπιγραφομένοις Νικομαχείοις εἴρηται ἀκριβῶς. τοῦ δὲ ἑκάστη γὰρ τούτων περιγραψαμένη τι γένος αὐτὴ περὶ τοῦτο πραγματεύεται ὡς ὑπάρχον καὶ ὂν τὸ ὡς ὑπάρχον καὶ ὂν οὐ τοῦτό φησιν ὅτι ὃ περιεγράψατο καὶ ἔλαβεν οἷον ἡ γεωμετρία ᾗ ὂν τοῦτο σκοπεῖ, ἀλλὰ λέγοι ἂν ὅτι ὃ περιεγράψατο ὡς ὑπάρχον λαβοῦσα καὶ ὀντότητος μετέχον, ἀλλ' οὐχ ὡς ἀνύπαρκτον, σκοπεῖ τὰ τούτῳ συμβεβηκότα καθ' αὑτό, ἡ δὲ πρώτη φιλοσοφία ᾗ ὄντα αὐτὰ θεωρεῖ.

p. 1064a10 Ἐπεὶ δὲ ἔστι τις ἡ περὶ φύσεως ἐπιστήμη, δῆλον ὅτι καὶ πρακτικῆς ἑτέρα καὶ ποιητικῆς ἔσται.

Εἰπὼν τίνι διαφέρει ἡ σοφία τῶν ἄλλων ἐπιστημῶν λέγει καὶ τὴν

---

7 φύσεις LS: φάσεις A 13 ἡ M: om. AL 20 ὁρισμοὺς LM: ὁρισμὸς A ὁμολογουμένους L 25 προκειμένων L: προειρημένων A 28 ὁποία c. S Bonitz: ὁποῖα AL 29 ἐν τοῖς ἠθικοῖς τοῖς — Νικομαχείοις] Z 4 30 αὐτὴ] αὐτῇ Metaph. vulg.

διαφορὰν τῆς φυσικῆς πρὸς τὰς πρακτικὰς καὶ ποιητικάς. εἴπομεν δὲ προσεχῶς τίνες αἱ πρακτικαὶ καὶ τίνες αἱ ποιητικαί. συλλογίζεται δὴ οὕτως. πάσης πρακτικῆς καὶ ποιητικῆς ἡ ἀρχὴ τῆς κινήσεως καθ' ἣν ποιεῖται καὶ πράττεται τὰ ποιούμενα καὶ πραττόμενα ἐν ἄλλοις, ἤτοι τῷ ποιοῦντι καὶ τῷ πράττοντί ἐστι. τῆς φυσικῆς ἡ ἀρχὴ οὐκ ἐν ἄλλῳ ἀλλ' ἐν τοῖς ὑπὸ φύσεως γενομένοις ἐστίν. ἡ φυσικὴ ἄρα οὔτε πρακτικὴ οὔτε ποιητική ἐστι. καὶ ὅτι μὲν τῆς ποιητικῆς ἡ ἀρχὴ καὶ πρακτικῆς οὐκ ἔστιν ἐν τῷ ποιουμένῳ καὶ πραττομένῳ, δῆλον· οὐ γάρ ἐστιν ἡ τοῦ οἰκοδομεῖσθαι τὴν οἰκίαν ἀρχὴ ἐν τῇ οἰκίᾳ ἀλλ' ἐν τῷ οἰκοδόμῳ, οὐδὲ τῆς ὀρχήσεως ἐν τῇ ὀρχήσει ἀλλ' ἐν τῷ ὀρχουμένῳ, οὐδὲ τῆς κιθαρίσεως ἐν τῇ κιθάρᾳ ἀλλ' ἐν τῷ κιθαρίζοντι. ὅτι δὲ καὶ ἡ τῆς φυσικῆς ἀρχὴ καθ' ἣν τὰ φυσικῶς γινόμενα γίνεται ἐν τοῖς γινομένοις ἐστίν, οὐδεὶς τῶν καὶ μετρίως ἡμμένων λόγου ἀγνοεῖ· ἔστι γὰρ ἡ φύσις ἀρχὴ κινήσεως καὶ ἠρεμίας, ἐν ᾧ πρώτως καθ' αὑτὸ πέφυκε καὶ μὴ κατὰ συμβεβηκός. κατὰ δὲ τὴν λέξιν τὴν καὶ τοῦτό ἐστιν εἴτε τέχνη τις εἴτε ἄλλη τις δύναμις τέχνη μὲν ἡ οἰκοδομική, ἄλλην δέ τινα δύναμιν λέγοι ἂν τὴν τῶν ἀλόγων ζῴων φυσικὴν ὁρμήν, καθ' ἣν ὁ ἀράχνης ἐργάζεται τὸ ἀράχνιον καὶ ἡ χελιδὼν τὰς νεοττιάς· ταῦτα γὰρ οὐ τέχνῃ ἐργάζεται ἀλλὰ φυσικῇ τινι ὁρμῇ. ἐπεὶ δὲ πᾶσα ἐπιστήμη ἢ θεωρητική ἐστιν ἢ πρακτικὴ ἢ ποιητική, ἡ δὲ φυσικὴ ἐπιστήμη οὖσα οὔτε πρακτική ἐστιν οὔτε ποιητική, ἔστιν ἄρα θεωρητική. τὸ γὰρ εἰς ἓν τούτων τῶν γενῶν ἀνάγκη πίπτειν δηλωτικόν ἐστι τοῦ ἀνάγκη ἢ θεωρητικὴν ἢ πρακτικὴν ἢ ποιητικὴν τὴν φυσικὴν εἶναι. ταῦτα εἰπὼν ὡς θεο|λόγος καὶ ὑπεραναβεβηκὼς πάν- 634
των τῶν ἐπιστημόνων λέγει καὶ πῶς ὁ φυσικὸς τρόπον τινά (οὐ γὰρ ὡς θεολόγος) ὀφείλει ὁρίζεσθαι. ἐπειδὴ γάρ, φησί, τὸ τί ἐστιν ἀναγκαῖον ἑκάστῃ πως τῶν ἐπιστημῶν εἰδέναι (τὸ δὲ πῶς προσκείμενον μηνυτικόν ἐστι τοῦ ἀναποδείκτως). ἐπεὶ οὖν ἀναγκαῖον ἑκάστῃ τῶν ἐπιστημῶν εἰδέναι τὸ τί ἐστι, δεῖ μὴ λανθάνειν ὅπως ὁ φυσικὸς ὁριεῖται καὶ πῶς τὸν τῆς οὐσίας ὁρισμὸν λήψεται, πότερον ὡς τὸ σιμὸν ἢ ὡς τὸ κοῖλον. ἤ, φησίν, ὡς τὸ σιμόν· τὸ μὲν γὰρ σιμὸν ἀεὶ μετὰ τῆς ἐν αὐτῷ ὑποκειμένης ὕλης τῆς ῥινὸς ὁριζόμεθα· φαμὲν γὰρ ὅτι σιμότης ἐστὶ κοιλότης ἐν ῥινί. καὶ τοῦτο ποιοῦμεν διὰ τὸ ὡρισμένον εἶναι τὸ τῆς σιμότητος ὑποκείμενον· ἡ γὰρ σιμότης ἀεὶ ἐν ῥινί ἐστι. τὸ δὲ κοῖλον ἐπειδὴ καὶ ἐν χαλκῷ καὶ ξύλῳ καὶ γῇ καὶ οὐρανῷ καὶ κύκλῳ καὶ σχεδὸν ἐν ἅπασιν εὑρίσκεται, διὰ τὸ μὴ ἔχειν ὡρισμένον ὑποκείμενον χωρὶς ὕλης αὐτὸ ὁριζόμεθα. ὡς οὖν τὸν ὁριζόμενον τὸ σιμὸν ἀνάγκη εἰς τὸν ὁρισμὸν αὐτοῦ συμπεριλαβεῖν καὶ τὴν ὑποκειμένην αὐτῷ ὕλην, λέγω δὴ τὴν ῥῖνα, οὕτω καὶ τῷ φυσικῷ, εἴτε τὸ τῆς σαρκὸς εἶδος ὁρίζεται εἴτε τὸ τοῦ ὀφθαλμοῦ εἴτε ἄλλου τινὸς φυσικοῦ εἴδους, ἀναγκαῖόν ἐστι λαβεῖν καὶ τὴν ὑποκειμένην αὐτοῖς ὕλην. ταῦτα εἰπὼν λέγει ‘ἐπεὶ δέδεικται ὡς ἔστι τις ἐπιστήμη τοῦ ὄντος ᾗ ὄν. τὸ δὲ κυρίως ὂν καὶ χωριστόν ἐστι καὶ πάντῃ

11 κιθαρίζοντι M: κιθαροῦντι AL 31. 32 κοίλανσις L 34 ἐν ἅπασιν L: ἐν om. A

ἄυλον, πότερον ταύτην τὴν ἀρχὴν ὁ φυσικὸς ἐπισκέψεται καὶ ζητήσει ἢ ὁ μαθηματικός;' καὶ λέγει ὅτι οὔτε ὁ φυσικὸς οὔτε ὁ μαθηματικός. ἡ μὲν γὰρ φυσικὴ ἤτοι ὁ φυσικὸς περὶ τὰ κινήσεως ἔχοντα ἀρχὴν ἐν ἑαυτοῖς ἐστι. τὸ δὲ κυρίως ὄν, ἡ πρώτη καὶ ἄυλος ἀρχή, πάντῃ καὶ πάντως ἐστὶν ἀκίνητος. ἡ δὲ μαθηματικὴ θεωρητικὴ μέν ἐστιν ἀκινήτων καὶ μενόντων, ἀλλὰ μόνῃ τῇ ἐπινοίᾳ χωριστῶν, ἐν ὕλῃ δὲ ὄντων· ὥστε οὐδὲ ταύτης ἂν εἴη τὸ περὶ τῆς πρώτης ἀρχῆς θεωρεῖν. ἑτέρα ἄρα τίς ἐστι τῆς τε φυσικῆς καὶ μαθηματικῆς ἡ τὸ ἀκίνητον καὶ πάντῃ χωριστὸν θεωρεῖν σπεύδουσα. καὶ εἴπερ ἔστι, φησί, φύσις τις τοιαύτη χωριστὴ καὶ ἀκίνητος, ἐνταῦθα ἂν εἴη που καὶ τὸ θεῖον, τουτέστιν αὕτη ἂν εἴη ὁ θεός, ὅς ἐστιν ἡ πρώτη καὶ κυριωτάτη ἀρχή. ἐκ δὴ τῶν εἰρημένων ὥσπερ πόρισμα ἡμῖν ἀνεφάνη ὅτι τρία ἐστὶ τὰ γένη τῶν θεωρητικῶν ἐπιστημῶν, μαθηματικὴ φυσικὴ θεολογική. καὶ τῶν μὲν πρακτικῶν καὶ ποιητικῶν ἐπιστημῶν ἢ τεχνῶν βέλτιστον τὸ τῶν θεωρητικῶν γένος, τῶν δ' αὖ θεωρητικῶν βελτίστη πάλιν ἡ βελτίοσιν ἀρχαῖς χρωμένη, βελτίοσι δὲ ἀρχαῖς χρῆται ἡ τελευταία ῥηθεῖσα, τουτέστιν ἡ θεολογική. πρὸς τούτοις οὐκ ἀνοίκειον ἀλλ' οἰκειότατόν τι ἀπορεῖ λέγων, πότερον ἐπεὶ ἡ μαθηματικὴ μέρος τι τοῦ ὄντος λαβοῦσα καὶ ἡ φυσικὴ καὶ αἱ λοιπαὶ τὰ συμβε-|
βηκότα τούτοις σκοποῦσιν, ἡ δὲ καθόλου, τουτέστι τοῦ ὄντος, οὐ μέρος 635
τι τοῦ ὄντος σκοποῦσα ἀλλὰ τὸ ὂν ᾗ ὄν, ἄρα καθόλου ἐστὶν αὕτη ἡ ἐπιστήμη καὶ γένος τῆς τε μαθηματικῆς τῆς τε φυσικῆς καὶ τῶν λοιπῶν ἢ οὔ; εἰ μὲν γάρ, φησίν, ἦσαν αἱ φυσικαὶ οὐσίαι πρῶται τῶν ἄλλων, ἦν ἂν ἡ φυσικὴ ἡ πρώτη καὶ καθόλου ἐπιστήμη· εἰ δ' ἐστὶν ἑτέρα τις φύσις προτέρα τῶν φυσικῶν οὐσιῶν καὶ χωριστὴ καὶ ἄυλος, ἑτέραν ἀνάγκη καὶ τὴν ἐπιστήμην αὐτῆς εἶναι καὶ προτέραν καὶ καθόλου. καὶ πῶς ταύτην εἶπε καθόλου, σαφηνίζων ἐπήγαγε τὸ τῷ προτέραν, δυνάμει λέγων 'οὕτως τὴν προκειμένην ἐπιστήμην φημὶ καθόλου, οὐχ ὡς κατηγορουμένην κατὰ τῶν λοιπῶν, ἀλλ' ὡς προτέραν καὶ συναναιροῦσαν τὰς ἄλλας· ἀναιρεθείσης γὰρ τῆς θεολογίας δῆλον ὅτι ἀναιροῦνται καὶ αἱ ἀρχαὶ αὐτῆς· τῶν γὰρ ἀρχῶν μενουσῶν μένοι ἂν καὶ αὐτή. ἀλλὰ μὴν τῶν ἀρχῶν τῶν τῆς θεολογίας ἀναιρουμένων ἀναιροῦνται καὶ τὰ λοιπὰ ἅπαντα.' ἐπίστησον οὖν ὅτι ἐπεὶ τὴν θεολογίαν οὐχ ὡς κατὰ πλειόνων λεγομένην λέγει καθόλου, ἀλλ' ὡς προτέραν καὶ συναναιροῦσαν τὰς ἄλλας, δῆλον ὅτι καὶ ὅτε τὸ ὂν καὶ κυρίως ὄν, τὴν πρώτην ἀρχήν φημι, καθόλου ἔλεγεν, οὐχ ὡς κατὰ πλειόνων λεγομένην οὕτως αὐτὴν ἔφασκεν ἀλλ' ὡς συναναιροῦσαν τὰς ἄλλας ἀρχάς. ἀλλὰ διὰ τίνα αἰτίαν ὅλως καθόλου τὴν παροῦσαν λέγει ἐπιστήμην καὶ τὴν ἀρχὴν αὐτῆς; ἢ ἐπειδὴ τὰ συναναιροῦντα καθολικώτερα λέγειν εἰώθαμεν τῶν συναναιρουμένων, συναναιρεῖ δὲ καὶ ταῦτα, τῇ συνηθείᾳ κατακολουθῶν εἶπεν αὐτὰ καθόλου.

---

10 καὶ τὸ L: καὶ om. A 14 γένος M: om. AL 18 μέρος L: om. A 19 ἡ δὲ—αὕτη (20) AL: ἡ δὲ τὸ καθόλου ὄν (οὐ γὰρ μέρος τι λαβοῦσα σκοπεῖ, ἀλλὰ τὸ ὂν ᾗ ὂν θεωρεῖ) πότερον οὖν αὕτη καθόλου ἐστὶν M Bonitz 25 τὴν ἐπιστήμην LM: τῶν ἐπιστημῶν A αὐτῆς M: αὐτοῖς AL 30 αὐτή L: αὕτη A 30. 31 τῶν τῆς L: τῶν om. A 33 ὅτε M: ὅταν AL

p. 1064ᵇ15 Ἐπεὶ δὲ τὸ ἁπλῶς ὂν κατὰ πλείους λέγεται τρόπους, ὧν εἷς ἐστιν ὁ κατὰ συμβεβηκὸς εἶναι λεγόμενος.

Ἁπλῶς ὂν νῦν τὸ καθόλου λέγει· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ἐπειδὴ τὸ καθόλου ὂν κατὰ πλείονας λέγεται τρόπους, τῶν δὲ τοιούτων τρόπων εἷς ἐστιν ὁ κατὰ συμβεβηκὸς εἶναι λεγόμενος, σκεπτέον περὶ τοῦ κατὰ συμβεβηκὸς ὄντος· τούτου γὰρ μηνυτικὸν τὸ σκεπτέον πρῶτον περὶ τοῦ οὕτως ὄντος. ἐλλείποι δ' ἂν τῇ λέξει τὸ πότερον ζητεῖ τοῦτό τις τῶν ἐπιστημῶν ἢ τεχνῶν ἢ οὔ. πρὸς τοῦτο γὰρ τείνει τὸ ἐπαχθὲν τὸ ὅτι μὲν οὐδεμία τῶν παραδεδομένων ἐπιστημῶν πραγματεύεται περὶ τοῦ συμβεβηκότος, δῆλον. καὶ εἴη ἂν τὸ ὅτι μὲν οὐδεμία πραγματεύεται τῶν παραδεδομένων ἐπιστημῶν λύσις τοῦ ἐλλείποντος τοῦ πότερον ζητεῖ τοῦτό τις τῶν ἐπιστημῶν ἢ τεχνῶν. λύων οὖν ὅτι οὐκ ἔστι τοῦ κατὰ συμβεβηκὸς ὄντος ἐπιστήμη ἢ τέχνη λέγει οὔτε γὰρ ἡ οἰκοδομικὴ σκοπεῖ εἰ λυπηρῶς οἰκήσουσιν οἱ ἐν αὐτῇ οἰκοῦντες, οὔθ' ἡ ὑφαντικὴ εἰ ὑγιεινῶς ἢ νοσωδῶς οἱ τὸ ἱμάτιον φοροῦντες διάξουσιν, οὔτ' ἄλλη τις οὐδεμία, ἀλλ' ἑκάστη τούτων μόνον τὸ καθ' ἑαυτὴν ἴδιον | σκο- 636
πεῖ. ἔστι δὲ οἰκοδομικῆς ἴδιον τὸ ποιῆσαι τοιονδὶ εἶδος, οἷον σκέπασμα κωλυτικὸν ὄμβρων καὶ χρημάτων φυλακτικόν. καὶ τοῦτο μόνον σκοπεῖ ὅπως ἂν γένηται εἶδος δυνάμενον κωλύειν τοὺς ὄμβρους καὶ φυλάττειν τὰ χρήματα, οὐδαμῶς δὲ προσλογίζεται εἰ λυπηρῶς ἢ ἡδέως διάξουσιν οἱ ἐν αὐτῷ οἰκήσοντες· τὸ γὰρ λυπηρὰν εἶναι τὴν οἰκίαν τοῖς οἰκοῦσι συμβέβηκε τῇ οἰκίᾳ καὶ ἔστι τοῦτο κατὰ συμβεβηκὸς ὄν. ὥσπερ οὖν ἡ οἰκοδομικὴ οὐ σκοπεῖ τὸ τῇ οἰκίᾳ συμβησόμενον, οὕτως οὐδ' ἄλλη τις τῶν ἐπιστημῶν ἢ τεχνῶν θεωρεῖ τὸ κατὰ συμβεβηκὸς ὄν.

p. 1064ᵇ23 Οὐδὲ τὸν ὄντα μουσικὸν ὅτι γενόμενος γραμματικὸς τὰ ἀμφότερα ἅμα ἔσται πρότερον οὐκ ὤν.

Ὃ νῦν παρατίθεται σόφισμα ὑπὸ τῶν σοφιστῶν λεγόμενον, τοιοῦτόν ἐστι καὶ οὕτως ὑπ' αὐτῶν ἐπεραίνετο. ὑπετίθεντο ἄνθρωπον, οἷον τὸν Καλλίαν, πρότερον μουσικὸν ὄντα χωρὶς τοῦ εἶναι γραμματικόν, ὕστερον γεγονότα καὶ γραμματικόν, καὶ ἔλεγον 'οὑτοσὶ ὁ Καλλίας νῦν ἅμα ἐστὶ μουσικὸς καὶ γραμματικός. εἰ δὲ τοῦτο, καὶ ὅτε ἐγένετο γραμματικός, ἐγένετο καὶ μουσικός· ἅμα γὰρ ὢν γραμματικὸς νῦν καὶ μουσικὸς ἅμα καὶ ἐγίνετο γραμματικὸς καὶ μουσικός. ὅτε ἄρα ἐγίνετο γραμματικός, οὐκ ἦν μουσικός. ἀλλὰ μὴν καὶ ἦν μουσικὸς πρὸ τοῦ γενέσθαι γραμματικός (τοῦτο γὰρ ὑπόκειται)· ἦν ἄρα πρὸ τοῦ ἄρξασθαι γίνεσθαι γραμματικὸς μουσικὸς καὶ οὐκ ἦν.' ὁ δὲ παραλογισμὸς συμβαίνει ἐπὶ ἀξιώματι λίαν ἐναργῶς ψευδεῖ, τῷ

7 οὕτως S: ex ὄντως corr. L: ὄντως A 12 τοῦτό τις L: τοῦτο om. A 21 οἰκήσοντες L: οἰκοῦντες A 22 καὶ ἔστι L: post καὶ add. εἰ A 31 ἐγένετο (post γραμματικός) L: ἐγίνετο A 33 ἐγίνετο L: ἐγένετο A

λέγοντι, ὧν ἡ ὕπαρξις ἅμα, τούτων καὶ ἡ γένεσις· οὐ γὰρ εἰ τήμερόν ἐστι Σωσιγένης καὶ Ἀλέξανδρος, ἀληθὲς τὸ λέγειν ὅτι, ὅτε ἐγίνετο ὁ Σωσιγένης, ἐγίνετο καὶ ὁ Ἀλέξανδρος. ὅστερος γὰρ Σωσιγένης Ἀλεξάνδρου τῷ χρόνῳ, εἰ καὶ συνέβη, ὅτε ἦν Ἀλέξανδρος, εἶναι καὶ τὸν Σωσιγένην. τὸ μὲν οὖν σόφισμα τοιοῦτον, καὶ τὸ τὸν Καλλίαν μουσικὸν ὄντα εἶναι καὶ γραμματικὸν ὃν μέν ἐστι, κατὰ συμβεβηκὸς δὲ ὄν· συμβέβηκε γὰρ ὄντα μουσικὸν γενέσθαι γραμματικόν. εἰπὼν δὲ ὁ Ἀριστοτέλης ὅτι οὐδεμία ἐπιστήμη τὸ κατὰ συμβεβηκὸς ὂν ζητεῖ, οὔτε ἡ οἰκοδομικὴ οὔτε ἄλλη τις, λέγει ὅτι ἐπειδὴ ἐκ τῶν κατὰ συμβεβηκὸς ὄντων ἐστὶ τὸ τὸν Καλλίαν νῦν ἅμα μουσικὸν ὄντα καὶ γραμματικὸν εἶναι, οὐδεμία τῶν ἐπιστημῶν ζητεῖ εἰ ὅτε ἐγίνετο γραμματικὸς ἅμα καὶ μουσικὸς ἐγίνετο. αἱ γὰρ ἐπιστῆμαι τῶν ὄντων, τὸ δὲ κατὰ συμβεβηκὸς ὂν σχεδὸν μὴ ὄν ἐστι, περὶ ὃ ἡ σοφιστικὴ διατρίβει· διὸ πάνυ καλῶς ὁ Πλάτων ἔφησε τὸν σοφιστὴν περὶ τὸ μὴ ὂν διατρίβειν. ἔστι δὲ ἀκατάλληλος καὶ πάνυ ἀσαφὴς ἡ λέξις ἡ οὐδὲ τὸν ὄντα μουσικὸν ὅτι γενόμενος γραμματικὸς καὶ τὰ ἑξῆς. οὕτω δέ, ὡς οἶμαι, ταύτην ὑπερβιβάζειν χρή. ὃ δὲ μὴ ἀεὶ ὂν ἔστιν, ἐγένετο τοῦτο, ὥσθ' ἅμα μουσικὸς ἐγένετο καὶ | γραμματικός. εἶτα τοῦ- 637
τῳ συναπτέον τὸ οὐδὲ τὸν ὄντα μουσικὸν ὅτι γενόμενος γραμματικὸς ἅμα ἔσται τὰ ἀμφότερα, πρότερον οὐκ ὤν· καὶ οὕτως ἀναγνωστέον τὸ τοῦτο οὐδεμία ζητεῖ τῶν ὁμολογουμένως οὐσῶν ἐπιστημῶν καὶ τὰ ἑξῆς, ἵν' ᾖ τὸ ὅλον καὶ τὸ τοῦ λόγου συνεχὲς τοιοῦτον. ὃ δὲ μὴ ἀεὶ ὂν ἔστιν, ἐγένετο τοῦτο, ὥσθ' ἅμα μουσικὸς ἐγένετο καὶ γραμματικός· τὸ οὖν τὸν ὄντα μουσικὸν ὅτι γραμματικὸς ἔσται, πρότερον οὐκ ὤν, τοῦτο οὐδεμία ζητεῖ τῶν ὁμολογουμένως ἐπιστημῶν, καὶ τὰ ἑξῆς. ἔστι δὲ τὸ ὃ δὲ μὴ ἀεὶ ὂν ἔστιν, ἐγένετο τοῦτο, ὥσθ' ἅμα μουσικὸς ἐγένετο καὶ γραμματικός, κατασκευή, δι' ἧς κατεσκεύαζον οἱ σοφισταὶ ὅτι ὁ Καλλίας, ὅτε ἦν μουσικός, οὐκ ἦν μουσικός. εἴη δ' ἂν ὡς ἀπὸ τῶν σοφιστῶν λεγόμενον τὸ ὃ δὲ μὴ ἀεὶ ὂν ἔστιν, ἐγένετο τοῦτο. ἔστι δὲ τοιοῦτον· ὅπερ μὴ ἀεὶ ὂν μηδὲ πρότερον ὂν νῦν ἔστι, τοῦτο ἐγένετο, ὁ δὲ Καλλίας νῦν ὢν ἅμα μουσικὸς καὶ γραμματικός, πρότερον δὲ μὴ ὢν ἀμφότερα (δηλονότι γραμματικὸς καὶ μουσικός· μουσικὸς γὰρ μόνον ἦν), ἅμα γινόμενος γραμματικὸς ἐγίνετο καὶ μουσικός· τὸ δὲ γινόμενον οὐκ ἔστιν· ὁ Καλλίας ἄρα γινόμενος μουσικὸς οὐκ ἦν μουσικός. ἀλλὰ καὶ ἦν. αὐτὸς δὲ τὸ ὥσθ' ἅμα μουσικὸς ἐγένετο καὶ γραμματικὸς θείς, τὸ 'τὸ δὲ γινόμενον' καὶ τὸ 'ὁ Καλλίας ἄρα ἦν μουσικὸς καὶ οὐκ ἦν' οὐκ ἔθηκε διὰ τὴν συνήθη βραχυλογίαν. ἀλλὰ ταῦτα μὲν ὡς ἀπὸ τῶν σοφιστῶν λεγόμενα ἡμᾶς λαμβάνειν χρή· τὸ δὲ οὐδὲ τὸν ὄντα μουσικὸν ὅτι γενόμενος γραμματικὸς τὰ ἀμφότερα ἅμα

---

10 εἰ M: ἐὰν AL 13 ἔφησε L: φησὶ A 16 ἐγίνετο libri 18 ὅτι—ἀμφότερα (19) M: ὅτε γραμματικὸς ἔσται AL; cf. 23 22 ἐγένετο (ante τοῦτο) scripsi: ἐγίνετο libri ἐγένετο (ante καὶ) L: ἐγίνετο A 28 ἐγίνετο libri 30 ἐγένετο L: ἐγίνετο A 30 et 31 ὧν L: ὂν A 34 ἐγένετο A: ἐγίνετο L 35 post γινόμενον addendum e S οὐκ ἔστι vel οὐκ ἦν coni. Bonitz

ἔσται, πρότερον οὐκ ὤν, τοῦτο οὐδεμία ζητεῖ τῶν ὁμολογουμένως οὐσῶν ἐπιστημῶν, τοῦτο ὡς ἀπὸ Ἀριστοτέλους λεγόμενον νομιστέον. εἴη δ' ἂν τὸ λεγόμενον, ὅτι οὐδὲ τὸν ὄντα μὲν πρότερον μουσικὸν νῦν δὲ ὄντα ἀμφότερα, καὶ μουσικὸν καὶ γραμματικόν, πρότερον δηλονότι μὴ ὄντα μουσικὸν καὶ γραμματικὸν ἅμα, ἀλλὰ μόνον μουσικόν (καὶ προσυπακουστέον τοῦ εἰ ἅμα τῷ γίνεσθαι γραμματικὸς ἐγίνετο καὶ μουσικός) οὐδεμία τῶν ὁμολογουμένως ἐπιστημῶν ζητεῖ.

p. 1064ᵇ30 Ὅτι δὲ οὐδ' ἐνδεχόμενόν ἐστιν εἶναι τοῦ συμβεβηκότος τὴν ἐπιστήμην.

Λαβὼν ἐξ ἐπαγωγῆς ὅτι τοῦ συμβεβηκότος οὐκ ἔστιν ἐπιστήμη, ὅτι, φησί, τοῦτο ἀληθές ἐστι δῆλον ἡμῖν γενήσεται ὁρισαμένοις τί ποτέ ἐστι τὸ συμβεβηκός· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ πειραθεῖσιν ἰδεῖν τί ποτέ ἐστι τὸ συμβεβηκός. μέλλων δὲ ὁρίσασθαι τὸ συμβεβηκὸς ποιεῖται διαίρεσιν τῶν ὄντων συντελοῦσαν αὐτῷ εἰς τὴν τοῦ ὁρισμοῦ τοῦ συμβεβηκότος ἀπόδοσιν, λέγων τῶν ὄντων τὰ μὲν ἀεί ἐστι καὶ ἐξ ἀνάγκης. ἐπεὶ δὲ τὸ ἀναγκαῖον πολλαχῶς λέγεται, ὡς ἐν τῷ Δ ταύτης τῆς πραγματείας ἐμάθομεν, ὧν ἓν ἦν τὸ βίᾳ, ἐπάγει ἀνάγκης δὲ λέγω οὐ τῆς 638 κατὰ βίαν, ἀλλ' ἣ χρώμεθα ἐν ταῖς ἀποδείξεσιν. ἀεὶ γὰρ καὶ ἐξ ἀνάγκης τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις εἰσὶν ἴσα. καὶ τὰ λοιπὰ ἀξιώματα ὁμοίως. τὰ μὲν οὖν ἀεί ἐστι καὶ ἐξ ἀνάγκης, τὰ δ' ὡς ἐπὶ τὸ πολύ· ὡς ἐπὶ τὸ πολὺ γὰρ οἱ ἄνθρωποι πενταδάκτυλοι· τὰ δὲ οὔθ' ὡς ἐπὶ τὸ πολὺ οὔτε ἐξ ἀνάγκης ἀλλ' ὅπως ἔτυχε, τουτέστιν ἐπ' ἔλαττον. καὶ ὅτι τὸ ὅπως ἔτυχεν ἀντὶ τοῦ ὡς ἐπ' ἔλαττον ἔλαβε, δῆλον πεποίηκε διὰ τοῦ ἐπαχθέντος αὐτῷ παραδείγματος· ἐπ' ἔλαττον γὰρ καὶ σπανίως ἐπὶ κυνὸς ἀνατολῇ γίνεται ψῦχος· ποτὲ γὰρ ἴσως τοῦτο συμβήσεται. τὸ οὖν συμβεβηκός ἐστιν οὔτε τῶν ὡς ἐπὶ τὸ πολὺ οὔτε τῶν ἐξ ἀνάγκης καὶ ἀεί, ἀλλὰ τῶν ὡς ἐπ' ἔλαττον. διελὼν οὖν οὕτω τὰ ὄντα ὁρίζεται τὸ συμβεβηκὸς λέγων συμβεβηκός ἐστιν ὃ γίνεται μέν, οὐκ ἀεὶ δὲ οὐδὲ ἐξ ἀνάγκης οὐδ' ὡς ἐπὶ τὸ πολύ· ὥστε τὸ ἐν τῷ κόρακι μέλαν οὐχ ἁπλῶς συμβεβηκὸς λεχθήσεται ἀλλὰ μετὰ προσθήκης ἐπὶ πολὺ συμβεβηκός· τὸ δὲ ἐπ' ἔλαττον γινόμενον συμβεβηκὸς ἁπλῶς χωρίς τινος προσθήκης. εἰ δὴ πᾶσα ἐπιστήμη ἢ τῶν ἀναγκαίων ἐστὶν ἢ τῶν ὡς ἐπὶ τὸ πολύ, τὸ δὲ συμβεβηκὸς οὐ τοιοῦτον, τοῦ συμβεβηκότος ἄρα οὐκ ἔστιν ἐπιστήμη. δείκνυσι δὲ καὶ ἄλλως ὅτι τοῦ συμβεβηκότος οὐκ ἔστιν ἐπιστήμη, δυνάμει συλλογιζόμενος οὕτως. ὧν ἐστιν ἐπιστήμη, τούτων εἰσὶν ἀρχαὶ καὶ αἴτια ὡρισμένα· τοῦ κατὰ συμβεβηκὸς ὄντος ἀρχαὶ καὶ αἴτια ὡρισμένα οὐκ εἰσι· τοῦ συμβεβηκότος ἄρα οὐκ ἔστιν ἐπιστήμη. τούτων τῶν δύο προτάσεων τὴν μείζονα τὴν ὧν εἰσιν ἐπιστῆμαι τούτων ἀρχαί εἰσι καὶ αἴ-

---

6 γραμματικὸς Brandis Bonitz: γραμματικὸν ALM 9 τὴν in Metaph. non legitur 16 ἐν τῷ Δ] c. 5 21 τὰ δὲ L: τὸ δὲ A 30 ἁπλῶς L: ἁπλῆς A 37 et 38 τούτων M: τούτου AL 38 τὴν μείζονα L: om. A

τια ὡς πολλάκις δειχθεῖσαν οὐ κατασκευάζει, τὴν δὲ ἐλάττονα τὴν λέγουσαν ὅτι τοῦ συμβεβηκότος οὐκ ἔστιν ὡρισμένα αἴτια δείκνυσι δι' ἀδυνάτου, ὑποθέμενος τὸ ἀντικείμενον ὅτι ἔστωσαν τοῦ κατὰ συμβεβηκὸς ὄντος αἴτια [καὶ] ὡρισμένα, καὶ συλλογίζεται πάλιν δυνάμει ὧδε. τὸ συμβεβη-
5 κὸς ὡρισμένα αἴτια ἔχει, ὡς ὑπόκειται· ὧν ἐστιν ὡρισμένα αἴτια, ταῦτα 25
ἀναγκαῖά ἐστι· τὸ συμβεβηκὸς ἄρα ἀναγκαῖόν ἐστι. τούτῳ προσληφθείσης ἑτέρας προτάσεως τῆς τὸ δὲ ἀναγκαῖον ἀεί ἐστι, συνάγεται ὅτι τὸ συμβεβηκὸς ὂν ἀεί ἐστι. τοῦτο δὲ ἀδύνατον· ἀδύνατον ἄρα καὶ δι' οὗ τοῦτο συνῆκται· ἔστι δὲ τὸ τοῦ κατὰ συμβεβηκὸς ὄντος αἱ ἀρχαὶ ὡρισμέναι εἰσίν.
10 εἰ δ' οὐκ εἰσιν αἱ ἀρχαὶ αὐτοῦ ὡρισμέναι, οὐδ' ἔστιν αὐτοῦ ἐπιστήμη. καὶ
ἡ μὲν ἀγωγὴ τῶν λεγομένων τοιαύτη τις ἂν εἴη, τὰ δὲ κατὰ τὴν λέξιν 30
οὕτως ἂν ἔχοι. ὅτι δὲ τοῦ κατὰ συμβεβηκὸς ὄντος οὐκ εἰσιν ἀρχαὶ τοιαῦται, τουτέστιν ὡρισμέναι, δῆλον. εἰ γὰρ εἰσιν αὐτοῦ τὰ αἴτια ὡρισμένα, ἔσται ἀναγκαῖον, ὥσπερ καὶ τὰ λοιπὰ ὧν ἐστι τὰ αἴτια ὡρισμένα·
15 εἰ δὲ τοῦτο, ἔσται πάντα ἐξ ἀνάγκης· εἰ δὲ τοῦτο, | ἀναιροῖτ' ἂν ἡ τοῦ 639
ἐνδεχομένου φύσις. ὅτι δὲ ἔστιν ἡ τοῦ ἐνδεχομένου φύσις καὶ ἀδύνατόν ἐστιν αὐτὴν μὴ εἶναι, δέδεικται ἐν τῷ Περὶ ἑρμηνείας. εἰπὼν δὲ ὅτι πάντα ἐξ ἀνάγκης πως ἔσται, τοῦτο κατασκευάζει λέγων· εἰ γὰρ τοῦδε ὄντος ἔστι τόδε καὶ τοῦδε τόδε, τοῦτο δὲ γίνεται οὐκ ἐπὶ τῶν τυχόντων ἀλλ'
20 ἐπὶ τῶν ἀναγκαίων, εἰ οὖν καὶ ἐπὶ τοῦ κατὰ συμβεβηκὸς ὄντος τοῦδε μὲν 5
ὄντος ἔστι τόδε, τοῦδε δὲ ὄντος ἐστὶ τὸ συμβεβηκός, ἔσται τὸ συμβεβηκὸς ἀναγκαῖον. ὥσπερ γὰρ οἰκίας οὔσης ἐξ ἀνάγκης εἰσὶ τοῖχοι, τούτων δὲ ὄντων θεμέλιοι, καὶ τούτων ἐξ ἀνάγκης λίθοι, οὕτω καὶ τὸ συμβεβηκὸς ἐξ ἀνάγκης ἂν ἦν, εἴπερ ἦσαν αὐτοῦ τὰ αἴτια ὡρισμένα. οἷον σαφηνείας
25 ἕνεκεν τοῦ ἡλίου κατὰ κάθετον γινομένου τῇ σελήνῃ ἐξ ἀνάγκης γίνεται 10
ἔκλειψις, ἐκλείψεως δὲ γενομένης δεδόσθω ὡς συνέβη εὑρεθῆναι θησαυρόν· εἰ οὖν τῆς τοῦ θησαυροῦ εὑρέσεως τὰ αἴτια ὡρισμένα ἐστίν, ἔστωσαν αὐτοῦ αἴτια ἥ τε ἔκλειψις καὶ τὸ τῆς ἐκλείψεως αἴτιον· ὥστε ἐπεὶ τοῦ ἡλίου κατὰ κάθετον τῇ σελήνῃ γινομένου ἐξ ἀνάγκης γίνεται ἔκλειψις, ἡ δὲ ἔκ-
30 λειψις αἰτία ἐστὶ τῆς τοῦ θησαυροῦ εὑρέσεως, ἐξ ἀνάγκης ἔσται ἡ τοῦ 15
θησαυροῦ εὕρεσις, ἧς εὑρέσεώς ἐστιν αἰτία ἡ ἔκλειψις. τοῦτο δέ, ἤτοι ἡ τοῦ θησαυροῦ εὕρεσις, ἦν συμβεβηκός· ἔστι γὰρ τῶν ἐπ' ἔλαττον· νῦν δὲ ἐκ τοῦ λέγειν ὅτι ὡρισμένα ἐστὶν αὐτοῦ τὰ αἴτια συνάγεται ὅτι τῶν ἀναγκαίων ἐστίν. ἅπαντα ἄρα ἀναγκαῖά ἐστι καὶ οὐδέν ἐστιν ἐνδεχόμενον. τε-
35 λευταῖον δὲ εἶδος εἶπε τὸ ἔσχατον αἰτιατόν. αἴτιον μὲν γὰρ πρῶτον ἡ
κατὰ κάθετον τοῦ ἡλίου ἀπόστασις, αἰτιατὸν δὲ ἡ ἔκλειψις. πάλιν αἴτιον 20
μὲν δεύτερον ἡ ἔκλειψις, αἰτιατὸν δὲ ἔσχατον ἡ τοῦ θησαυροῦ εὕρεσις· εἰ δὲ ἦν αὕτη ἡ εὕρεσις αἰτία τινός, ἦν ἂν ἐκεῖνο τὸ ἔσχατον αἰτιατόν. εἰ μὲν οὖν ὂν ὑποθώμεθα τὸ τοῦ συμβεβηκότος αἴτιον, συμβήσεται καὶ τὸ

---

1 ἐλάττονα L: ἔλαττον A 3 τὸ ἀντικείμενον LM: om. A τοῦ κατὰ M: τὰ κατὰ τοῦ AL 4 καὶ c. S del. Bonitz 7. 8 "lege τὸ κατὰ συμβεβηκὸς ὄν" Bonitz 10 οὐδ' ἔστιν LS: οὐδὲν ἔστιν A 17 ἐν τῷ Περὶ ἑρμηνείας] c. 9 26 ἐκλείψεως L: ἐκείνης A γινομένης L 39 ὂν L: om. A

συμβεβηκὸς ἐξ ἀνάγκης εἶναι. εἰ δὲ μὴ ὄν. φησίν. ὑποθώμεθα ἀλλὰ γινόμενον. ἐξ ἀνάγκης γενήσεται καὶ τὸ συμβεβηκός. εἰ γὰρ αὔριον γενήσεται θησαυροῦ εὕρεσις ἐκλείψεως γινομένης, ἔκλειψις δὲ γενήσεται εἰ ἀντίφραξις γένηται ὑπὸ τῆς γῆς, αὕτη δὲ εἰ κατὰ κάθετον ὁ ἥλιος γίνηται, καὶ τοῦτο πάλιν εἰ γίνεται βροχή, καὶ τοῦτο εἰ βροντᾷ, ἡ δὲ βροντὴ ἔστω τελευταῖον, ἀναποδιστέον 'ἐπεὶ βροντὴ γίνεται, βρέξει ἐξ ἀνάγκης, βροχῆς γινομένης ἐξ ἀνάγκης ὁ ἥλιος κατὰ κάθετον γίνεται, τούτου γινομένου ἐξ ἀνάγκης ἀντίφραξις γίνεται, ταύτης γινομένης ἐξ ἀνάγκης ἔκλειψις, καὶ ταύτης ἐξ ἀνάγκης ἡ τοῦ θησαυροῦ εὕρεσις.' ἅπαντα ἄρα ἐξ ἀνάγκης. ἐὰν οὖν, φησίν, ἀπὸ τοῦ ἐνεστῶτος νῦν ἀρξάμενοι λέγωμεν ὅτι αὔριον γίνεται ἔκλειψις, ἐπειδὴ πᾶν τὸ γεγονὸς ἐν πεπερασμένῳ χρόνῳ γίνεται, καταντήσομεν εἰς τὸ ὄν. ἔστω | γὰρ ὅτι ἡ τοῦ θησαυροῦ εὕρεσις γίνεται ἅμα τῷ παυθῆναι 640
τὴν ἔκλειψιν, καὶ αὕτη ἅμα τῷ παῦσαι τοῦ βρέχειν, καὶ τοῦτο ἅμα τῷ παῦσαι τοῦ βροντᾶν· ἐπειδὴ ὁ πᾶς χρόνος πεπερασμένος ἐστίν, ἐὰν ἀφέλωμεν τὸν τῆς ἐκλείψεως χρόνον, εἶτα τὸν τῆς βροχῆς, κἂν ἑκατονταμηναῖοί εἰσι κἂν χιλιονταμηναῖοι, ὅμως πεπερασμένοι, ἥξομέν ποτε εἰς τὸ ὄν ἤτοι τὴν βροντήν. ἐκεῖθεν οὖν ἀρξάμενοι εὑρήσομεν πάντα τὰ μετὰ τὴν βροντὴν ἐξ ἀνάγκης γινόμενα.

p. 1065a21 Τὸ δ' ὡς ἀληθῶς ὂν καὶ μὴ κατὰ συμβεβηκός.

Ὡς ἀληθῶς ὂν ἔλεγεν, ὅτε περὶ τούτου τὸν λόγον ἐν ταύτῃ ἐποιεῖτο τῇ πραγματείᾳ. τὴν ἀληθῆ κατάφασιν ἢ τὴν ἀληθῆ ἀπόφασιν, ὥσπερ καὶ ὡς ψεῦδος μὴ ὂν τὴν ψευδῆ κατάφασιν καὶ ἀπόφασιν. τὸ οὖν ὡς ἀληθῶς, φησίν, ὂν ἀλλ' οὐ τὸ κατὰ συμβεβηκὸς ὄν, τὸ δὴ ὡς ἀληθῶς ὂν ἐν συμπλοκῇ ἐστι διανοίας καὶ πάθος διανοίας. ὅταν γὰρ ἀληθῶς συνάψῃ τὸν κατηγορούμενον τῷ ὑποκειμένῳ ἡ διάνοια, λέγεται τοῦτο ὄν, οὐχ ἁπλῶς δὲ ὂν ἀλλ' ὡς ἀληθῶς ὄν· οἷον εἰ γράφοντος Σωκράτους εἴπῃ ἡ διάνοια ὡς ὁ Σωκράτης γράφει, τοῦτο ὂν μέν ἐστιν, ἀλλ' οὐχ ἁπλῶς ὂν ἀλλ' ὡς ἀληθὲς ὄν. τούτου οὖν τοῦ ὡς ἀληθῶς ὄντος αἰτία οὐ ζητεῖται· οὐθεὶς γὰρ ζητεῖ διὰ τί ἡ διάνοια συνέπλεξε τῷ Σωκράτει τὸ γράφειν· ἀλλὰ περὶ τὸ ἔξω ὂν καὶ χωριστὸν ἤτοι καθ' αὑτὸ ὑπάρχον, περὶ τοῦτο ζητοῦμεν τὰ αἴτια. ἔξω δὲ ὂν λέγει τὸν Σωκράτην καὶ τὴν ἐνέργειαν αὐτοῦ, λέγω δὴ τὸ γράφειν· οὐ γὰρ ἐστιν ὁ Σωκράτης καὶ ἡ ἐνέργεια αὐτοῦ ἐν τῇ λέγούσῃ διανοίᾳ ὅτι ὁ Σωκράτης γράφει, ἀλλ' ἐκτὸς αὐτῆς καὶ ἐν τῳδὶ τῷ τόπῳ. περὶ δὴ τὸ ἔξω ὂν ζητοῦμεν τὰ αἴτια· ζητοῦμεν γὰρ τὴν αἰτίαν δι' ἣν ὁ Σωκράτης γράφει. οὐ παρέργως δὲ τούτων ἐμνήσθη, ἀλλ' ἐπειδὴ ἔδειξεν ὅτι τοῦ κατὰ συμβεβηκὸς ὄντος οὔκ εἰσιν αἴτια, ἀκολούθως εἴρηκεν ὅτι οὐδὲ τοῦ ὡς ἀληθῶς ὄντος εἰσὶν αἴτια. εἰπὼν δὴ ὅτι τοῦ ἔξω ὄντος

---

5 βροχή LS: βραχύ A  ἔσται τὸ τελευταῖον L  11 ἐν πεπερασμένῳ L: ἐμπεπερασμένῳ A  καταντήσομεν c. S Bonitz: κατηντήσαμεν AL  12 ὅτι ἡ L: post ὅτι add. τὸ ὂν A  15. 16 ἑκατονταμηναῖοι M: ἑκατονταμεραῖοι AL  17 εὑρήσομεν L: βοήσομεν A  21 ὥσπερ καὶ L: καὶ om. A  34 τὰ M: om. AL

τὰ αἴτια ζητοῦμεν, λέγει ὅτι τοῦ δὲ οὐκ ἀναγκαίου ἀλλ' ἀορίστου καὶ ἐπ' ἐλαττον ὄντος τὰ αἴτια ἀόριστα καὶ ἄτακτα, καὶ διὰ τοῦτο οὐ ζητεῖται· τοῦ γὰρ ἐντυχεῖν ὃν μὲν ἐβούλετό τις ἰδεῖν, μὴ ᾤετο δέ, ἄπειρα τὰ αἴτια, ὡς ἐν τοῖς Περὶ φύσεως εἴρηκεν. οὔτε οὖν αἴτιά εἰσι τοῦ κατὰ συμβεβηκὸς ὄντος, οὔτε ἔστιν ἐν αὐτῷ τὸ ἕνεκά του, ἀλλ' ἔστι τὸ ἕνεκά του ἢ ἐν τοῖς φύσει γινομένοις ἢ τοῖς ἀπὸ διανοίας.

Μέχρι δὴ τῶν ἐνταῦθα ἡμῖν ἐξηγητέον τὰ τοῦ παρόντος βιβλίου· τὰ γὰρ ἀπὸ τοῦ τύχη δέ ἐστιν, ὅταν τι τούτων γένηται κατὰ συμβεβηκὸς ἕως τοῦ τέλους τοῦ βιβλίου τὰ αὐτά εἰσιν ἀπαραλλάκτως τοῖς ἐν τῇ Φυσικῇ ἀκροάσει | λεγομένοις, καὶ δεῖ τούτων τὴν σαφήνειαν ἐκ τῶν 641
εἰς ἐκεῖνα ὑπομνημάτων πορίζεσθαι, ἡμῖν δὲ ἡ τοῦ Λ σαφήνεια προχειριζέσθω.

1 ἀλλ' L: om. A 2 καὶ ἐπὶ τούτῳ οὐ L 3 τοῦ L: τὸ A 4 ἐν τοῖς Περὶ φύσεως] B 5 εἴρηται L 5 ἐν αὐτῷ τὸ ἕνεκά του L: του om. A 8 γὰρ L: δὲ A

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Λ ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΑΡΙΣΤΟΤΕΛΟΥΣ

Ἐν τῷ παρόντι βιβλίῳ τῆς Μετὰ τὰ Φυσικά, ὁ λάμβδα τοῖς Περιπατητικοῖς ἐπιγράφειν σύνηθες, περὶ τῆς πρώτης καὶ ἀκινήτου ἀρχῆς τὸν λόγον ποιεῖται, δι' ἣν καὶ ἅπασα αὕτη ἐκδέδοται ἡ πραγματεία. ἀλλ' ἐπεὶ τὸ τῆς ἀρχῆς ὄνομα πολλαχῶς λέγεται (λέγεται γὰρ ἀρχὴ καὶ ἡ ὕλη καὶ τὸ εἶδος καὶ ἡ στέρησις), πρῶτον κεφαλαιωδῶς καὶ συντόμως τὰ περὶ αὐτῶν διαρθροῖ, ἵνα ἔναυλον ἔχοντες τὸν περὶ τούτων λόγον εὐμαρῶς γνῶμεν τὴν τῆς ζητουμένης ἀρχῆς πρὸς τὰς ἄλλας διαφοράν. ἄλλως τε ἐπειδὴ ἐν ταῖς ἀπορίαις πρὸς τοῖς ἄλλοις καὶ τὸ πότερον πάντων αἱ αὐταί εἰσιν ἀρχαὶ ἢ ἄλλων ἄλλαι ἐζητεῖτο, οὐ τετύχηκε δέ πω λύσεως, διὰ τοῦτο πάλιν τὸν περὶ τῶν αἰτίων προχειρίζεται λόγον, ἵνα δείξῃ ὅτι τρόπον μέν τινά εἰσι πάντων αἱ αὐταὶ ἀρχαί, τρόπον δέ τινα οὔκ εἰσιν.

p. 1069a18 Περὶ τῆς οὐσίας ἡ θεωρία.

Ἐπεὶ δέδεικται ὅτι ἡ προκειμένη ἐπιστήμη πρώτη πασῶν ἐστι τῶν ἄλλων, τῆς δὲ πρώτης καὶ τὸ ὑποκείμενον πρῶτον, ἔστι δὲ ἡ οὐσία πρώτη τῶν ἄλλων κατηγοριῶν, ἡ οὐσία ἂν εἴη τὸ ὑποκείμενον τῇ σοφίᾳ· καὶ ἐπεὶ πάλιν τῶν οὐσιῶν ἡ μέν ἐστι πρώτη ἡ δὲ δευτέρα, ἡ πρωτίστη ἂν εἴη τὸ ὑποκείμενον αὐτῇ. εἰπὼν δὲ ὅτι περὶ τῆς οὐσίας ἡ θεωρία, συντόμως τὴν αἰτίαν τούτου ἐπήγαγεν εἰπὼν τῶν γὰρ οὐσιῶν αἱ ἀρχαὶ καὶ τὰ αἴτια ζητοῦνται. ὁ γὰρ τὰς ἀρχὰς καὶ τὰ αἴτια τῆς οὐσίας ζητῶν αὐτὴν ζητεῖ τὴν οὐσίαν, ὥσπερ καὶ ὁ τὴν τῆς ἐκλείψεως αἰτίαν ζητῶν αὐτὴν ζητεῖ τὴν ἔκλειψιν. ἡ γὰρ αἰτία τῆς ἐκλείψεως, ὡς ἐν τῷ δευτέρῳ τῶν Ὑστέρων ἀναλυτικῶν εἴρηται, ὁ ὅρος τῆς ἐκλείψεώς ἐστιν, οὗτος δὲ αὐτή ἐστιν ἡ ἔκλειψις. ἔχων οὖν δεδειγμένον ὅτι ἡ προκειμένη ἐπιστήμη ἐστὶν ἡ πρώτη καὶ ὅτι ἡ πρώτη τῶν πρώτων, δείκνυσιν ὅτι ἡ οὐσία τῶν ἄλλων κατηγοριῶν πρώτη ἐστίν· ὥστε εἰ ἡ σοφία πρώτη, ἡ δὲ πρώτη τῶν πρώτων, εἰ δειχθήσεται ὅτι ἡ οὐσία πρώτη, ἡ παροῦσα σοφία τῆς

1 Tit. σχόλια — ἀριστοτέλους M: ἀρχὴ τοῦ λάμβδα A: om. L 4 ποιεῖται M: ποιεῖ AL
9 ἐν ταῖς ἀπορίαις] B 4 p. 1000a5 22. 23 ἐν τῷ δευτέρῳ τῶν Ὑστέρων ἀναλυτικῶν] c. 2 p. 90a15 26 ὥστε L: ὡς A

οὐσίας ἂν εἴη θεωρητική. πρῶτον δὲ προσδιορίζεται τοὺς τρόπους, καθ' οὓς δυνατόν ἐστιν ἐννοεῖν τὴν οὐσίαν μετὰ τῶν δέκα | κατηγοριῶν, λέγων 642
καὶ γὰρ εἰ ὡς ὅλον τι τὸ πᾶν, ἡ οὐσία πρῶτον μέρος, τουτέστιν εἴτε ξύμπασαν τὴν αἰσθητὴν οὐσίαν μετὰ τῶν συμβεβηκότων ὡς ἕν τι λαμβάνομεν, ἡ οὐσία πρῶτον μέρος, εἴτε ἀπολελυμένας καὶ κεχωρισμένας ἀπ' ἀλλήλων καὶ ἐφεξῆς κειμένας τὰς δέκα νοήσομεν κατηγορίας, οἷον πρῶτον φέρε εἰπεῖν τὸ ποσόν, εἶτα τὸ ποιόν, εἶτα τὴν οὐσίαν, εἶτα τὰς λοιπάς, καὶ οὕτως ἡ οὐσία πρώτη τῶν ἄλλων ἐστίν, εἶτα τὸ ποιόν, εἶτα τὸ ποσόν, καὶ αἱ λοιπαὶ ὁμοίως· τούτου γάρ ἐστι δηλωτικὸν τὸ εἰ καὶ τῷ ἐφεξῆς, τουτέστιν εἰ καὶ μὴ ὡς ἓν ἀλλ' ἐφεξῆς οὔσας τὰς κατηγορίας νοοῦμεν καὶ μὴ ἐν τῇ οὐσίᾳ οὔσας. ἀλλ' ἐπεὶ ἀσαφέστερόν πως ἔτι ἐστὶ τὸ λεγόμενον, γινέσθω σαφέστερον ἐπὶ ὑποδείγματος. ὁ Σωκράτης ἐστὶ μὲν καὶ οὐσία, ἀλλὰ καὶ λευκός, ἀλλὰ καὶ φιλόσοφος, ἀλλὰ καὶ μουσικός. τῆς οὖν ὁλότητος τῆς ἐκ τῆς τοῦ Σωκράτους οὐσίας καὶ τοῦ λευκοῦ καὶ φιλοσόφου καὶ μουσικοῦ ἀποτελεσθείσης μέρος ἐστὶ τὸ μουσικόν· ὁμοίως καὶ ὁ Σωκράτης μέρος ἐστὶ τοῦ συνόλου τοῦ ἐκ λευκοῦ καὶ μουσικοῦ καὶ φιλοσόφου καὶ Σωκράτους ἀποτελεσθέντος. ὡς δὲ ἐπὶ τούτων, καὶ ἐπὶ τῆς ξυμπάσης αἰσθητῆς οὐσίας καὶ τῶν ἐννέα κατηγοριῶν. καὶ γὰρ ἐπὶ τούτων τῆς ἀπὸ τῆς αἰσθητῆς οὐσίας καὶ τοῦ ποσοῦ καὶ τοῦ ποιοῦ καὶ τῶν λοιπῶν ὁλότητος μέρος ἔσται ἡ οὐσία· ὁμοίως δὲ καὶ τὸ ποσὸν μέρος τοῦ ἐκ τῆς οὐσίας καὶ τοῦ ποσοῦ καὶ τῶν ἄλλων ἀπογεννήματος. εἰπὼν δὴ ὅτι εἴτε ὡς ἕν τι καὶ μίαν τινὰ φύσιν ἑτέραν παρὰ ταύτας γινομένην τὰς δέκα φανταστῶμεν κατηγορίας, εἴτε ἐφεξῆς, ἀμφοτέρως ἡ οὐσία πρώτη τῶν ἄλλων ἐστί, καὶ προσαποδείκνυσι λέγων ἅμα δ' οὐδ' ὄντα ἁπλῶς ὡς εἰπεῖν ταῦτα, λέγων ταῦτα τὰς παρὰ τὴν οὐσίαν κατηγορίας. αὐτὸς δὲ καὶ δηλῶσαι βουληθείς, τίνα ἐστὶ τὰ παρὰ τὴν οὐσίαν, ἐπήγαγεν, οἷον ποιότητες κινήσεις. ἔστι δὲ τὸ λεγόμενον δυνάμει· ὅλως γὰρ πῶς ἂν αἱ ἄλλαι κατηγορίαι πρῶται τῆς οὐσίας ὑπονοηθεῖεν, αἵτινες καθ' αὑτὰ μὴ ὄντα εἰσί, λέγεται δὲ ὄντα καὶ ὀντότητος μετέχουσιν, ὅτι τῆς οὐσίας εἰσὶ πάθη. εἰ οὖν διὰ ταύτην εἰσὶν ὄντα καὶ τὸ εἶναι αὐταῖς αὐτὴ δίδωσι, φανερὸν ὅτι ἡ οὐσία πρώτη πασῶν αὐτῶν ἐστι. τὸ δὲ ἢ καὶ τὸ οὐ λευκὸν καὶ τὸ οὐκ εὐθὺ ἴσον ἐστὶ τῷ ἀλλὰ καὶ τὸ οὐ λευκὸν καὶ τὸ οὐκ εὐθὺ ὄντα λέγεται διὰ τὸ λευκὸν καὶ τὸ εὐθύ· φαμὲν γὰρ ὅτι ἔστιν οὐ λευκὸν καὶ ἔστιν οὐκ εὐθύ. ἐπεὶ οὖν τὸ λευκὸν καθ' αὑτὸ μὴ ὂν ἀπὸ τῆς οὐσίας τὸ εἶναι ἔχει, τὸ δὲ μὴ λευκὸν στέρησις ὂν λευκοῦ διὰ τὴν ἕξιν ἤτοι τὸ λευκὸν ὂν καὶ ἔστι καὶ λέγεται, τοῦτο δεῖγμα λαμπρὸν τοῦ πρώτην εἶναι τῶν ἄλλων τὴν οὐσίαν. δι' αὐτὴν γὰρ αἱ ἕξεις, οἷον λευκότητες θερμότητες, διὰ δὲ τὰς ἕξεις αἱ μὴ λευκότητες. | μὴ θερμότητες 643
ὄντα καὶ εἰσὶ καὶ προσαγορεύονται. ἔτι, φησίν, οὐδὲν τῶν ἄλλων χω-

2 δέκα] ἐννέα L 9 εἰ καὶ] καὶ εἰ Metaph. vulg. 10 τουτέστιν — ἐφεξῆς L: om. A 17 δὲ] οὖν L 19 ἀπὸ τῆς L: τῆς om. A 21 καὶ ποσοῦ καὶ ποιοῦ καὶ τῶν L 25 ταῦτα] τἆλλα Metaph. vulg. 26 οἷον] ἀλλὰ Metaph. vulg. 29 δὲ L: om. A 31 ἢ] ἢ Metaph. vulg. 32 τὸ οὐκ εὐθὺ L: τὸ om. A 35 ὂν λευκοῦ S Bonitz: ἢν λευκοῦ AL

ριστόν ἐστι τῆς οὐσίας, ἀλλ' ἐν αὐτῇ τὸ εἶναι ἔχει καὶ αὐτῆς δεῖται εἰς τὸ εἶναι. τὸ οὖν οὗ χωρὶς τὰ ἄλλα οὐκ ἔστιν, ἐκεῖνο δὲ τῶν ἄλλων, ἐκεῖνο πρότερόν ἐστιν ἐκείνων. ὅτι δὲ ἡ οὐσία προτέρα ἐστὶ τῶν ἄλλων συνίστησι καὶ ἐκ τῆς τῶν παλαιῶν μαρτυρίας. καὶ ἐκεῖνοι γάρ, φησί, τῆς 5 οὐσίας τὰς ἀρχὰς ἐζήτουν οὐδενὸς δὲ ἄλλου, ὡς οὔσης τῶν ἄλλων προτέρας· οὐδεὶς γὰρ τῶν πρώτων καὶ κυρίως ὄντων τὰς ἀρχὰς καταλιπὼν ζητεῖ τὰς τῶν ὑστέρων.

p. 1069a26 Οἱ μὲν οὖν νῦν τὸ καθόλου οὐσίας μᾶλλον τιθέασι.

Δείξας ὅτι ἡ οὐσία προτέρα τῶν ἄλλων ἐστὶ καὶ ἐπὶ τούτῳ ἡ σοφία ὡς πρώτη τῶν ἄλλων ἁπασῶν τὰς τῶν οὐσιῶν ἀρχὰς καὶ αἴτια ζητεῖ, 10 λέγει ἀκολούθως τίνες τίνα τῶν ὄντων οὐσίας εἶναι ὑπελάμβανον, καί φησιν οἱ μὲν οὖν νῦν ὄντες μᾶλλον εἶναι οὐσίας φασὶ τὰ καθόλου, καὶ τίνα ἐστὶ τὰ καθόλου ἐπάγει· τὰ γὰρ γένη, φησί, καθόλου, ἃ καὶ ἀρχὰς καὶ οὐσίας ἀποφαίνονται, διὰ τὸ λογικῶς καὶ κενῶς ζητεῖν· καταλελοιπότες γὰρ τὰ πράγματα καὶ τὰ κυρίως ὄντα τὴν ζήτησιν ἐποιοῦντο περὶ τὰ μὴ 15 ὄντα· τὰ γὰρ καθόλου μὴ ὄντα· τῇ ἐπινοίᾳ γὰρ ἔχει τὸ εἶναι. οἱ μὲν δὴ νῦν οὐσίας τὰ καθόλου φασίν. καὶ οὐκ ἂν διὰ τούτων αἰνίττοιτο τὸν Πλάτωνα (οὐκ ἔστι γὰρ αὕτη τοῦ Πλάτωνος ἡ δόξα), ἀλλὰ λέγοι ἂν ἄλλους περὶ τοὺς αὐτοὺς αὐτῷ ὄντας χρόνους. οἱ δὲ πάλαι τοὐναντίον οὐσίας ἔλεγον τὰ καθ' ἕκαστα· ὁ μὲν Ἡράκλειτος οὐσίαν καὶ ἀρχὴν ἐτίθετο τὸ πῦρ, Παρμενίδης δὲ ἐν τοῖς πρὸς δόξαν πῦρ καὶ γῆν, Θαλῆς ὕδωρ, καὶ ἄλλος ἄλλο. τὸ δὲ κοινὸν καθόλου σῶμα τὸ κατὰ παντὸς σώματος κατηγορούμενον οὐδεὶς εἶπεν ἀρχήν.

Ταῦτα εἰπὼν λέγει ὅτι αἱ οὐσίαι τρεῖς εἰσι, κἂν ἄλλοι ἄλλως περὶ αὐτῶν ἐδόξασαν, καὶ τίνες αὗται καταλέγει. μία μέν, φησίν, οὐσία ἐστὶν ἡ αἰσθητή, ἣν ἅπαντες εἶναι ὁμολογοῦσι· τὴν γὰρ νοητὴν καὶ θείαν πολλοὶ μὴ εἶναι ἀνοήτως ἀπεφήναντο, ὧν εἷς ἦν Ἵππων ὁ ἄθεος ἐπικληθείς· οὗτος γὰρ παρὰ τὴν αἰσθητὴν φύσιν οὐδὲν ἔφασκεν εἶναι. μία μὲν οὖν ἐστιν οὐσία ἡ αἰσθητή, ἣν ἅπαντες ὁμολογοῦσι· ταύτης δὲ τῆς αἰσθητῆς ἡ μέν ἐστι φθαρτή, οἷον τὰ φυτὰ καὶ τὰ ζῷα, ἡ δέ ἐστιν ἀίδιος, οἷον αἱ σφαῖραι καὶ οἱ ἐν αὐταῖς ἀστέρες. τὸ δὲ ἧς ἀνάγκη τὰ στοιχεῖα λαβεῖν, εἴτε ἓν εἴτε πολλὰ οὐ τῆς ἀιδίου οὐσίας λέγει, ἀλλὰ τῆς οὐσίας τῆς αἰσθητῆς, ἥτις καὶ κατὰ τῶν φθαρτῶν καὶ κατὰ τῶν ἀφθάρτων κατηγορεῖται σωμάτων. ταύτης δὴ τὰ στοιχεῖα ζητητέον· ὥσπερ γὰρ τῶν ζῴων ἐστὶ στοιχεῖα καὶ τῶν φυτῶν ἡ ὑποκειμένη αὐτοῖς ὕλη, οὕτω καὶ τῶν σφαιρῶν καὶ τῶν ἐν αὐταῖς ἀστέρων ἐστὶ στοιχεῖον τὸ ὑποκείμενον αὐτοῖς, αὐτὸ δὴ τὸ πέμπτον σῶμα. δύο μὲν οὖν οὐσίαι αὗταί εἰσι, τρίτη δὲ ἡ νοητὴ | ἀίδιος οὖσα καὶ ἀκίνητος, ἣν καί φασί τινες χωριστὴν καὶ ἑτέραν τῶν 644

---

7 τὰς τῶν L: τὰς om. A 17 αἰνίττοιτο L: αἰνίττηται A 19 οὐσίας L: οὐσίαν A 22 κοινὸν L: om. A 25 ἡ οὐσία L

τῇδε. ἀλλὰ καὶ ταύτην οἱ μέν, ὥσπερ Πλάτων, εἰς δύο διαιροῦσιν, εἴς τε τὰ μαθηματικά (χωριστὰ γὰρ καὶ καθ' αὑτὰ εἶναι τὰ μαθηματικὰ ὁ Πλάτων ἔλεγε) καὶ τὰ εἴδη ἤτοι τὰς ἰδέας· τινὲς δὲ τῶν Πυθαγορείων τὰ μαθηματικὰ καὶ τὰ εἴδη εἰς μίαν φύσιν ἐτίθεντο, μηδὲν διαφέρειν λέγοντες τὰ μαθηματικὰ τῶν ἰδεῶν· ἄλλοι δὲ τούτων ἤτοι τῶν Πυθαγορείων (οὐ γὰρ πάντες οἱ Πυθαγόρειοι τῆς αὐτῆς γεγόνασιν αἱρέσεως) τὰ μαθηματικὰ μόνον εἶναι ἔλεγον, τὰς ἰδέας μὴ προσηκάμενοι. εἰπὼν οὖν ὅτι τρεῖς εἰσιν αἱ οὐσίαι ἐπάγει, ἐκεῖναι μέν (λέγων ἐκείνας τήν τε αἰσθητὴν καὶ φθαρτὴν οὐσίαν καὶ τὴν αἰσθητὴν καὶ ἄφθαρτον) τῇ φυσικῇ ὑπόκεινται, καὶ τὴν αἰτίαν συντόμως ἐπῆξε· μετὰ κινήσεως γάρ, φησίν, εἰσίν· ἐν οἷς γάρ ἐστιν ἀρχὴ κινήσεως καὶ ἠρεμίας, τῆς φυσικῆς ἐστι τὸ περὶ αὐτῶν σκοπεῖν. ἡ δὲ νοητὴ καὶ θεία οὐσία οὐ τῆς φυσικῆς ἀλλὰ τῆς προκειμένης φιλοσοφίας. καὶ τοῦ μὴ τῆς φυσικῆς εἶναι τὸ περὶ αὐτῆς θεωρεῖν τὴν αἰτίαν τέθεικε διὰ τοῦ εἰ μηδεμία αὐτοῖς ἀρχὴ κοινή, ὅπερ ἴσον ἐστὶ τῷ ἐπειδὴ οὐδαμῶς κατ' οὐδὲν ἡ αἰσθητὴ οὐσία κοινωνεῖ τῇ νοητῇ, οὐδέ ἐστί τις αὐταῖς ἀρχὴ κοινή, οὐκ ἂν εἴη τῆς φυσικῆς τὸ περὶ αὐτῆς θεωρεῖν. ἡ μὲν οὖν τῶν λεγομένων διάνοια οἶμαι ὅτι τοιαύτη τίς ἐστιν· τὸ δὲ ἐν ἀρχῇ τῆς λέξεως συνεχὲς τοιοῦτον· οὐσίαι δὲ τρεῖς, μία μὲν αἰσθητή, ἣν πάντες ὁμολογοῦσιν. ἧς καὶ ἀναγκαῖον τὰ στοιχεῖα λαβεῖν, εἴτε ἓν εἴτε πολλά· εἶτα τὸ ἧς. δηλονότι αἰσθητῆς. ἡ μέν ἐστι φθαρτὴ ἡ δὲ ἀίδιος.

p. 1069b3 Ἡ δ' αἰσθητὴ οὐσία μεταβλητή.

Ἦν ἂν τὰ λεγόμενα σαφέστερα, εἰ ἀντὶ τοῦ ἡ δὲ αἰσθητὴ οὐσία μεταβλητὴ γεγραμμένον ἦν ἐπειδὴ δὲ ἡ αἰσθητὴ οὐσία μεταβλητή. εἰπὼν γὰρ ἀνωτέρω ὅτι αἱ οὐσίαι τρεῖς εἰσιν, ὧν ἡ μέν ἐστιν αἰσθητή, ἧς ἀνάγκη τὰ στοιχεῖα λαβεῖν, ἐντεῦθεν ζητεῖ τίνα ἐστὶ τὰ στοιχεῖα τῶν τε αἰσθητῶν καὶ φθαρτῶν καὶ τῶν αἰσθητῶν καὶ ἀφθάρτων οὐσιῶν. λέγει οὖν ὅτι ἐπειδὴ ἡ αἰσθητὴ οὐσία μεταβλητή ἐστι, πᾶσα δὲ μεταβολὴ ἐκ τῶν ἀντικειμένων καὶ τῶν μεταξύ, οὐκ ἐκ τῶν τυχόντων δὲ ἀντικειμένων ἀλλ' ἐκ τῆς οἰκείας ἀποφάσεως, ὡς ἐν τῷ Α τῆς Φυσικῆς παραδέδωκεν ἀκροάσεως (γίνεται γὰρ τὸ λευκὸν χρῶμα ἐκ μὴ λευκοῦ ἀλλ' οὐκ ἐκ τοῦ τυχόντος· λέγεται γὰρ καὶ ἡ φωνὴ μὴ λευκή, ἀλλ' οὐκ ἐξ αὐτῆς γίνεται τὸ λευκὸν χρῶμα, ἀλλ' ἐκ τοῦ μὴ λευκοῦ χρώματος, ὅπερ ἐστὶν ἀπόφασις τοῦ λευκοῦ· καὶ ὁ μουσικὸς γίνεται ἐκ μὴ μουσικοῦ, ἀλλ' οὐκ ἐκ τῆς οἰκίας· μὴ μουσικὸν γὰρ καὶ ἡ οἰκία· ἀλλ' ἐκ τῆς οἰκείας | ἀποφάσεως· 645 καὶ ὁ ἄνθρωπος ἐκ μὴ ἀνθρώπου, ἀλλ' οὐκ ἐξ ἅπαντος, ἀλλ' ἐκ τῆς οἰκείας στερήσεως· ὁμοίως τούτοις καὶ τὰ ἄλλα πάντα ὅσα γίνεται), ἐπεὶ

14 τέθεικε L: τέθηκε A 16 αὐταῖς L: αὐτοῖς A 22 lemma om. A 30. 31 ἐν τῷ A τῆς Φυσικῆς ἀκροάσεως] c. 5 p. 188a31 sqq. 35 καὶ L: om. A 37 πάντα ὅσα L: post πάντα add. τούτοις A γίνεται L: om. A

οὖν πᾶσα μεταβολὴ ἢ ἐκ τῶν ἀντικειμένων γίνεται ἢ τῶν μεταξύ (γίνεται γὰρ καὶ ἐκ φαιοῦ λευκόν), τὸ δὲ ἀντικείμενον τῇ τοῦ ἀντικειμένου παρουσίᾳ οὐχ ὑπομένει οὐδὲ γίνεται αὐτῷ ὑποκείμενον (οὐδαμῶς γὰρ ὑπόκειται ἡ θερμότης τῇ ψυχρότητι, ἀλλὰ τῇ τοῦ ψυχροῦ παρουσίᾳ ᾠθείρεταί γε καὶ οὐκ ἔστι τὸ θερμόν)· εἰ δὴ ταῦθ' οὕτως ἔχει, ἀνάγκη εἶναι τρίτον τι, καὶ τοῦτό ἐστιν ἡ ὕλη, ἣ μεταβάλλει ἐκ θερμοῦ εἰς ψυχρὸν καὶ ἐκ ψυχροῦ εἰς θερμόν. ἐπειδὴ δὲ ἡ μὲν κίνησις ἐν τρισὶ κατηγορίαις οὖσα ἐδείχθη ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς ἀκροάσεως, ποιῷ, ποσῷ, ποῦ, ἡ δὲ μεταβολὴ καὶ ἐν ταύταις καὶ ἐν τῇ οὐσίᾳ (τὸ γὰρ κατὰ τὸ τί τοῦ φυσικοῦ καὶ οὐσιώδους εἴδους ἐστὶ δηλωτικόν), καὶ γένεσις μὲν ἁπλῆ καὶ φθορά ἐστι κατὰ τόδε, τουτέστι μεταβολὴ κατὰ οὐσίαν (ἁπλῆν γὰρ γένεσιν τὴν τῶν οὐσιῶν ἐλέγομεν ἐν τῇ Περὶ γενέσεως), αὔξησις δὲ καὶ φθίσις ἡ κατὰ τὸ ποσόν, φορὰ δὲ μεταβολὴ ἡ κατὰ τόπον, ἀλλοίωσις δὲ μεταβολὴ κατὰ πάθος, οἷον θερμότητος, λευκότητος· ἐπεὶ οὖν ταῦθ' οὕτως ἔχει, εἰς ἐναντιώσεις ἄρα καθ' ἕκαστόν ἐστι πᾶσα μεταβολή, ἡ μὲν κατὰ ποσὸν μεταβολὴ εἰς τὴν κατὰ ποσὸν ἐναντίωσιν (αὕτη δ' ἐστὶ τὸ μέγα καὶ μικρόν, ἢ τὸ τέλειον καὶ ἀτελές), ἡ δὲ κατ' οὐσίαν μεταβολὴ εἰς τὴν κατ' οὐσίαν ἐναντίωσιν (ἔστι δὲ αὕτη τὸ εἶδος καὶ ἡ στέρησις), καὶ αἱ λοιπαὶ μεταβολαὶ ὁμοίως. εἰ δὲ τοῦτο, ἀνάγκη εἶναι τρίτον τι τὴν ὕλην τὴν δυναμένην ἐξ εἴδους εἰς στέρησιν καὶ ἐκ στερήσεως εἰς εἶδος μεταβάλλειν· ὁμοίως καὶ ἐκ μεγάλου ἢ τελείου εἰς μικρὸν ἢ ἀτελές.

p. 1069ᵇ15 Ἐπεὶ δὲ διττὸν ὂν μεταβάλλει πᾶν ἐκ τοῦ δυνάμει ὄντος.

Ταῦτα πάντα ἅ τε προερρήθη καὶ τὰ λεχθησόμενα ἀκριβῶς ἐν τῇ Φυσικῇ εἴρηται ἀκροάσει, μέμνηται δὲ τούτων ἐνταῦθα δι' ἃς εἴπομεν ἀρχόμενοι τοῦ βιβλίου αἰτίας. ἐπεὶ τὸ ὂν διττὸν δυνάμει καὶ ἐνεργείᾳ (τὸ γὰρ ὕδωρ ἐνεργείᾳ ὂν ὕδωρ δυνάμει ἐστὶν ἀήρ), μεταβάλλει πᾶν ἐκ τοῦ δυνάμει ὄντος εἰς τὸ ἐνεργείᾳ· καὶ οὔτε ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεται τὰ γινόμενα οὔτε πάλιν τὸ ὂν γίνεται, ἀλλ' ἐκ τοῦ πῇ μὲν ὄντος πῇ δὲ μὴ ὄντος. ἡ γὰρ ὕλη ὂν μέν ἐστι καθ' αὑτήν, μὴ ὂν δὲ διὰ τὴν ἐν αὐτῇ στέρησιν, καὶ ὁ Σωκράτης ἐστὶ μὲν ὄν, ἀλλὰ καὶ μὴ ὂν διὰ τὴν ἐν αὐτῷ ἑτερότητα· ἕτερος γὰρ ὢν ἵππου ἐστὶ μὴ ὄν· οὐ γάρ ἐστιν ἵππος. ὥστε πάντα τὰ γινόμενα καθ' αὑτὸ μὲν γίνεται ἐξ ὄντος, κατὰ συμβεβηκὸς δὲ ἐκ μὴ ὄντος· τὸ γὰρ λευκὸν γίνεται ἐκ μὴ | λευκοῦ, ὅπερ μὴ λευκὸν 646 καθ' αὑτὸ μέν ἐστιν ὄν, κατὰ συμβεβηκὸς δὲ μὴ ὄν· συμβέβηκε γὰρ αὐτῷ μὴ εἶναι λευκῷ. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· τῷ γὰρ ὕδατι συμβέβηκε μὴ εἶναι ἀέρι καὶ τῷ Καλλίᾳ μὴ εἶναι ἵππῳ. οὐ μόνον δέ, φησίν, ἐξ

---

8 ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς ἀκροάσεως] E 1 12 ἐν τῇ Περὶ γενέσεως] A 2 p. 315ᵃ26 13 φορὰ δὲ μεταβολὴ L: post δὲ add. ἡ A 22 legendum διττὸν τὸ ὂν 27 ὕδωρ (post ὄν) L: om. A

ὄντος μὲν γίνεται τὰ γινόμενα, κατὰ συμβεβηκὸς δὲ μὴ ὄντος, ἀλλὰ καὶ ἀναστρέψαντι ἔστι λέγειν, ἐξ ὄντος μὲν δυνάμει, ἐνεργείᾳ δὲ μὴ ὄντος· τὸ γὰρ ὕδωρ ἐξ οὗ ὁ ἀὴρ γίνεται, ἐνεργείᾳ μὴ ὄν ἐστιν· οὔπω γάρ ἐστιν ἀήρ. ὥστε ἐνεργείᾳ ἐστὶ μὴ ἀὴρ ἤτοι μὴ ὄν, δυνάμει δὲ ἀὴρ ἤτοι ὄν. οὕτως οὖν ἀναπτύξας ἡμῖν τί ποτέ ἐστι τὸ γινόμενον καὶ μεταβάλλον ἐξ εἴδους εἰς στέρησιν καὶ ἐκ ταύτης εἰς ἐκεῖνο, ὅτι ἡ ὕλη ἐστίν, ἐπήγαγε καὶ τοῦτό ἐστι τὸ Ἀναξαγόρου ἕν, δυνάμει λέγων ὅτι ὅταν ὁ Ἀναξαγόρας λέγῃ ὡς ἦν ὁμοῦ πάντα χρήματα καὶ ἓν ἦν τὸ πᾶν, ὁ δὲ νοῦς ἤρξατο ἀπὸ ἀρχῆς τινος ταῦτα διαχωρίζειν, ἐνδείκνυται ὡς ὠνείρωττε μὲν τὴν ὕλην, οὐ κατέλαβε δέ, καὶ ἐπὶ τούτῳ οὐδὲ σαφῶς ἡμᾶς ταύτην ἐδίδαξε. βέλτιον οὖν, φησί, λέγειν ὅτι ἐξ ἑνὸς μὲν γίνεται πάντα, δυναμένου τοῦ ἑνὸς εἰς πάντα μεταβάλλειν, εἶτα καὶ σαφηνίζειν ὅτι τοῦτο τὸ ἓν ἡ ὕλη ἐστίν, ἤπερ λέγειν ὅτι ἦν ὁμοῦ πάντα χρήματα· τίς γὰρ ἀκούων ὅτι ἦν ὁμοῦ πάντα, δύναται νοεῖν ὅτι αὕτη ἡ φωνὴ τῆς ὕλης ἐστὶ δηλωτικὴ τῆς δυνάμει πάντα οὔσης; ὡς οὖν Ἀναξαγόρας διὰ τοῦ λέγειν ὡς ἦν ὁμοῦ πάντα τὴν ὕλην ἐφαντάσθη μέν, οὐκ ἔγνω δέ, οὕτω καὶ Ἐμπεδοκλῆς ἐκ τοῦ μίγματος λέγων γενέσθαι τὰ τῇδε (λέγοι δ' ἂν μῖγμα τὸν σφαῖρον) τὴν ὕλην ἐφαντάζετο· μὴ δυνηθεὶς δὲ ἅψασθαι αὐτῆς, ἀντὶ τοῦ λέγειν ἐξ ὕλης, ἔλεγεν ὅτι ἐκ τοῦ μίγματος ἔστι τὰ τῇδε. ἀλλὰ καὶ ὁ Δημόκριτος διὰ τοῦ "ἦν ὁμοῦ πάντα δυνάμει" ἐμφαίνει ὡς ἔσχεν ἀμυδρῶς ἔννοιαν τῆς ὕλης· τὸ γὰρ ἦν ὁμοῦ πάντα δυνάμει ἴσον ἐστὶ τῷ ἔστιν ἐν ἡμῖν, ὃ δύναται πάντα.

p. 1069ᵇ24 Πάντα δ' ὕλην ἔχει ὅσα μεταβάλλει, ἀλλ' ἑτέραν.

Ζητήσας ἐν ταῖς ἀπορίαις πότερον μία ἐστὶ πάντων ἀρχὴ καὶ ἓν στοιχεῖον ἢ πλείω, διὰ τῶν λεγομένων τε καὶ παραδιδομένων ἐνταῦθα δείκνυσιν ὅτι οὐ μία, δείξει δὲ πάλιν ὅτι καὶ μία, ὥστε ἔσται πάντων καὶ μία ἀρχὴ καὶ οὐ μία. πῶς δέ, τὴν λέξιν ἐπερχόμενοι δείξομεν. πάντα οὖν τὰ αἰσθητὰ καὶ φθαρτὰ καὶ τὰ αἰσθητὰ καὶ ἄφθαρτα ὕλην ἔχει ἀλλ' ἑτέραν. ἡ μὲν γὰρ τῶν φθαρτῶν ὕλη δύναται μεταβάλλειν ἐξ ἄλλου εἴδους εἰς ἄλλο, διὸ καὶ καλέσοι ἄν τις αὐτὴν φθαρτήν· ἡ δὲ τῶν ἀγενήτων ὕλη οὐ τοιαύτη, ἀλλὰ μόνον κινητή ἐστι κατὰ φοράν· ὁ γὰρ ἥλιος νῦν ἐν ὑδροχόῳ ὢν ἔσται μετ' ὀλίγον ἐν τοῖς ἰχθύσιν.

p. 1069ᵇ26 Ἀπορήσειε δ' ἄν τις ἐκ ποίου μὴ ὄντος ἡ γένεσις.

Πάνυ τεταραγμένως καὶ φόρδην καὶ οὐ τεταγμένως οὐδ' ἀκολούθως ἐπάγει τὰ ἐν τῷ βιβλίῳ τούτῳ | λεγόμενα, δι' οὐδὲν ἕτερον ἢ δι' ἣν 647 ἀρχῆθεν ἐπετήδευσεν ἀσάφειαν. εἰπὼν γὰρ ἄνωθεν ὅτι τὰ γινόμενα οὐ

---

13 πάντα δύναται χρήματα L 17 τὸν σφαῖρον M: τὸ σφαῖρον AL 27 et 28 τὰ L: om. A 29 δύναται L: δυνατὴ A 30 καὶ L: om. A 33 δ' L: om. A

μόνον ἐξ ὄντος γίνεται ἀλλὰ καὶ ἐκ μὴ ὄντος, καὶ μεταξὺ πολλὰ παρεμβαλών, ἐνταῦθα τὴν αἰτίαν δι' ἣν ἐκείνων ἐκεῖσε ἐμνήσθη τίθησι, δυνάμει λέγων 'ὡς ἐν παρέργῳ οὐδεμίαν ἐκείνων ἐκεῖσε μνήμην πεποίημαι ἀλλὰ καὶ ἀναγκαίως.' ἀπορήσειε γὰρ ἄν τις, ἐπειδὴ τὸ μὴ ὂν τριχῶς λέγεται, 5
5 ἕνα μὲν τρόπον τὸ ψεῦδος, ὥσπερ ὂν τὸ ἀληθές, ἄλλον δὲ τὸ μηδαμῇ μηδαμῶς ὄν, ἄλλον τὸ δυνάμει ὄν, ἐκ τίνος τούτων ἡ γένεσίς ἐστιν. καὶ ἐρωτήσας ἀπορητικῶς ἀποκρίνεται λέγων. εἰ δὴ ἔστι τὸ δυνάμει, τουτέστιν, εἰ ἔστι τι δυνάμει μὴ ὄν, ἐξ ἐκείνου ἔσται ἡ γένεσις. ἐλλιπῶς δὲ τοῦτο ἀπηγγέλθη, καὶ οἶμαι διὰ τὸ σαφῶς περὶ τούτου πρὸ ὀλίγου εἰπεῖν. δεῖ 10
10 δέ, ὡς οἶμαι, προσυπακούειν τοῦ ἐνεργείᾳ μὲν μὴ ὄν, δυνάμει δὲ ὄν· ἵν' ᾖ τὸ ὅλον τοιοῦτον 'εἰ δὴ ἔστιν ἐνεργείᾳ μὲν μὴ ὄν, δυνάμει δὲ ὄν, ἐκ τούτου ἂν ἡ γένεσις εἴη.' ἔστω δὲ σαφὲς τὸ λεγόμενον ἐπὶ ὑποδείγματος· τὸ ὕδωρ ἐνεργείᾳ μὴ ὂν ἀὴρ δυνάμει ἐστὶν ἀήρ. ὅμως οὐκ ἐκ τοῦ τυχόντος ἐνεργείᾳ μὴ ὄντος δυνάμει δὲ ὄντος πάντα γίνεται, ἀλλ' ὁ μὲν ἄν- 15
15 θρωπος ἐκ τοῦ ἀνθρωπείου σπέρματος καὶ τοῦ καταμηνίου, ἐλαία δὲ ἐξ ἄλλου καὶ ἄμπελος ἐξ ἑτέρου. καὶ ἐπεί, ὡς λέγομεν, ἄλλα ἐξ ἄλλων γίνεται, οὐχ ἱκανῶς εἴρηκεν Ἀναξαγόρας εἰπὼν 'ἦν ὁμοῦ πάντα', τουτέστιν ἦν ἡ ὕλη ἐξ ἧς τὰ πάντα, ἀλλ' ἔδει αὐτὸν εἰπεῖν ὁποῖα πράγματα ἐξ ὁποίας ὕλης γίνεται. διαφέρουσι γὰρ οὐ τῷ εἴδει μόνον ἀλλὰ καὶ τῇ ὕλῃ.
20 ἀνθρώποις μὲν γὰρ ὕλη σάρκες καὶ ὀστᾶ, ἀνδριάντι δὲ χαλκὸς καὶ χαλκῷ 20 ὕδωρ καὶ ἄλλῳ ἄλλη. εἰ γὰρ μὴ ἦσαν αἱ προσεχεῖς ἑκάστῳ ὕλαι σχεδὸν ἄπειροι (οὐδὲν γὰρ ἐκ τῆς ἀνειδέου γίνεται, εἰ μὴ μόνα τὰ ἁπλᾶ), ἓν ἂν ἦν τὸ πᾶν· ἐπειδὴ γὰρ τὸ ποιητικὸν ὁ νοῦς ἕν ἐστιν, εἰ καὶ ἡ προσεχὴς ἑκάστῳ ὕλη μία ἦν, ἓν ἂν ἦν τὸ γεγονός. τὸ γὰρ ἐκεῖνο ἐγένετο ἐνερ-
25 γείᾳ, οὗ ἡ ὕλη ἦν δυνάμει, δηλωτικόν ἐστι τοῦ ἓν ἂν ἐγεγόνει, ὃ ἠδύνατο γενέσθαι ἡ ὕλη, ἀλλ' οὐ πολλά. ὡς γὰρ ὁ σῖτος δυνάμει ὢν ἄσταχυς ἐξ αὐτοῦ μόνος ὁ ἄσταχυς γίνεται, οὐκέτι δὲ καὶ ἄμπελος ἢ ἐλαία, οὕτως εἰ ἦν ἡ ὕλη μία, ἓν ἂν ἦν τὸ γεγονός, καὶ οὐ τὸ τυχὸν ἀλλ' ὃ ἦν δυνάμει. ταῦτα εἰπὼν ὥσπερ συμπέρασμα τῶν λεχθέντων ἐπήγαγε τὸ τρία
30 δὴ τὰ αἴτια καὶ αἱ ἀρχαί, ὕλη εἶδος στέρησις.

p. 1069ᵇ35 Μετὰ ταῦτα ὅτι οὐ γίνεται οὔτε ὕλη οὔτε εἶδος.

Ἐλλείπει τῇ λέξει τὸ δεῖ δεῖξαι, ἵνα ᾖ τὸ ὅλον τοιοῦτον 'μετὰ ταῦτα δεῖ δεῖξαι ὅτι οὐ γίνεται οὔτε ὕλη οὔτε εἶδος.' καὶ ὅτι | μὲν ἡ 648
πρώτη καὶ ἀνείδεος ὕλη οὐ γέγονε, δέδειχεν ἐν τῷ τέλει τοῦ A τῆς
35 Φυσικῆς ἀκροάσεως· ὅτι δὲ οὐδὲ τὸ εἶδος, ἔδειξεν ἐν τῷ Z ταύτης τῆς πραγματείας. καὶ τάχα ἐπειδὴ εἶπεν ὅτι τρεῖς εἰσιν αἱ ἀρχαί, ὕλη εἶδος

---

3 ἐν παρέργῳ scripsi: ἐν παρέργως L: οὐ παρέργως A οὐδεμίαν L: οὐδὲ μνείαν A
5 τρόπον L: om. A 6 δυνάμει μὴ ὂν L 7 ἔστι τὸ] τί ἐστι Metaph. vulg.
20 ὕλαι (sic) L δὲ M: om. AL 23 ἓν L: om. A 34. 35 ἐν τῷ τέλει — Φυσικῆς ἀκροάσεως] A 9 p. 192ᵃ25 35 ἐν τῷ Z] c. 8 36 αἱ ἀρχαί L: αἱ om. A

στέρησις, ἐξ ἀκολουθίας τοῦτο ζητεῖ, πότερον γίνονται ἢ οὔ. δείκνυσι δὲ αὐτὸ πάνυ διὰ βραχέων, διὰ τὸ ἐν τῷ Ζ διεξοδικῶς αὐτὸ δεῖξαι. δεῖ οὖν, φησί, δεῖξαι ὅτι οὐ γίνεται ἡ ὕλη καὶ τὸ εἶδος τὰ ἔσχατα· τὸ δὲ ἔσχατα πρόσκειται ὅτι οἱ τέσσαρες χυμοὶ ὕλη ὄντες Σωκράτους γεγόνασιν, ἀλλ' οὐκ εἰσιν ἡ ἐσχάτη καὶ ἀνείδεος ὕλη. πάλιν ἐστὶν ἡ σὰρξ εἶδός τι ἀλλ' οὐ τὸ ἔσχατον, ἀλλ' ὁ Σωκράτης ἐστὶ τὸ ἔσχατον. οὕτως οὖν προσδιορισάμενος ποίαν ὕλην καὶ ποῖον εἶδος οὐ φησι γενέσθαι, δείκνυσι τὸ προκείμενον, λέγων, εἰ οὐ μόνον ὁ χαλκὸς γίνεται στρογγύλος ἀλλὰ καὶ τὸ στρογγύλον ἤτοι τὸ εἶδος, εἰς ἄπειρον ἔσται ἡ ἄνοδος· ἔσται γάρ τι ὑποκείμενον τῇ στρογγυλότητι· πᾶν γὰρ ἐξ ὑποκειμένου τινὸς γίνεται. καὶ πάλιν περὶ τοῦ ὑποκειμένου τῇ στρογγυλότητι ὁ αὐτὸς λόγος. πότερον γίνεται ἢ οὔ. εἰ μὲν γὰρ γίνεται, ἔσται κἀκείνῳ ὑποκείμενόν τι, καὶ τοῦτο εἰς ἄπειρον. πάλιν εἰ γίνεται ὁ χαλκὸς ἐξ ὑγρᾶς ἀναθυμιάσεως καὶ αὕτη ἐξ ὕδατος καὶ τοῦτο ἐκ τῆς ἀνειδέου ὕλης κἀκείνη ἐξ ἄλλου, εἰς ἄπειρον ἔσται ἡ ὁδός, ὅπερ ἀδύνατον· δέδεικται γὰρ ἐν τῷ ἐλάττονι Α τῆς προκειμένης πραγματείας.

p. 1070a4 Μετὰ ταῦτα ὅτι ἑκάστη ἐκ συνωνύμου γίνεται οὐσία.

Καὶ ἐνταῦθα προσυπακουστέον τοῦ εἰπεῖν δεῖ. μετὰ τὰ ῥηθέντα, φησίν. εἰπεῖν δεῖ καὶ ὅτι ἑκάστη οὐσία ἐκ συνωνύμου ἑαυτῇ γίνεται· ἢ γὰρ τέχνῃ, φησί, γίνεται τὰ γινόμενα ἢ φύσει. ἀμφότερα δὲ ἐκ συνωνύμου ἑαυτοῖς. καὶ ὅτι μὲν τὰ ἀπὸ τέχνης γινόμενα ἐκ συνωνύμου ἑαυτοῖς γίνεται δῆλον. ἡ γὰρ οἰκία ἐκ τοῦ εἴδους τῆς οἰκίας τοῦ ἐν τῇ ψυχῇ τοῦ οἰκοδόμου ὄντος γίνεται, καὶ ἡ ἐν τῷδε τῷ σώματι ὑγίεια ἐκ τοῦ εἴδους καὶ τοῦ λόγου τῆς ὑγιείας τοῦ ἐν τῇ ψυχῇ τοῦ ἰατροῦ γίνεται. ὅτι δὲ καὶ τὰ φυσικὰ ἐκ συνωνύμου φανερώτατον· ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου καὶ ἵππος ἐξ ἵππου. τὰ δὲ ἐξ αὐτομάτου καὶ ἀπὸ τύχης γινόμενα ἀποτυχίαι εἰσὶ τῆς τε φύσεως καὶ τῆς τέχνης. εἰπὼν δὲ ὅτι ἢ τέχνῃ ἢ φύσει γίνεται τὰ γινόμενα, τί διαφέρει τέχνη φύσεως λέγει, ὅτι ἡ τέχνη ἀρχή ἐστιν ἐν τῷ ποιοῦντι καὶ οὐ τῷ ποιουμένῳ, ἡ δὲ φύσις ἀρχὴ ἐν αὐτῷ τῷ γινομένῳ οὖσα. ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ· τοῦτο δὲ συνεχές ἐστι τῷ μετὰ ταῦτα ῥητέον ὅτι ἑκάστη ἐκ συνωνύμου γίνεται οὐσία· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ. τὸ δὲ πρὸ τούτου παρεμβληθὲν τὸ τὰ γὰρ φύσει οὐσίαι καὶ τἆλλα ἴσον τῷ οὐ μόνον τὰ | φύσει γινόμενά εἰσιν οὐσίαι, ἀλλὰ καὶ τὰ ἄλλα ἤτοι τὰ ὑποκείμενα ταῖς τέχναις οὐσίαι εἰσίν. ἢ τὸ τὰ γὰρ φύσει οὐσίαι καὶ τὰ ἄλλα ἴσον ἂν εἴη τῷ τὰ γὰρ φύσει γινόμενα ἐξ οὐσιῶν ἤτοι ἐκ συνωνύμων ἑαυτοῖς γίνεται, ὁμοίως καὶ τὰ ἄλλα ἤτοι τὰ τέχνῃ γινόμενα. καὶ ἔσται τὸ σύνολον τοιοῦτον· μετὰ ταῦτα ῥητέον ὅτι ἐκ συνωνύμου ἑκάστη γίνεται οὐσία·

649

12 γὰρ M: om. AL 15 ἐν τῷ ἐλάττονι A] α 2 25 ἄνθρωπος γὰρ L: ὁ γὰρ ἄνθρωπος A 31 τοῦτο δὲ M: om. AL

τὰ γὰρ φύσει οὐσίαι καὶ τὰ ἄλλα. σημεῖον δὲ τούτου· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ. αἱ δὲ λοιπαὶ αἰτίαι, ἤτοι ἡ τύχη καὶ τὸ αὐτόματον, στερήσεις καὶ ἀποτυχίαι καὶ ἁμαρτήματά εἰσι τῶν ὑπὸ φύσεως καὶ τέχνης γινομένων.

Εἰπὼν δὲ πρότερον ὅτι ἡ οὐσία τριχῶς λέγεται, ἥ τε αἰσθητὴ διχῶς ἡ μὲν φθαρτὴ ἡ δὲ ἀγέννητος καὶ τρίτη ἡ νοητή, ἐπάγει ἄλλην τριάδα οὐσίας τὴν ὕλην τὸ εἶδος καὶ τὸ ἐξ ὕλης καὶ εἴδους. οὐσίαι γάρ, φησί, τρεῖς, ἡ μὲν ὕλη τόδε τι οὖσα τῷ φαίνεσθαι. ὃ δὲ λέγει τοιοῦτον ἂν εἴη. ἐπειδὴ Σωκράτους ὕλη ἐστὶ σάρκες νεῦρα ὀστᾶ χεῖρες πόδες κεφαλὴ καὶ τὰ λοιπά, ὅταν αὐτὰ σωρηδὸν καὶ ὡς ἔτυχε νοῶμεν κείμενα καὶ οὐ συμπεφυκότα καὶ ἡνωμένα ἀλλήλοις, ἀλλὰ μόνον ἁπτόμενα ἀλλήλων ὥσπερ οἱ σῖτοι ἐν τῷ σωρῷ, ὡς εἶναι, φέρε εἰπεῖν, τὰς μὲν χεῖρας καὶ τὸν σπλῆνα καὶ τὸ ἧπαρ ἐν τῷ ἐδάφει κείμενα, ἐπάνω δὲ τούτων τὴν κεφαλὴν καὶ τὴν κοιλίαν, καὶ ἐπάνω τούτων τοὺς πόδας καὶ τὰ ἔντερα· ὅταν οὖν ταῦτα ὕλην ὄντα Σωκράτους οὕτως ἔχοντα καὶ οὕτω κείμενα νοῶμεν, τότε εἰσὶ τόδε τι τῷ φαίνεσθαι, τόδε τι λέγων τὸν Σωκράτην ἢ ὅλως τὸ ζῷον, ὅπερ ἂν ἀποτελέσαιεν εἰ λάβοι τάξιν τε καὶ ἕνωσιν καὶ σύμφυσιν ὑπὸ φύσεως. εἰσὶν οὖν αἱ χεῖρες καὶ οἱ πόδες καὶ ἡ κεφαλὴ καὶ τὰ λοιπὰ ἀτάκτως καὶ ὡς ἔτυχε κείμενα ὁ Σωκράτης τῷ φαίνεσθαι, τουτέστι κατὰ φαντασίαν· φανταζόμεθα γὰρ ὅτι, εἰ λάβοι δύναμιν ἡ φύσις ὥστε τάξαι καὶ ἑνῶσαι τὴν προκειμένην ὕλην, γενήσεται ὁ Σωκράτης· ὅταν δὲ ἑνωθῶσι καὶ συνεχισθῶσι καὶ τάξιν λάβωσι, τότε οὐ κατὰ φαντασίαν ἐστὶν ἡ τοιαύτη ὕλη ὁ Σωκράτης, ἀλλ' ἤδη ἐστὶ Σωκράτης, καὶ ἀληθὲς εἰπεῖν ὅτι ταῦτα Σωκράτης ἐστίν. ὅσα οὖν ὑλικὰ ἁφῇ εἰσιν ἓν ἀλλὰ μὴ συμφύσει καὶ ἑνώσει, κατὰ φαντασίαν εἰσὶ τόδε τι. ὁμοίως καὶ ἐπὶ πυρὸς καὶ ἀέρος καὶ ὕδατος καὶ γῆς. ὅταν μὲν γὰρ κατὰ ἁφὴν εἰσιν ἕν, κατὰ φαντασίαν εἰσὶν ὁ Σωκράτης· ὅταν δὲ ὑπὸ τῆς φύσεως κραθέντα ἀλλοιωθῶσι καὶ γένωνται Σωκράτης, τότε εἰσὶ κατ' ἀλήθειαν ὁ Σωκράτης. μία μὲν οὖν οὐσία ἐστὶν ἡ ὕλη, ἄλλη δὲ πάλιν οὐσία ἐστὶ φύσις τόδε τι οὖσα καὶ ἕξις τις εἰς ἥν. λέγει δὲ φύσιν καὶ τόδε τι καὶ ἕξιν τὸ εἶδος· ἐκ παραλλήλου γὰρ ταῦτα κεῖται. τὸ δὲ εἰς ἥν ἀντὶ τοῦ εἰς ἣν φύσιν καὶ εἶδος ἡ γένε|σίς ἐστιν· πᾶσα γὰρ γένεσις 650 ὁδός ἐστιν εἰς εἶδός τι. ἄλλη δὲ πάλιν οὐσία ἐστὶ τὸ ἐξ ὕλης καὶ εἴδους, οἷον Σωκράτης Καλλίας. εἰπὼν δὲ ὅτι τρίτη δὲ οὐσία ἐστὶ τὸ καθ' ἕκαστον Σωκράτης Καλλίας, λέγει ὅτι ἐπί τινων μὲν φανερόν ἐστιν ὅτι οὐκ ἔστιν εἴδη ἤτοι ἰδέαι αὐτῶν τῶν καθ' ἕκαστα, καὶ τοῦτο ἀρέσκει καὶ αὐτοῖς τοῖς τὰς ἰδέας θεμένοις· τῶν γὰρ ὑπὸ τέχνης γινομένων ἰδέας εἶναι οὐκ ἔλεγον, ἀλλὰ τῶν ὑπὸ φύσεως. ἐπί τινων οὖν οὔκ εἰσιν ἰδέαι· τῆς γὰρ οἰκίας καὶ πρίονος καὶ ἀνδριάντος οὐκ ἔστιν εἶδος ἤτοι ἰδέα, εἰ μή τις, φησί, καὶ ἐπὶ τούτων λέγει ἰδέας τὰς τέχνας, δι' ὧν ταῦτα γίνε-

---

2 γεννᾷ. αἱ δὲ M: ante αἱ add. τὸ δὲ AL 3 ὑπὸ L: ἀπὸ A 22 συνεχισθῶσι L: συνεχεσθῶσι A 25 συμφύσει M: συμφήσει AL 27 post ἕν add. ἀλλὰ μὴ συμφύσει καὶ ἑνώσει M Bonitz 28 γένωνται LM: γίνονται A

ται. εἴδη μὲν οὖν τῶν τεχνητῶν ἐν ὑποστάσει οὔκ εἰσιν ἀλλὰ μόνῃ τῇ ἐπινοίᾳ· καὶ ἐπὶ τούτῳ οὔτε διὰ γενέσεως καὶ χρονικῆς παρατάσεως καὶ ὅλως μεταβολῆς τινος ὑποκειμένου τὸ εἶναι αὐτοῖς οὔτε διὰ φθορᾶς τὸ μὴ εἶναι. τούτου γάρ ἐστι δηλωτικὸν τὸ οὐδ' ἔστι γένεσις καὶ φθορὰ τούτων, ἀλλ' ἄλλον τρόπον εἰσὶ καὶ οὔκ εἰσι, τουτέστιν ἄνευ γενέσεώς εἰσι καὶ ἄνευ φθορᾶς οὔκ εἰσιν, ὥσπερ αἱ ἁφαί. ὅταν γὰρ φαντάζωμαι εἶδος οἰκίας, ἔστι τὸ τοιοῦτον εἶδος οὐ διὰ γενέσεως· οὐδὲν γὰρ ἀλλοιωθὲν τὸ τοιοῦτον γέγονεν εἶδος, ἀλλ' ἀχρόνως καὶ ἐν τῷ νῦν. καὶ γὰρ καὶ ἡ φαντασία αὐτοῦ ἐν τῷ νῦν μοι γέγονεν. ὅταν δὲ μὴ φαντάζωμαι, οὐκ ἔστιν· καὶ γὰρ καὶ τὸ μὴ φαντάζεσθαι ἐν τῷ νῦν ἀπογίνεται. ἄνευ δὲ ὕλης οἰκίαν καὶ ὑγίειαν αὐτὸ τὸ εἶδος τὸ ἐν τῇ ἡμετέρᾳ φαντασίᾳ τῆς οἰκίας καὶ τῆς ὑγιείας εἶπε. διό, φησίν, οὐ κακῶς εἶπε Πλάτων ὅτι τῶν τεχνητῶν εἴδη οὐκ ἔστιν ἀλλὰ τῶν φύσει. εἰ γὰρ ἔστιν ὅλως εἴδη, τῶν φύσει ἂν εἶεν ἀλλ' οὐ τῶν ἀπὸ τέχνης γινομένων. τὸ γὰρ ἄλλα τούτων μηνυτικόν ἐστι τοῦ τῶν φύσει ἔσονται εἴδη, ἄλλα ὄντα τούτων, ἤτοι τῶν δεῦρο καὶ αἰσθητῶν. τὸ δὲ οἷον πῦρ σὰρξ κεφαλή· ἅπαντα γὰρ ὕλη ἐστί, καὶ τῆς μάλιστα οὐσίας ἡ τελευταία οὐδεμίαν ἔχει ἀκολουθίαν τοῖς προσεχῶς λεχθεῖσιν, οὐδέ ἐστι συνῳδὰ τούτοις, ἀλλὰ συνᾴδοι ἂν τῷ ὅσα γὰρ ἁφῇ καὶ μὴ συμφύσει, ὕλη καὶ ὑποκείμενον. καὶ ἔστι τὸ συνεχὲς τῶν λεγομένων τοιοῦτον ὅσα γὰρ ἁφῇ καὶ μὴ συμφύσει, ὕλη καὶ ὑποκείμενον, οἷον πῦρ σὰρξ κεφαλή· ἅπαντα γὰρ ὕλη ἐστὶ καὶ τῆς μάλιστα οὐσίας ἡ τελευταία· εἶτα τὸ ἡ δὲ φύσις τόδε τι εἰς ἦν καὶ ἕξις καὶ τὰ λοιπά. λέγει δὲ μάλιστα οὐσίαν τὴν ἄτομον Σωκράτην Καλλίαν. ἔστι γὰρ τῆς τοιαύτης οὐσίας ὕλη τὸ πῦρ, μάλιστα δέ ἐστιν ὕλη αὐτῆς ἡ τελευταία ἤτοι ἡ προσεχής, οἷον σὰρξ νεῦρα ὀστᾶ.

p. 1070a21 Τὰ μὲν οὖν κινοῦντα ὡς προγεγενημένα ὄντα.

Καὶ τοῦτο οἰκεῖόν ἐστι τῷ περὶ τῶν αἰτίων λόγῳ. ἔστι δὲ τὸ λεγόμενον ὅτι τὰ κινοῦντα, τουτέστι τὰ ποιητικὰ αἴτια, πρότερά ἐστι τῶν ποιουμένων τῷ χρόνῳ. πρότερος γὰρ Σωφρονί|σκος Σωκράτους καὶ οἰκο- 651
δόμος οἰκίας. ἔχει δέ τινα ἀσάφειαν ἡ λέξις. τὰ μὲν οὖν κινοῦντά φησιν ὡς προγεγενημένα ὄντα, τὸ ὄντα ἀντὶ τοῦ ὑπάρχοντα, ἵν' ᾖ τὸ λεγόμενον 'τὰ ποιητικὰ ὑπάρχουσι καὶ λόγον ἔχουσι πρὸς τὰ ποιούμενα τὸν πρότερον κατὰ χρόνον· τὰ δὲ εἰδικὰ αἴτια ἅμα.' ἅμα γὰρ τῷ εἶναι χαλκῆν σφαῖραν ἔστι καὶ τὸ στρογγύλον, ὅπερ ἐστὶ τὸ εἶδος τῆς σφαίρας· ὁμοίως ἅμα τῷ εἶναι τὸν ὑγιαίνοντα ἔστιν ἡ ὑγίεια ἕξις τις οὖσα καὶ εἶδος. ὅτι μὲν οὖν τὰ εἰδικὰ αἴτια ἅμα ἐστὶ τοῖς ὧν εἰσιν αἴτια δῆλον·

---

6. 7 φαντάζωμαι L: φαντάζωμεν A 9 μοι L: om. A 27 κινοῦντα αἴτια ὡς Metaph.: αἴτια add. etiam L (ante ὄντα), sed cf. 31. 32 32 τὸ ὄντα scripsi: τὰ ὄντα libri

εἰ δὲ καὶ χωριζόμενα τὰ εἴδη μετὰ τὸν χωρισμὸν μένει καὶ ἔστιν, ἀλλὰ μὴ εἰς τὸ μὴ εἶναι ἀπέρχεται, τοῦτο δεῖται πολλῆς τῆς σκέψεως. ὅμως, φησίν, ἐπί τινων οὐδὲν κωλύει, οἷον ἐπεὶ ἡ ψυχὴ εἶδός ἐστι τῶν ἐμψύχων, οὐδὲν κωλύει τινὰ ψυχήν, οἷον τὸν νοῦν ἤτοι τὴν λογικὴν ψυχήν, μένειν· αἱ γὰρ ἄλογοι θνηταί εἰσιν. καὶ διὰ τοῦτο πρόσκειται τὸ ἴσως. καὶ ἐπεὶ ἁπάντων τὰ αἴτια δῆλά ἐστιν, οὐδεμία χρεία τῶν ἰδεῶν εἰς τὴν τούτων γένεσιν. γίνεται γὰρ Σωκράτης ἐκ Σωφρονίσκου καὶ Πλάτων ἐξ Ἀριστωνος· ὁμοίως καὶ ἐπὶ τῶν τεχνητῶν· ἐκ γὰρ τῆς ἰατρικῆς τέχνης, ἥτις λόγος ἐστὶ καὶ εἶδος τῆς ὑγιείας, γίνεται ἡ ὑγίεια.

p. 1070a31 Τὰ δὲ αἴτια καὶ αἱ ἀρχαὶ ἄλλαι ἄλλων ἔστιν ὡς.

Ἐντεῦθεν ἡ λύσις τῆς λεγούσης ἀπορίας πότερον τὰ αἴτια καὶ αἱ ἀρχαὶ αἱ αὐταί εἰσι πάντων ἢ οὔ. λέγει οὖν ὅτι τρόπον μέν τινά εἰσιν αἱ αὐταί, τρόπον δέ τινα ἕτεραι. καθόλου μὲν οὖν, φησί, καὶ τί δηλοῖ τὸ καθόλου σαφηνίζων ἐπήγαγε καὶ κατὰ ἀναλογίαν εἰσὶν αἱ αὐταί. ἐπεὶ γὰρ πάντων τῶν γινομένων ἐστὶν ὕλη καὶ εἶδος καὶ στέρησις, καὶ πάντα τὰ γινόμενα ὑπὸ ὕλην καὶ εἶδος καὶ στέρησίν εἰσιν, εἰσὶ κατὰ τὸ καθόλου πάντων αἱ αὐταὶ ἀρχαί· παντὸς γὰρ αἴτια ὕλη εἶδος καὶ στέρησίς ἐστιν. τοῦ μὲν γὰρ ἀνδριάντος ὕλη ὁ χαλκός, εἶδος τὸ τοιονδὶ σχῆμα, στέρησις οὗ ἐστέρηται εἴδους οἷον ἱππείου· καὶ θύρας ὕλη ξύλον, εἶδος τὸ τοιονδὶ σχῆμα, στέρησις δὲ φέρε εἰπεῖν κιβωτίου. ὥστε καθόλου μὲν καὶ κατὰ ἀναλογίαν (ὡς γὰρ χαλκὸς πρὸς ἀνδριάντα, ξύλον πρὸς θύραν) πάντων αἱ αὐταί εἰσιν ἀρχαί, ὕλη εἶδος στέρησις· κατὰ δὲ τὰ προσεχῆ καὶ συντεταγμένα ἕτεραι· ἄλλη γὰρ ὕλη ἀνδριάντος, ἄλλη θύρας, ἄλλη Σωκράτους. ὁμοίως καὶ ἐπὶ εἴδους καὶ στερήσεως· ἄλλο εἶδος ἀνδριάντος καὶ ἄλλη στέρησις, καὶ ἄλλο θύρας καὶ ἄλλο Σωκράτους. καὶ ἐπὶ τοῦ ποιητικοῦ ὁμοίως· κατὰ γὰρ τὸ καθόλου πάντων τὸ ὡς κινοῦν αἴτιον τὸ ποιητικόν ἐστι, τὰ δὲ προσεχῆ ἕτερα· τοῦ μὲν γὰρ Σωκράτους ποιητικὸν ὁ Σωφρονίσκος, τοῦ δὲ ἀνδριάντος ὁ ἀνδριαντοποιός. ὥστε ἐρωτώμενοι πότερον πάντων αἱ ἀρχαὶ | καὶ τὰ αἴτια τὰ αὐτὰ ἢ ἕτερα, ῥητέον ὅτι τρόπον μέν τινα τὰ αὐτὰ τρόπον δέ τινα ἕτερα, κατὰ μὲν τὸ καθόλου τὰ αὐτά, κατὰ δὲ τὰ προσεχῆ ἕτερα. εἰπὼν δὲ ὅτι τὰ αἴτια καὶ αἱ ἀρχαὶ ἄλλαι ἄλλων, τὸ εὔλογον τοῦ μνησθῆναι τοῦ λόγου τούτου δεικνὺς ἐπήγαγεν ‘ἀπορήσειε γὰρ ἄν τις πότερον τὰ στοιχεῖα καὶ αἱ ἀρχαὶ τῆς οὐσίας τοῦ ποσοῦ τοῦ ποιοῦ τοῦ πρός τι καὶ τῶν λοιπῶν κατηγοριῶν ἕτερά εἰσιν ἢ τὰ αὐτά;’ καὶ δείκνυσιν ὅτι κυρίως μὲν καὶ κατὰ τὰ προσεχῆ οὔκ εἰσι τὰ αὐτά. ἄτοπον γάρ, φησί, τὸ λέγειν πάντων τὸ αὐτὸ στοιχεῖον. δείκνυσι δὲ τοῦτο ἐκ διαιρέσεως. εἰ γάρ ἐστιν ἓν πάντων στοιχεῖον, ἢ ἕτερόν ἐστι πασῶν τῶν κατηγοριῶν, ἢ μία αὐτῶν ἔσται τῶν λοιπῶν στοιχεῖον. καὶ

652

---

10 αἱ L: om. A 13 ἕτεραι L: ἔσται A 15 πάντων L: πάντα A 16 κατὰ L: om. A 21 ὡς L: ὃ A 25 ἄλλη M: ἄλλο AL ἄλλο θύρας L: ἄλλη θύρας A

ὅτι μὲν ἕτερον τῶν δέκα κατηγοριῶν οὐκ ἔστι, δῆλον· ἐπεὶ γὰρ τὰ στοιχεῖα πρότερά ἐστι τῶν ὧν ἐστι στοιχεῖα ἤτοι τῶν στοιχειωτῶν, εἴπερ ἐστὶ τῶν δέκα γενικωτάτων γενῶν, οὐσίας ποσοῦ ποιοῦ καὶ τῶν λοιπῶν, τὸ αὐτὸ στοιχεῖον, ἔσται πρότερον αὐτῶν· οὐδὲν δὲ πρότερον οὐσίας καὶ τῶν λοιπῶν κατηγοριῶν, οὐδὲ ὅλως οὐδέν ἐστι παρ' αὐτάς· οὐκ ἄρα ἐστὶ πάντων ἓν στοιχεῖον. ἀλλὰ μὴν οὐδὲ ἡ οὐσία στοιχεῖόν ἐστι τῶν πρός τι καὶ τῶν λοιπῶν κατηγοριῶν· πῶς γὰρ ἐκ τῆς οὐσίας γενήσεται μὴ οὐσία; ἐξ οὐσίας γὰρ ἀεὶ οὐσία γίνεται. οὐδὲ δὴ τὰ πρός τι ἔσται τῆς οὐσίας στοιχεῖα. πῶς γὰρ ἐκ συμβεβηκότος γενήσεται οὐσία; τὸ δὲ ἔτι πῶς ἐνδέχεται πάντων εἶναι ταὐτὰ στοιχεῖα; οὐδὲν γὰρ οἷόν τ' εἶναι τῶν στοιχείων τῷ ἐκ στοιχείων συγκειμένῳ τὸ αὐτό, τοῦτο τὸ ἐπιχείρημα τὸ αὐτό ἐστι τῷ πρὸ αὐτοῦ, ἄλλως δὲ ἐφοδευθέν· ἐκεῖ μὲν γὰρ ἔλεγεν ὅτι τὸ στοιχεῖον πρότερόν ἐστιν ὧν ἐστι στοιχεῖον, ἐνταῦθα δὲ λέγει ὅτι τὸ στοιχεῖον ἕτερόν ἐστιν ὧν ἐστι στοιχεῖον· οὐκ ἔστι γὰρ ὁ συγκείμενος Σωκράτης ἐκ πυρὸς καὶ γῆς καὶ τῶν μεταξὺ ὁ αὐτὸς τῷ πυρὶ καὶ τῇ γῇ, ἀλλ' ἕτερος. εἰ δὴ τὰ στοιχεῖα ἕτερά ἐστι τῶν ὧν ἐστι στοιχεῖα, εἴπερ ἐστὶν ἕν τι καὶ τὸ αὐτὸ στοιχεῖον τῶν δέκα κατηγοριῶν, ἕτερον ἔσται πασῶν τῶν κατηγοριῶν. οὐκ ἔστι δέ τι παρὰ ταύτας· οὐκ ἄρα ἐστὶ πάντων ἓν στοιχεῖον. ὅτι δὲ τὰ στοιχεῖα ἕτερά ἐστι τῶν συγκειμένων ἐξ αὐτῶν δείκνυσιν ἐκ τῆς ἐπαγωγῆς· τὸ γὰρ βῆτα, φησί, στοιχεῖον ὂν τῆς βα συλλαβῆς, ἕτερόν ἐστιν αὐτῆς.

p. 1070b7 Οὐδὲ δὴ τῶν νοητῶν στοιχείων, οἷον τὸ ὂν καὶ τὸ ἕν.

Τίνα λέγει νοητὰ στοιχεῖα αὐτὸς ἐδήλωσεν, ὅτι τὸ ἓν καὶ τὸ ὄν. οὐ δὴ τὸ ὄν, φησί, καὶ τὸ ἓν δυνατόν ἐστι πάντων εἶναι στοιχεῖα. δείκνυσι δὲ τοῦτο ἐπὶ τῷ προαξιωθέντι τῷ ὅτι τὰ στοιχεῖα ἕτερά εἰσι τῶν ἐξ αὐτῶν γεγονότων. εἰ οὖν τὸ ἓν καὶ τὸ ὂν στοιχεῖά εἰσι πάν|των, τὰ πάντα 653
ἕτερα ἔσται τοῦ ἑνὸς καὶ τοῦ ὄντος. ἀλλ' ὥσπερ τὸ ἐκ πυρὸς καὶ γῆς οὔτε πῦρ ἐστιν οὔτε γῆ, οὕτως οὐδὲ τὸ ἐξ ἑνὸς καὶ ὄντος οὔτε ἓν ἔσται οὔτε ὄν, ὥστε ἔσται καὶ ἡ οὐσία τὸ ποσὸν τὸ ποιὸν καὶ αἱ λοιπαὶ μὴ ὄντα καὶ μὴ ἕνα, ὅπερ ἀδύνατον. εἰ δὲ τοῦτο ἀδύνατον, ψεῦδος δι' οὗ τοῦτο συνῆκται· ἦν δὲ τὸ ὅτι τὸ ἓν καὶ τὸ ὂν στοιχεῖά ἐστι πάντων. ἐπὶ δὲ τοῦ ὑπάρχει γὰρ ταῦτα ἐν ἑκάστῳ καὶ τῶν συνθέτων προσυπακουστέον τοῦ τῶν ἁπλῶν, ἵν' ᾖ 'ταῦτα γάρ, τὸ ὂν καὶ τὸ ἕν, ἐνυπάρχει ἑκάστῳ τῶν ἁπλῶν καὶ τῶν συνθέτων.' τὸ δὲ οὐδὲν ἄρα ἔσται αὐτῶν οὔτε οὐσία οὔτε πρός τι τοιοῦτον ἂν εἴη· αὐτῶν, ἤτοι τῶν ὡς ἐκ στοιχείου τοῦ ὄντος καὶ τοῦ ἑνὸς γεγονότων, οὐδὲν ἔσται ἤτοι οὐδαμῶς ἔσται οὐδὲ ἕξει ὕπαρξίν τινα· ὥσπερ γάρ, ὡς εἴρηται, τὸ ἐκ πυρὸς καὶ γῆς

---

8 δὴ τὰ L: διττὰ A 9 ἐκ συμβ. L: ἐκ μὴ συμβ. A 12 ἐφοδευθέν L: ἐφηδευθέν A 14 συγκείμενος L: om. A 22 στοιχείων AL Metaph. cod. E: στοιχεῖόν ἐστι Metaph. vulg. 30 ἕνα M: ἓν AL 32 ἐν non legitur in Metaph.

οὐ πῦρ οὐδὲ γῆ, οὕτως οὐδὲ τὸ ἐξ ἑνὸς καὶ ὄντος ἔσται ἓν καὶ ὄν, ἀλλ' ἔσται οὐχ ἓν καὶ οὐκ ὄν. τὸ δὲ οὔτ' οὐσία οὔτε πρός τι δύναταί τις ἀκούειν ὡς ἴσον τῷ ὡς οὔτε ἡ οὐσία ἔσται ὂν οὔτε τὸ πρός τι. δύναται δὲ καὶ οὕτως αὐτοῦ ἀκούειν. εἰ μὲν οὖν τὸ ὂν ἐρεῖ τις στοιχεῖον, ἐπειδὴ ἕτερόν ἐστι τὸ στοιχεῖον τῶν ἐξ αὐτοῦ, ἢ αὐτὸ ἔσται μὴ ὂν ἢ τὰ ἐξ αὐτοῦ· οὐ γὰρ δυνατὸν καὶ τὸ ὂν ἤτοι τὸ στοιχεῖον εἶναι ὂν καὶ τὰ ἐξ αὐτοῦ ὄντα. εἰ δὲ τὴν οὐσίαν λέγει τις στοιχεῖον, ἢ αὐτὴ οὐκ ἔσται οὐσία ἢ τὰ ἐξ αὐτῆς, οἷον ὁ Σωκράτης ὁ Πλάτων καὶ τὰ λοιπά. ὁμοίως εἰ ἔστι τὸ πρός τι στοιχεῖον, ἔσται τὸ πρός τι οὐ πρός τι. καὶ συμπεραίνεται λέγων οὐκ ἔστιν ἄρα πάντων τὰ αὐτὰ στοιχεῖα καὶ αἴτια, ἀλλὰ τρόπον μέν τινα τὰ αὐτὰ τρόπον δέ τινα ἕτερα. ᾗ μὲν γὰρ πάντων ἐστὶ στοιχεῖα ὕλη εἶδος στέρησις ποιητικὸν καὶ πάντα ὑπ' αὐτά εἰσι, κατὰ δὴ τοῦτό εἰσιν αἱ αὐταὶ πάντων ἀρχαί· ᾗ δὲ ἄλλη μὲν ἀνδριάντος ὕλη ἑτέρα δὲ ζῴου, ὁμοίως καὶ ἄλλο μὲν εἶδος καὶ ποιητικὸν ἀνδριάντος ἕτερον δὲ ἑτέρου, ταύτῃ εἰσὶν ἕτεραι αἱ ἀρχαὶ καὶ οὐχ αἱ αὐταὶ πάντων. κατὰ μὲν οὖν τὰ καθόλου, εἶδός φημι καὶ ὕλην καὶ τὰ λοιπά, πάντων εἰσὶν αἱ αὐταὶ ἀρχαί, κατὰ δὲ τὰ συντεταγμένα ἕτεραι καὶ οὐχ αἱ αὐταί. ὅτι δὴ πάντα ὑπὸ ὕλην εἶδος στέρησιν καὶ ποιητικόν εἰσι, δείκνυσιν ἐξ ἐπαγωγῆς. τῶν μὲν γὰρ αἰσθητῶν, φησί, σωμάτων ἴσως, τουτέστι λόγου χάριν, ὡς μὲν εἶδός ἐστι τὸ θερμόν, ὡς δὲ στέρησις τὸ ψυχρόν, ὕλη δὲ τὸ δυνάμενον γενέσθαι θερμὸν ἢ ψυχρόν. τὸ δὲ καθ' αὑτὸ πρόσκειται. ἐπεί φαμεν ὡς τὸ λευκὸν γέγονεν ψυχρόν, ἀλλ' οὐ καθ' αὑτό· καθ' αὑτὸ δὲ γίνεται ψυχρὸν τὸ ὑποκείμενον τῷ λευκῷ. εἶδος μὲν οὖν τὸ θερμόν, στέρησις τὸ ψυχρόν, ὕλη τὸ δυνάμει ταῦτα. οὐσίαι δέ εἰσι τὸ θερμόν (εἶδος γὰρ καὶ οὐσία πυρὸς τὸ θερμόν) καὶ ἡ ὕλη. καὶ οὐ μόνον εἰσὶ ταῦτα οὐσίαι, ἀλλὰ καὶ τὸ ἐκ θερμοῦ καὶ ψυχροῦ, τουτέστιν ἐκ πυρὸς καὶ ὕδατος· εἴτε γὰρ σάρξ ἐστι τοῦτο εἴτε ὀστοῦν εἴτε ὁτιοῦν ἕτερον. τὸ δὲ | ἕτερον γὰρ ἀνάγκη 654
ἐκείνων εἶναι τὸ γενόμενον οὐδαμῶς συνᾴδει τοῖς προσεχῶς ῥηθεῖσιν· εἴη δ' ἂν συνεχὲς τῷ πρὸ ὀλίγου ῥηθέντι τῷ οὐδὲν ἄρα ἔσται αὐτῶν οὔτε οὐσία οὔτε πρός τι. καὶ εἴη ἂν τοῦτο κατασκευὴ τοῦ μὴ εἶναι τὴν οὐσίαν οὐσίαν, μηδὲ τὸ πρός τι πρός τι· ἕτερον γὰρ ἀνάγκη ἐκείνων εἶναι τὸ γενόμενον· ὡς γὰρ εἴρηται, ἕτερόν ἐστι τὸ ἐκ στοιχείου γεγονὸς τῶν στοιχείων. τούτων μὲν οὖν τῶν προσεχῶς ῥηθέντων τὸ μὲν θερμόν ἐστιν εἶδος, τὸ δὲ ψυχρὸν ὡς στέρησις, τὸ δὲ δυνάμενον αὐτὰ ὡς ὕλη, καὶ τὸ μὲν φῶς ὡς εἶδος, τὸ δὲ σκότος ὡς στέρησις. καὶ ἐκ μὲν ἀέρος καὶ φωτός, ἤτοι ἐξ ὕλης καὶ εἴδους, ἡμέρα, ἐκ δὲ ἀέρος καὶ σκότους, τουτέστιν ὕλης καὶ στερήσεως, νύξ. ὥστε πάντων μὲν οὕτω, τουτέστι κατ' ἀναλογίαν μὲν πάντων εἰσὶν αἱ αὐταὶ ἀρχαί, ὥσπερ εἴπομεν, κυρίως δὲ οὔ. καὶ ἐπεί, φησίν, οὐ μόνον τὰ κατασυντεταγμένα ἡμῖν εἰσιν αἴτια, ἀλλὰ καὶ

---

3 ὡς οὔτε L: ὥστε A 16 οὖν L: om. A 17 δὴ L: om. A 24 καὶ οὐσία L: post καὶ add. ἡ A 26 ἐκ θερμοῦ L: post ἐκ add. τοῦ A 28 συνᾴδει] δυνάμει L 29 τῷ οὐδὲν M: τὸ οὐδὲν AL 31 ἐκείνων L: om. A 32 γενόμενον L: γινόμενον A 34. 35 καὶ τὸ — στέρησις M: καὶ et μὲν et δὲ om. AL 39 fort. συγκατατεταγμένα

τὸ ἐκτός, οἷον τὸ κινοῦν ἤτοι τὸ ποιητικόν, ἕτερον ἀρχὴ καὶ στοιχεῖον· καθολικώτερον γὰρ ἡ ἀρχὴ τοῦ στοιχείου. τὸ μὲν γὰρ στοιχεῖον καὶ ἀρχή, οὐ πᾶσα δὲ ἀρχὴ στοιχεῖον· ὁ γὰρ πατὴρ ἀρχὴ μέν, στοιχεῖον δὲ οὔ. καὶ διαιρεῖται ἡ ἀρχὴ ὡς καθολικώτερον ὡς εἰς μερικώτερα ταῦτα, λέγω δὴ τὴν ὕλην τὸ εἶδος τὴν στέρησιν τὸ ποιητικόν. εἰ δὴ εἰς ταῦτα διαιρεῖται ἡ ἀρχή, δῆλον ὅτι τὸ κινοῦν καὶ ἱστῶν ἤτοι τὸ ποιητικὸν ἀρχή τίς ἐστιν· ὥστε τὰ κατὰ ἀναλογίαν πανταχοῦ εὑρισκόμενα στοιχεῖα τρία ἐστίν, ὕλη εἶδος στέρησις, ἀρχαὶ δὲ καὶ αἴτια τέτταρα, ὕλη εἶδος στέρησις καὶ ποιητικόν. ταῦτα δὲ τὰ τέτταρα ἄλλα ἐν ἄλλοις, οἷον ἐπὶ μὲν τῶν ζῴων ὡς μὲν ὕλη τὸ τῶν ζῴων σῶμα, ὡς δὲ εἶδος ἡ ὑγίεια, ὡς στέρησις ἡ νόσος, ὡς ποιητικὸν ἡ ἰατρική. πάλιν ὡς μὲν εἶδος ἡ οἰκία, ὡς στέρησις ἡ τοιαδὶ ἀταξία, ὡς ὕλη οἱ πλίνθοι, ὡς ποιητικὸν ὁ οἰκοδόμος. ὥστε πάντων αἴτιά ἐστιν ὕλη εἶδος στέρησις ποιητικόν, ἄλλα δὲ ἄλλων.

p. 1070b30 Ἐπεὶ δὲ τὸ κινοῦν ἐν μὲν τοῖς φυσικοῖς ἄνθρώποις ἄνθρωπος.

Φυσικοὺς ἀνθρώπους εἶπε διὰ τὸν αὐτοάνθρωπον· ἐκεῖνος γὰρ οὐ φυσικός. ὃ δὲ νῦν λέγει, εἴρηκε καὶ ἐν τῇ Φυσικῇ, ὅτι τὸ ποιητικὸν καὶ τὸ εἰδικὸν πολλάκις τὸ αὐτό ἐστιν. Σωφρονίσκος γὰρ καὶ Σωκράτης ἀριθμῷ μὲν ἕτεροι εἴδει δὲ οἱ αὐτοί, καὶ ἡ ἐν τῷ σώματι ὑγίεια καὶ τὸ ποιητικὸν αὐτῆς ἡ ἰατρικὴ τῷ εἴδει τὰ αὐτά ἐστιν (ἡ γὰρ ἰατρικὴ ὁ λόγος ἐστὶ τῆς ὑγιείας), ὁμοίως καὶ ἡ οἰκία καὶ ἡ οἰκοδομική· ὥστε τὸ ποιητικὸν καὶ τὸ εἰδικόν, οὐ πᾶν ἀλλά τι, τῷ ἀριθμῷ μέν ἐστι δύο τῷ εἴδει δὲ ἕν. καὶ ἐπὶ τούτῳ τρόπον μέν τινα τὰ αἴτιά ἐστι τρία, τρόπον δέ τινα τέτταρα. ἔτι παρὰ ταῦτα τὰ αἴτιά ἐστι τὸ πάντων πρῶτον, ὅπερ ἐστὶν ἡ ζητουμένη ἐνταῦθα ἀρχή. |

p. 1070b36 Ἐπεὶ δέ ἐστι τὰ μὲν χωριστὰ τὰ δ' οὐ χωριστά, οὐσίαι ἐκεῖνα. 655

Διὰ τούτων δείκνυσιν ὅτι αἱ τῶν οὐσιῶν ἀρχαὶ καὶ τῶν συμβεβηκότων εἰσὶν ἀρχαὶ καὶ αἴτια τοῦ εἶναι. ἐπεὶ γάρ, φησί, τῶν ὄντων τὰ μέν ἐστι χωριστὰ καὶ καθ' αὑτὰ ὑπάρχοντα ὥσπερ αἱ οὐσίαι, τὰ δὲ ἀχώριστα καὶ μὴ δυνάμενα καθ' αὑτὰ εἶναι ἀλλ' ἐν ἄλλοις τὸ εἶναι ἔχοντα οἷον τὰ συμβεβηκότα, διὰ τοῦτό εἰσιν οὐσίαι ἐκεῖνα ἤτοι τὰ χωριστὰ καὶ καθ' αὑτὰ ὑπάρχοντα, καὶ διὰ τοῦτο ταῦτα ἤτοι αἱ τῶν οὐσιῶν ἀρχαὶ καὶ τῶν ἄλλων ἁπάντων αἴτια τοῦ εἶναι. καὶ τὴν αἰτίαν γοργῶς ἐπήγαγεν εἰπὼν ὅτι τῶν οὐσιῶν ἄνευ οὐκ ἔστι τὰ πάθη καὶ αἱ κινήσεις. ἐπεὶ γὰρ αἱ τῶν οὐσιῶν ἀρχαὶ αἴτιαί εἰσι τοῦ τὰς οὐσίας εἶναι, οὐσίαι δὲ αἴτιαι πάλιν εἰσὶ τοῦ καὶ τὰ συμβεβηκότα εἶναι, εὔδηλον ὅτι αἱ τῶν οὐσιῶν ἀρχαὶ αἴτιαί

---

1 τὰ ἐκτός L 17 ἐν τῇ Φυσικῇ] B 7 p. 198a26 24 ἔτι L: ἐστὶ A

εἰσι τοῦ καὶ τὰ συμβεβηκότα εἶναι. εἶτα λέγει καὶ τίνα εἰσὶ τὰ λίαν προσεχέστατα τοῦ τὰ ἔμψυχα εἶναι αἴτια· ταῦτα γάρ, φησίν, ἔστι ψυχὴ ἴσως καὶ σῶμα, ὥσπερ ἐπὶ φυτῶν, ἢ νοῦς καὶ σῶμα καὶ ὄρεξις, ὡς ἐπὶ ἀνθρώπων, ἢ σῶμα καὶ ὄρεξις, ὡς ἐπὶ τῶν ἀλόγων ἔστιν ἰδεῖν.

5 p. 1071a3 Ἔτι δὲ ἄλλον τρόπον τῷ ἀνάλογον ἀρχαὶ αἱ αὐταί. 15

Εἰπὼν ὅτι πάντων ἀρχαί εἰσιν ὕλη εἶδος στέρησις ποιητικόν, καὶ τῷ μὲν ἀνάλογόν εἰσιν αἱ αὐταί, κυρίως δὲ οὐχ αἱ αὐταὶ ἀλλ' ἕτεραι, ἐπειδὴ καὶ ἡ δύναμις καὶ ἡ ἐνέργεια ἀρχαί εἰσιν (ἐκ γὰρ τοῦ ἐνεργείᾳ μὲν τουδὶ δυνάμει δὲ τουδὶ τὰ γινόμενα γίνεται, καὶ ὡς αὐτὸς ἐν τῇ Φυσικῇ
10 εἴρηκεν, 'αὕτη γὰρ ἂν ἡ φύσις ὀφθεῖσα πᾶσαν ἔλυσεν ἀπορίαν'), λέγει ὅτι 20 ὥσπερ ἐν ἅπαντι ὁρῶντες ὕλην εἶδος ποιητικὸν στέρησιν ἐλέγομεν ὅτι πάντων αἱ ἀρχαὶ αἱ αὐταί εἰσιν, οὕτως ἐπειδὴ ἐν παντὶ ὁρᾶται τὸ δυνάμει καὶ ἐνεργείᾳ, κατὰ τὸ καθόλου δυνάμει καὶ καθόλου ἐνεργείᾳ, ὅφ' ἃ πάντα τὰ ἐν γενέσει, εἴποιμεν ἂν τὰς αὐτὰς εἶναι πάντων ἀρχάς, κατὰ δὲ τὴν
15 ἑκάστῳ ἐνοῦσαν δύναμιν καὶ ἐνέργειαν ἑτέρας καὶ οὐ τὰς αὐτάς. ὥστε 25 ποτὲ μὲν εἰς τὴν ὕλην καὶ τὸ εἶδος καὶ τὰ λοιπὰ ἀποβλέποντες ἢ τὰς αὐτὰς ἢ ἑτέρας εἶναι τῶν ἁπάντων ἀρχὰς ἐροῦμεν, ποτὲ δὲ εἰς τὴν δύναμιν καὶ τὴν ἐνέργειαν. ἔτι οὖν, φησίν, ἄλλον τρόπον καὶ κατ' ἄλλην ἀναλογίαν (οὐ γὰρ κατὰ τὴν πρὸς τὸ εἶδος καὶ ὕλην καὶ τὰ λοιπὰ ἀναλογίαν, ἀλλὰ
20 κατὰ τὴν πρὸς τὸ δυνάμει καὶ ἐνεργείᾳ) αἱ ἀρχαὶ αἱ αὐταί εἰσιν. ὅμως καὶ ἡ δύναμις καὶ ἡ ἐνέργεια ἄλλοτε ἄλλοις καὶ ἄλλως. ἐνίοις μὲν 30 γὰρ τὸ αὐτὸ ὁτὲ μὲν ἐνεργείᾳ ἐστίν, ὁτὲ δὲ δυνάμει. τῷ γὰρ Σωκράτει ἡ ὑγίεια ποτὲ μὲν ἐνεργείᾳ ἐστὶ ποτὲ δὲ δυνάμει· ὑγιαίνοντος γὰρ Σωκράτους ὑπάρχει αὐτῷ ἡ μὲν ὑγίεια ἐνεργείᾳ ἡ δὲ νόσος δυνάμει, νο-
25 σοῦντος δὲ ἔμπαλιν. ὥστε ἡ ὑγίεια ποτὲ μὲν τούτοις ὑπάρχει οἷον Σω-| κράτει καὶ Πλάτωνι, ποτὲ δὲ ἄλλοις οἷον Ἀχιλλεῖ καὶ Ἀλκιβιάδῃ. ἀλλὰ 656 καὶ ἄλλως· ὁτὲ μὲν γὰρ δυνάμει ὁτὲ δὲ ἐνεργείᾳ. τὸ δὲ οἷον οἶνος ἢ σὰρξ ἢ ἄνθρωπος παραδείγματά ἐστι τοῦ ὁτὲ μὲν ἐνεργείᾳ ὁτὲ δὲ δυνάμει. ἡ γὰρ ὑγρότης, ἥπερ νῦν ἐστιν ἐνεργείᾳ οἶνος, δυνάμει ἐστὶν
30 ὄξος· ὡσαύτως καὶ ἥτις νῦν ἐστιν ἐνεργείᾳ ὄξος, δυνάμει ἐστὶν οἶνος· 5 ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν δύο. ὡς δὲ ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ πάντων. ἀλλὰ καὶ ἡ δύναμις, φησί, καὶ ἡ ἐνέργεια καὶ τὸ ὑποκείμενον αὐταῖς εἰς τὰ εἰρημένα πίπτει ἤτοι ἀνάγεται αἴτια, εἰς ὕλην εἶδος στέρησιν· ἡ μὲν γὰρ ἐνέργεια ἔοικε τῷ εἴδει καὶ τὸ εἶδος τῇ ἐνεργείᾳ, ἡ δὲ δύναμις
35 τῇ στερήσει καὶ ἡ στέρησις τῇ δυνάμει, τὸ δὲ ὑποκείμενον αὐταῖς τῇ ὕλῃ. ἡ μὲν οὖν τῶν λεγομένων διάνοια οἶμαι τοιαύτη· κατὰ δὲ τὴν λέξιν τὸ 10 μὲν ἐνεργείᾳ μὲν τὸ εἶδος ἀντὶ τοῦ ἡ ἐνέργεια ἀναλογεῖ εἴδει καὶ τὸ

---

5 ἀρχαὶ αἱ αὐταί M: αἱ ἀρχαὶ αὐταί AL 7 τῷ LM: τὸ A 9 ἐν τῇ Φυσικῇ] A 8 p. 191b33 10 ἔλυσεν αὐτῶν πᾶσαν τὴν ἄγνοιαν Phys. l. l. 12 αἱ (ante αὐταί) M: om. AL 16 τὰς λοιπὰς L 17 τὰς ἁπάντων L 21 ἄλλοτε] ἄλλα τε Metaph. ἐν ἐνίοις Metaph.

εἶδος τῇ ἐνεργείᾳ, τὸ δὲ ἂν ᾖ χωριστὸν ἀντὶ τοῦ τὸ τῇ ἐπινοίᾳ χωριστόν. τὰ γὰρ ἔνυλα εἴδη τῇ ἐπινοίᾳ μόνον χωρίζεται τῆς ὕλης. τὸ δὲ καὶ τὸ ἐξ ἀμφοῖν ἀντὶ τοῦ οὐ μόνον τὸ εἶδός ἐστιν ἐνέργεια, ἀλλὰ καὶ τὸ ἐξ ὕλης καὶ εἴδους. ἢ τὸ ἐνεργείᾳ μὲν γὰρ τὸ εἶδος, ἐὰν ᾖ χω- 15
5 ριστόν, ἀντὶ τοῦ τὸ φῶς εἴρηκεν, ἵν' ᾖ ὅτι ἡ ἐνέργεια ἤτοι τὸ φῶς τὸ χωριστόν· χωρίζεται γὰρ ἀπὸ τοῦ ἐν τῷ ἀέρι διαφανοῦς καθ' ἑκάστην. ἐξ ἀμφοῖν δὲ λέγει τὴν ἡμέραν, ἐκ τοῦ φωτὸς καὶ τοῦ πεφωτισμένου διαφανοῦς. καὶ ὅτι ἐνέργειαν τὸ φῶς, ὃ καὶ χωριστὸν λέγει, εἴρηκε, τεκμαίρομαι ἐκ τοῦ εἰπεῖν στέρησις δὲ τὸ σκότος.

10 p. 1071a11 Ἄλλως δὲ ἐνεργείᾳ καὶ δυνάμει διαφέρει, ὧν μή ἐστιν 20
ἡ αὐτὴ ὕλη, ὧν οὐκ ἔστι τὸ αὐτὸ εἶδος.

Ἐπειδὴ ἄνθρωπος ἄνθρωπον γεννᾷ καὶ ἥλιος, εἰσὶ δὲ ἀμφότεροι ὅ τε ἥλιος καὶ ὁ Σωφρονίσκος ποιητικὰ Σωκράτους, ἡ μὲν οὖν τοῦ Σωφρονίσκου ὕλη αἱ σάρκες καὶ τὰ ὀστᾶ καὶ νεῦρα, ὁμοίως καὶ τὸ εἶδος καὶ ἡ
15 ἐνέργεια αὐτοῦ οὐδὲν διαφέρει τῷ λόγῳ τῆς τοῦ Σωκράτους ὕλης καὶ τοῦ εἴδους· σάρκες γὰρ καὶ νεῦρα αἱ ἀμφοτέρων ὕλαι. ὁμοίως δὴ καὶ τὰ εἴδη 25 τὰ αὐτά, μόνῳ δὲ τῷ προτέρῳ καὶ ὑστέρῳ διαφέρει. προτέρα γὰρ ἡ Σωφρονίσκου ὕλη καὶ τὸ εἶδος τῆς τοῦ Σωκράτους φύσεως. ἡ δὲ τοῦ ἡλίου ὕλη καὶ τὸ εἶδος οὐ τῷ χρόνῳ μόνῳ προτέρα τῆς τοῦ Σωφρονίσκου ὕλης
20 καὶ τοῦ εἴδους, ἀλλὰ καὶ τῷ λόγῳ. ἡ μὲν γὰρ τοῦ Σωφρονίσκου ὕλη σάρκες, ἡ δὲ τοῦ ἡλίου οὐ τοιαύτη, ἀλλὰ πέμπτον τι σῶμα. ὅτι δὲ καὶ 30 τὸ τοῦ ἡλίου εἶδος ἕτερόν ἐστι τοῦ Σωφρονίσκου εἴδους, οὐ δεῖ με λέγειν. ταῦτα δὴ αἰνίττεται διὰ τοῦ ἄλλως ἐνεργείᾳ καὶ δυνάμει διαφέρει ὧν μή ἐστιν ἡ αὐτὴ ὕλη, ὧν οὐκ ἔστι τὸ αὐτὸ εἶδος. ἐλλιπὴς δέ
25 ἐστιν ἡ λέξις· εἴη δ' ἂν πλήρης, εἰ οὕτως εἶχεν 'ἄλλως δὲ ἐνεργείᾳ καὶ δυνάμει, ὧν μή ἐστιν ἡ αὐτὴ ὕλη μηδὲ τὸ αὐτὸ εἶδος, ὧν οὐκ ἔστι τὸ αὐτὸ εἶδος μηδὲ ἡ αὐτὴ ὕλη.' εἴη | δ' ἂν τὸ λεγόμενον, ἐπειδὴ καὶ ὁ 657
Σωφρονίσκος ποιητικός ἐστι Σωκράτους, ἀλλὰ καὶ ὁ ἥλιος καὶ ὁ λοξὸς κύκλος, διαφέρει ἡ ἐνέργεια καὶ τὸ εἶδος τοῦ ἡλίου καὶ τοῦ λοξοῦ κύκλου
30 τῆς ἐνεργείας καὶ τοῦ εἴδους τοῦ Σωφρονίσκου καὶ τοῦ Σωκράτους· ὁμοίως δὴ καὶ αἱ δυνάμεις αὐτῶν ἤτοι αἱ ὕλαι. καὶ τὴν αἰτίαν τούτου ἐπήγαγεν εἰπὼν οὔτε ὕλη ὄντα οὔτε εἶδος οὔτε στέρησις, ὃ ἴσον ἐστὶ τῷ ἡ 5 μὲν γὰρ ὕλη τοῦ Σωφρονίσκου καὶ τὸ εἶδος τὰ αὐτά εἰσι τῇ τοῦ Σωκράτους ὕλῃ καὶ τῷ εἴδει, ὁμοίως καὶ ἡ στέρησις· ἀμφότεροι γὰρ στέρησιν
35 ἔχουσι τὴν ἀντικειμένην τῷ ἀνθρωπείῳ εἴδει· τὸ δὲ τοῦ ἡλίου καὶ τοῦ λοξοῦ κύκλου εἶδος καὶ ἡ ὕλη οὐκ εἰσι τὰ αὐτὰ τῇ τοῦ Σωφρονίσκου καὶ Σωκράτους ὕλῃ καὶ τῷ εἴδει. ὧν οὖν, ἡλίου καὶ λοξοῦ κύκλου, ἡ ἐνέρ- 10
γεια καὶ ἡ δύναμις διαφέρει τῆς τοῦ Σωφρονίσκου καὶ Σωκράτους ὕλης καὶ ἐνεργείας, ταῦτα, ὁ ἥλιος καὶ ὁ λοξὸς κύκλος, ἕτερά ἐστι Σωφρονίσκου

---

3. 4 καὶ τὸ L: καὶ τὰ A 7 ante ἐκ add. τὴν L 26 ante ὧν οὐκ add. διαφέρει S Brandis

καὶ Σωκράτους, ὧν τὸ εἶδος καὶ ἡ ὕλη οὐκ ἔστιν ἡ αὐτὴ τῇ τοῦ ἡλίου καὶ λοξοῦ κύκλου ὕλῃ καὶ τῷ εἴδει. εἰ δὲ ὁ ἥλιος καὶ ὁ λοξὸς κύκλος διαφέρει Σωφρονίσκου καὶ Σωκράτους, καὶ ἀναστρέψαντι ἡ τοῦ ἡλίου καὶ τοῦ λοξοῦ κύκλου ἐνέργεια καὶ δύναμις διαφέρει τῆς τοῦ Σωφρονίσκου καὶ Σωκράτους ἐνεργείας καὶ δυνάμεως.

p. 1071a17 Ἔτι δὲ ὁρᾶν δεῖ ὅτι τὰ μὲν καθόλου ἔστιν εἰπεῖν τὰ δ' οὔ.

Τὸ δὲ λεγόμενον τοιοῦτον, ὅτι τῶν αἰτίων τὰ μὲν δυνάμεθα λέγειν καθόλου, τὰ δ' οὔ. τοῦ μὲν γὰρ καθόλου ἀνδριάντος ἐροῦμεν αἴτιον τὸν καθόλου ἀνδριαντοποιόν, τουδὶ δὲ τοῦ ἀνδριάντος τόνδε τὸν ἀνδριαντοποιόν. τοῦτο θεὶς λέγει πάντων δὲ ἀρχαὶ πρῶται ἤτοι προσεχεῖς πρῶτον τοδί, τουτέστι τὸ μερικόν· τοῦ γὰρ Σωκράτους ἀρχὴ καὶ αἴτιον ὅδε ὁ Σωφρονίσκος. ἔστιν οὖν πάντων ἀρχὴ ἥδε ἡ ἐνέργεια καὶ τόδε τὸ μερικὸν δυνάμει, τουτέστιν αὕτη ἡ μερικὴ ὕλη. τῶν γὰρ καθ' ἕκαστον αἴτιον καθ' ἕκαστον· Ἀχιλλέως γὰρ Πηλεύς, καὶ τοδὶ τὸ β τῆσδε τῆς βα συλλαβῆς. τὰ γὰρ καθόλου οὐκ εἰσι, κἂν εἰ ἦν τὰ καθόλου ἐν ὑπάρξει καὶ καθ' αὑτά, καὶ τὰ αἴτια αὐτῶν καθόλου ἂν ἦν· εἰ γὰρ ἦν ἄνθρωπος καθόλου, ἦν ἂν καὶ τὸ αἴτιον αὐτοῦ τῶν καθόλου, καὶ τῆς ὅλως ἤτοι τῆς βα συλλαβῆς τὸ καθόλου βῆτα· οὐκ ἔστι δέ. πρὸς τοῖς εἰρημένοις αἰτίοις εἰσὶ καὶ ἄλλα αἴτια καὶ ἄλλαι ἀρχαί· ταῦτα δέ ἐστι τὰ εἴδη τῶν οὐσιῶν· ἄλλα δὲ ἄλλων, ὥσπερ εἴρηται· ἄλλα γὰρ ἵππων καὶ ἄλλα ἀνθρώπων. οὐ μόνον δὲ τῶν ἑτέρων γενῶν ἕτερα τὰ αἴτια, ἀλλὰ καὶ τῶν ὁμοειδῶν ἕτερα, τῷ ἀριθμῷ δέ· ἄλλη γὰρ ἡ σὴ ὕλη καὶ ἄλλη ἡ ἐμὴ τῷ ἀριθμῷ, ὁμοίως καὶ τὸ εἶδος καὶ τὸ ποιητικόν, τῷ καθόλου δὲ λόγῳ τὰ αὐτά· τουτέστι καθὸ γὰρ ἅπαντα ὑπὸ ὕλην εἶδος στέρησιν καὶ ποιητικόν εἰσιν, εἰσὶ πάν|των τὰ αἴτια τὰ αὐτά, ᾗ δὲ τὰ ἐμὰ αἴτια ἕτερα τῶν σῶν αἰτίων, οὐ 658 τὰ αὐτά.

p. 1071a29 Τὸ δὴ ζητεῖν τίνες ἀρχαὶ ἢ στοιχεῖα τῶν οὐσιῶν καὶ πρός τι καὶ ποιῶν.

Διὰ τούτων διδάσκει ἡμᾶς, εἴπερ ἐρωτώμεθα πότερον πάντων αἱ ἀρχαὶ αἱ αὐταὶ ἢ ἕτεραι, τί ὀφείλομεν ἀποκρίνασθαι· καί φησιν ὅτι πολλαχῶς τε λεγομένων, τουτέστι καθόλου ἤτοι ὡς καθόλου ὕλη καὶ ὡς καθόλου εἶδος καὶ ποιητικόν, καὶ ὅλως τῷ ἀνάλογον καὶ μὴ ὡς τοῦδε ἢ τοῦδε λαμβανόμενα, ἐστὶν ἑκάστου, τουτέστι πάντων εἰσὶν αἱ αὐταὶ ἀρχαί· διαιρεθέντων δὲ τοῦ τε καθόλου εἴδους καὶ τῆς καθόλου ὕλης καὶ

---

3 ἀντιστρέψαντι coni. Bonitz 4. 5 καὶ Σωκράτους L: om. A 11 τοῦτο L: om. A in lac. δὲ] δὴ c. S coni. Bonitz, cf. Metaph. πρῶτον] τὸ ἐνεργείᾳ πρῶτον Metaph. τοδί] sic etiam Metaph. codd. ET: τὸ εἴδει Metaph. vulg. 14 μερικὴ ὕλη L: ante ὕλη add. καὶ A 18 ὅλως L: ὕλης A: fort. ἁπλῶς τῆς ὕλης ἤτοι τῆς καθόλου βα Bonitz 20 τὰ εἴδη L: τὰ om. A 28 ἢ στοιχεῖα L: om. A 33 τῷ L: τὸ A

τῶν λοιπῶν εἴς τε τὰ Σωκράτους καὶ Πλάτωνος καὶ τῶν ἄλλων αἴτια, οὐκ εἰσὶ τὰ αὐτὰ ἀλλ' ἕτερα, πλὴν ὡδί, ἤτοι τῷ ἀνάλογον δέ εἰσι τὰ αὐτά. καὶ τοῦτο φανερώτερον ποιῶν πάλιν ἐπανείληφε τὸν λόγον, καί φησιν ὅτι ὡδὶ μὲν τὰ αὐτὰ ἢ τῷ ἀνάλογον, ὅτι ὕλη εἶδος στέρησις, ἴσον λέγων, ἐπεὶ πάντα ὑπὸ ὕλην εἶδος στέρησίν εἰσιν, ἔσονται πάντων αἱ αὐταὶ ἀρχαὶ τῷ ἀνάλογον. τὸ δὲ καὶ ὡδὶ τὰ τῶν οὐσιῶν αἴτια ὡς αἴτια πάντων δυνάμει τοιοῦτόν ἐστιν. ὅταν δὲ ἐρωτώμενοι πότερον τὰ τῶν οὐσιῶν αἴτια καὶ τῶν συμβεβηκότων εἰσὶν αἴτια, λεκτέον ὅτι ναί, καὶ τὴν αἰτίαν προσθετέον ὅτι ἀναιρουμένων γὰρ τῶν οὐσιῶν ἀναιρεῖται καὶ τὰ λοιπά· αἴτιον δὲ τὸ συναναιροῦν τοῦ συναναιρουμένου. ἀλλὰ περὶ τούτων εἴρηται πρὸ ὀλίγου ἀκριβῶς. ἔτι τὸ πρῶτον ἐντελεχείᾳ. ἔτι, φησίν, ἐρωτώμενοι πότερον τὸ πορρώτερόν ἐστιν αἴτιον ἢ τὸ προσεχές, ῥητέον ὅτι τὸ πρῶτον, τουτέστι τὸ προσεχές. προσεχὲς δὲ αἴτιον καὶ ἐντελεχείᾳ, ὡς πολλάκις εἴρηται, ὁ Σωφρονίσκος τοῦ Σωκράτους. ὡδὶ δὲ ἕτερα πρῶτα ὅσα τὰ ἐναντία. τουτέστιν ἄλλον δὲ τρόπον λεκτέον πρῶτα αἴτια τὰ ἐναντία, ἤτοι τὸ εἶδος καὶ τὴν στέρησιν· ὥστε τὸ λεγόμενόν ἐστιν ὅτι ποτὲ μὲν λεκτέον πρῶτον αἴτιον τὸ ἐντελεχείᾳ ἤτοι τὸ ποιητικόν, ποτὲ δὲ τὰ ἐναντία ἤτοι τὸ εἶδος καὶ τὴν στέρησιν, ἅπερ ἐναντία, φησίν, οὔτε ὡς γένη λέγεται, τουτέστιν ὡς ὕλη, οὔτε πολλαχῶς, τουτέστιν οὔτε ὡς καθόλου, ἀλλ' ὡς συγκατατεταγμένα. ἐν δὲ τῇ λέξει τῇ ὡδὶ δὲ πρῶτα ὅσα τὰ ἐναντία τὸ ὅσα παρέλκον ἐστίν. ἔτι, φησίν, ἄλλον τρόπον αἴτια λεχθήσονται αἱ ὕλαι. καὶ συμπεραίνεται λέγων, τίνες μὲν ἀρχαὶ τῶν αἰσθητῶν, ὅτι ὕλη εἶδος καὶ τὰ λοιπά, καὶ πόσαι, ὅτι τρόπον μέν τινα τρεῖς τρόπον δέ τινα τέσσαρες, καὶ πῶς αἱ αὐταί, ὅτι τῷ ἀνάλογον, καὶ πῶς ἕτεραι, ὅτι ὡς προσεχεῖς, εἴρηται.

p. 1071 b3 Ἐπεὶ δ' ἦσαν τρεῖς αἱ οὐσίαι, δύο μὲν αἱ φυσικαί.

Ἐντεῦθεν περὶ τοῦ πρώτου αἰτίου καὶ τῆς πρώτης οὐσίας, ὃν καὶ θεὸν ἐνταῦθα καλεῖ, διαλέγεται. συνίστησι δὲ πρῶτον ὅτι ἔστι τις τοιαύτη 659
οὐσία ἀίδιος οὕτως. λαβὼν ὅτι ἡ οὐσία πρώτη τῶν ἄλλων (τοῦτο γὰρ δέδεικται) λέγει ὅτι εἰ μὴ ἔστιν οὐσία ἀίδιος ἀλλὰ πᾶσαι φθαρταί, φθαρτὰ πάντα ἔσται· ἀχώριστα γὰρ τὰ ἄλλα τῆς οὐσίας καὶ χωρὶς αὐτῆς εἶναι οὐ δύνανται. οὐκ ἔστι δὲ πάντα φθαρτά, οὐδ' αἱ οὐσίαι πᾶσαι φθαρταί. ὅτι δὲ οὐ πάντα τὰ παρὰ τὴν οὐσίαν ἐστὶ φθαρτὰ δῆλον· ἡ γὰρ κίνησις δέδεικται ὅτι ἀίδιος καὶ ἄφθαρτος· εἰ γὰρ εἴη γενητή, ἐπεὶ πᾶν τὸ γινόμενον ὑπό τινος καὶ ἔκ τινος γίνεται, εἴη ἂν καὶ τὰ ἐξ ὧν ἡ κίνησις. ἃ εἰ μὲν οὕτως εἶχεν ὥστε μήτε τὸ ποιοῦν μήτε τὸ πάσχον πρὸς τὸ δύνασθαι τὸ μὲν πάσχειν τὸ δὲ ποιεῖν δεῖσθαί τινος μεταβολῆς, ἦν ἂν καὶ ἡ κίνησις ἤδη ἀλλ' οὐκ ἐγίνετο. εἰ δέ τι ἦν ἐμποδὼν ἐκείνοις, ἔδει τινὰ κίνησιν γενέσθαι, ὥστε τὸ μὲν ποιῆσαι τὸ δὲ παθεῖν καὶ γενέσθαι τὴν κίνησιν ἐξ

4 ἢ τῷ L: ἢ om. A 28 συνίστησι—νοητή (p. 687,22)] eadem leguntur in Alexandri Quaest. nat. et mor. I, 1 (Q) 32 οὐδ' Q: οὔθ' libri 34 πᾶν τὸ Q: τὸ om. libri 35 ἃ εἰ] ἀλλ' εἰ Q

αὐτῶν· οὕτω δὲ ἀνάγκη ἔσται πρὸ τοῦ γενέσθαι τὴν κίνησιν κίνησιν εἶναι οὐ γεννητήν. ἐπεὶ οὖν ἀίδιος ἡ κίνησις, ἡ δὲ κίνησις ἐν τῷ κινουμένῳ τὸ εἶναι ἔχει, καὶ τὸ κινούμενον ἄρα τὴν ἀίδιον κίνησιν ἀίδιόν ἐστιν· οὐ γὰρ οἷόν τε ἀίδιόν τι κίνησιν κινεῖσθαι μὴ ἀίδιον ὄν. εἰ γάρ τις λέγοι ἀίδιον εἶναι κίνησιν τῷ ἄλλο ἐξ ἄλλου σῶμα διαδέχεσθαι αὐτήν, πρῶτον μὲν οὐ συνεχῆ τὴν κίνησιν ποιήσει καὶ μίαν· ἡ γὰρ συνεχὴς ἑνὸς ὄντος τοῦ κινουμένου αὐτήν ἐστιν. ἔπειτα ἐνδεχόμενον ἔσται ἀπολιπεῖν τὴν κίνησιν, εἰ μή τι ἄλλο ἀίδιον τῆς εὐτάκτου καὶ ὡρισμένης τῶν κινουμένων διαδοχῆς αἴτιον εἴη. ἓν ἄρα καὶ ἀίδιόν ἐστι τὸ τὴν ἀίδιον κίνησιν κινούμενον σῶμα. ἀλλὰ μὴν ἀίδιος καὶ συνεχὴς μόνη τῶν κινήσεων ἡ κυκλοφορία· τὸ ἄρα ταύτην κινούμενον τὴν κίνησιν σῶμα ἀίδιον. καὶ ἄριστον δὴ τῶν σωμάτων τοῦτο· τὸ γὰρ ἀίδιον τῶν οὐκ ἀιδίων ἄμεινον. καὶ τὸ τὴν πρώτην τῶν κινήσεων ἁπασῶν κινούμενον καὶ ἔμψυχον δὴ τοῦτο. τὸ γὰρ ἄριστον τῶν σωμάτων ἔμψυχον· ἄμεινον γὰρ σῶμα τὸ ἔμψυχον τοῦ ἀψύχου· τὸ δὲ κυκλοφορητικὸν σῶμα ἄριστον, ὥστε καὶ ἔμψυχον· τὸ γὰρ τῶν σωμάτων ἁπάντων ἄριστον ἔμψυχον, τὸ δὲ κυκλοφορητικὸν σῶμα τοιοῦτον. ἀλλὰ μὴν πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται. καὶ διὰ τοῦτο οὖν καὶ τὸ κατὰ ψυχὴν κινούμενον πᾶν ὑπό τινος, εἴ γε τὸ κατὰ τὴν ψυχὴν κινούμενον καθ' ὁρμὴν κινεῖται, ἡ δὲ ὁρμὴ κατ' ἔφεσίν τινος· ὥστε εἴη ἂν καὶ τὸ ἀίδιον σῶμα καθ' ὁρμὴν καὶ κατ' ἔφεσίν τινος κινούμενον. τὸ δὲ καθ' ὁρμὴν καὶ κατ' ἔφεσιν κινούμενον δεῖ εἶναί τι οὗ ἐφιέμενον τοῦτο κινεῖται τὴν ἀίδιον κίνησιν, ἀίδιον καὶ αὐτὸ ὂν καὶ ἐνεργείᾳ· πᾶν γὰρ τὸ κινητικόν τινος ἐνεργείᾳ τι ὂν κινεῖ, καὶ τὰ ἀεὶ ἄρα καὶ συνεχῶς κινοῦν ἀεὶ τὸ αὐτὸ ἔσται ἐνεργείᾳ. ἄμοιρον παντάπασι δυνάμεως. εἰ γὰρ ἔσται δυνάμει, οὐδεμία 660
δὲ δύναμις, ὡς ἐν τῇ Περὶ οὐρανοῦ δέδεικται, ἐπ' ἄπειρόν ἐστιν, εἰ οὖν ἔχει δύναμιν τοῦ μὴ εἶναι, ἔσται ποτὲ ἐνεργείᾳ μὴ ὄν· ὥστε οἷόν τε ἔσται καὶ τὴν κίνησιν φθαρῆναι μὴ ὄντος ἐνεργείᾳ τοῦ κινήσοντος αὐτήν. ἄμοιρον ἄρα παντάπασίν ἐστι δυνάμεως. ἀλλὰ καὶ ἀκίνητον ἔσται· εἰ γὰρ καὶ τοῦτο κινήσει κινούμενον, δεήσει καὶ τούτῳ πάλιν ἄλλου κινοῦντός τινος καὶ τοῦτο εἰς ἄπειρον. ἀλλ' εἰ ἀκίνητον, ἔστι καὶ ἀσώματον· πᾶν γὰρ σῶμα καθὸ σῶμα κινητόν. ἔσται ἄρα ἀίδιός τις οὐσία ἁπλῆ καὶ ἀκίνητος ἐνεργείᾳ αἰτία οὖσα τῆς τοῦ κυκλοφορητικοῦ σώματος ἀιδίου τε καὶ συνεχοῦς κινήσεως. κινηθήσεται δ' ὑπ' αὐτοῦ τὸ κυκλοφορητικὸν σῶμα τῷ νοεῖν τε αὐτὸ καὶ ἔφεσιν καὶ ὄρεξιν ἔχειν τῆς οἰκειώσεως αὐτοῦ· πᾶν γὰρ τὸ κινούμενον ὑπ' ἀκινήτου τινὸς κεχωρισμένου τοῦτον κινεῖται τὸν τρόπον. ἡ δὲ δεῖξις κατὰ ἀνάλυσιν γέγονεν· οὐ γὰρ οἷόν τε τῆς πρώτης ἀρχῆς ἀπόδειξιν εἶναι, ἀλλὰ δεῖ ἀπὸ τῶν ὑστέρων καὶ φανερῶν ἀρξαμένους κατὰ τὴν πρὸς

---

1 κίνησιν κίνησιν Q: semel habent AL 4 τι LQ: om. A λέγοι QS: λέγει AL 6 ἡ γὰρ] εἰ γὰρ Q 7 ἔσται Q: ἐστὶ AL ἐπιλιπεῖν Q 13 δὴ τοῦτο om. Q 17. 18 κινεῖται, καὶ τὸ κατὰ ψυχὴν ἄρα κινούμενον Q 18 εἰ δὲ Q 21 ἔφεσιν κινουμένου ὄντος, δεῖ δὲ εἶναί τι Q 23 ἄρα om. Q 24 καὶ ἄμοιρον π. δυν. ἔσται Q οὐδεμία — ὥστε (26) om. Q 25 ἐν τῇ Περὶ οὐρανοῦ] A 12 26 ἔσται Q: ἐστὶ AL 27. 28 ἄμοιρον — δυνάμεως om. Q 29. 30 καὶ τοῦτο εἰς ἄπειρον om. Q 33 τὸ θεῖον σῶμα Q 34 ὁμοιώσεως Q 37 δεῖ MQ: δὴ AL ὑστέρων τε καὶ L

ταῦτα συμφωνίαν ἀναλύσει χρωμένους συστῆσαι τὴν ἐκείνου φύσιν. ὅτι δὲ καὶ πρῶτον νοητὸν καὶ μάλιστα καὶ πρῶτον ὀρεκτὸν καὶ μάλιστα τὸ κινητικὸν τῆς κύκλῳ κινήσεως εἶδος, ἐντεῦθεν ἂν δεικνύοιτο. κυρίως νοητὸν τὸ εἶδος· ἡ γὰρ ὕλη οὐδὲν οὖσα τῶν ὄντων ἐνεργείᾳ κατὰ ἀναλογίαν ἐστὶ νοητὴ καὶ ὡς ὁ Πλάτων φησὶ νόθῳ λογισμῷ· τὸ δὲ εἶδος νοητόν, ἐνέργειά τις ὄν, καὶ τῶν εἰδῶν μᾶλλον νοητὸν τὸ ἐν οὐσίᾳ καὶ καθ' αὑτὸ ὂν ἢ τὸ ἐν ἄλλῳ τινὶ ὄν, ὅτι καὶ μᾶλλον ἔστι, καὶ τῶν ἐν τῇ οὐσίᾳ τὸ μάλιστα ἁπλοῦν καὶ ἀεὶ ὂν ἐνεργείᾳ· μάλιστα γὰρ νοητὸν τοῦτο τῷ τε μάλιστα εἶναι ἀεὶ ὂν ἐνεργείᾳ καὶ τῷ τῇ αὑτοῦ φύσει ἁπλοῦν καὶ νοητὸν εἶναι. καὶ γὰρ τὰ ἐν τοῖς συνθέτοις τότε εἰσὶ νοητά, ὅταν ὁ νοῦς αὐτὰ χωρίσῃ τῶν ἐν οἷς εἰσι καὶ ὥσπερ ἁπλᾶ αὐτὰ θεωρῇ. τοιαύτη δὲ ἡ κινητικὴ τοῦ παντὸς οὐσία, λέγω δὴ χωριστὴ καὶ ἁπλῆ καὶ ἐνεργείᾳ. αὕτη ἄρα μάλιστά ἐστι νοητή. ἀλλὰ μὴν καὶ μάλιστα ὀρεκτή· μάλιστα γὰρ ὀρεκτὸν τῇ ἑαυτοῦ φύσει τὸ τῇ αὑτοῦ φύσει καλὸν μάλιστα, τοιοῦτον δὲ τοῦτο. τὸ γὰρ καλὸν ἐν τῷ εἴδει μᾶλλον ἢ ἐν τῇ ὕλῃ· ἐν γὰρ τῷ ποιοῦντι μᾶλλον ἢ ἐν τῷ [εὖ] πάσχοντι· καὶ ἔστι πάσχον τὸ δυνάμει τι ὄν, ποιοῦν δὲ τὸ ἐνεργείᾳ ὄν· καὶ ἐν τῷ ὡρισμένῳ μᾶλλον ἢ ἐν τῷ ἀορίστῳ. ἐν τῷ εἴδει ἄρα τὸ καλὸν μᾶλλον ἢ ἐν τῇ ὕλῃ, καὶ ἐν εἴδει τῷ ἐν οὐσίᾳ μᾶλλον ἢ ἔν τινι ἄλλῳ τῶν γενῶν· διὰ γὰρ τοῦτο καὶ τὰ ἄλλα ἔστι· καὶ τῶν ἐν οὐσίᾳ τὸ μάλιστα ὂν καὶ | ἁπλοῦν καὶ ἄμοιρον τοῦ δυνάμει καλὸν 661 μάλιστα· τοιαύτη δὲ οὖσα δέδεικται ἡ προειρημένη φύσις· κυρίως ἄρα καὶ πρώτως αὕτη ὀρεκτή τε καὶ νοητή.

p. 1071ᵇ3 Ἐπεὶ δ' ἦσαν τρεῖς οὐσίαι, δύο μὲν αἱ φυσικαί, μία δὲ ἡ ἀκίνητος.

Περὶ τῆς πρώτης ἀρχῆς, ὡς προείπομεν, ἐντεῦθεν διαλέγεται τίς τε ἡ φύσις αὐτῆς καὶ ἡ διαγωγή. πρῶτον δὲ συνίστησιν ὡς ἔστιν ἀρχὴ τοιαύτη, καὶ οὕτω τίς λέγει. ἐπεὶ γάρ, φησίν, ἦσαν ὡς ἐλέγομεν τρεῖς αἱ οὐσίαι, δύο μὲν αἱ φυσικαί, ἃς καὶ πάντες εἶναι ὁμολογοῦσιν, καὶ τούτων ἡ μὲν μία ἀγένητος καὶ ἄφθαρτος, ἡ δὲ λοιπὴ κατὰ μὲν τὰς ὁλότητας καὶ αὐτὴ ἀγένητος καὶ ἄφθαρτος, εἴπερ καὶ ὁ κόσμος, κατὰ δὲ τὰ μέρη γενητὴ καὶ φθαρτή, ἦν δὲ καὶ ἄλλη ἡ ἀκίνητος, περὶ τῆς ἀκινήτου, φησί, λεκτέον καὶ δεικτέον ὅτι ἀνάγκη εἶναί τινα οὐσίαν ἀκίνητον καὶ ἀίδιον. ἔχων οὖν δεδειγμένον, ὅτι αἱ οὐσίαι πρῶται τῶν ἄλλων ποσοῦ ποιοῦ καὶ τῶν λοιπῶν, τούτῳ χρώμενος δείκνυσι τὸ προκείμενον, δυνάμει συλλογιζόμενος ὧδε. εἰ πᾶσά ἐστιν οὐσία φθαρτή, οὐδὲν ἔσται ἀίδιον τῶν ἄλλων τῶν παρὰ τὴν οὐσίαν ὄντων· πάντα γὰρ ἐν αὐτῇ τὸ εἶναι ἔχει. ἀλλὰ μὴν ἔστι τι τῶν παρὰ τὴν οὐσίαν ἀίδιον καὶ ἄφθαρτον, ἥ τε κίνησις καὶ ὁ χρόνος· ἔστιν ἄρα καὶ οὐσία τις ἀίδιος, ἥτις τὴν ἀίδιον κίνησιν κινεῖται·

---

1 ἐκείνου Q: ἐκείνων libri 5 ὁ Πλάτων φησὶ] Tim. p. 52 B 6 ἐνεργείᾳ τι ὄν Q 9 καὶ τῷ Q: καὶ τὸ AL 9. 10 φύσει—εἶναι] φύσει τὸ ἁπλοῦν εἶναι καὶ ἁπλοῦν μάλιστα νοητόν Q 11 θεωρῇ] ἐνεργῇ Q 14 ἑαυτοῦ—αὑτοῦ Q: αὑτοῦ utrobique libri 16 εὖ om. Q 18 ἐν δὲ τῷ εἴδει τὸ Q 22 αὕτη LSQ: om. A 23 τρεῖς L: om. A 35 ἀίδιον e S add. Bonitz

πᾶσα γὰρ κίνησίς τινος. καὶ ὅτι μὲν ἡ κίνησις ἀίδιος, δέδεικται ἐν τῷ Θ τῆς Φυσικῆς ἀκροάσεως· ὅτι δὲ καὶ ὁ χρόνος ἀίδιος, παραμυθίας ἀξιοῖ, λέγων, εἰ ἔστιν ὁ χρόνος γενητὸς καὶ φθαρτός, πρότερον οὐκ ἦν οὐδ' ὕστερον ἔσται· ἀλλὰ μὴν τὸ πρότερον καὶ ὕστερον χρόνου τί εἰσιν· ἦν ἄρα πρὸ τοῦ γενέσθαι τὸν χρόνον χρόνος, εἴπερ πρὸ χρόνου ἐστὶ τὸ πρότερον, καὶ ἔσται πάλιν μεθ' ὕπαρξιν χρόνου χρόνος, εἴπερ μετὰ τὴν τοῦ χρόνου φθοράν ἐστι τὸ ὕστερον. δείξας δὲ ὅτι ἔστι τις οὐσία ἥτις ἀιδίως κινεῖται, προσαποδείκνυσιν πρότερον καὶ τίς ἐστιν αὕτη οὕτως. ἡ ἀίδιος κίνησις μία ἐστίν, ἡ μία συνεχής ἐστιν, ὥσπερ καὶ ὁ χρόνος· ἢ γὰρ ὁ αὐτός ἐστι τῇ κινήσει ἤ τι τῆς κινήσεως· κίνησις δὲ συνεχὴς οὐκ ἔστιν ἄλλη ἢ ἡ κατὰ τόπον, καὶ ταύτης ἡ κύκλῳ. ἡ ἀίδιος ἄρα κίνησίς ἐστιν ἡ κύκλῳ· ὥστε ἡ ἀίδιος οὐσία ἐστὶν ἡ ταύτην κινουμένη τὴν κίνησιν. δείξας οὖν οὕτως ὅτι ἔστι τις οὐσία ἀίδιος, ἥτις τὴν κύκλῳ καὶ ἀίδιον κίνησιν κινεῖται, ἔχων δὲ δεδειγμένον ἐν τῇ Φυσικῇ καὶ ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, συνάγει ὅτι ἔστιν ἄρα τι κινητικὸν καὶ ποιητικὸν τὸ τὴν ἀίδιον κίνησιν κινοῦν, ἀκίνητον ὂν καὶ ἀίδιον, εἶδος ὂν καὶ ἐνέργεια πάντῃ πάντως ἀμοιροῦσα δυνάμεως. ἐν δὲ τῇ λέξει τῇ ἀλλὰ μὴν εἰ ἔστι κινητικὸν ἢ ποιητικόν, μὴ ἐνεργοῦν δέ τι τὸ μὴ ἐνεργοῦν ἀντὶ τοῦ μὴ εἴη δὲ ἐνέργεια πάντῃ ἀμοιροῦσα δυνάμεως. | ἔσται ὅτε οὐκ ἔσται 662 κίνησις· τὸ γὰρ δυνάμενον μὴ ἐνεργῆσαι ἔσται ποτὲ μὴ ἐνεργοῦν. δέδεικται δὲ ὅτι ἀδύνατόν ἐστι μὴ εἶναι κίνησιν· ἀδύνατον ἄρα καὶ τῷ κινοῦντι τὴν ἀίδιον κίνησιν δύναμίν τινα ἐνυπάρχειν. ἀλλ' εἰ καὶ τὰ κυκλοφορητικὰ σώματα ἀπήλλακται τοῦ δυνάμει, ἀίδια ὄντα, τί ἂν τῆς πρώτης ἀρχῆς διαφέροιεν; ἢ οὐ πάντῃ ἀπήλλακται τοῦ δυνάμει· τῆς μὲν γὰρ καθ' ἣν τὰ γινόμενα καὶ φθειρόμενα γίνεται καὶ φθείρεται δυνάμεως ἀπήλλακται, τῆς δὲ τοῦ κινεῖσθαι οὐδαμῶς· τὸ γὰρ ὑπὲρ γῆν ἐνεργείᾳ ὂν ἡμισφαίριον δυνάμει ἐστὶν ὑπὸ γῆν. εἰπὼν οὖν ὅτι ἡ πρώτη καὶ ἀίδιος ἀρχὴ ἐνέργειά ἐστι πάντῃ δυνάμεως ἀμοιροῦσα ἐπάγει οὐδὲν ἄρα ὄφελος οὐδ' ἂν οὐσίας ποιήσωμεν ἀιδίους καὶ τὰ ἑξῆς, ἴσον λέγων τῷ εἴτε ἰδέας ὑποθώμεθα εἶναι τὰς πρώτας ἀρχὰς εἴτε ἀριθμούς, οὐδὲν ὠφελήσει πρὸς τὸ εἶναι ἀεὶ τὰ ὄντα ὡς ἔχει, εἰ μὴ ἔσται τι εἶδος καί τις φύσις αὐτὸ τοῦτο ἐνέργεια οὖσα δυναμένη μεταβάλλειν καὶ κινεῖν τὴν ἀίδιον κίνησιν· οὐδ' ἂν ἄλλη τις φύσις καὶ οὐσία ὑποτεθῇ ἑτέρα παρὰ τὰ εἴδη μὴ οὖσα δὲ ἐνέργεια, οὐδ' αὐτὴ ἔσται ἱκανὴ τὴν ἀίδιον κίνησιν κινεῖν. τὸ δὲ εἰ γὰρ μὴ ἐνεργήσει, οὐκ ἔσται κίνησις ταὐτόν ἐστι τῷ εἰ γὰρ μὴ ἐνεργεῖ ἡ παρὰ τὰ εἴδη οὐσία ἀλλὰ μένει μὴ ἐνεργοῦσα, ὡς οἱ τὰ εἴδη τιθέμενοι ἀπεφαίνοντο (λέγοντες γὰρ τὰς ἰδέας καὶ ἀκινήτους καὶ μηδὲν ὅλως ἐνεργούσας, ἐκπίπτειν ἐξ αὐτῶν ἔφασκον ἀπορροίας τινὰς καὶ τῇδε τῇ ὕλῃ συμπιπτούσας οὕτω γίγνεσθαι πάντα τὰ ἄτομα), εἰ οὖν οὕτως, ὥσπερ αἱ ἰδέαι, ἔχει ἣν ἂν ὑποθῆταί τις οὐσίαν, οὐκ ἔσται κίνησις. κίνησις γὰρ

1. 2 ἐν τῷ Θ τῆς Φυσικῆς ἀκροάσεως] c. 1 2 ἀίδιος M: οὗτος AL 6 χρόνος L: om. A 7 δὲ M: om. AL 14 δὲ L: om. A ἐν τῇ Φυσικῇ] H 1 17 ἔσται Metaph. vulg. 24 γὰρ M: om. AL 33 παρὰ L: περὶ A

ἄνευ τοῦ ἐνεργοῦντος καὶ κινοῦντος οὐκ ἔστι. τὸ δὲ ἔτι οὐδ' εἰ ἐνεργήσει ἴσον ἐστὶ τῷ ἀλλὰ μὴν οὐδ' εἰ ἐνεργεῖ καὶ κινεῖ ἡ παρὰ τὰ εἴδη οὐσία, ἔστι δὲ ἡ οὐσία καὶ ἡ φύσις αὐτῆς δύναμίς τις, τουτέστιν εἰ συνέζευκται αὐτῇ δύναμίς τις, καὶ μὴ εἴη ἄμοιρος πάντῃ δυνάμεως, οὐδ' οὕτως ἔσται ἡ κίνησις ἀίδιος. ἀνάγκη γὰρ τὸ δυνάμει ὄν, ἤτοι τὸ δύναμιν ἔχον μὴ ἐνεργῆσαι, ποτὲ μὴ ἐνεργεῖν. δεῖ ἄρα εἶναι ἀρχὴν τοιαύτην ἧς ἡ οὐσία ἐστὶν ἐνέργεια ὅλως ἀμοιροῦσα τοῦ δυνάμει. τὸ δὲ ἔτι τοίνυν ταύτας δεῖ τὰς οὐσίας εἶναι ἄνευ ὕλης τὸ ταύτας, οἶμαι, ἀντὶ τοῦ τὰς λοιπὰς εἴληπται, καὶ εἴη ἂν λέγων ὅτι οὐ μόνον τὸ κινητικὸν τῆς ἀπλανοῦς δεῖ τοιοῦτον εἶναι οἷον εἴπομεν, ἀλλὰ καὶ τὰς λοιπὰς ἀρχὰς τὰς κινούσας τὴν Κρονιακὴν καὶ τὴν Δίιον καὶ τὰς λοιπὰς σφαίρας, αἵτινες ἀρχαὶ ὑπὸ τὴν πρώτην εἰσί, καὶ ταύτας οὖν δεῖ ἀΐδιους εἶναι καὶ ἀιδίους, εἴπερ γε καὶ ἄλλο τι ἀίδιον· ἐπεὶ γάρ ἐστι καὶ ἄλλο τι, οἷον τὸ τῆς ἀπλανοῦς κινητικὸν ἀίδιον, δεῖ καὶ ταύτας ἀιδίους εἶναι. ἢ τὸ εἴπερ γε καὶ ἄλλο τι ἀίδιον λέγοι ἄν, ἐπειδὴ ἡ τῶν ἑπτὰ σφαιρῶν ἑνὰς ἀίδιός ἐστι, δεῖ καὶ τὰ τούτων κινητικὰ ἀίδια εἶναι. |

p. 1071 b 22 Καίτοι ἀπορία· δοκεῖ γὰρ τὸ μὲν ἐνεργοῦν πᾶν δύνασθαι. 663

Δείξας ὅτι ἡ ζητουμένη ἀρχὴ ἐνέργειά ἐστι πάντῃ ἀμοιροῦσα δυνάμεως, ἀπορία, φησί, τοῖς δειχθεῖσιν ἀναφαίνεται. ἀπορήσειε γὰρ ἄν τις πρὸς ταῦτα· εἰ ἡ δύναμις προτέρα τῆς ἐνεργείας (καὶ τούτου πίστις ἐκ τῆς ἐπαγωγῆς), ἔστι δὲ ἡ πρώτη ἀρχὴ ἐνέργεια, ἣν πρὸ αὐτῆς ἡ δύναμις· ἔστιν ἄρα τῆς πρώτης ἀρχῆς ἄλλη ἀρχή, ἡ δύναμις, ἐξ ἧς γέγονεν ἡ ἐνέργεια. αὐτὸς δὲ καὶ ἐπιχειρεῖ δεικνύναι ὅτι ἡ δύναμις προτέρα ἐστὶ τῆς ἐνεργείας· δοκεῖ γάρ, φησί, τὸ μὲν ἐνεργοῦν πᾶν δύνασθαι· ὥσπερ γὰρ διὰ τὸ πάντα ἄνθρωπον ζῷον εἶναι, οὐ πᾶν δὲ ζῷον ἄνθρωπον, φαμὲν τὸ ζῷον πρότερον τοῦ ἀνθρώπου, οὕτω καὶ ἐπεὶ πᾶν τὸ ἐνεργοῦν δύναται, τὸ δὲ δυνάμενον οὐ πᾶν ἐνεργεῖ, εἴη ἂν ἡ δύναμις προτέρα ἐνεργείας. ἀλλὰ μὴν εἰ ἔστι προτέρα ἡ δύναμις τῆς ἐνεργείας, οὐδὲν ἔσται τῶν ὄντων, ὃ ἴσον ἂν εἴη τῷ ἦν ἄρα ὅτε οὐδὲν ἦν τῶν ὄντων· ἐνδέχεται γὰρ τὸ δυνάμενον εἶναι μήπω εἶναι. καὶ οἶμαι ἐν τῇ λέξει τῇ δοκεῖ γὰρ τὸ μὲν ἐνεργοῦν τὸ δοκεῖ ἐμφαντικὸν εἶναι τοῦ μὴ ἀρέσκειν αὐτῷ τὴν ὅτι πᾶν τὸ ἐνεργοῦν δύναται λέγουσαν πρότασιν, ἵν' ᾖ τὸ λεγόμενον ὅτι δοκεῖ ἄλλοις. τὸ δὲ ἀλλὰ μὴν εἰ τοῦτο, οὐδὲν ἔσται τῶν ὄντων· ἐνδέχεται γὰρ δύνασθαι μὲν εἶναι μήπω δ' εἶναι, οἶμαι ὅτι ὡς λύσις ἐπῆκται τοῦ λέγοντος λόγου ὅτι ἡ δύναμις προτέρα τῆς ἐνεργείας· εἰ γὰρ ἐκ τοῦ λέγειν ὅτι πᾶσα δύναμις προτέρα πάσης ἐνεργείας ἐστί, συνάγεται τὸ ἦν ὅτε οὐδὲν ἦν τῶν ὄντων, τοῦτο δὲ ἀδύνατον δέδεικται ἐν τῇ Περὶ οὐρανοῦ.

---

3 εἰ L: om. A 32 ἐμφαντικὸν LM: ἐμφατικὸν A 32. 33 τὴν—λέγουσαν πρότασιν Bonitz: ἡ—λέγουσα πρότασις ALM 38 ἐν τῇ Περὶ οὐρανοῦ] A 12

ψεῦδος ἄρα τὸ λέγειν ὅτι πάσης ἐνεργείας προηγεῖται δύναμις. ἀλλ' εἰ, ὡς ἔφαμεν, ταῦτα λύσις εἰσὶ τῆς ἀπορίας, πῶς κατιὼν πάλιν αὐτὴν λύει; ἢ οὐκ ἔστι τοῦτο ἀλλότριον τῆς Ἀριστοτελικῆς ἀγχινοίας· πρὸς παράστασιν γὰρ τῆς ἀληθείας πανταχοῦ, καὶ μάλιστα ἐν ταύτῃ τῇ πραγματείᾳ, δὶς τῶν αὐτῶν μέμνηται καὶ τοσαυτάκις τὰ περὶ αὐτῶν διαρθροῖ. δείξας οὖν ὅτι ἡ ἐνέργεια προτέρα δυνάμεως ἤτοι τὸ εἶδος τῆς ὕλης (πᾶσα γὰρ δύναμις ὡς ὕλη· ὁ γὰρ Σωκράτης δύναμις καὶ ὕλη τοῦ γράφειν ἐστίν), αἰτιᾶται τοὺς θεολόγους προτέραν ποιοῦντας τὴν δύναμιν καὶ τὴν ὕλην τῆς ἐνεργείας. ὅταν γὰρ Ἡσίοδος λέγῃ "ἤτοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα Γαῖ' εὐρύστερνος·" καὶ "τὴν δ' ἑτέρην προτέρην μὲν ἐγείνατο Νὺξ ἐρεβεννή," διὰ τοῦ Χάους καὶ τῆς Νυκτὸς τὴν ὕλην ᾐνίττετο· σκότος γὰρ καὶ Νὺξ κατὰ τὸ ἄληπτον αὐτῆς ἡ ὕλη, Χάος δὲ διὰ τὸ χωρητικὸν καὶ δεκτικὸν αὐτῆς τῶν εἰδῶν. καὶ ὁ Ἀναξαγόρας διὰ τοῦ "ἦν ὁμοῦ πάντα χρήματα" τὴν ὕλην ᾐνίττετο. αἰτιᾶται δὲ οὐ τοὺς φυσικούς, τόν τε | Ἐμπεδοκλέα καὶ Ἀναξαγόραν (οὗτοι γὰρ προτέραν τὴν ἐνέργειαν ἔλεγον 664
δυνάμεως, ὡς ἐρεῖ· ὁ μὲν γὰρ αὐτῶν φιλίαν καὶ νεῖκος ἐτίθετο τὴν ἐνέργειαν, ὁ δὲ Ἀναξαγόρας τὸν νοῦν), ἀλλὰ τοὺς θεολόγους. τὸ γὰρ τὸ αὐτὸ αἴτιον οὐ τοῦτο σημαίνοι ἄν, ὅτι τὰ αὐτὰ ἄτοπα ἕπεται τοῖς τε θεολόγοις καὶ τοῖς φυσικοῖς, ἀλλὰ τὸ αἴτιον ἴσον ἐστὶ τῷ τὸ αὐτὸ ἄτοπον ἕπεται πᾶσι τοῖς θεολόγοις, ὅσοι προτέραν τὴν δύναμιν τῆς ἐνεργείας ποιοῦσιν. ἢ λέγοι ἂν ὅτι τὸ αὐτὸ ἄτοπον ἕψεται καὶ τοῖς θεολόγοις καὶ τοῖς φυσικοῖς, οὐ πᾶσιν ἀλλ' ὅσοις τῶν τε φυσικῶν τῶν τε θεολόγων ἐπῆλθε ποιεῖν προτέραν τὴν δύναμιν τῆς ἐνεργείας. εἰ γάρ ἐστιν ἡ δύναμις, φησί, κατ' αὐτοὺς προτέρα τῆς ἐνεργείας, πῶς ἐξ αὐτῆς κινηθήσεται ἡ ὕλη μὴ οὔσης τῆς ἐνεργείας τῆς κινούσης; οὐ γὰρ τὰ ξύλα κινεῖ αὐτὰ ἑαυτὰ εἰς τὸ γενέσθαι κιβώτιον, ἀλλ' ἡ τεκτονικὴ ἥτις ἐστὶν ἐνέργεια, οὐδὲ τὰ καταμήνια πάλιν κινεῖ ἑαυτὰ εἰς τὸ γενέσθαι ζῷον ἀλλ' ἡ γονή, οὐδὲ ἡ γῆ εἰς τὸ γενέσθαι φυτὸν ἀλλὰ τὸ σπέρμα. διὸ φεύγοντές τινες ταῦτα τὰ ἄτοπα ποιοῦσι προτέραν τὴν ἐνέργειαν τῆς δυνάμεως, οἷον Λεύκιππος καὶ Πλάτων, τὴν δὲ ἐνέργειαν ταύτην εἶναι τὴν κίνησιν· ἀεὶ γὰρ εἶναι κίνησιν καὶ Λεύκιππος καὶ Πλάτων ἔλεγον. 'παραλαβὼν γάρ', φησὶν ὁ Πλάτων, 'τὴν ὕλην πλημμελῶς καὶ ἀτάκτως φερομένην.' καὶ Λεύκιππος δὲ ἐν τῷ κενῷ τὰς ἀτόμους κινεῖσθαι τὸν ἄπειρον χρόνον ἔφασκεν. καὶ ὅτι ἡ μὲν κίνησις ἐνέργειά ἐστιν ἀπεφαίνοντο· ἀλλὰ διὰ τί ἐστιν ἐνέργεια ἡ κίνησις, καὶ τίς ἐστιν αὕτη ἡ κίνησις, πότερον ἡ κύκλῳ ἢ ἄλλη τις, καὶ διὰ τί ὧδὶ μὲν τάδε κινοῦνται ὧδὶ δὲ τάδε, τούτων τὴν αἰτίαν οὐ λέγουσιν. ἐπεὶ γὰρ δεῖ εἶναί τι ἀεί, ὡς δέδεικται, ἔδει τὴν αἰτίαν λέγειν δι' ἣν ἡ μὲν ἁπλανὴς ἀπὸ ἀνατολῆς ἐπὶ δυσμὰς κινεῖται, αἱ δὲ πλανώμεναι ἀνάπαλιν. οὐ γὰρ

---

9 Ἡσίοδος] Theog. 116 sq. ἤτοι M: αὐτὰρ AL αὐτὰρ M: om. AL 10 τὴν δ' ἑτέρην κτλ.] Hes. Op. et D. 17 ἑτέρην προτέρην M: om. AL 13 τοῦ M: τὸ AL 18 αἴτιον ALM: ἀδύνατον S Metaph. vulg. 19 τὸ αἴτιον] τὸ λεγόμενον coni. Bonitz 24 ἐξ αὐτῆς L: ἐξ αὐτοῦ A 31 ἔλεγον] ἔφασκον L φησὶν ὁ Πλάτων] Tim. p. 30 A 38 πλανούμεναι A

ὡς ἔτυχε πᾶν δ κινεῖται τὴν κίνησιν ποιεῖται, ἀλλὰ φύσει μὲν ὁ λίθος ὠδί, οἷον κάτω, καὶ τὸ πῦρ ἄνω, βίᾳ δὲ ὠδί, ὁ λίθος ἄνω καὶ τὸ πῦρ κάτω. φύσει μὲν οὖν ὁ λίθος κινεῖται κάτω, ὑπὸ νοῦ δὲ οἱ ἄνθρωποι· ἐφιέμενοι γάρ τινος κινοῦνται, βιαζόμενοι τὸ σῶμα φέρεσθαι ἐν ὑπερῴῳ ἢ δένδρῳ, ᾗ οὐ πέφυκε φέρεσθαι· κάτω γὰρ ἡ τοῦ ἡμετέρου σώματος κατὰ φύσιν φορά. ὑπ' ἄλλου δὲ κινοῦνται βίᾳ οἷον τῆς φαντασίας τὰ ἄλογα ζῷα. ἔδει οὖν τούτων τὴν αἰτίαν λέγειν καὶ πρὸς τούτοις ποία τῶν κινήσεών ἐστιν ἡ πρώτη· πολὺ γὰρ διαφέρει τὸ κατὰ φύσιν τοῦ παρὰ φύσιν κινεῖσθαι, καὶ ἡ πρώτη κίνησις τῶν ἄλλων. αἰτιᾶται δὲ καὶ ἄλλο τῷ Πλάτωνι· εἰπὼν γὰρ ὁ Πλάτων ὅτι ἡ κίνησις ἦν καὶ πρὸ τοῦ τὸν κόσμον γενέσθαι, εἴπερ ἀτάκτως ἐκινεῖτο ἡ ὕλη, πά|λιν λέγει ὅτι ἡ ψυχὴ ἡ ἅμα 665 τῷ οὐρανῷ γεγονυῖα καὶ αὐτὴ ἑαυτὴν κινοῦσά ἐστι πηγὴ καὶ αἰτία τοῦ κίνησιν εἶναι· ὥστε πρὸ τοῦ τὸν οὐρανὸν καὶ τὴν σὺν αὐτῷ γεγονυῖαν ψυχὴν γενέσθαι εἶναι κίνησίν φησιν. εἰ οὖν πρὸ τοῦ γενέσθαι τὸν οὐρανὸν καὶ τὴν σὺν αὐτῷ γεγονυῖαν ψυχὴν ἦν ἡ κίνησις, ψεῦδος ὅτι ἡ ψυχὴ ἡ αὐτὴ ἑαυτὴν κινοῦσά ἐστιν ἡ πηγὴ τῆς κινήσεως. ταῦτα εἰπὼν πάλιν ὡς λύσιν τινὰ τῆς προαπορηθείσης ἀπορίας τῆς λεγούσης ὅτι εἴπερ ἐστὶν ἡ δύναμις προτέρα ἐνεργείας οὐκ ἔσται ἡ ἀρχὴ ἐνέργεια, ἐπάγει τὸ τὸ μὲν οὖν τὴν δύναμιν οἴεσθαι ἐνεργείας προτέραν τρόπον μέν τινα καλῶς λέγεται, τρόπον δέ ἄλλον οὐ καλῶς. ἐπὶ μὲν γὰρ τοῦ αὐτοῦ καὶ ἑνὸς ἀληθὲς ὅτι ἡ δύναμις προτέρα τῆς ἐνεργείας· ὁ γὰρ Σωκράτης δυνάμει ἦν πρότερον μουσικὸς καὶ οὕτω γέγονε καὶ ἐνεργείᾳ· ὅμως ἦν ἄλλο τι πρότερον ἐνεργείᾳ μουσικὸν τὸ εἰς ἐνέργειαν τὸν Σωκράτην ἄξαν· ὥστε πρὸς μὲν τὸν αὐτὸν καὶ ἕνα ἐπὶ τῶν γενητῶν καὶ φθαρτῶν προτέρα ἐστὶν ἡ δύναμις τῆς ἐνεργείας, πρὸς δὲ τὸ χῦμα πάντων τῶν ἀνθρώπων οὐδαμῶς ἐστιν ἡ ἐνέργεια ὑστέρα τῆς δυνάμεως. εἰ δὲ ἐπὶ τούτων οὐ προηγεῖται ἡ δύναμις, πολλῷ μᾶλλον ἐπὶ τῆς κυρίως ἐνεργείας ὑστερήσει. ἀλλὰ περὶ μὲν τούτων εἴρηται ἐν τῇ Περὶ ψυχῆς.

p. 1072a4 Ὅτι δ' ἐνέργεια πρότερον, μαρτυρεῖ Ἀναξαγόρας.

Μετὰ τὰς ἀποδείξεις εἴωθεν ὁ Ἀριστοτέλης καὶ τὰς τῶν ἄλλων εἰς πίστιν τῶν ὑπ' αὐτοῦ λεγομένων ἐπάγειν ὑπολήψεις. δείξας γὰρ ὅτι ἡ ἐνέργεια προτέρα ἐστὶ δυνάμεως μαρτύρεται καὶ τὸν Ἀναξαγόραν καὶ Ἐμπεδοκλῆν. ὁ μὲν γὰρ ἦν τοῦ μίγματος προτέραν ποιῶν τὴν ἐνέργειαν ἤτοι τὸν νοῦν, ὁ δὲ Ἐμπεδοκλῆς τὴν φιλίαν καὶ τὸ νεῖκος. ἀλλὰ καὶ οἱ ἀεὶ λέγοντες εἶναι κίνησιν προτέραν ἐτίθεντο τὴν ἐνέργειαν, ἤτοι τὴν κίνησιν, τῆς δυνάμεως· ὥστε εἰ προτέρα δυνάμεως ἐνέργεια, οὐκ ἦν ἄπειρον χρόνον χάος καὶ νύξ, τουτέστιν οὐκ ἦν ἡ δύναμις προτέρα τῆς ἐνεργείας, ἀλλὰ τὰ αὐτὰ ἅπερ ἔστι νῦν, οἷον ἦν ἀεὶ ὁ κόσμος, ἢ περιόδῳ,

---

1. 2 μὲν ὁ λίθος—κάτω L: μὲν οὖν ὁ λίθος κινεῖται κάτω A 7 τὰς αἰτίας L 18 τὸ τὸ μὲν L: alterum τὸ om. A 19 οἴεσθαι L: om. A 21 καὶ L: om. A 27 ἐνεργείας L: om. A ἐν τῇ Περὶ ψυχῆς] Γ 7 p. 431a2 sqq. cf. 5 p. 430a20 34 οἱ M: om. AL 36 οὐκ ἦν L: ante οὐκ add. καὶ A

ὡς Ἐμπεδοκλῆς ἔφασκεν, ἢ ἄλλως, ὡς Ἀριστοτέλης βούλεται. εἰ δὴ τὸ αὐτὸ ἀεὶ περιόδῳ. ἐλλίποι ἂν τῇ λέξει τὸ ἢ ἄλλως, ἵν' ᾖ τὸ πᾶν 'εἰ δὴ ὁ κόσμος οὗτος ἀεί ἐστιν, ἢ περιόδῳ, ὡς Ἐμπεδοκλῆς λέγει, ἢ ἄλλως, ὥσπερ ἡμεῖς, δεῖ τι ἀεὶ μένειν ὡσαύτως ἐνεργοῦν καὶ εἶναι τὴν φύσιν αὐτοῦ ἐνέργειαν.' εἰ δὲ ἀνάγκη καὶ γένεσιν ἀεὶ εἶναι, δεῖ εἶναί τι ἐνεργοῦν ἄλλως, ἤτοι λοξῶς κινεῖσθαι, ἵνα προσάγῃ καὶ ἀπάγῃ τὸ γεννητικόν, ὅπερ ἐστὶν ὁ ἥλιος. ἀνάγκη ἄρα τὸ λοξῶς κινούμενον καθ' αὑτὸ μὲν ὡδὶ ἐνεργεῖν, ἤτοι λοξῶς κινεῖσθαι καὶ προσάγειν καὶ | ἀπάγειν τὸν ἥλιον, ὡδὶ δὲ κατ' ἄλλο, τουτέστι τὸ γίνεσθαι δὲ καὶ καθ' ἑκάστην τὸν ἥλιον ὑπὸ γῆν καὶ ὑπὲρ γῆν κατ' ἄλλο. ἤτοι δὲ καθ' ἕτερον τοῦτο πάσχει ὁ ἥλιος, οἷον φέρε εἰπεῖν διὰ τὴν Κρονιακήν, ἢ κατὰ τὸ πρῶτον, οἷον κατὰ τὴν ἀπλανῆ. καὶ διαρθρῶν τὸν λόγον λέγει 'ἀνάγκη ἄρα κατὰ τὴν τῆς ἀπλανοῦς κίνησιν γίνεσθαι ὑπὸ γῆν καὶ ὑπὲρ γῆν τὸν ἥλιον παρὸ κατὰ τὴν Κρονιακήν.' καὶ τὴν αἰτίαν τοῦ ἀνάγκη κατὰ τὴν ἀπλανῆ τὴν τοῦ ἡλίου ὑπὲρ γῆν καὶ ὑπὸ γῆν γίνεσθαι καθ' ἑκάστην φοράν, ἐπήγαγεν εἰπὼν πάλιν γὰρ ἐκεῖνο αὐτῷ τε αἴτιον κἀκείνῳ, τουτέστι πάλιν γὰρ τὸ τῆς ἀπλανοῦς σῶμα αἴτιον ἔσται τῷ ἐν τῇ Κρονιακῇ σφαίρᾳ ἀστέρι ὑπὲρ γῆν καθ' ἑκάστην γίνεσθαι καὶ ὑπὸ γῆν κἀκείνῳ. ἤτοι τῷ ἡλίῳ· ἡ ἀπλανὴς γάρ ἐστιν αἰτία τοῦ καθ' ἑκάστην καὶ τὸν Κρόνον καὶ τὸν ἥλιον δύνειν καὶ πάλιν ἀνατέλλειν. ὥστε κάλλιόν ἐστι τὴν ἀπλανῆ λέγειν αἰτίαν εἶναι τοῦ τὸν ἥλιον ἀνατέλλειν καὶ δύνειν ἤπερ τὴν τοῦ Κρόνου σφαῖραν· ἐκεῖνο γάρ. ἤτοι ἡ ἀπλανής, ἣν αἰτία τῷ ἡλίῳ τοῦ ἀεὶ ὡσαύτως ἤτοι ὑπὸ γῆν καὶ ὑπὲρ γῆν φέρεσθαι, τοῦ δὲ ἄλλως, ἤτοι ποτὲ μὲν ἐν τῷ σκορπίῳ γίνεσθαι ποτὲ δὲ ἐν αἰγοκέρωτι, ἡ λόξωσις τοῦ ζῳδιακοῦ, καθ' ἣν φέρεται. τὸ δὲ τοῦ δ' ἀεὶ ἄλλως, ἄμφω δηλονότι (καὶ ὑποστικτέον εἰς τὸ ἄλλως) δηλωτικὸν ἂν εἴη τοῦ δ' ἀεὶ μέν, τουτέστιν εὐτάκτως καὶ ἀνὰ μέρος γίνεσθαι νύκτα καὶ ἡμέραν καὶ γένεσιν καὶ φθοράν, αἰτιά εἰσιν ἀμφότερα, ἥ τε ἀπλανὴς καὶ ἡ λοξῶς φερομένη τοῦ ἡλίου σφαῖρα, ἡ μὲν οὖν ἀπλανὴς τοῦ νύκτας γίνεσθαι καὶ ἡμέρας, ἡ δὲ ἡλιακὴ σφαῖρα καὶ ὁ ἥλιος τοῦ γένεσιν καὶ φθοράν. ταῦτα εἰπὼν ἐπιφέρει οὐκοῦν οὕτω καὶ ἔχουσιν αἱ κινήσεις, ἴσον λέγων τῷ οὐ μόνον ἡμεῖς ταῦτα περὶ τῶν τῆς ἀπλανοῦς καὶ τῆς ἡλιακῆς σφαίρας κινήσεων οὕτω λέγομεν, ἀλλὰ καὶ οὕτως ἔχουσιν. εἰ οὖν αὗται αἱ κινήσεις αἴτιαι τοῦ τὰ γινόμενα ἔχειν ὡς γίνεται, τί δεῖ ζητεῖν ἄλλας ἀρχὰς οἵας φασὶν οἱ τὰς ἰδέας τιθέμενοι;

Ταῦτα εἰπὼν λέγει ἐπεὶ δ' οὕτω τε ἐνδέχεται, λόοιτ' ἂν ταῦτα· καὶ εἰ μὴ οὕτως (καὶ ὑποστικτέον εἰς τὸ οὕτως), ἐκ νυκτὸς ἔσται καὶ ὁμοῦ πάντων καὶ ἐκ μὴ ὄντος. οὕτω γάρ ἐστι τὸ συνεχὲς τῆς λέξεως. ἔστι δὲ τὸ λεγόμενον· ἐπεί, ὡς δέδεικται, προτέρα ἐστὶν ἡ ἐνέργεια τῆς δυνάμεως, καὶ ὅτι ἡ τῆς ἀπλανοῦς καὶ τῆς ἡλιακῆς σφαίρας κίνησις, αἵτινες σφαῖραι καὶ αὐταὶ ἐνέργειαί εἰσιν, εἰ καὶ μὴ ὡς ἡ κυρίως λεγομένη,

---

7 τὸ L: καὶ A 14 παρὸ] καὶ οὐ Bonitz τοῦ ἀνάγκη iterat A 16 αὐτῷ Metaph. τε LS: τὸ A 34 γινόμενα L: λεγόμενα A

αἴτιαί εἰσιν ἡμερῶν καὶ νυκτῶν καὶ γενέσεως καὶ φθορᾶς, λύοιτ' ἂν πᾶσα
ἀπορία, ἥ τε ἀποροῦσα εἰ ἔστι προτέρα ἡ δύναμις τῆς ἐνεργείας, καὶ ἡ 667
λέγουσα διὰ τί ὧδὶ κινεῖται ἡ ἀπλανὴς καὶ ὧδὶ ἡ τοῦ ἡλίου σφαῖρα, καὶ
ἡ ζητοῦσα ποία τῶν κινήσεών ἐστιν ἡ πρώτη· περὶ τούτων γὰρ ἁπάντων
5 εἴρηται ὅτι ἡ τὰς ἄλλας ἑαυτῇ συγκινοῦσα, ἥπερ ἐστὶν ἡ τῆς ἀπλανοῦς,
ἐστὶν ἡ πρώτη τῶν κινήσεων, κινεῖται δὲ ὡς κινεῖται διὰ τὸ γίνεσθαι νύκ-
τας καὶ ἡμέρας, ἡ δὲ ἡλιακὴ σφαῖρα ἀνάπαλιν, διότι δεῖ γένεσιν εἶναι καὶ 5
φθοράν, γένεσις δέ ἐστιν ἀεὶ καὶ φθορά, ὅτι δεῖ τι ἀεὶ εἶναι. εἰ οὖν οὕ-
τως ἔχειν ἐνδέχεται, ὥσπερ φαμέν, λύοιτ' ἂν πάντα· καὶ εἰ μὴ οὕτως,
10 τουτέστιν εἰ δὲ λέγοι τις μὴ οὕτως ἔχειν, ἐκ νυκτὸς ἔσται καὶ ἐξ ὁμοῦ
πάντων καὶ μὴ ὄντος, τουτέστιν ἔσται ἡ δύναμις προτέρα ἐνεργείας,
καὶ ἔσται πάντα ἐκ δυνάμεως, ὅπερ δέδεικται ἀδύνατον. ταῦτα εἰπὼν 10
πάλιν λέγει ἐξ ἀναλύσεως περὶ τῆς πρώτης ἀρχῆς. ἔστι γάρ, φησί, τὶ ἀεὶ
κινούμενον ἄπαυστον κίνησιν, καὶ αὕτη ἐστὶν ἡ κύκλῳ. καὶ τὸ ἀίδιον
15 εἶναι τὴν κύκλῳ κίνησιν οὐ μόνον ἐστὶ τῷ λόγῳ δῆλον καὶ τῇ ἀποδείξει,
ἀλλὰ καὶ ἔργῳ καὶ τῇ παραδόσει τῶν προγόνων. ἔστιν οὖν ὁ πρῶτος οὐ-
ρανός, ἡ ἀπλανής, ὃς κινεῖται τὴν ἀίδιον κίνησιν, ἔστι δὲ καὶ ὃ κινεῖ, τὸ
πλανώμενον πᾶν σῶμα· τὸ γὰρ πλανώμενον ὑπὸ τοῦ πρώτου τοῦ ἀπλα- 15
νοῦς κινεῖται. δεῖ οὖν εἶναι καὶ τὸ μόνως κινοῦν. ἐπεὶ γὰρ ἔστι τὸ κι-
20 νούμενον μόνως ὅπερ ἐστὶ τὸ πλανώμενον, ἔστι δὲ καὶ μέσον τὸ κινού-
μενον ἅμα καὶ κινοῦν οἷα ἐστὶν ἡ ἀπλανής, δεῖ εἶναι καὶ τρίτον τὸ κινοῦν
μόνως. καὶ ἔστιν ὃ οὐ κινούμενον κινεῖ ἀίδιον οὐσία καὶ ἐνέργεια ὄν. ἡ
μὲν οὖν τῶν λεγομένων πάντων διάνοια εἴρηται. ἐν δὲ τῇ λέξει τῇ ἐπεὶ
δὲ κινούμενον καὶ κινοῦν καὶ μέσον, τοίνυν ἐστὶν ὃ οὐ κινού- 20
25 μενον κινεῖ πρῶτον ὑποστικτέον εἰς τὸ καὶ μέσον· εἶτα προσυπακου-
στέον τοῦ ἔστι δὲ καὶ τὸ κινούμενον μόνως· εἶτα ἐπακτέον τὸ τοίνυν ἔστι
τι ὃ οὐ κινούμενον κινεῖ, καὶ τὰ ἑξῆς, ἵν' ᾖ τὸ πᾶν τοιοῦτον 'ἐπεὶ
δέ ἐστι τοῦ κινουμένου μόνως καὶ τοῦ κινοῦντος μόνως μέσον τὸ κινοῦν
ἅμα καὶ κινούμενον, εἰσὶ δὲ τὰ δύο, τό τε κινούμενον μόνως καὶ τὸ κινοῦν
30 ἅμα καὶ κινούμενον, δεῖ εἶναι καὶ τὸ ἀκίνητον. 25

p. 1072a26 Κινεῖ δὲ ὧδε τὸ ὀρεκτὸν καὶ τὸ νοητόν.

Εἰπὼν ὅτι τὸ ὀρεκτὸν καὶ τὸ νοητὸν οὕτω κινεῖ, συντόμως τὸν τρόπον
τοῦ πῶς κινεῖ ἐπήγαγεν εἰπὼν οὐ κινούμενα. οὕτω γάρ, φησί, πᾶν ὀρεκτὸν
καὶ πᾶν νοητὸν κινεῖ ὥστε μὴ κινεῖσθαι ἀλλ' ἀκίνητα μένοντα κινεῖν τὰ
35 ἄλλα, ὡς ὁ χόρτος τὸν ὄνον καὶ ἡ εἰκὼν τὸν ἐραστήν. ἐπειδὴ δὲ πᾶν 30
ὀρεκτὸν καὶ πᾶν νοητὸν ἀπὸ τοῦ πρώτου καὶ καθ' αὑτὸ νοητοῦ καὶ ὀρεκτοῦ
λέγεται, καὶ εἰσί τινα μὲν ὀρεκτά, μὴ νοητὰ δέ, ὡς ὁ ἄρτος, καὶ ἔμπαλιν
νοητὰ μὴ ὀρεκτά, ὡς τὰ κακά, δείκνυσιν ὅτι τὸ πρώτως καὶ κυρίως νοητὸν
καὶ κυρίως ὀρεκτὸν ταὐτόν ἐστιν. πρῶτον δὲ διδάσκει ἡμᾶς τὴν διαφορὰν
40 τοῦ ἐπιθυμητοῦ καὶ τοῦ βουλητοῦ, λέγων ἐπιθυμητὸν μέν ἐστι τὸ

---

36 καὶ (ante καθ') M: om. AL 38 πρώτως L: πρῶτον A

φαινόμενον καλόν· | τὸ γὰρ κυρίως καλὸν οὐκ ἐπιθυμητὸν ἀλλ' ἐφετὸν 668
καὶ ὀρεκτόν· ἕτερον γὰρ ἐπιθυμία ἐφέσεως· ἡ μὲν γὰρ ἐπιθυμία ἐν τῷ
ἐπιθυμητικῷ καὶ ἀλόγῳ μέρει τῆς ψυχῆς ἐστιν, ἡ δὲ ἔφεσις ἐν τῷ λο-
γιστικῷ· βουλητὸν δὲ πρῶτον καὶ κυρίως οὐ τὸ φαινόμενον καλόν, ἀλλὰ
5 τὸ ὂν ἐν τῇ ἑαυτοῦ φύσει καλόν. ὀρεγόμεθα δὲ διότι ἔδοξε μᾶλλον, ἢ καὶ 5
ἔμπαλιν δοκεῖ διότι ὀρεγόμεθα. οὕτως οὖν περὶ τούτων εἰπὼν συνάγει ὅτι
τὸ πρῶτον νοητὸν καὶ τὸ πρῶτον ὀρεκτὸν τὸ αὐτό ἐστι, λέγων ἀρχὴ γὰρ
ἡ νόησις, τουτέστιν ἀρχὴ τῆς κινήσεώς ἐστι τὸ ὀρεκτόν (προσυπακουστέον
γὰρ τῷ ἀρχὴ γὰρ νοήσεως τοῦ τὸ ὀρεκτόν)· τοῦτο γὰρ κινεῖ τὸν νοῦν,
10 κίνησις δὲ νοῦ νόησις· κινεῖ γὰρ τὸν νοῦν τὸ ὀρεκτὸν εἰς τὸ νοῆσαι εἴτε
ὀρεκτόν ἐστιν εἴτε οὐκ ἔστιν. ἀλλὰ μὴν κινεῖται ὁ νοῦς καὶ ὑπὸ τοῦ νοητοῦ. 10
εἰ οὖν αὐτὸν κινεῖ καὶ τὸ νοητὸν καὶ ποιεῖ κατ' ἐνέργειαν νοῦν, κινεῖ δὲ
αὐτὸν καὶ τὸ ὀρεκτόν, τὸ νοητὸν ἄρα καὶ τὸ ὀρεκτὸν ταὐτόν ἐστι. νοητὸν
δὲ κυρίως καὶ νοῦς τῇ ἑαυτοῦ φύσει ἐστὶ τὸ πρῶτον αἴτιον. ἐκεῖνο ἄρα
15 ἐστὶ καὶ κυρίως νοητὸν καὶ κυρίως νοῦς καὶ κυρίως ὀρεκτόν. εἰπὼν δὲ
ὅτι νοῦς δὲ ὑπὸ τοῦ νοητοῦ κινεῖται, ἐπάγει νοητὴ δὲ καὶ καθ' ἑαυ- 15
τὴν νοητὴ ἡ ἑτέρα συστοιχία. τίνα δὲ τὰ καθ' αὑτὰ νοητὰ καὶ τίνα
τὰ μὴ καθ' αὑτὰ μετ' ὀλίγον εἰσόμεθα. ἑτέραν δὲ συστοιχίαν λέγει τὴν
τοῦ καλοῦ, ὑφ' ἣν ἐστι κατὰ τοὺς Πυθαγορείους οὐσία φῶς τρίγωνον
20 περιττὸν καὶ ὅσα ἐκεῖσε κατηρίθμηνται. εἰσὶν οὖν πάντα νοητὰ τὰ ὑπὸ
τὴν τοῦ ἀγαθοῦ συστοιχίαν, ἀλλὰ μάλιστα τούτων ἐστὶ νοητὴ ἡ οὐσία, καὶ
τῆς οὐσίας πάλιν μάλιστά ἐστι νοητὴ ἡ ἁπλῆ καὶ κατ' ἐνέργειαν, ἥτις 20
καὶ κυρίως νοητὴ καὶ κυρίως ὀρεκτή ἐστιν. ἐπεὶ δὲ εἴρηκε καθ' αὑτὴν
νοητὴν οὐσίαν καὶ κατ' ἐνέργειαν πρὸς ἀντιδιαστολὴν πάντως τινῶν νοητῶν,
25 μὴ καθ' αὑτὸ δὲ νοητῶν μηδὲ ἐνεργείᾳ, ἄξιόν ἐστι μᾶλλον δ' ἀναγκαῖον
εἰπεῖν, τίνα τὰ καθ' αὑτὸ καὶ ἐνεργείᾳ νοητὰ καὶ τίνα τὰ μὴ τοιαῦτα.
ὅσα τῶν εἰδῶν ἔνυλά ἐστι καὶ ἐν ὕλῃ τὸ εἶναι ἔχει, ταῦτα ὑπὸ τοῦ νοῦ 25
γίνεται νοητά, δυνάμει ὄντα νοητὰ καὶ μὴ καθ' αὑτὰ μηδὲ ἐνεργείᾳ. χω-
ρίζων γὰρ αὐτὰ τῆς ὕλης ὁ νοῦς, μεθ' ἧς ἐστιν αὐτοῖς τὸ εἶναι, ἐνερ-
30 γείᾳ νοητὰ αὐτὸς αὐτὰ ποιεῖ, καὶ τότε ἕκαστον αὐτῶν, ὅταν νοῆται, ἐνερ-
γείᾳ τε νοητόν ἐστι καὶ νοῦς γίνεται, οὐ πρότερον οὐδὲ τῇ ἑαυτῶν φύσει
ὄντα τοιαῦτα. ὁ γὰρ κατ' ἐνέργειαν νοῦς οὐδὲν ἄλλο ἢ τὸ νοούμενον
εἶδός ἐστιν, ὥστε καὶ τούτων ἕκαστον τῶν οὐκ ὄντων ἁπλῶς νοητῶν, ὅταν 30
νοῆται, νοῦς γίνεται. ὡς γὰρ ἡ κατ' ἐνέργειαν αἴσθησις ἡ αὐτή ἐστι τῷ
35 κατ' ἐνέργειαν αἰσθητῷ καὶ τὸ κατ' ἐνέργειαν αἰσθητὸν τῇ κατ' ἐνέργειαν
αἰσθήσει, οὕτως ὁ κατ' ἐνέργειαν νοῦς ὁ αὐτός ἐστι | τῷ κατ' ἐνέργειαν 669
νοητῷ καὶ τὸ κατ' ἐνέργειαν νοητὸν τῷ κατ' ἐνέργειαν νῷ· ὁ γὰρ νοῦς τὸ
εἶδος τοῦ νοουμένου λαβὼν καὶ τῆς ὕλης αὐτὸ χωρίζων κατ' ἐνέργειαν
ἐκεῖνό τε νοητὸν ποιεῖ καὶ αὐτὸς κατ' ἐνέργειαν νοῦς γίνεται. εἰ δ' ἔστι
40 τῶν ὄντων, ὥσπερ δέδεικται, ἀσώματον καὶ καθ' αὑτὸ ὂν καὶ ἄυλον, τοῦτό

---

5 μᾶλλον c. S Bonitz: καλόν AL Metaph. cod. E 6 δοκεῖ διότι S Bonitz: διότι δοκεῖ AL 7 γὰρ] δὲ Metaph. vulg. 9 τοῦ L: τὸ A 22 καὶ κατ' L: καὶ om. A
27 post ὅσα addendum δὴ e S coni. Bonitz 31 ἑαυτῶν L: ἑαυτοῦ A

ἐστιν ἐνεργείᾳ νοητὸν τῇ τε ἑαυτοῦ φύσει, καὶ ἐξ αὐτοῦ τὸ εἶναι ἐνεργείᾳ νοητὸν ἔχει, καὶ οὐ παρὰ τοῦ χωρίζοντος αὐτὸ τῆς ὕλης νοῦ (ἄυλον γὰρ νοῦς καὶ νοητόν ἐστιν), ἀλλ' ἔστιν ἐνεργείᾳ νοῦς καὶ ἐνεργείᾳ νοητόν, ὡς μετ' ὀλίγον ἐρεῖ. ὥστε ὅσα μὲν τῶν εἰδῶν ὁ νοῦς χωρίζει τῆς ὕλης καὶ νοητὰ αὐτὰ ποιεῖ, ταῦτα οὐκ ἔστι κυρίως νοητὰ καὶ καθ' αὑτά (σημεῖον δέ· καὶ γὰρ χωρισθέντα τοῦ νοοῦντος αὐτὰ νοῦ καὶ χωρίσαντος ἀπὸ τῆς ὕλης καὶ ἐκ μερικῶν ποιήσαντος καθόλου, φθείρεται καὶ οὐκ ἔστιν)· ὅσα δὲ ἐξ ἑαυτῶν τὸ εἶναι καθ' αὑτὰ ἔχει, ταῦτα κυρίως νοῖ καὶ κυρίως νοητά.

p. 1072a32 Ἔστι δὲ τὸ ἓν καὶ ἁπλοῦν οὐ τὸ αὐτό.

Ἔνστασίν τινα διὰ τούτων λύει δυναμένην πρὸς τὰ λεγόμενα φέρεσθαι τοιαύτην· εἰ ἡ πρώτη οὐσία καὶ ἀκίνητος ἁπλῆ ἐστι, τὸ δὲ ἁπλοῦν ἕν ἐστιν, ἡ ἄρα ἀκίνητος οὐσία μία ἐστίν. δείξει δὲ αὐτὸς ὅτι εἰσὶ καὶ ἄλλαι ἀκίνητοι οὐσίαι ἐν τούτῳ τῷ βιβλίῳ. λύει δὴ ταύτην λέγων, ὅτι οὐκ ἔστι τὸ ἁπλοῦν καὶ ἓν ταὐτόν. τὸ μὲν γὰρ ἓν μέτρον σημαίνει· ἕνα γὰρ ἄνθρωπον καὶ ἕνα ἵππον λέγομεν δι' οὗ τοὺς ἀνθρώπους καὶ ἵππους μετροῦμεν. τὸ δὲ ἁπλοῦν οὐ σημαίνει μέτρον ἀλλὰ πῶς ἔχον ἐστὶ τὸ ἁπλοῦν, ὅτι οὐ σύνθετον. τὸ δὲ ἀλλὰ μὴν καὶ τὸ καλὸν καὶ τὸ αἱρετὸν ἐν τῇ αὐτῇ συστοιχίᾳ, ἤτοι ἐν ᾗ ἐστι τὸ καθ' αὑτὸ νοητόν, ὥστε τὸ πρῶτον αἴτιον καὶ καθ' αὑτὸ νοητὸν καὶ καλόν ἐστι καὶ καθ' αὑτὸ καὶ δι' αὑτὸ αἱρετὸν καὶ ἄριστον. κατ' ἀναλογίαν δὲ καὶ ὃ ἂν εἴη πρῶτον λεχθήσεται ἄριστον. οὕτως ἄριστον ἂν φήσαιμεν τὸν ἐνεργείᾳ νοῦν ὡς πρότερον τῷ ἀξιώματι καὶ τῷ καλῷ τοῦ καθ' ἕξιν, καὶ τὴν κύκλῳ κίνησιν πάλιν εἴποιμεν ἄριστον τῆς κατ' εὐθεῖαν. ταῦτα εἰπὼν λέγει ὅτι δὲ ἔστι πρὸς οἷς εἴπομεν ἐν τοῖς ἀκινήτοις καὶ τὸ οὗ ἕνεκα, δηλοῖ ἡ διαίρεσις, λέγων διαίρεσιν ἐν ᾗ πολλάκις εἴρηκε τὴν τῶν ἐναντίων πεποιηκέναι ἀναγωγήν· ταύτην δὲ πεποίηκεν ἐν τῷ Περὶ τἀγαθοῦ ἐπιγραφομένῳ βιβλίῳ. ἐν δὲ τῇ λέξει τῇ ἔστι γάρ τινι τὸ οὗ ἕνεκα, τὸ γάρ ἀντὶ τοῦ δέ συνδέσμου ἐκληπτέον, ἵν' ᾗ 'τὸ δὲ οὗ ἕνεκά τινί ἐστι·' τὰ γὰρ γινόμενα καὶ πραττόμενα ἕνεκά τινός τινι καὶ γίνεται καὶ πράττεται· τὰ γὰρ γινόμενα καὶ πραττόμενα ἕνεκα τῆς εὐδαιμονίας | τινὶ πράττεται, οἷον τῷ Σωκράτει. 670 τοῦ δὲ ὧν τὸ μὲν ἔστι τὸ δ' οὐκ ἔστι 'ὧν' λέγοι ἂν τὰ ὧν ἕνεκα ἡ πρᾶξις, τὸ δὲ τὸ δ' οὐκ ἔστι τὸ πρᾶττον. εἴη δ' ἂν τὸ λεγόμενον· τὸ οὗ ἕνεκα, ὅπερ ἔστι, τοῦτό ἐστιν· τὸ δὲ τούτου ἕνεκα οὐκ ἔστιν ὅπερ ἐκεῖνο. τὸ γὰρ κινούμενον ἕνεκα τοῦ ἀγαθοῦ οὐκ ἔστιν ἀγαθόν, τὸ δὲ ἀγαθόν, ὅπερ ἐστὶν οὗ ἕνεκα, ἀγαθόν ἐστιν. κινεῖται δὲ ἕως οὗ καταλάβοι τὸ ἀγαθόν· καταλαβὸν δὲ ἵσταται. εἰ δὲ τὸ πρῶτον αἴτιον, ὅπερ καὶ πρῶτον ἀγαθόν ἐστιν, ἄπειρόν ἐστιν, οὐδέποτε ἂν τὴν ὁλότητα τῆς ἀγαθότητος αὐτοῦ, ὥσπερ ἐπὶ τῶν μερικῶν ἀγαθῶν ἔχει, τὸ ἐφιέμενον αὐτοῦ καταλήψεται· διὰ τοῦτο ἀεὶ κινήσει ὡς ἐρώμενον ἀκατάληπτον. ταῦτα εἰπὼν

1 ἐξ αὐτοῦ c. S Bonitz: ἐξ αὐτοῦ AL 8 ἐξ ἑαυτῶν L: ἐξ αὐτῶν A 9 καὶ τὸ ἁπλοῦν Metaph. vulg. 17 τὸ δι' αὐτὸ αἱρετὸν Metaph. vulg., cf. 20 26 ἐν τῷ Περὶ τἀγαθοῦ] fr. 26 p. 1478b36 sqq.

λέγει καὶ πῶς κινεῖ τὸ πρῶτον αἴτιον πάντα, ὅτι κινεῖ μὲν τὸ κυκλοφορη- 10
τικὸν σῶμα ὡς ἐρώμενον καὶ ἐφετόν. κινούμενος δὲ ὑπ' αὐτοῦ προσεχῶς
ὁ οὐρανὸς αὐτὸς τὰ ἄλλα κινεῖ. ἐπεὶ δὲ πᾶσα κίνησις δοκεῖ ἐξιστᾶν τὸ
πρᾶγμα ἀφ' οὗ ἐστιν, εἶπε δὲ ὅτι ὁ οὐρανὸς κινεῖται, ἵνα μή τις ὑπολάβῃ
5 ὅτι τῆς ἑαυτοῦ φύσεως ἐξίσταται, λέγει εἰ μὲν οὖν τι κινεῖται, ἐνδέ-
χεται ἄλλως ἔχειν, τουτέστιν ἐπεὶ κινεῖται ὁ οὐρανός, ἐνδέχεται αὐτὸν 15
ἄλλως ἔχειν. καὶ πῶς ἐνδέχεται κινούμενον ἄλλως ἔχειν [κινούμενος] ἐπάγει
ὥστε εἰ φορὰ ἡ πρώτη καὶ ἐνέργειά ἐστιν ᾗ κινεῖται, ταύτῃ δὲ
ἐνδέχεται. καὶ ὑποστικτέον εἰς τὸ κινεῖται. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν.
10 ἐάν ἐστιν ἡ ἐνέργεια τοῦ οὐρανοῦ ἡ πρώτη φορά, διότι κινεῖται καὶ καθὸ
ὅλως κίνησιν ἔχει, ταύτῃ λεχθήσεται ὡς ἐνδέχεται ἄλλως ἔχειν, ἤτοι κατὰ
τόπον φέρεσθαι ἤτοι κύκλῳ κινεῖσθαι. τὸ δὲ καὶ εἰ μὴ κατ' οὐσίαν 20
ἀντὶ τοῦ εἰ καὶ μὴ κατὰ τὴν ἑαυτοῦ φύσιν κινεῖται, μηδὲ ἐξίσταται αὐτῆς
(ἀίδιος γάρ ἐστι), κατὰ τὸ κύκλῳ φέρεσθαι οὐδὲν κωλύει, εἰ μὴ καὶ ἀναγ-
15 καῖον, κινεῖσθαι. ταῦτα εἰπὼν λέγει ἐπεὶ δὲ ἔστι τι κινοῦν ἐνεργείᾳ
ὄν, ὡς εἴρηται, καὶ ἀκίνητον, τοῦτο οὐκ ἐνδέχεται ἄλλως ἔχειν ἢ
ὅλως κινεῖσθαι. καὶ δείκνυσι τοῦτο δυνάμει λέγων, ὡς εἴπερ ὅλως δυνατὸν 25
ἦν κινεῖσθαι, τὴν πρώτην ἂν ἐκινεῖτο τῶν κινήσεων. πρώτη δὲ τῶν κινή-
σεων ἡ κύκλῳ· ταύτην δὲ δέδεικται ὅτι κινεῖ· εἰ δὲ τὴν κύκλῳ κινεῖ, οὐκ
20 ἂν αὐτὴν καὶ κινηθείη διὰ τὸ τὴν μίαν κίνησιν ἑνὸς εἶναι. εἰ δὲ ἡ κύκλῳ
κίνησις ἐξ ἀνάγκης ἐστίν, ἐξ ἀνάγκης ἄρα καὶ τὸ κινοῦν αὐτήν ἐστιν ὄν.
καὶ ᾗ ἀνάγκη, καλῶς, καὶ οὕτως ἀρχή. ὑποστικτέον εἰς τὸ ἀνάγκη.
τὸ δὲ λεγόμενόν ἐστιν ὅτι ἐπεὶ τὸ ἀναγκαῖον ἕνα μὲν τρόπον λέγεται τὸ 30
βίᾳ, ἄλλον δὲ οὗ οὐκ ἄνευ τὸ εὖ (ἄνευ γὰρ μαθήσεως ἐπιστήμη οὐ παρα-
25 γίνεται), ἄλλον δὲ τρόπον λέγεται | ἀναγκαῖον τὸ μὴ ἐνδεχόμενον ἄλλως 671
ἔχειν, οἷαί εἰσιν αἱ ἀποδεικτικαὶ ἀρχαί, λέγει ὅτι ἐπειδὴ ἐξ ἀνάγκης ἐστὶ
τὸ πρῶτον αἴτιον, καθὸ ἐξ ἀνάγκης ἐστί, καλῶς, καὶ οὕτω, τουτέστιν ὡς
τὸ οὗ οὐκ ἄνευ λέγεται, ἀρχή. ὥστε ἐρωτώμενοι ὅτι τὸ πρῶτον αἴτιον
ἀναγκαῖον ὂν πῶς ἐστιν ἀναγκαῖον, ῥητέον ὅτι οὕτως ἐστὶν ἀναγκαῖον ὅτι 5
30 ἄνευ αὐτοῦ οὐκ ἔστι τὸ εὖ. καὶ συμπεραίνεται λέγων ὁ οὐρανὸς ἄρα
καὶ ἡ φύσις πᾶσα ἐκ τοιαύτης ἤρτηται ἀρχῆς.

p. 1072b14 Διαγωγὴ δέ ἐστιν οἷα ἡ ἀρίστη μικρὸν χρόνον ἡμῖν.

Ὁ ἡμέτερος νοῦς δυνάμει ὢν τὰ νοητὰ ὅταν ἐκ τῆς ἄκρας ἐπιστήμης
καὶ τῆς ἄγαν εὐζωΐας ἐνεργείᾳ γένηται τὰ νοητά, τότε ζῶμεν τὴν ἀρίστην
35 καὶ μακαριωτάτην καὶ πάσης ἡδονῆς ἐπέκεινα ζωήν, ἥτις λόγῳ μέν ἐστιν 10
ἀνερμήνευτος, γινώσκεται δὲ τοῖς τὸ μακάριον τουτὶ παθοῦσι πάθος. λέγει
οὖν ὅτι οἷα ἐστὶν ἡ ἀρίστη ἡμῖν διαγωγὴ ἐπὶ μικρὸν χρόνον (οὐ γὰρ ἀεί,

---

2 κινούμενος LM: κινούμενον A 5 εἰ M: ὅτι AL 7 κινούμενον M: κινούμενος AL κινούμενος om. S, del. Bonitz 8 ταύτην Metaph. vulg. δὲ delendum censet Bonitz 18 δὲ L: om. A 19 δὲ (post ταύτην) L: om. A 26 οἷαί L: οἷά A 28 post ἄνευ addendum τὸ εὖ coni. Bonitz 32 ἐστιν L: om. A

ἀλλ' ὅταν ἐνεργείᾳ γένηται ὁ ἡμέτερος νοῦς τὰ νοητά), ταύτην τὴν ζωὴν ἀεὶ ἔχει τὸ πρῶτον αἴτιον. ἡμῖν μὲν γὰρ ἀδύνατον τοιαύτην ζωὴν ζῆν ἀεὶ ἀλλὰ ποτέ, τῷ δὲ πρώτῳ αἰτίῳ, ὡς μικρὸν ὕστερον εἰσόμεθα, δυνατόν. ἐπεὶ γὰρ ἡ ἐνέργεια αὐτοῦ οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ νοεῖν ἑαυτόν, ἡ δὲ ἐνέργεια αὐτοῦ ἡδονὴ αὐτοῦ ἐστιν, ἐπὶ τούτῳ ἄρα ταύτην ἀεὶ ζῇ τὴν ζωήν, λέγω δὴ τὸ νοεῖν ἑαυτόν. ἥτις οὖν ἡμῖν ποτε ζωὴ καὶ διαγωγὴ γίνεται, ταύτην ἀεί ἐστι τὸ πρῶτον αἴτιον, τουτέστιν αὐτός ἐστιν ἀεὶ ἡ ἀρίστη ζωή. καὶ διὰ τοῦτο, φησί, καὶ τὴν αἴσθησιν καὶ τὴν ἐγρήγορσιν καὶ τὴν νόησιν ἥδιστά φαμεν, ὅτι ἐνέργειαί τινες οὖσαι ἐνδάλματά τινα καὶ σκιαί εἰσιν τῆς ἣν ἐνεργοῦμεν ἐνεργείας καὶ ἣν ζῶμεν ζωήν, ὅταν ὁ ἡμέτερος νοῦς γένηταί πως τὰ νοητά. τὰς δὲ ἐλπίδας πάλιν καὶ μνήμας φιλοῦμεν διὰ τὰς ἐνεργείας· μεμνημένοι γάρ τινος ἐνεργείας ἢ ἐλπίζοντες ἐνεργῆσαι φιλοῦμεν τὴν ἐλπίδα καὶ τὴν μνήμην. εἰ οὖν ἐλπίδας καὶ μνήμας ἀγαπῶμεν διὰ τὰς ἐνεργείας, ταύτας δ' οὕτως ἀσπαζόμεθα διὰ τὴν γινομένην ἡμῖν ποτε ἐνέργειαν, θαυμαστή τις ἂν αὕτη εἴη. καὶ ἔστι, φησίν, ἡ καθ' αὑτὴν νόησις τοῦ καθ' αὑτὸ ἀρίστου. λέγοι δ' ἂν καθ' αὑτὴν νόησιν τὸν κατ' ἐνέργειαν νοῦν, ὅστις διαφέρει τοῦ καθ' ἕξιν, ὅστις πάλιν καθ' ἕξιν διαφέρει τοῦ δυνάμει. ἔστι γὰρ ὁ καθ' ἕξιν νοῦς εἶδος καὶ δύναμις καὶ τελειότης τοῦ δυνάμει νοῦ, ἥτις ἕξις ἐν αὐτῷ γίνεται ἔκ τε τῆς τοῦ καθόλου περιλήψεως καὶ ἐκ τοῦ τὰ εἴδη χωρίζειν ἀπὸ τῆς ὕλης δύνασθαι, ἃ τρόπον τινὰ ταὐτά ἐστιν ἀλλήλοις. ὅ τε γὰρ τὸ εἶδός τινος χωρὶς τῆς ὕλης λαβὼν ἔχει τὸ κοινόν τε καὶ καθόλου (ὁ γὰρ τὸ εἶδος τοῦ ἀνθρώπου λαβὼν χωρὶς τῶν ὑλικῶν περιστάσεων ἔχει τὸν κοινὸν ἄνθρωπον· ἡ γὰρ τῶν καθ' ἕκαστα πρὸς ἀλλήλους διαφορὰ παρὰ τῆς ὕλης λαμβάνεται· τοῦτο γὰρ ἐν αὐτῇ γίνεται, ἐπεὶ τά γε εἴδη αὐτῶν, καθ' ἃ εἰσιν ἄνθρωποι, οὐδεμίαν ἔχει διαφοράν), ὅ τε τὸ κοινὸν τὸ ἐπὶ τοῖς καθ' ἕκαστα συνιδὼν τὸ εἶδος πάλιν χωρὶς τῆς ὕλης λαμβάνει· τοῦτο γὰρ ἐν αὐτοῖς τὸ κοινόν τε καὶ ταὐτόν. ἐγγίνεται δὲ ἡ τοιάδε ἕξις τῷ νῷ τὴν ἀρχὴν κατὰ μετάβασιν ἀπὸ τῆς περὶ τὰ αἰσθητὰ συνεχοῦς ἐνεργείας, ὥσπερ ὄψιν τινὰ ἀπ' αὐτῶν λαμβάνοντος τοῦ καθόλου θεωρητικήν, ὃ κατ' ἀρχὰς μὲν νόημα καὶ ἔννοια καλεῖται, πλεονάσαν δὲ καὶ ποικίλον καὶ πολύτροπον γινόμενον ὡς δύνασθαι καὶ χωρὶς τῆς αἰσθητικῆς ὑποβάθρας ποιεῖν τοῦτο, νοῦς ἤδη. ὅταν γὰρ ἐν ἕξει γένηται διὰ τὰς συνεχεῖς ἐνεργείας τοιαύτῃ, ὡς δι' ἑαυτοῦ λοιπὸν ἐνεργεῖν δύνασθαι, τότε ὁ ὡς ἕξις καλούμενος νοῦς γίνεται, ἀνάλογος ὢν τῷ ἐπιστήμονι, ὃς τοῦ τε κατὰ δύναμιν ἐπιστήμονος λεγομένου καὶ τοῦ κατ' ἐπιστήμην ἐνεργοῦντός ἐστι μεταξύ· ὃς ὅσον ἀπολείπεσθαι δοκεῖ τοῦ κατ' ἐπιστήμην ἐνεργοῦντος, τοσοῦτον πλεονεκτεῖ τὸν κατὰ δύναμιν ἐπιστήμονα. ἐνεργοῦσα δὲ ἥδε ἡ ἕξις ὁ κατ' ἐνέργειαν γίνεται νοῦς· ὁ γὰρ κατὰ ἕξιν νοῦς ἀποκείμενά πώς ἐστιν ἀθρόα καὶ ἠρεμοῦντα τὰ νοήματα. καὶ

---

3 ὕστερον M: ὀλίγον AL 6 τὸ L: τῷ A 7 ταύτην—ἐστι] ταύτῃ vel ἔχει coni. Bonitz 9 τῆς L: om. A 12 γάρ L: om. A 18 καὶ δύναμις ALMS: delendum censet Bonitz 19 αὐτῷ LS: ἑαυτῷ A 21 τὸ εἶδός L: τὸ om. A 32 αἰσθητῆς L 38. 39 ὁ γὰρ—νοῦς L eademque e S coni. Bonitz: om. A

ἐπεί ἐστιν ὁ κατ' ἐνέργειαν νοῦς οὐδὲν ἄλλο ἢ τὸ εἶδος τὸ νοούμενον, ὥσπερ ἡ κατ' ἐνέργειαν αἴσθησις τὸ κατ' ἐνέργειαν αἰσθητόν, ὁ ἐν ἕξει νοῦς (οὗτος δέ ἐστιν ὁ ὑφ' αὑτοῦ νοεῖν δυνάμενος καὶ τὰ τῶν νοητῶν εἴδη λαμβάνειν καθ' αὑτά), οὗτος ἤδη δύναται καὶ ἑαυτὸν νοεῖν· ἐπεὶ γὰρ τὸ νοούμενον εἶδος αὐτός ἐστιν, εἴ γε νοῶν ὃ νοεῖ γίνεται. ὁ ἄρα ἕξιν ἔχων τοῦ τὰ εἴδη νοεῖν, οὗτος ἕξιν καὶ δύναμιν ἔχει τοῦ νοεῖν ἑαυτόν· ὃ γὰρ δύναται νοεῖν, τοῦτο αὐτὸ νοῶν γίνεται, καὶ ἔστιν, ὅταν νοῇ, προηγουμένως μὲν καὶ καθ' αὑτὸ νοῶν τὸ νοητὸν εἶδος, κατὰ συμβεβηκὸς δὲ ἑαυτόν, τῷ συμβεβηκέναι αὐτῷ, ὅταν νοῇ, γίνεσθαι ἐκεῖνο ὃ νοεῖ. πρὸ μὲν οὖν τοῦ κατ' ἐνέργειαν τὸν νοῦν νοεῖν πρὸς ἄλληλά ἐστι τὸ νοοῦν καὶ τὸ νοούμενον καὶ ἀντικείμενα ἀλλήλοις ὡς τὰ πρός τι· ὅταν δὲ ἐνεργῶσιν, ἓν γινόμενα παύεται τῆς ἀντιθέσεως· οὐδὲ γὰρ ὑφαρμόζειν αὐτοῖς οἷόν τέ ἐστι τὸν τοῦ πρός τι λόγον. διὸ ὁ κατ' ἐνέργειαν νοῦς ὁ αὐτὸς γινόμενος τῷ νοητῷ, εὐλόγως ἑαυτὸν λέγεται νοεῖν. ὁ δὴ νοῦς ὁ κατ' ἐνέργειαν ἑαυτὸν νοεῖ· ὃ γὰρ νοεῖ, τοῦτο αὐτὸ γίνεται· τὰ γὰρ εἴδη χωρὶς ὕλης νοεῖ· οὐ γὰρ τόδε ἀλλὰ τὸ τῷδε εἶναι νοεῖ, ὡς προείρηται. ἐπεὶ οὖν ὁ κατ' ἐνέργειαν νοῦς καθ' αὑτὸ ἄριστός ἐστιν, ἡ τούτου νόησις, ἣν αὐτὸς ἑαυτὸν νοεῖ, ἡ καθ' αὑτὸ νόησις καὶ τοῦ καθ' αὑτὸ ἀρίστου ἐστίν. ἔστι δ' 673 ὁ κατ' ἐνέργειαν νοῦς ἄριστον, οὐχ ὅτι τὰ εἴδη χωρὶς ὕλης νοῶν ἐκεῖνα γίνεται, ἀλλ' ὅτι καὶ τὸν πρῶτον νοῦν ὡς δυνατὸν νοῶν ἐκεῖνός πως γίνεται. εἰ οὖν ἡ καθ' αὑτὸ νόησις τοῦ καθ' αὑτὸ ἀρίστου ἐστί, καὶ ἡ καθ' αὑτὸ μάλιστα νόησις ἔσται τοῦ καθ' αὑτὸ μάλιστα ἀρίστου. αὕτη δ' ἐστὶν ἡ τοῦ πρώτου νοῦ, καθ' ἣν αὐτὸς ἑαυτὸν νοεῖ καὶ καθ' ἣν αὐτός ἐστι τὸ νοοῦν, αὐτὸς τὸ νοούμενον. ἑαυτὸν οὖν νοεῖ ὁ ἐνεργείᾳ νοῦς κατὰ μετάληψιν τοῦ νοητοῦ· ἕξιν γὰρ ἔχων, ὥσπερ εἴρηται, τοῦ τὰ εἴδη νοεῖν θιγγάνων αὐτῶν. ἔστι δὲ καὶ ὁ ἐνεργείᾳ νοῦς οἷον εἶδος τοῦ δυνάμει νοῦ· ἔχει ἄρα ἕξιν καὶ τοῦ ἑαυτὸν νοεῖν· ὥστε ὅταν ἑαυτὸν νοῇ, ταὐτὸν γίνεται ὁ νοῦς καὶ τὸ νοητόν· τὸ γὰρ δεκτικὸν τοῦ νοητοῦ καὶ τῆς οὐσίας, ἤτοι τοῦ νοός, αὐτός ἐστιν ὁ νοῦς. ἐνεργεῖ δὲ ὁ τοιοῦτος νοῦς ἔχων ἐν ἑαυτῷ τὰ νοητὰ χωρίσας· ἐχώρισε γὰρ τῆς ὕλης καὶ παρ' ἑαυτῷ ἔχει καὶ νοεῖ.

p. 1072b23 Ὥστε ἐκεῖνο μᾶλλον τούτου ὃ δοκεῖ ὁ νοῦς θεῖον ἔχειν.

Πάντων τῶν τοῦ νοὸς θειότατόν ἐστιν ἡ θεωρία. ὃ οὖν θεῖον ἔχει ὁ ἐνεργείᾳ νοῦς (ἔχει δὲ θεῖον τὸ νοεῖν ἑαυτόν), τοῦτο μᾶλλον ἐκείνου, τουτέστι τοῦ πρώτου νοός ἐστιν· ἐκεῖνο οὖν φησιν, ὅπερ δοκεῖ τοῦ ἐνεργείᾳ νοῦ θειότατον καὶ τιμιώτατον, τοῦτο δ' ἐστὶ τὸ νοεῖν ἑαυτόν, τοῦτο μᾶλλον ἐκείνου τοῦ πρώτου νοός ἐστιν· μᾶλλον γὰρ καὶ ἀκριβέστατα νοεῖ ἑαυτὸν ὁ πρῶτος νοῦς, ἤπερ ὁ ἐνεργείᾳ νοῦς ἑαυτόν. οὔτε οὖν ὁ ἐνεργείᾳ νοῦς ἑαυτὸν νοεῖ, ὥσπερ ὁ πρῶτος νοῦς ἑαυτόν, οὔτε ἀεί, ἀλλὰ ποτὲ καὶ

---

11 δὲ L: om. A 8 αὐτὸ scripsi: αὐτὸν libri 18 αὐτὸ (ante νόησις) scripsi coll. 21: αὐτὸν libri 32 ἐκείνου μᾶλλον τοῦτο legit Alex., cf. 35

ὀλιγάκις· ὁ δὲ πρῶτος νοῦς ἑαυτὸν ἀεὶ νοεῖ. οὐδὲν γὰρ ὁ πρῶτος νοῦς ἄλλο νοεῖ ἢ ἑαυτόν· τῷ μὲν γὰρ εἶναι νοητὸς νοεῖται πρὸς ἑαυτοῦ, καὶ τῷ ἐνεργείᾳ καὶ φύσει τῇ ἑαυτοῦ νοητὸς εἶναι ἀεὶ νοούμενος ἔσται, δηλονότι ὑπὸ τοῦ ἐνεργείᾳ νοοῦντος· ἀεὶ δὲ ἐνεργείᾳ νοῶν ἐστι νοῦς αὐτὸς μόνος· ἀεὶ ἄρα ἑαυτὸν νοήσει. μᾶλλον δὲ καθ' ὅσον ἐστὶν ἁπλοῦς· ὁ γὰρ ἁπλοῦς νοῦς ἁπλοῦν τι νοεῖ, οὐδὲν δὲ ἄλλο ἁπλοῦν ἐστι νοητὸν πλὴν αὐτός· ἀμιγὴς γὰρ οὗτος καὶ ἄυλος καὶ οὐδὲν ἔχων ἐν ἑαυτῷ δυνάμει· ἑαυτὸν ἄρα μόνον νοήσει. καθὸ μὲν γὰρ νοῦς ἐστιν, ἑαυτὸν ὡς νοητὸν νοήσει· καθὸ δὲ ἐνεργείᾳ καὶ νοῦς ἐστι καὶ νοητόν, ἑαυτὸν νοήσει ἀεί· καθὸ δὲ ἁπλοῦς μόνος, ἑαυτὸν μόνον νοήσει· αὐτός τε γὰρ μόνος ἁπλοῦς ὢν ἁπλοῦ τινος νοητικός ἐστι, καὶ μόνος ἁπλοῦς τῶν νοητῶν ἐστι [τινός]. καὶ ἔστιν ἡ θεωρία, ἐν ᾗ ἑαυτὸν νοεῖ, τὸ ἥδιστον καὶ ἄριστον. εἰ οὖν ὁ θεὸς ἀεὶ οὕτως εὖ ἔχει ὥσπερ ἡμεῖς ποτε εὖ ἔχομεν, θαυμαστὸν ἂν εἴη τὸ θεῖον. εἰ δὲ μᾶλλον καὶ πλέον ὅσον οὐδὲ εἰπεῖν ἔχει τοῦ ἐνεργείᾳ νοῦ, τοσοῦτον ἔσται θαυμασιώτερον ὅσον καὶ πλεονεκτεῖ. ἀλλὰ μὴν ἔχει οὕτω· θαυμασιώτατον ἄρα καὶ πολυτίμητον τὸ θεῖον. ἀλλὰ μὴν καὶ ζωὴ ὑπάρχει τῷ πρώτῳ νῷ· ἡ γὰρ νοῦ ἐνέργεια ζωή, ἐκεῖνο δέ ἐστιν ἡ ἐνέργεια, ἐκεῖνο ἄρα ἡ ζωή. ἡ ἐνέργεια οὖν ἐκείνου, ἥτις καὶ | καθ' αὑτήν ἐστιν ἐνέρ- 674
γεια, ζωή ἐστιν ἀρίστη καὶ ἀίδιος. εἶτα ἐκ τῶν δειχθέντων ὑπάρχειν τῷ πρώτῳ νῷ ὁρίζεται αὐτόν, λέγων ὅτι ἐστὶν ὁ πρῶτος νοῦς ζῷον ἀίδιον ἄριστον· εἰσὶ γὰρ καὶ ἄλλα ζῷα ἀίδια, ἀλλὰ τὸ ἄριστον αὐτός ἐστι μόνος ὁ πρῶτος νοῦς. ὥστε εἰ ζῷον ἀίδιόν ἐστιν ὁ θεός, πᾶν δὲ ἀίδιον ἐν συνεχείᾳ θεωρεῖται (εἰ γὰρ διαλιμπάνει, οὐκ ἀίδιον), ζωὴ καὶ αἰὼν συνεχής (αἰὼν γάρ ἐστιν ἡ ἑκάστῳ συμπαρεκτεινομένη ζωή) ὑπάρχει τῷ θεῷ. τοῦτο γάρ ἐστιν ὁ θεός, ἡ αἰώνιος καὶ ἀρίστη ζωή.

p. 1072b30 Ὅσοι δ' ὑπολαμβάνουσιν ὥσπερ οἱ Πυθαγόρειοι καὶ Σπεύσιππος.

Δείξας ὅτι ὁ θεὸς ἡ πρώτη ἀρχὴ ζῷον ἀίδιον ἄριστόν ἐστιν, αἰτιᾶται τοὺς Πυθαγορείους καὶ Σπεύσιππον εἰπόντας ὅτι τὸ κάλλιστον καὶ ἄριστον οὐκ ἔστιν ἐν ἀρχῇ, οὐδὲ δυνατὸν λέγειν τὴν ἀρχὴν ἄριστον, διότι τὸ σπέρμα καὶ τὸ καταμήνιον ἀρχαὶ μέν εἰσι τῶν ζῴων καὶ οὔκ εἰσιν ἄριστα, ἀλλ' ἔστι μᾶλλον ἄριστον τὸ ἐκ τοῦ σπέρματος καὶ τοῦ καταμηνίου γεγονός. οὐκ ὀρθῶς οὖν, φησίν, οἴονται ὅτι τὸ σπέρμα τὸ ἀτελὲς καὶ τὸ καταμήνιόν εἰσιν ἀρχαί, ἀλλ' ὁ πατὴρ καὶ ἡ μήτηρ, οἵτινες πρὸς τῷ τέλειοι εἶναι καὶ πρότεροί εἰσι τοῦ σπέρματος καὶ τοῦ καταμηνίου. ὥστε πρότερός ἐστιν ὁ ἄνθρωπος τοῦ σπέρματος, οὐχ ὁ ἐκ τοῦ σπέρματος γεγονώς, ἀλλ' ὁ πατὴρ ἐξ οὗ τὸ σπέρμα. καὶ συμπεραίνεται λέγων ὅτι μὲν οὖν ἔστιν οὐσία ἀίδιος καὶ κεχωρισμένη καὶ ἄλλη τῶν αἰσθητῶν, δῆλον. δέ-

---

10 ἁπλοῦς μόνος—ἐστι [τινός] (11) L: ἁπλοῦς ἐστι μόνος τῶν νοητῶν A: quibus add. μόνον ἑαυτὸν νοήσει M Bonitz 11 τινός delevi 17 ἐκεῖνος δὲ Metaph. vulg. 18 καθ' αὑτήν M: καθ' αὐτόν A: καθ' αὐτή L 23. 24 συνεχής L: συνής A 36 γεγονώς L: γεγονός A 38 ἀίδιος καὶ ἀκίνητος καὶ κ. Metaph. vulg. καὶ ἄλλη non legitur in Metaph.

δεικται δὲ καὶ ἐν τῷ Θ τῆς Φυσικῆς ἀκροάσεως ὅτι καὶ ἀσώματος καὶ ἀμερής ἐστιν ἡ τοιαύτη οὐσία. καὶ ὑπομιμνήσκει τῶν ἐκεῖ ῥηθέντων ὅτι ἡ τοιαύτη ἀρχὴ κινεῖ ἀίδιον κίνησιν, τὸ δὲ ἀίδιον κινοῦν κίνησιν ἀπειροδύναμον εἶναι ἀνάγκη· δέδεικται γὰρ καὶ τοῦτο ἐκεῖσε. ἡ δὲ ἄπειρος δύναμις ἐν πεπερασμένῳ σώματι εἶναι οὐ δύναται· δέδεικται γὰρ καὶ τοῦτο ἐκεῖσε. ἄπειρον δὲ σῶμα ὅτι οὐκ ἔστιν ὅλως, δέδεικται καὶ ἐν τῷ Γ τῆς Φυσικῆς ἀκροάσεως, δέδεικται δὲ καὶ ἐν τῷ πρώτῳ τῆς Περὶ οὐρανοῦ. ἀσώματον ἄρα τὸ ἀπειροδύναμόν ἐστιν. ἀλλὰ μὴν καὶ ἀπαθές ἐστι τὸ πρῶτον αἴτιον καὶ ἀναλλοίωτον· εἰ γὰρ ὅλως ἐκινεῖτο, τὴν πρώτην ἂν ἐκινεῖτο τῶν κινήσεων τὴν κατὰ τόπον, ταύτην δὲ δέδεικται ὅτι οὐ κινεῖται· εἰ δὲ μὴ ταύτην, σχολῇ γε τὰς ἄλλας.

p. 1073a14 Πότερον δὲ μίαν θετέον τὴν τοιαύτην οὐσίαν ἢ πλείους.

Δείξας ὅτι ἡ πρώτη ἀρχὴ μία ἐστὶν ἀσώματος οὖσα καὶ μήτε καθ' αὑτὸ μήτε κατὰ συμβεβηκὸς κινουμένη, ἀλλ' ἔστι πάντῃ ἀκίνητος, ζητεῖ πότερον μία ἐστὶν ἡ τοιαύτη οὐσία ἢ πλείους, καὶ εἰ μή ἐστι μία ἀλλὰ πλείους, πόσας δεῖ ταύτας | τιθέναι; δεῖ δὲ μὴ λανθάνειν ἀλλὰ μεμνῆσθαι καὶ ἐνθυμεῖσθαι καὶ τὰς τῶν ἄλλων ἀποφάσεις καὶ γνώμας. καὶ τίνος χάριν δεῖ μεμνῆσθαι ἐπάγει, ὅτι σαφὲς οὐδέν τι περὶ τοῦ πλήθους τῶν τοιούτων αἰτίων εἰρήκασι, πότερον τὰ τοιαῦτα αἴτια τρία εἰσὶν ἢ εἴκοσιν ἢ ἄλλος τις ἀριθμός. οἱ μὲν γὰρ τὰς ἰδέας αἰτίας τῶν τῇδε τιθέμενοι πότερον καὶ τῶν κινήσεων αἰτίας ἐτίθεντο οὐδὲν λέγουσιν. ὅμως ἐπεὶ ὅλως αἰτίας αὐτὰς τίθενται, οὐδὲν περὶ τοῦ πλήθους αὐτῶν ἐσκεμμένως λέγουσι· καίτοι ἔδει περὶ τοῦ τῶν αἰτίων ἀριθμοῦ εἰρηκέναι· ἀλλὰ μόνον τὰς ἰδέας ἀριθμοὺς λέγοντες, τὸν δὲ ἀριθμὸν ὁτὲ μὲν ἄχρι τῆς δεκάδος ὁρίζοντες καὶ εἰς αὐτὴν ἀποπερατοῦντες, ὁτὲ δὲ ἄπειρον αὐτὸν λέγοντες φαίνονται ὅτι ποτὲ μὲν ἀπείρους αὐτάς φασιν, ὁτὲ δὲ πεπερασμένας. εἰ γὰρ αἱ ἰδέαι ἀριθμοί, ὁ δ' ἀριθμὸς ἄχρι τῆς δεκάδος ἵσταται, αἱ ἰδέαι ἄρα δέκα. πάλιν εἰ αἱ ἰδέαι ἀριθμός, ὁ δ' ἀριθμὸς ἄπειρος, αἱ ἰδέαι ἄρα ἄπειροι. ὥστε οὐδαμῶς ἰδίᾳ περὶ τούτων ἀπεφήναντο, εἴτε μόνως ἀπείρους αὐτὰς δεῖ λέγειν εἴτε μόνως πεπερασμένας, ἀλλὰ ἄνευ ἀποδεικτικῆς σπουδῆς τὰ περὶ τῶν ἰδεῶν αὐτοῖς λέγεται. αἰτιασάμενος δὲ αὐτοὺς διὰ τὸ μηδὲν ἀποδεικτικῶς εἰρηκέναι περὶ τοῦ τῶν ἰδεῶν πλήθους, καὶ ταῦτα αὐτὰς αἰτίας εἶναι τῶν τῇδε λέγοντας, αὐτὸς περὶ τοῦ ἀριθμοῦ τῶν κινητικῶν αἰτίων ὁπόσα ἐστὶν εἰπεῖν προτίθεται. πρῶτον δὲ συνίστησιν ὅτι εἰσὶ καὶ ἄλλα αἴτια κινητικὰ τοῦ Κρόνου καὶ Διὸς καὶ τῶν λοιπῶν πλανήτων ἀστέρων· ὡς γὰρ ἐρεῖ, καὶ αἱ σφαῖραι διὰ τοὺς ἀστέρας γεγόνασιν· εἶτα εὑρὼν ὁπόσαι αἱ σφαῖραι, ἀποφανεῖται ὅτι καὶ τὸ πλῆθος τῶν κινούντων αἰτίων τοσοῦτόν ἐστιν ὅσον τὸ τῶν σφαιρῶν· ἓν γὰρ ἑνός ἐστι κινητικόν.

---

1 ἐν τῷ Θ τῆς Φυσικῆς ἀκροάσεως] c. 10 3 δὲ LS: εἰς A 6. 7 ἐν τῷ Γ τῆς Φυσικῆς ἀκροάσεως] c. 5 7 δὲ L: om. A ἐν τῷ πρώτῳ τῆς Περὶ οὐρανοῦ] c. 5—7 37 κινούντων L: κινουμένων A

ταῦτα δὲ πάλιν πάντα ἀνάξει ὑπὸ τὸ πρῶτον αἴτιον, λέγω δὴ τὸ ζῷον ἀίδιον ἄριστον, ὃ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκὸς εἶναι ἀκίνητον ἀπέδειξεν, ὁμοίως καὶ τὰ τῶν ἄλλων σφαιρῶν κινητικά· καὶ αὐτὰ γὰρ καθ' αὑτά 25 ἐστιν ἀκίνητα καὶ κατὰ συμβεβηκός. τί δὲ ἡ πρώτη καὶ ἀπλανὴς οὐχ
5 ὑπὸ τῆς οἰκείας ψυχῆς κινηθήσεται; ἢ κινεῖται μὲν καὶ ἡ ἀπλανὴς καὶ αἱ λοιπαὶ σφαῖραι ὑπὸ τῶν οἰκείων ψυχῶν, ἀλλ' οὐχ ὡς τὰ ζῷα (τούτων γὰρ αἱ ψυχαὶ ῥιπτοῦσι καὶ βιάζονται τὰ ἐν οἷς εἰσι σώματα), ἀλλ' οὕτως ὥσπερ ἐν τῷ B τῆς Περὶ οὐρανοῦ εἴρηται, ὑπὸ δὲ τοῦ πρώτου κινοῦνται ὡς ἐφετοῦ καὶ ὀρεκτοῦ. ἀλλὰ ταῦτα μὲν προδιωρίσθω, ἡμῖν δέ, φησὶν ὁ Ἀρι- 30
10 στοτέλης, ἐκ τῶν ὑποκειμένων καὶ δεδειγμένων ῥητέον ὅτι ἡ πρώτη ἀρχὴ τὸ πρῶτον πάντων τῶν ὄντων ἀκίνητόν ἐστι καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός, κινοῦν δὲ ὡς ἐφετὸν δηλονότι τὴν πρώτην καὶ ἀίδιον καὶ μίαν κίνησιν. |

Ἐπεὶ δὲ τὸ κινούμενον ἀνάγκη ὑπό τινος κινεῖσθαι, καὶ τὸ 676
15 πρῶτον κινοῦν ἀκίνητον εἶναι καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός (αἱ γὰρ ψυχαὶ εἰ καὶ πρῶτα κινητικά ἐστι τῶν ζῴων, ὅμως κινοῦνται καὶ κατὰ συμβεβηκός), καὶ ἐπεὶ ἀνάγκη τὴν ἀίδιον κίνησιν ὑπὸ ἀιδίου κινητικοῦ γίνεσθαι καὶ τὴν μίαν καὶ συνεχῆ ὑφ' ἑνός (δέδεικται γὰρ 5 καὶ τοῦτο ἐν τῇ Φυσικῇ ἀκροάσει), εἰ μὲν ἦν μία κίνησις, ἐπειδή, ὡς δέ-
20 δεικται, ἡ μία ὑφ' ἑνὸς κινητικοῦ γίνεται, ἀναγκαῖον ἦν λέγειν καὶ τὸ κινοῦν ἕν. ἐπεὶ δὲ ὁρῶμεν παρὰ τὴν τοῦ παντὸς ἁπλῆν κίνησιν (λέγει δὲ πᾶν τὴν ἀπλανῆ, ἣν φαμεν κινεῖν ὡς ἐφετὸν τὴν πρώτην καὶ ἀκίνητον οὐσίαν) ἄλλας φορὰς τὰς τῶν πλανητῶν ἀιδίους καὶ αὐτάς (ἀίδιον γὰρ καὶ ἄστατον τὸ κύκλῳ σῶμα καὶ οὐδέποτε ἠρεμοῦν δέδεικται ἐν τῇ Περὶ οὐρα- 10
25 νοῦ), ἐπειδὴ οὖν τοῦθ' ὁρῶμεν, ἀνάγκη καὶ τῶν πλανωμένων ἑκάστην φορὰν ὑπὸ ἀκινήτου τε κινεῖσθαι καὶ καθ' αὑτὴν ἀκινήτου οὐσίας. εἰ δὲ εἴη γεγραμμένον ὑπὸ ἀκινήτου τε κινεῖσθαι καθ' αὑτό, καὶ διὰ ταύτης τῆς γραφῆς τὸ αὐτὸ δηλοῖ. καὶ οὐ μόνον ὑπὸ ἀκινήτου καθ' αὑτὸ οὐσίας ἀνάγκη αὐτὴν κινεῖσθαι, ἀλλὰ καὶ ὑπὸ ἀιδίου. καὶ τὴν αἰτίαν τοῦ
30 καὶ ἀίδια καὶ οὐσίας ἀναγκαῖον εἶναι τὰ κινητικὰ τῶν σφαιρῶν τῶν πλανη- 15
τῶν ἐπήγαγεν εἰπὼν ἥ τε γὰρ τῶν ἄστρων φύσις ἀίδιος, ἴσον λέγων τῷ ἐπεὶ τὰ ὑπ' αὐτῶν κινούμενα ἄστρα ἀεί ἐστιν, ἀνάγκη καὶ τὸ κινοῦν, ἐπειδὴ πρότερόν ἐστι τοῦ κινουμένου, ἀίδιον εἶναι· ἀλλ' εἰ πρότερον, ἀνάγκη οὐσίαν αὐτὸ εἶναι· τὸ γὰρ τῶν οὐσιῶν πρότερον οὐσία διὰ τὸ μὴ δύνασθαι
35 χωρὶς οὐσίας τῶν ἄλλων τι εἶναι. εἰ οὖν τὸ ἁπλοῦν αἴτιον μιᾶς καὶ ἁπλῆς 20
ἐστι κινήσεως κινητικόν, ὡς δέδεικται, καὶ ἡ μία καὶ ἁπλῆ κίνησις ὑφ' ἑνὸς καὶ ἁπλοῦ αἰτίου γίνεται, φανερὸν ὅτι ὅσαι εἰσὶν αἱ κινήσεις, ἤτοι τὰ κινούμενα, καὶ τὰ κινοῦντα τοσαῦτα ἔσται, τήν τε φύσιν ἀίδια καὶ ἀκίνητα καθ' αὑτά. καὶ τούτων τὸ μὲν πρῶτον ἔσται, τὸ δὲ δεύτερον, τὸ δὲ τρί-

---

8 ἐν τῷ B τῆς Περὶ οὐρανοῦ] c. 12 p. 292a18 sqq. 9 προδιωρίσθω Brandis: προσδιωρίσθω AL 10 καὶ διωρισμένων λεκτέον Metaph. 19 ἐν τῇ Φυσικῇ ἀκροάσει] Θ 6 20 ἡ μία L: ἡ om. A 23 τὰς L: om. A 24. 25 ἐν τῇ Περὶ οὐρανοῦ] A 2 26 τε L: om. A 27 ὑπὸ — καθ' αὑτό] sic Metaph. 28 καθ' αὑτὸ L: καὶ καθ' αὑτὸ A

τον· ὡς γὰρ ἔχει τὰ ὑπ' αὐτῶν κινούμενα, οὕτως ἕξει καὶ τὰ κινοῦντα. ἀλλ' ἡ μὲν τῶν λεγομένων διάνοια εἴρηται, ἡ δὲ λέξις ἡ ὅτι περὶ πλήθους οὐδὲν εἰρήκασιν ὅ τι καὶ σαφὲς εἰπεῖν, περιπέφρασται· ἔστι γὰρ τὸ λεγόμενον ἴσον τῷ περὶ πλήθους οὐδὲν σαφὲς εἰρήκασι. ταῦτα εἰπὼν καὶ μέλλων λέγειν ὅσον ἐστὶ τὸ πλῆθος τῶν σφαιρῶν, ἐπειδὴ ἁπλῶς οὕτως καὶ χωρὶς ἀποδείξεως ἐρεῖ ὅτι πεντήκοντα καὶ πέντε εἰσί (τὴν γὰρ αἰτίαν τοῦ τοσαύτας εἶναι ἐν ἄλλοις εἴρηκε), λέγει ὅτι τὸ δὲ πλῆθος ἤδη τῶν σφαιρῶν ἐκ τῆς οἰκειοτάτης φιλοσοφίᾳ τῶν μαθηματικῶν ἐπιστημῶν δεῖ σκοπεῖν ἴσον λέγων τῷ ἡμεῖς μὲν νῦν χωρὶς ἀποδείξεως λέγομεν ὅτι | πεντήκοντα καὶ πέντε εἰσίν, ἵν' ἐκ τούτων εὕροιμεν 677
καὶ τὸ τῶν κινούντων πλῆθος· οὐ γὰρ νῦν ἡμῖν πρόκειται περὶ τῶν σφαιρῶν δεικνύναι ὅσαι τυγχάνουσιν οὖσαι· εἰ δέ τις καὶ τὴν ἀπόδειξιν τούτου ζητεῖ, μετερχέσθω ἀστρονομίαν. εἰπὼν δὲ ὅτι ἐκ τῆς ἀστρολογίας τῆς οἰκειοτάτης τῇ φιλοσοφίᾳ δεῖ θεωρεῖν ὅσον ἐστὶ τὸ πλῆθος τῶν σφαιρῶν, τοῦ πῶς ἡ ἀστρολογία οἰκειοτάτη παρὰ τὰς ἄλλας μαθηματικὰς ἐπιστήμας. γεωμετρίαν ἀριθμητικήν, ἐστὶ τῇ φιλοσοφίᾳ τὴν αἰτίαν ἐπήγαγεν εἰπὼν ὅτι αὕτη περὶ οὐσίας αἰσθητῆς μὲν ἀιδίου δὲ τὴν θεωρίαν ποιεῖται, ἡ δὲ γεωμετρία καὶ ἡ ἀριθμητικὴ ἡ μὲν τὰ τοῖς μεγέθεσι συμβεβηκότα, ἡ δὲ ἀριθμητικὴ περὶ τὰ τοῖς ἀριθμοῖς. ἐπεὶ δὲ ἀνωτέρω εἴρηκεν ὅτι πλείους εἰσὶν αἱ φοραί, ἐπάγει ὅτι μὲν οὖν πλείους εἰσὶν αἱ φοραὶ φανερόν ἐστι τῷ καὶ μετρίως ἡμμένῳ μαθημάτων. καὶ ὅτι μὲν πλείους εἰσὶ δῆλον. πόσαι δὲ τυγχάνουσιν αἱ φοραί, ἤτοι αἱ σφαῖραι, ἡμεῖς λέγομεν ἅ φασι τῶν μαθηματικῶν τινες (λέγει δὲ τὸν Εὔδοξον καὶ τὸν Κάλλιππον) χάριν ἐννοίας καὶ τοῦ ὁρίσαι πόσον αὐτῶν τὸ πλῆθός ἐστιν, ἵν' ἐκ τούτων ὁδηγηθείημεν πρὸς τὴν τῶν κινητικῶν αἰτίων εὕρεσιν. δεῖ δέ, φησίν, ἡμᾶς μὴ ἐμμένειν τοῖς πρὸ ἡμῶν ῥηθεῖσι περὶ τοῦ πλήθους τῶν σφαιρῶν, ἀλλὰ ζητεῖν καὶ ἡμᾶς καὶ εὑρίσκειν τι, πυνθάνεσθαι δὲ καὶ τοὺς λοιπούς, ὅσοι περὶ τούτων ζητοῦσι, καὶ ὅ τι φαίνεται λεγόμενον τοῖς περὶ ταῦτα πραγματευομένοις παρὰ τὰ νῦν ὑφ' ἡμῶν λεγόμενα, φιλεῖν τοὺς ἐς ὕστερον καὶ ἡμᾶς καὶ τοὺς πρὸ ἡμῶν ὡς εὑρηκότας τι. πείθεσθαι δὲ τοῖς ἀκριβεστέροις. τοῦτο εἰπὼν εὐθὺς ἱστορεῖ ἅ τε Εὔδοξος περὶ τῶν σφαιρῶν ἔλεγε καὶ τοῦ πλήθους αὐτῶν καὶ ἃ ὁ Κάλλιππος· καὶ δεξάμενος τὴν προσθήκην τῶν σφαιρῶν, ἣν ὁ Κάλλιππος προσέθηκεν (ὁ γὰρ Εὔδοξος εἴκοσι καὶ ἓξ τὰς πάσας ἐτίθετο, Κάλλιππος δὲ τριάκοντα καὶ τρεῖς), οὕτως αὐτὸς ταῖς τριάκοντα καὶ τρισὶν ἄλλας εἴκοσι καὶ δύο προστίθησιν.

p. 1073ᵇ17 Εὔδοξος μὲν οὖν ἡλίου καὶ σελήνης τὴν φορὰν ἐν τρισὶν ἐτίθετο εἶναι.

Ὅσας μὲν οὖν τὰς σφαίρας καὶ οἵως κινεῖσθαι καὶ διὰ τίνα αἰτίαν

---

7 τοσαύτας L: τοσαῦτα A 8 φιλοσοφίας L Metaph., sed cf. 14 et 16 9 χωρὶς L: in lac. om. A 12 τούτου L: τούτων A 18 ante τὰ addendum περὶ 22. 23 ἡμεῖς μὲν λέγομεν L 31 περὶ M: παρὰ AL 36 post σελήνης add. ἑκατέρου Metaph. vulg.

Εὔδοξος καὶ Κάλλιππος καὶ ὕστερον Ἀριστοτέλης ἔλεγον, ἐν τῷ δευτέρῳ τῆς Περὶ οὐρανοῦ κατὰ τὴν τῆς λέξεως ἐξήγησιν τὴν "καὶ ἔτι διὰ τοῦτο δὲ ἓν ἔχουσι σῶμα καὶ αἱ ἄλλαι φοραί, ἕως τοῦ "παντὸς δὲ πεπερασμένου σώματος πρὸς πεπερασμένον ἡ δύναμίς ἐστι." μετὰ πολλῆς εἴρηται τῆς
5 ἐπιμελείας. σχεδὸν καὶ τὸ ἐνεστὼς χωρίον τὸ Εὔδοξος μὲν οὖν ἡλίου 30
καὶ σελήνης τὴν φορὰν ἐν τρισὶν ἐτίθετο εἶναι ἕως τοῦ τὸ μὲν οὖν πλῆθος τῶν σφαιρῶν ἔστω τοσοῦτον ἐκεῖσε ἐξηγησάμενοι. διὸ ἐκεῖθεν τὴν τούτου σαφήνειαν ὁ βου|λόμενος ποριζέσθω. ἐπεὶ δέ τινες 678
τῶν λέξεων ἐκεῖσε οὐκ ἐσαφηνίσθησαν, νῦν ἄξιόν ἐστιν αὐτὰς ἐπισκέψα-
10 σθαι. ὧν διὰ τῆς πρώτης τῆς ὧν τὴν μὲν πρώτην τὴν τῶν ἀπλανῶν ἄστρων εἶναι οὐ τοῦτό φησιν, ὡς ἂν τῳ δόξειεν, ὅτι ἡ ἀπλανὴς πρώτη ἐστί, καίτοι καὶ οὔσης πρώτης, ἀλλ' ὅ φησι τοῦτό ἐστιν, ὅτι τριῶν οὐσῶν σφαιρῶν κατὰ Εὔδοξον τῶν φερουσῶν τὸν ἥλιον, ἡ μὲν πρώτη καὶ περι- 5
ἔχουσα τὰς λοιπὰς δύο καὶ τὴν αὐτὴν τῇ ἀπλανεῖ κινουμένη κίνησιν (ἀπὸ
15 ἀνατολῆς γὰρ ἐπὶ δύσιν ἔλεγον αὐτὴν κινεῖσθαι, καὶ δι' ἣν αἰτίαν εἴπομεν ἐν τῇ Περὶ οὐρανοῦ), αὕτη οὖν ἡ πρώτη ὡς ἀπλανὴς ἐνομίζετο τῷ Εὐδόξῳ πρὸς τὰς λοιπὰς δύο τὰς ὑπ' αὐτῆς περιεχομένας. καὶ οὐ μόνον τὴν τοῦ ἡλίου πρώτην σφαῖραν ἀπλανῆ ἔλεγεν, ἀλλὰ καὶ τὴν τοῦ Κρόνου 10
καὶ τὴν τοῦ Διὸς καὶ τὰς ἑκάστου τῶν ἄλλων ἀστέρων πρώτας καὶ μεί-
20 ζονας ἀπλανεῖς ἔλεγεν. ὡς εἶναι μίαν μὲν ἀπλανῆ τὴν πρώτην, ἐν ᾗ τὸ χῦμα τῶν τὰ ζῴδια ἀναπληρούντων ἀστέρων εἰσίν. ἑτέραν δὲ τὴν τοῦ Κρόνου, καὶ ἄλλην τὴν τοῦ Διός, καὶ ἐφεξῆς ὃς ἀνάστρους Θεόφραστος ἔλεγεν. τὸ δὲ τὴν δὲ τρίτην κατὰ τὸν λελοξωμένον ἐν τῷ πλάτει τῶν ζῳδίων λελοξωμένον κύκλον ἐν τῷ πλάτει τῶν ζῳδίων ἔλεγεν. ὡς 15
25 ἐν τῇ Περὶ οὐρανοῦ εἴρηται, ὃν δοκεῖ ὁ ἥλιος τῷ ἑαυτοῦ κέντρῳ γράφειν φερόμενος ὑπὸ τῆς ἐν ᾗ δέδεται σφαίρας, ὃς καὶ δοκεῖ ἐκπίπτειν τὰ τροπικὰ σημεῖα διὰ τὸ μὴ ἀεί, ὅταν τὰς τροπὰς ὁ ἥλιος ποιῆται, ὁρᾶσθαι ἀπὸ τῶν αὐτῶν τόπων ἀνατέλλων. τὸ δὲ ἐν μείζονι δὲ πλάτει λελοξῶσθαι καθ' ὃν ἡ σελήνη φέρεται ἢ καθ' ὃν ὁ ἥλιος ἴσον ἐστὶ τῷ
30 τὸ δὲ πλάτος τῆς λοξώσεως τοῦ κύκλου, ὃν ἡ σελήνη τῷ ἑαυτῆς κέντρῳ 20
γράφειν δοκεῖ, μεῖζόν ἐστι τοῦ πλάτους τῆς λοξώσεως τοῦ κύκλου, ὃν ὁ ἥλιος τῷ οἰκείῳ κέντρῳ γράφειν δοκεῖ· κατείληπτο γὰρ καὶ τοῦτο ἐκ τοῦ μὴ ἐκ τῶν αὐτῶν τόπων τὰς ἀνατολὰς ἐν ταῖς τροπαῖς τὸν ἥλιον καὶ τὴν σελήνην ποιεῖσθαι. ἔστω γὰρ ὁ ὁρίζων κύκλος ὁ αηβγδ, ἰσημερινὸς δὲ
35 ὁ δεβ, ὁ λελοξωμένος δὲ ἐν τῷ πλάτει τῶν ζῳδίων, ὃν ὁ ἥλιος τῷ ἑαυ- 25
τοῦ κέντρῳ δοκεῖ γράφειν, ἔστω ὁ αεγ, ὃν δὲ πάλιν ἡ σελήνη τῷ ἑαυτῆς κέντρῳ γράφειν δοκεῖ ἔστω ὁ ηεμ· καὶ ἀνατελλέτω ὁ ἥλιος καθ' ἣν ὥραν ποιεῖται τὴν θερινὴν τροπὴν ἀπὸ τοῦ α σημείου, καθ' ἣν δὲ τὴν ἰσημερίαν, ἀπὸ τῆς δ σημείου. δῆλον δ' ὅτι τὸ μεῖζον πλάτος τῆς λοξώσεως ἡ δα

---

1. 2 ἐν τῷ δευτέρῳ τῆς Περὶ οὐρανοῦ] c. 12 p. 293a4—11 2 κατὰ M: μετὰ AL fort. τῆς "καὶ τοῦτο δὲ] τόδε Arist. l. l. 6. 7 τὸ μὲν οὖν κτλ.] p. 1074a15 11 δόξειεν M: δόξαιεν AL 20 μὲν L: καὶ A 21 χῦμα A: σχῆμα L 22 ἀνάστρους LM: ἀνάστρα A 23 δὲ (post τὴν) M: om. AL 30 ἑαυτῆς L: αὐτῆς A

περιφέρειά ἐστιν. ἡ δὲ σελήνη ὅταν τὴν πρὸς τὸ βόρειον τροπὴν ποιῆται, ἀνατελλέτω ἀπὸ τοῦ η σημείου· φανερὸν δὴ ὅτι τὸ μεῖζον πλάτος τῆς λοξώσεως αὐτῆς ἡ δη περιφέρειά ἐστι, καὶ ἔστι μεῖζον τῆς δα περιφερείας, ἥτις ἦν τὸ μεῖζον πλάτος τῆς ἡλίου λοξώσεως. τούτου οὖν ἐστι δηλωτικὸν τὸ ἐν μείζονι πλάτει λελοξῶσθαι καθ' ὃν ἡ σελήνη φέρεται | ἢ καθ' ὃν ὁ ἥλιος. τὸ δὲ τῆς δὲ τρίτης ἁπάντων τοὺς πόλους ἐν τῷ διὰ μέσων τῶν ζῳδίων εἶναι ἀντὶ τοῦ πᾶσαι αἱ τρίται σφαῖραι τοὺς πόλους ἔχουσιν ἐν τοῖς κύκλοις τοῖς γραφομένοις διὰ μέσων τῶν ζῳδίων ὑπὸ τῶν κέντρων τῶν ἄστρων. τὸ δὲ τὴν αὐτὴν ἐτίθετο τάξιν, τουτέστι τῶν ἀποστημάτων, ἀντὶ τοῦ ὁποίας ἔλεγεν Εὔδοξος πρώτας καὶ δευτέρας σφαίρας, ταύτας καὶ ὁ Κάλλιππος πρώτας ἔφασκεν· καὶ ὅσον ἂν φέρε εἰπεῖν ἀφεστηκέναι τὴν Κρονιακὴν τῆς Ἑρμαϊκῆς σφαίρας ἔλεγεν ὁ Εὔδοξος, τοσοῦτον καὶ ὁ Κάλλιππος ἔφασκεν αὐτὴν ἀφεστηκέναι. τὸ δὲ καθ' ἕκαστον τῶν πλανωμένων ἑτέρας σφαίρας μιᾷ ἐλάττονας εἶναι τὰς ἀνελιττούσας, ἀντὶ τοῦ ἐπειδὴ αἱ τὸν Κρόνον φέρουσαι σφαῖραι τέσσαρές εἰσιν, αἱ ἀνελίττουσαι τρεῖς ἔστωσαν· αἱ γὰρ τρεῖς μιᾷ ἐλάττονές εἰσι τῶν τεσσάρων. πάλιν ἐπεὶ αἱ τὸν Ἄρεα κατὰ Κάλλιππον φέρουσαι πέντε εἰσί, προσκείσθωσαν αὐταῖς ἀνελίττουσαι τέσσαρες· αἱ γὰρ τέσσαρες μιᾷ ἐλάττους εἰσὶ τῶν πέντε· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. τίνα δὲ χρείαν τῷ Ἀριστοτέλει παρέσχεν ἡ τῶν ἀνελιττουσῶν προσθήκη, εἴρηται ἐν τῇ Περὶ οὐρανοῦ. τὸ δὲ εἰς τὸ αὐτὸ ἀποκαθιστάσας τῇ θέσει τὴν πρώτην σφαῖραν ἀεὶ τοῦ ὑποκάτω τεταγμένου ἄστρου δῆλον ἔσται γράψασι κύκλους τινάς. ἔστωσαν γὰρ τρεῖς κύκλοι, ὁ αβ καὶ ὁ δε καὶ ὁ ζη. ἐν δὲ τῷ ζη ἔστω ὁ ἀστήρ, οἷον ὁ Ζεύς, καὶ ἔστω τὸ κ σημεῖον. τὸ δὲ α ἔστω σημεῖόν τι καὶ τὸ δ καὶ τὸ ζ καὶ τὸ βεη· μὴ ἔστωσαν δὲ ἀστέρες, ἀλλὰ νενοήσθωσαν μόνον σημεῖά τινα, καὶ τὸ α καὶ τὸ δ καὶ τὸ ζ ἐπὶ τῆς αὐτῆς εὐθείας· ὁμοίως καὶ τὰ βεη· καὶ κεκινήσθω ἡ μὲν αβ σφαῖρα ὡς ἐπὶ τὸ β σημεῖον, ὥστε ἐλθεῖν τὸ α ἐν ᾧ τὸ β ἐστίν· ἡ δὲ δε καὶ ἡ ζη κεκινήσθωσαν ἰσοταχῶς ὡς ἐπὶ τὰ δζ, ὥστε ἔρχεσθαι τὰ εη ἐπὶ τὰ δζ. ἐπεὶ οὖν ἐπὶ τὰ αὐτὰ κινοῦνται ἡ εδ καὶ ἡ ηζ σφαῖραι ἰσοταχεῖς οὖσαι, δῆλον ὅτι ἡ τῆς ηζ σφαίρας κίνησις διπλασίων ἐστὶ τῆς εδ σφαίρας κινήσεως· ὅση γάρ ἐστιν ἡ τῆς ηζ σφαίρας κίνησις, τοσαύτην αὐτῇ ἐνδίδωσι καὶ ἡ τῆς εδ σφαίρας κίνησις, ἐπειδὴ ἐπὶ τὰ αὐτὰ φέρονται· ὥστε ἐν ᾧ χρόνῳ τὸ ε ἐπὶ τὸ δ ἦλθεν, ἐν τῷ αὐτῷ χρόνῳ τὸ η τὸν ηζ κύκλον ὅλον διελθὸν ἦλθεν ἂν πάλιν ἐπὶ τὸ η, εἰ μὴ ἡ αβ σφαῖρα ἀντιφερομένη τῇ δε καὶ ὡς ἐπὶ τὸ β αὐτὴν ἕλκουσα οὐκ εἴα αὐτὴν ἐνδιδόναι τῇ ζη σφαίρᾳ ἄλλην τοσαύτην κίνησιν ὅσην αὐτὴ κινεῖται· ὥστε ἡ αβ ἐμποδίζουσα τὴν δε καὶ ὡς ἐπὶ τὸ β ἕλκουσα, καὶ ἡ δε ἐμποδίζει τὴν ζη, καὶ ἐπὶ τούτῳ ἀεὶ τὴν αὐτὴν θέσιν ἡ ζη περιφέρεια φυλάξει τῇ θέσει τῆς αβ· ὥστε ὅταν τὸ η ἐπὶ τὸ ζ ἔλθῃ, καὶ τὸ ζ ὅπου νῦν τὸ η ἐστί, τότε

---

1 περιφέρεια M: πέρας AL 2 δὴ M: δὲ AL 5 ἡ M: καὶ ἡ AL 6 τὸ δὲ τῆς M: ἀπὸ δὲ τοὺς A: ἀπὸ δὲ L 13 ἀφεστηκέναι LM: ἐφεστηκέναι A 28 ἐπὶ τὸ β M: ἐπὶ τὰ τὸ β AL 30 σφαῖραι M: σφαίρα AL 34 ηζ LM: ηζκ A 40 ἔλθῃ M: ἔλθοι AL

καὶ τὸ α ἐλεύσεται ὅπου νῦν τὸ β | ἐστί, τὸ δὲ β ὅπου τὸ α, καί εἰσι 680
πάντοτε ἐν τῇ αὐτῇ εὐθείᾳ τὰ αζ καὶ βη σημεῖα, καὶ ὅταν μὲν ἀνατέλλῃ
τὸ α, ἀνατέλλει καὶ τὸ ζ, καὶ πάλιν ὅταν δύνῃ τὸ β, τότε καὶ τὸ η, καὶ
οὐδέποτε οὔτε προανατέλλουσιν οὔτε προδύνουσι τοῦ αζ. κἂν ἡ αβ καὶ ἡ
5 ηζ ἐπὶ τὰ αὐτὰ φέρωνται, τὸ αὐτὸ συμβήσεται. ἡ δὲ δε σφαῖρα νενοήσθω
ἀνελίττουσα. τοῦτο οὖν ἐστιν ὅ φησι καὶ εἰς τὸ αὐτὸ ἀποκαθιστάσας 5
τῇ θέσει τὴν πρώτην σφαῖραν ἀεὶ τοῦ ὑποκάτω τεταγμένου
ἄστρου. καὶ εἴη ἂν τὸ λεγόμενον 'οὕτω κινεῖσθαι νενοήσθωσαν αἱ ἀνε-
λίττουσαι, ὥστε ποιεῖν τὴν πρώτην καὶ ἐξωτάτην τῶν σφαιρῶν τῶν φερου-
10 σῶν τὸν Δία σφαῖραν ἀεὶ τὴν αὐτὴν θέσιν φυλάττειν πρὸς τὴν σφαῖραν ἐν
ᾗ ἐνδέδεται ὁ ἀστήρ, καὶ μηδέποτε ἡγεῖσθαι τὰ λαμβανόμενα ἐν τῇ πρώτῃ 10
σφαίρᾳ σημεῖα τῶν λαμβανομένων ἐν τῇ σφαίρᾳ ἐν ᾗ ὁ ἀστὴρ ἐνδέδεται
σημείων, ἀλλ' ἀεὶ συναναστέλλειν καὶ συνδύνειν.' τὸ δὲ ὥστε ἐν αἷς μὲν
αὐτὰ φέρεται σφαίραις αἱ μὲν ὀκτὼ αἱ δὲ πέντε καὶ εἴκοσίν εἰσιν,
15 ἴσον ἐστὶ τῷ ὥστε κατὰ τὸν Κάλλιππον ὀκτὼ μὲν εἶναι τὰς τοῦ ἡλίου
καὶ τῆς σελήνης, εἴκοσι δὲ καὶ πέντε τὰς τῶν ἄλλων, Κρόνου Διὸς καὶ
τῶν λοιπῶν. τὸ γὰρ πρὸ ὀλίγου ῥηθὲν τὸ τῷ δ' ἡλίῳ καὶ τῇ σελήνῃ 15
δύο ᾤετο προσθετέας εἶναι ἴσον ἐστὶ τῷ ἀνὰ μίαν· ἐπεὶ γὰρ ὁ Εὔ-
δοξος ἓξ ἐτίθετο τὰς τοῦ ἡλίου καὶ τῆς σελήνης, ὁ δὲ Κάλλιππος ὀκτὼ
20 αὐτάς φησι, δῆλον ὅτι ἀνὰ μίαν αὐταῖς προσέθηκεν. ὁμοίως καὶ ταῖς λοι-
παῖς τῶν πέντε ἀστέρων σφαίραις ἀνὰ μίαν προσέθηκε· τοῦ γὰρ Εὐδόξου
τέτταρας λέγοντος εἶναι ἑκάστου τῶν λοιπῶν πέντε ἀστέρων, οὗτος πέντε 20
αὐτὰς πεποίηκεν. τὸ δὲ τούτων δὲ μόνας ἀνελιχθῆναι οὐ δεῖ, ἐν
αἷς τὸ κάτω φέρεται, ἀντὶ τοῦ μόνας τὰς τὴν σελήνην (αὕτη γάρ ἐστι
25 κατωτάτω πάντων τῶν ἀστέρων) φερούσας οὐ δεῖ ἔχειν ἀνελιττούσας. τὸ
δὲ αἱ μὲν τὰς τῶν πρώτων δύο ἀνελίττουσαι ἓξ ἔσονται, ἀντὶ τοῦ
αἱ τοῦ Κρόνου καὶ Διὸς ἀνελίττουσαι ἓξ ἔσονται· ἐπεὶ γὰρ τέτταρές εἰσιν 25
αἱ τὸν Κρόνον φέρουσαι καὶ τέτταρες αἱ τὸν Δία, δεῖ δὲ καθ' ἕκαστον
ἀστέρα τὰς ἀνελιττούσας μιᾷ ἐλάττους εἶναι, ἓξ ἔσονται αἱ τοῦ Κρόνου καὶ
30 Διὸς ἀνελίττουσαι, ἐπὶ δὲ τῶν λοιπῶν τεττάρων, Ἄρεος Ἀφροδίτης Ἑρμοῦ
ἡλίου, πέντε καθ' ἕκαστον οὐσῶν τῶν φερουσῶν, τέτταρες. γίνονται οὖν
αἱ πᾶσαι ἀνελίττουσαι δὶς μὲν τρεῖς αἱ Κρόνου καὶ Διός, τετράκις δὲ τέτ-
ταρες Ἄρεος Ἀφροδίτης Ἑρμοῦ ἡλίου· ὥστε πᾶσαι δύο καὶ εἴκοσιν· ἦσαν 30
δὲ αἱ φέρουσαι ὀκτὼ μὲν αἱ Κρόνου καὶ Διός, πέντε δὲ καὶ εἴκοσι τῶν
35 λοιπῶν πέντε· τριῶν οὖν | τούτων καὶ τριάκοντα ταῖς δύο καὶ εἴκοσι συν- 681
τεθεισῶν ἀνελιττούσαις, αἱ πᾶσαί εἰσι πέντε καὶ πεντήκοντα. ταῖς γὰρ τὴν
σελήνην φερούσαις, ὡς εἴρηται, οὐδὲν δεῖ ἀνελιττουσῶν, ἐσχάτης οὔσης·
οὕτω γὰρ Ἀριστοτέλης εἴρηκεν, ὅτι μόνας οὐ δεῖ ἀνελιχθῆναι ἐν αἷς φέ-
ρεται τὸ κάτω τεταγμένον ἄστρον. τὸ δὲ ἐπαχθὲν εἰ δὲ τῇ σελήνῃ τε 5
40 καὶ τῷ ἡλίῳ μὴ προσθείη τις ἃς εἴπομεν κινήσεις, ἑπτὰ καὶ τετ-
τεράκοντα ἔσονται πᾶσαι, τοῦτο ταραχὴν ποιεῖ. ἐὰν γὰρ ἀφέλωμεν

---

4 τοῦ M: τὸ AL 13 ὥστε] ἐπεὶ οὖν Metaph. 17 ἡλίου καὶ τῷ σελήνης Metaph. vulg.
21 τῶν λοιπῶν πέντε ἀστέρων L 24 τὸ κατωτάτω τεταγμένον φέρεται Metaph. vulg.

τὰς τοῦ ἡλίου δύο καὶ τὰς τῆς σελήνης δύο, ἃς προσέθηκε Κάλλιππος, καὶ δηλονότι δύο ἄλλας ἀπὸ τοῦ ἡλίου τὰς ἀνελιττούσας ἐκείνας (ἀφῃρημένων γὰρ ἐκείνων δεῖ συναφαιρεῖν καὶ τὰς μελλούσας αὐτὰς ἀνελίττειν), ἓξ μὲν ἔσονται ἀφῃρημέναι, δύο αἱ φέρουσαι τὸν ἥλιον καὶ δύο αἱ ταύτας ἀνελίτ- 10
5 τουσαι πρὸς ταῖς δύο ταῖς τῇ σελήνῃ προστεθείσαις ὑπὸ Καλλίππου· οὐκέτι δὲ συμβαίνει τούτων ἀφαιρεθεισῶν ἀπὸ τῶν πέντε καὶ πεντήκοντα λοιπὰς εἶναι πάσας ἑπτὰ καὶ τετταράκοντα, ἀλλὰ ἐννέα καὶ τετταράκοντα καταλιμπάνεσθαι· ἢ ὡς ἐπιλελησμένος ὅτι τῆς σελήνης οὐ τέτταρας ἀλλὰ δύο μόνας ἀφεῖλεν, εἰ μὴ ἄρα δεῖ λέγειν ὅτι τοῦ μὲν ἡλίου τὰς τέτταρας ἀφεῖλεν, 15
10 ἃς αὐτὸς προστέθεικεν ἀνελιττούσας, καὶ ἀμφοτέρων, ἃς ὁ Κάλλιππος, καὶ οὕτως ὀκτὼ τῶν ἀφαιρεθεισῶν οὐσῶν ἀπὸ τῶν πεντήκοντα καὶ πέντε, αἱ λοιπαί εἰσιν ἑπτὰ καὶ τετταράκοντα, καὶ οὕτω συμβαίνει εἶναι ὃν Ἀριστοτέλης φησὶν ἀριθμόν· ἢ ὥς φησιν ὁ Σωσιγένης ἐπιστήσας, βέλτιον εἶναί φησι λέγειν τοῦ ἀριθμοῦ παρόραμα νομίζειν τοῖς γράφουσι γεγονέναι, ἢ 20
15 τὰς αὐτὰς ἑβδόμας καὶ ὀγδόας σφαίρας ποιεῖν.

p. 1074a14 Τὸ μὲν οὖν πλῆθος τῶν σφαιρῶν ἔστω τοσοῦτον, ὥστε καὶ τὰς οὐσίας καὶ τὰς ἀρχὰς τὰς ἀκινήτους.

Ἱστορήσας τὸ πλῆθος τῶν σφαιρῶν καὶ εἰπὼν ὡς κατὰ μὲν τὸν Εὔδοξόν εἰσιν αἱ πᾶσαι σφαῖραι εἴκοσι καὶ ἕξ, κατὰ δὲ Κάλλιππον τριάκοντα
20 καὶ τρεῖς, κατὰ δὲ τὴν αὐτοῦ παρατήρησιν πεντήκοντα καὶ πέντε, ἔχων δὲ 25
καὶ δεδειγμένον ὅτι ἡ μία καὶ ἁπλῆ καὶ ἀίδιος κίνησις ὑφ' ἑνὸς καὶ ἁπλοῦ καὶ ἀμεροῦς κινητικοῦ γίνεται, θαρρούντως ἀποφαίνεται ὅτι ὅσον τυγχάνει ὂν τὸ τῶν σφαιρῶν καὶ αἰσθητῶν οὐσιῶν πλῆθος, τοσαύτας εὔλογον ὑπολαβεῖν καὶ τὰς οὐσίας καὶ τὰς ἀρχὰς τὰς ἀκινήτους. ἐπεὶ δὲ
25 ἱστόρησε μόνον, οὐ μὴν καὶ ἀπέδειξεν ὅτι αἱ σφαῖραι πεντήκοντα καὶ πέντε 30
εἰσὶ καὶ εἶπεν ὅτι εὔλογον τὸ τὰς ἀκινήτους οὐσίας τοσαύτας ὑπολαβεῖν, ἐπάγει τὸ γὰρ ἀναγκαῖον ἀφείσθω τοῖς ἰσχυροτέροις λέγειν, ὡς ἂν εἰ ἔλεγεν 'ἡμεῖς μὲν τὰς σφαίρας πεντήκοντα καὶ πέντε ἱστορή|σαντες 682
οὐ φαμεν ὅτι ἀναγκαῖον τοσαύτας εἶναι· εἰ δέ τινες ἰσχυρότερον καὶ κρεῖτ-
30 τον ἡμῶν εἴποιεν, ἐκεῖνοι τὸ ἀναγκαῖον προσθέτωσαν, ἀλλ' οὐ τὸ εὔλογον ὡς ἡμεῖς', φιλοσόφως πάντως ταῦτα λέγων. ἀλλὰ τίνα τὰ τῶν σφαιρῶν ποιητικὰ αἴτια, ἃ νῦν παραδίδωσι; πότερον αἱ ψυχαὶ καὶ τὰ εἴδη αὐτῶν; ἢ οὐ τὰς τούτων ψυχάς φησιν, ἐπεὶ οὐχ αὗται θεοί; αὗται γὰρ εἴδη οὖσαι τῶν σφαιρῶν ἐν αὐταῖς εἰσι, καὶ κινοῦσιν αὐτὰς κύκλῳ διὰ μέσης τῆς 5
35 φύσεως μιᾶς οὔσης καὶ τῆς αὐτῆς κινήσεως (οὐ γὰρ ἄλλη ἡ τῆς ψυχῆς καὶ ἄλλη ἡ τῆς φύσεως κίνησις), καὶ ἔχουσιν ἀπὸ μὲν τῆς φύσεως αἱ σφαῖραι τὴν αὐτοφυᾶ καὶ ἀβίαστον καὶ κατ' αὐτὸ τὸ εἶδος ἐπιτηδειότητα πρὸς τὸ κινεῖσθαι, ἀπὸ δὲ τῆς ψυχῆς τὴν μεταβατικὴν ἐνέργειαν, πρὸς ἣν 10

---

13 fort. βέλτιον γὰρ εἶναι 14 λέγειν fort. delendum 23 ὂν scripsi: ὂν L: om. A 30 ἀναγκαῖον M: ἀνάγκη AL 34 κινοῦσιν M: κινεῖ AL 35 μιᾶς οὔσης M: μιᾶς μὲν οὔσης AL

πεφύκασι διὰ τὴν φύσιν. οὐ τὰς τούτων οὖν ψυχὰς λέγει, ἀλλ' ἑτέρας οὐσίας ἀσωμάτους καὶ χωρὶς σώματος, ὑφειμένας μὲν τοῦ πρώτου νοῦ ὅσον αἱ σφαῖραι, εἰ χρὴ λέγειν, τῆς ἀπλανοῦς, ὑπερτέρας δὲ τῶν ψυχῶν τῶν σφαιρῶν· ὥστε αἱ σφαῖραι ὑπὸ μὲν τῶν οἰκείων ψυχῶν κινοῦνται, ὥσπερ εἴρηται, ὑπὸ δὲ τῶν τοιούτων θεῶν, ὡς ἡ ἀπλανὴς ὑπὸ τοῦ πρώτου νοός. κινεῖται δὲ ἡ ἀπλανὴς ὑπὸ τοῦ πρώτου κινητικοῦ τὴν ἐπ' ἄπειρον κίνησιν· οὐ γάρ ἐστιν ἡ ψυχὴ τῆς ἀπλανοῦς αἰτία τοῦ ἐπ' ἄπειρον κινεῖσθαι, οὐδ' ὑπ' αὐτῆς τοῦτο ἔχει, ἀλλ' ὑπὸ τοῦ πρώτου κινητικοῦ. ὥσπερ γὰρ τὴν κίνησιν ἀπὸ ψυχῆς ἔχει, ὥσπερ εἴρηται, οὕτω τὸ ἐπ' ἄπειρον καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως καὶ περὶ τὰ αὐτὰ καὶ ἐν τῷ αὐτῷ καὶ ὅσα τοιαῦτα ἀπὸ τῆς ἀκινήτου νοερᾶς αἰτίας ἐφήκει τῷ οὐρανῷ. ὡς οὖν ὁ οὐρανὸς ὑπὸ τοῦ πρώτου κινεῖται κινητικοῦ, οὕτω καὶ αἱ πλανώμεναι σφαῖραι ὑπὸ τῶν οἰκείων κινητικῶν, τελειουμένων καθ' ἑκάστην καὶ ἀγαθυνομένων ὑπὸ τοῦ πρώτου κινητικοῦ, ἄλλα μὲν μᾶλλον ἄλλα δὲ ἧττον, τὰ μὲν τῆς Κρονιακῆς σφαίρας μᾶλλον, τὰ δὲ τῆς ἡλίου ἧττον, καὶ τὰ λοιπὰ ὁμοίως. λέγονται δὲ καὶ τὰ τοιαῦτα κινητικὰ αἴτια ἄριστα, οὐχ ὡς τὸ πρῶτον καὶ οὗ ταῦτα ἐξήρτηται (ἐκεῖνο μὲν γὰρ ἀνενδεὲς τῶν ἑαυτοῦ καλῶν ὑπέρπληρες, ταῦτα δὲ ἐπιστρέφεται πρὸς ἐκεῖνο καὶ τῆς ἐκείνου πληροῦται ἀγαθοδοσίας), ἀλλὰ λέγεται ἄριστα ὡς πρὸς τὰς σφαίρας ἃς κινοῦσιν· ὡς γὰρ ἀρίστων τούτων ἐφίενται· οὗ γάρ τι ἐφίεται, ὡς ἀρίστου τούτου ἐρᾷ. ὥστε ὁ πολυτίμητος νοῦς ἁπλῶς λέγεται ἄριστον, ὡς καὶ ὁ πρῶτος οὐρανὸς ἁπλῶς μέγας· ταῦτα δὲ λέγεται ἄριστα ὡς πρὸς τὰς ὑπ' αὐτῶν κινουμένας σφαίρας, ὥσπερ καὶ τοδὶ τὸ μέγεθος λέγεται μέγα ἢ μεῖζον, οἷον φέρε τὸ δεκάπηχυ οὐχ ἁπλῶς ἀλλὰ πρὸς τοδὶ τὸ δίπηχυ ἢ πεντάπηχυ.

p. 1074a17 Εἰ δὲ μηδεμίαν οἷόν τε εἶναι φορὰν μὴ συντείνουσαν πρὸς ἄστρου φοράν. 683

Εἰπὼν ὅτι ὅσα ἐστὶ τὰ κινούμενα, τοσαῦτα καὶ τὰ κινοῦντα εἶναι εὔλογον ὑπολαβεῖν, ἐπειδή τις ἔμελλε λέγειν ὅτι 'καὶ τί κωλύει εἶναί τινας οὐσίας ἀσωμάτους καὶ καθ' αὑτάς, μηδὲν δὲ κινούσας; εἰ δὲ τοῦτο ἐνδέχεται, οὐκ εὔλογον, ὅσα ἐστὶ τὰ κινούμενα, τοσαύτας εἶναι καὶ τὰς ἀσωμάτους οὐσίας, καὶ οὔτε πλείους οὔτε ἐλάττους', ταύτην δυναμένην τὴν ἔνστασιν πρὸς τὸν λόγον φέρεσθαι λύει λέγων· εἰ δὴ πᾶν τὸ τετευχὸς τοῦ ἀρίστου τέλος καὶ αὐτὸ τοῦτο ἄριστον καὶ ἐφετὸν ὄν (πᾶς γὰρ θεὸς ἄριστος καὶ εἰ μὴ ὡς ὁ πρῶτος), τούτου ἀνάγκη τι ἐφίεσθαι· πᾶν γὰρ ἐφετὸν ἐφιεμένου τινός ἐστιν ἐφετόν. εἴπερ οὖν εἰσι καὶ ἄλλαι τινὲς οὐσίαι ἄρισται, πᾶν δὲ ἄριστον ἐφετόν, ἐφετὰς ἀνάγκη αὐτὰς εἶναι· εἰ δὲ τοῦτο, ἀνάγκη καὶ τὰ ἐφιέμενα αὐτῶν εἶναι καὶ κινεῖσθαι δι' αὐτάς. ἀλλ' εἴπερ

---

13 οἰκείων L: om. A 14 πρώτου κινεῖται κινητικοῦ L 29 ὅτι L: om. A
30 μηδὲν δὲ L: δὲ om. A 34 τέλος AL Bonitz: τέλους MS Brandis, cf. Metaph. p. 1074a20 τοῦτο τὸ ἄριστον L 37 ἄρισται S Brandis: ἄριστοι AL

εἰσὶ τὰ κινούμενα, ἔσονται καὶ κινήσεις· οὐδὲν γὰρ κινούμενον ἄνευ κινήσεως. ἀλλὰ μὴν κινήσεις παρὰ τὰς πεντήκοντα καὶ πέντε οὔκ εἰσιν, οὐδὲ κινούμενα ἄρα παρὰ ταῦτα, οὐδὲ κινητικὰ ἄρα. προάγει δὲ τὸν λόγον ὑποθετικῶς λέγων εἰ δὲ μηδεμίαν οἷόν τ' εἶναι φορὰν μὴ συντείνουσαν πρὸς ἄστρου φοράν, καὶ προσυπακουστέον τοῦ οὐκ ἂν εἴη κίνησις ἄλλη· εἰ γὰρ ἔσται, μάτην ἔσται. καὶ ἔστι τὸ λεγόμενον κατασκευαστικὸν τοῦ οὐκ ἔστιν ἄλλη κίνησις παρὰ τὰς εἰρημένας· εἰ δὲ τοῦτο, οὐδὲ κινούμενα, ὥστε οὐδὲ κινοῦντα. εἰ οὖν μὴ ἔστι τις φορὰ μὴ συντείνουσα πρὸς ἄστρου φοράν (καὶ γὰρ καὶ αἱ τῶν φερουσῶν τοὺς ἀστέρας σφαιρῶν φοραὶ καὶ αἱ τῶν ἀνελιττουσῶν πρὸς τὰς τῶν ἄστρων φορὰς συντελοῦσι), πᾶσαι δὲ αἱ συντείνουσαι κινήσεις πρὸς τὰς τῶν ἄστρων φοράς εἰσι καὶ οὐδεμία λείπει, οὐκ ἔστιν ἄλλη κίνησις παρ' αὐτάς. εἰ γὰρ ἔστι, μάτην ἔσται, οὐδὲν δὲ μάτην οὔθ' ὁ θεὸς οὔθ' ἡ φύσις ποιεῖ. εἰ δὲ μὴ κίνησίς ἐστιν ἄλλη, οὐδὲ κινούμενον οὐδὲ κινοῦν· ὥστε τὸ μὲν τοιοῦτον ἐπιχείρημα ἐκ τοῦ μὴ εἶναι ἄλλην κίνησιν δεῖξαι συναπέδειξεν ὅτι οὐδὲ ἄλλη οὐσία. τὸ δὲ ἔτι δὲ πᾶσαν φύσιν καὶ πᾶσαν οὐσίαν ἀπαθῆ καὶ καθ' αὑτὴν προηγουμένως ἐστὶ δεικτικὸν τοῦ μὴ εἶναι ἄλλας οὐσίας. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ἔτι εἰ πᾶσαν φύσιν καὶ οὐσίαν ἀπαθῆ καὶ καθ' αὑτὴν ἤτοι ἀσώματον τοιαύτην εἶναι χρὴ ἡμᾶς νομίζειν, ἤτοι ἀρίστην καὶ ἐφετὴν καὶ τελικὴν αἰτίαν, οὐδεμία ἂν εἴη παρὰ τὰς εἰρημένας κινητικὰς αἰτίας ἑτέρα φύσις, ἀλλ' ἀνάγκη πεντήκοντα εἶναι καὶ πέντε μὴ συναριθμουμένου καὶ τοῦ πρώτου αἰτίου· εἰ γὰρ εἰσιν ἕτεραι οὐσίαι παρὰ ταύτας, κινοῖεν ἄν, ἐπειδὴ ἀνάγκη τελικὰ αἴτια καὶ ἐφετὰ εἶναι αὐτάς· τούτου γὰρ ἐστι δεικτικὸν τὸ ὡς τέλος οὖσαι φορᾶς. τὸ γὰρ ἐφετὸν τέλος ἐστὶ | τῆς δι' 684
αὐτὸ γινομένης φορᾶς ἢ ὅλως κινήσεως. ἀλλ' ἀδύνατον ἄλλας εἶναι φορὰς παρὰ τὰς εἰρημένας. καὶ τοῦ ἀδύνατον καὶ ἄλλας εἶναι τὴν αἰτίαν ἐπάγει. εἰ γὰρ ἔστι καὶ ἄλλη φορά, ἢ χάριν φερομένου σώματος ἔσται ἢ ἕνεκεν ἄλλης φορᾶς. ἀλλ' εἴπερ ἐστὶν ἡ φορὰ χάριν φορᾶς, ἢ χάριν ἑαυτῆς ἔσται, οἷον ἡ βάδισις χάριν βαδίσεως, ὅπερ καταγέλαστον, ἢ χάριν ἄλλης, οἷον ἡ λεύκανσις χάριν γλυκάνσεως· εἰ δὲ τοῦτο, ἔσται καὶ ἡ γλύκανσις χάριν ἄλλης καὶ τοῦτο εἰς ἄπειρον. λείπεται δὴ εἰ ἔστι παρὰ τὰς εἰρημένας περιφορὰς ἄλλη, χάριν φερομένου σώματος εἶναι. ἀλλ' αἱ συντελοῦσαι πρὸς τὰς τῶν φερομένων σωμάτων φορὰς πᾶσαί εἰσιν. οὐκ ἄρα ἔστιν ἑτέρα φορὰ παρὰ ταύτας, ὥστε οὐδὲ οὐσία ἄλλη τις ἀκίνητος καὶ ἀσώματος πλὴν ὅσας εἴπομεν. καὶ τὰ μὲν λεγόμενα οἶμαι τοιαῦτα. τὸ δὲ κατὰ τὴν λέξιν τὴν τέλος ἔσται πάσης φορᾶς τῶν φερομένων τι θείων σωμάτων κατὰ τὸν οὐρανόν, ἴσον ἐστὶ τῷ πᾶσα ἐγκύκλιος φορὰ τέλος ἔχει ἄστρον τι καὶ ἕνεκεν ἐκείνου γίνεται· οὗ γὰρ ἕνεκά τι γίνεται, ἐκεῖνο τέλος ἐστὶ τοῦ δι' ἐκεῖνο γινομένου.

---

11 "post φορὰς adde τοσαῦται e S" Bonitz 19 ἀρίστην M: ἄριστον AL 20 αἰτίαν AL, cf. 23: om. M Brandis Bonitz 21 ἀλλὰ καὶ ἀνάγκη L 30 λεύκανσις ML: λεύκασις A 32 περιφορὰς] φορὰς coni. Bonitz 37 post οὐρανόν add. φέρονται δὲ κατ' οὐρανὸν τὰ θεῖα ἄστρα, ὥστε πᾶσα φορὰ τέλος L 39 τοῦ iterat A

Ταῦτα εἰπὼν δείκνυσιν ὅτι ὁ οὐρανὸς καὶ ὁ κόσμος εἷς ἐστιν. ἀναγ- 15
καῖον γὰρ ἦν τῷ δεδειχότι ὅτι τὸ πρῶτον αἴτιον ἕν ἐστι ζητεῖν, πότερον
καὶ ἡ ὑπ' αὐτοῦ παραγομένη καὶ ἀιδίως κινουμένη οὐσία μία ἐστὶν ἢ πολ-
λαί. λέγει οὖν ὅτι εἰ μή ἐστιν εἷς ὁ κόσμος ἀλλὰ πλείους μὲν τῷ ἀριθ-
5 μῷ, ὡς Σωκράτης Πλάτων Καλλίας, εἷς δὲ τῷ εἴδει, ἔσονται καὶ ἄριστα
καθ' αὑτὰ καὶ κυρίως ἄριστα ὅσοι καὶ οἱ κόσμοι· τοῦ γὰρ ἑνὸς καὶ συν- 20
εχῶς καὶ ἀιδίως κινουμένου δέδεικται ὅτι ἓν τὸ κινητικόν· ὥστε ἔσονται
αἱ πρῶται ἀρχαὶ καὶ τὰ κυρίως ἄριστα πλείω μὲν τῷ ἀριθμῷ εἴδει δὲ
τὰ αὐτά. καθὸ γὰρ ζῷα καὶ καθὸ ἀίδια καὶ καθὸ ἄριστα οὐδὲν ἂν δια-
10 φέροιεν, ὥσπερ οὐδὲ ὁ Σωκράτης καὶ ὁ Πλάτων καθὸ ἄνθρωποι· ὥστε
ἔσονται ζῷα ἀίδια ἄριστα τῷ μὲν ἀριθμῷ πολλὰ τῷ δὲ εἴδει τὰ αὐτά.
ἀλλὰ τὰ μὲν τῷ εἴδει τὰ αὐτὰ τῷ ἀριθμῷ δὲ ἕτερα παρὰ τῆς ὕλης τοῦτο 25
ἔχει· ἡ γὰρ τῶν καθ' ἕκαστα ἀνθρώπων πρὸς ἀλλήλους διαφορὰ παρὰ τῆς
ὕλης τοῦτο ἔχει, ἐπεὶ τά γε εἴδη αὐτῶν καθ' ἅ εἰσιν ἄνθρωποι ἢ ἵπποι
15 οὐδεμίαν ἔχει διαφοράν. ἀλλὰ μὴν τὸ πρῶτον καὶ ἄριστον ἄυλον καὶ ἐνέρ-
γεια ὂν ἐδείχθη· οὐκ ἄρα εἰσὶ πολλὰ ζῷα ἀίδια ἄριστα· ὥστε οὐδὲ κόσμοι
πλείους. κατὰ δὲ τὴν λέξιν τὴν εἷς γὰρ λόγος καὶ ὁ αὐτὸς πολλῶν, 30
οἷον ἀνθρώπου, τὸ εἷς ἀντὶ τοῦ ἕτερος γὰρ ὁ λόγος τοῦ ἀνθρώπου καθὸ
ἄνθρωπος· ὁ δὲ Σωκράτης εἷς, ἤτοι καὶ ὁ Σωκράτους καθὸ Σωκράτης
20 ἕτερος. εἰ δὲ τοῦτο, εἴπερ εἰσὶ τὰ πρῶτα αἴτια πολλά, ἕτερος ἔσται ἑνὸς
ἑκάστου αὐτῶν ὁ λόγος καθὸ ἄτομα καὶ μερικά· ὥστε καὶ σύνθετα ἔσται
καὶ ἔνυλα, καὶ ἕτερος ὁ λόγος τοῦ κοινῶς κατηγορουμένου αὐτῶν εἴδους, 35
ὅπερ ἀδύνατον. τὸ δὲ τὸ δὲ τί ἦν εἶναι οὐκ ἔχει ὕλην τὸ πρῶ|τον 685
ἀντὶ τοῦ τὸ δὲ πρῶτον τί ἦν εἶναι, ἤτοι τὸ πρῶτον εἶδος καὶ ὁ λόγος καὶ
25 ἡ ἐνέργεια, αὐτό φημι τὸ ζῷον ἀίδιον ἄριστον, οὐκ ἔχει ὕλην.

p. 1074a38 Παραδέδοται δὲ παρὰ τῶν ἀρχαίων καὶ παμπαλαίων ἐν μύθου σχήματι.

Δείξας ὅτι εἰσὶ θεοὶ καὶ τοσοῦτοι ὅσαι αἱ σφαῖραι, ἐξηρτημένοι τῆς
θειοτάτης καὶ ἀρίστης οὐσίας καὶ ὑπ' ἐκείνην ὄντες καὶ ἐκεῖθεν τὸ ἄριστοι 5
30 εἶναί τε καὶ λέγεσθαι ἔχοντες, λέγει ὅτι οὐ μόνον ἡμεῖς ταύτην περὶ τού-
των τὴν ἔννοιαν ἔχομεν, ἀλλὰ παρὰ τῶν ἀρχαίων καὶ παμπαλαίων
παρειλήφαμεν ἐν μύθου σχήματι ὅτι εἰσὶ θεοί, οὐχ ἑτέρους τινὰς διὰ τῶν
μύθων αἰνιττόμενοι, ἀλλὰ τούτους οὓς ἡμεῖς φαμεν. εἰσὶν οὖν θεοὶ καὶ
θεῖον πλῆθος περιέχον τὴν ὅλην φύσιν καὶ τὸν ἅπαντα κόσμον· οὐ σωμα- 10
35 τικῶς δὲ περιέχει ὡς ὁ μέδιμνος τοὺς ἐν αὐτῷ πυρούς (ἀμερὲς γὰρ πᾶν
τὸ θεῖον), ἀλλ' ὡς κυβερνῶν καὶ ἀγαθῦνον καὶ τὴν ὡς ἔχει τάξιν καὶ εὐ-
κοσμίαν ἀεὶ παράγον. εἰπὼν δὲ ὅτι ἐν μύθου σχήματι καταλελειμμένα,
τὴν αἰτίαν τοῦ πῶς μυθικῶς περὶ θεῶν ἔλεγον ἐπάγει τὰ λοιπὰ μυθι-
κῶς προῆκται πρὸς τὴν πειθὼ τῶν πολλῶν, δυνάμει λέγων ὅτι μόνον

---

13 ἡ γὰρ M: εἰ γὰρ AL 15. 16 ἐνέργεια L: ἐνεργείᾳ A 33 αἰνιττομένων coni. Bonitz

τοῦτο σαφῶς ἀποφηνάμενοι, ὥς εἰσι θεοί, τὰ λοιπὰ ὅσα περὶ αὐτῶν εἶπον, 15
οἷον ὅτι ὁ Κρόνος καὶ ἡ Ῥέα ἐγέννησε τὸν Δία καὶ τὰ λοιπά, μυθικῶς
εἰρήκασι πρὸς τὸ πεῖσαι τοὺς πολλοὺς καὶ πρὸς τὸ χρῆσθαι νόμοις, καὶ
ὅλως πρὸς τὸ συμφέρον τοῦ ἀνθρωπείου βίου μυθικῶς ταῦτα ἀπεφήναντο.
5 σοφοὶ γὰρ ὄντες καὶ γινώσκοντες ὅτι αἱ πανηγύρεις καὶ τὰ συμπόσια ἐξη-
μεροῖ τοὺς ἀνθρώπους καὶ ἑνοῖ καὶ φιλεῖν ἀλλήλους καὶ ὑπὲρ ἀλλήλων
ἀποθνήσκειν ποιεῖ, ταῦτα δὲ συνίστησι τὰς πόλεις, τὸ δὲ μονοῦσθαι ἀπο- 20
θηριοῖ καὶ διασχίζει καὶ ἀναιρεῖν ἀλλήλους παρασκευάζει, καὶ διὰ τοῦτο
βουληθέντες συστῆσαι τὰς πανηγύρεις καὶ τὰ συμπόσια. μύθους ἐπλάσαντο,
10 οἷον ὅτι τήμερον ὁ Ζεὺς ἐκ τῆς Ῥέας ἐγεννήθη, καὶ διὰ τοῦτο δεῖ πάντας
ἀθροισθῆναι καὶ ἑορτάσαι τὴν γενέθλιον ἡμέραν τοῦ θεοῦ καὶ συνεστια-
θῆναι. ἀλλὰ καὶ ἀνθρωποειδεῖς αὐτοὺς ποιήσαντες οὐδὲ τοῦτο μάτην πε- 25
ποιήκεσαν ἀλλὰ πρὸς τὸ συμφέρον τῶν πολλῶν· βουλόμενοι γὰρ ἀποτρέψαι
τοὺς ἀνθρώπους ἀπὸ τοῦ τύπτειν ἀλλήλους πεποιήκασι τοὺς θεοὺς ἀνθρω-
15 ποειδεῖς, αἰνιττόμενοι διὰ τούτου ὅτι ὁ τύπτων ἄνθρωπον τὸ θεῖον εἶδος
τύπτει καὶ περιυβρίζει. καὶ οὐ μόνον ἀνθρωποειδεῖς αὐτοὺς ποιοῦσιν, ἀλλὰ
πρὸς περισσοτέραν ὠφέλειαν τοῦ ἀνθρωπείου γένους ποιοῦσι τοὺς θεοὺς 30
ὁμοίους καὶ τῶν ἄλλων ζῴων τισίν. ἐπειδὴ γὰρ ἡ τῶν Αἰγυπτίων χώρα
πάνυ πολὺ πλῆθος ὄφεων ἀναδίδωσιν ὡς οὐδεμία ἄλλη βλάβη βλάπτον τοὺς
20 ἐκεῖσε οἰκοῦντας, ὧν ἡ φύσις καὶ ὁ θεὸς προνοουμένη ἀνῆκε τὰς καλου-
μένας ἴβεις φονευτρίας τῶν ὄφεων, βουλόμενοι οἱ ἐκεῖσε σοφοὶ ἀποτρέψαι |
τοὺς Αἰγυπτίους τοῦ φονεύειν τὰς ἴβεις (ἐφόνευον γὰρ αὐτάς τινες, καὶ 686
ταῦτα σωτείρας οὔσας τοῦ τῶν Αἰγυπτίων γένους) τεθείκασι νόμον παρα-
κελευόμενον μηδενὶ ἐξεῖναι Αἰγυπτίων φονεύειν ἶβιν. διὰ τί, φησίν· ὅτι οἱ
25 θεοὶ οἷς ἂν φανεῖεν ἐν εἴδει ἴβεων φαίνονται. ὧν, φησὶν ὁ Ἀριστοτέλης,
τούτων πάντων τῶν περὶ θεῶν μυθικῶς λεγομένων εἴ τις χωρίσας τὸ 5
πρῶτον ῥηθὲν λάβοι, ὅτι ἃς ἡμεῖς πρώτας οὐσίας καὶ θεοὺς φαμεν,
ταύτας καὶ ἐκεῖνοι θεοὺς ἐνόμιζον, θείως ἂν εἰρῆσθαι νομίσειεν. καὶ
ὥσπερ κατὰ τὸ εἰκὸς πολλάκις ὑπὸ κατακλυσμῶν τεχνῶν καὶ ἐπιστημῶν
30 φθαρεισῶν λείψανά τινα κατελείπετο, ἐξ ὧν πάλιν ὡς δυνατὸν αἱ τέχναι
καὶ ἐπιστῆμαι εὕρηνται, οὕτω καὶ τῆς δόξης, ἣν εἶχον περὶ τῶν θεῶν οἱ 10
παμπάλαιοι ἄνθρωποι (εἶχον δὲ δόξαν ὅτι εἰσὶ θεοί), ταύτης δὴ τῆς δόξης
μέχρι τοῦ νῦν περισώζεται λείψανά τινα. ἀλλ' ἀπὸ τῶν τοιούτων, φησί,
λειψάνων καὶ τῆς πατρίου ὑπολήψεως τοῦτο μόνον ἐστὶν ἡμῖν δῆλον, ὅτι
35 καὶ ἐκεῖνοι θεοὺς εἶναι ᾤοντο.

Τὰ δὲ περὶ τὸν πολυτίμητον καὶ πρῶτον νοῦν ἔχει, φησί, τινὰς
ἀπορίας. ὅτι μὲν γὰρ ὁ τοιοῦτος νοῦς τὸ θειότατον πάντων ἐστὶ καὶ τὸ 15
ἄριστον φανερόν· πῶς δὲ ἔχον καὶ διάγον ἄριστόν ἐστιν ἔχει τινὰς δυ-
σκολίας. καὶ δείκνυσιν ἐκ διαιρέσεως τὴν δυσκολίαν. πότερον, φησί,
40 νοεῖ ἢ οὐ νοεῖ; εἰ γὰρ μὴ νοεῖ ἀλλ' ἔχει ὡς ὁ καθεύδων, τί ἂν ἄλλο

---

9 ἀνεπλάσαντο L 23 σωτείρας M: σωτῆρας AL 26 θεοὺς L 27 λάβοι M: om. AL 28 καὶ ἐκεῖνοι L: καὶ οἱ ἐκεῖνοι A ἂν L: om. A 29 κατακλυσμοῦ L 31 ἐπιστῆμαι εὕρηνται M: post ἐπιστῆμαι add. κατὰ τὸ δυνατὸν AL 32 δὴ L: om. A

σεμνότερον ἔχοι; εἰ δὲ νοεῖ, πότερον ὅλος ὁ νοῦς καὶ καθ' ὅλον ἑαυτὸν νοεῖ, ἢ μέρος τι αὐτοῦ νοεῖ μέρος δὲ οὐ νοεῖ; ὥσπερ ἐπὶ τῆς τοῦ ἀνθρώπου ἔχει ψυχῆς· αὕτη γὰρ οὐχ ὅλη νοεῖ ἀλλὰ μέρος αὐτῆς ὁ καλούμενος νοῦς. εἰ οὖν οὕτω νοεῖ, οὐκ ἔστιν ὅλη ἡ οὐσία αὐτοῦ ἀρίστη, ἀλλ' ἐκεῖνο καθ' ὃ νοεῖ, ὥσπερ οὐδὲ ἡ τοῦ ἀνθρώπου πᾶσα ψυχὴ τιμία, ἀλλ' ὁ νοῦς καὶ τὸ λογικὸν μέρος καθ' ὃ καὶ νοοῦμεν. ἀλλ' ἄτοπον τὸ μὴ πᾶσαν αὐτοῦ τὴν οὐσίαν ἀρίστην εἶναι. εἴτε νοεῖ, φησί, τούτου δὲ ἄλλο κύριον, τουτέστιν, εἴτε νοεῖ, μὴ ὅλη δὲ ἡ οὐσία αὐτοῦ νοῦς ἐστιν, ἀλλὰ τούτου ἤτοι τοῦ νοεῖν ἄλλο ἐστὶ κύριον, ὥσπερ καὶ ἐφ' ἡμῖν (οὐ γὰρ ἡ ψυχὴ αἰτία καὶ κυρία τοῦ νοεῖν ἡμᾶς ἀλλ' ὁ νοῦς), εἰ δὴ ἄλλο ἐστὶ τὸ κύριον τοῦ νοεῖν τὸν νοῦν (οὐ γάρ ἐστι τοῦτο αὐτοῦ ἡ οὐσία ἡ νόησις, τουτέστιν οὐ γὰρ ἐνδέχεται εἶναι τὴν οὐσίαν αὐτοῦ νόησιν καὶ νοῦν, εἴπερ μὴ ὅλη ἡ οὐσία αὐτοῦ νοεῖ, ἀλλὰ μέρος τι), οὐκ ἂν εἴη ἡ οὐσία αὐτοῦ ἡ ἀρίστη, ἀλλ' ἐκεῖνο ἔσται τὸ ἄριστον καθ' ὃ νοεῖ. καὶ ἔστιν ἡ συναγωγὴ τοῦ λόγου τοιαύτη. εἰ μηθὲν νοεῖ ὁ νοῦς, τί ἂν ἄλλο σεμνότερον ἔχοι· οὐθὲν γάρ ἐστι σεμνότερον νοήσεως καὶ θεωρίας. εἰ δὲ νοεῖ μέν, μὴ ἔστι δὲ ἡ ὅλη οὐσία αὐτοῦ νόησις καὶ νοῦς, ἀλλὰ τοῦ | νοεῖν αὐτὸν 687
ἄλλο ἐστὶ κύριον (οὐδὲ γὰρ ἐνδέχεται πᾶσαν τὴν οὐσίαν αὐτοῦ νοῦν εἶναι, εἴπερ μὴ ὅλος νοεῖ ἀλλὰ κατά τι), εἰ δὴ ταῦθ' οὕτως ἔχει, οὐκ ἂν εἴη ὁ πρῶτος νοῦς ἡ ἀρίστη οὐσία, ὅπερ ἀδύνατον. ἀδύνατον ἄρα καὶ ᾧ τοῦτο ἠκολούθησε, τοῦτο δὲ ἦν τὸ μὴ ὅλον νοεῖν καὶ ὅλην τὴν οὐσίαν αὐτοῦ νοῦν εἶναι. ἔτι, φησίν, εἰ ὅλη αὐτοῦ ἡ οὐσία, ὡς δέδεικται, νοεῖ καὶ ἔστιν ἢ νοῦς ἢ νόησις, τί νοεῖ; ἢ γὰρ αὐτὸς ἑαυτὸν νοεῖ ἢ ἕτερόν τι. καὶ εἰ ἕτερον, ἢ ἀεὶ τὸ αὐτὸ νοεῖ, ἢ νῦν μὲν ἕτερον ἄλλοτε δὲ ἄλλο· καὶ εἰ ἄλλοτε ἄλλο, πότερον πάντα ἀγαθά ἐστιν ἃ κατ' ἄλλους καὶ ἄλλους χρόνους νοεῖ, ἢ δεῖ τίθεσθαι ὅτι καὶ τὰ τυχόντα καὶ φαῦλα νοεῖ, καὶ οὐδὲν διαφέρει εἴτε φαῦλα νοεῖ εἴτε καὶ τἀναντία τούτοις; δεῖ οὖν ταῦτα τίθεσθαι. ἢ χρὴ λέγειν ὅτι ὥσπερ ἐφ' ἡμῖν ἄτοπόν ἐστι καὶ οὐθεὶς εὖ ζῶν ἀνέξεται διανοεῖσθαι περί τινων, οἷον περὶ τρόπου πορνείας πῶς ἂν εὖ πορνεύσειεν. οὕτως ἀσεβέστατόν ἐστι τὸ λέγειν ὅτι διανοεῖται ἡ θειοτάτη καὶ ἀρίστη οὐσία φαῦλα καὶ τὰ τυχόντα. δῆλον οὖν ὅτι οὐδὲν φαῦλον νοεῖ, ἀλλὰ τὸ θειότατον καὶ τιμιώτατον νοεῖ. θειότατον δὲ καὶ τιμιώτατον αὐτός ἐστιν ὁ νοῦς· ἑαυτὸν ἄρα νοεῖ, καὶ οὐ μεταβάλλει ἐκ τοῦ ἑαυτὸν νοεῖν εἰς τὸ καὶ ἕτερόν τι νοῆσαι. εἰ γὰρ μεταβάλῃ ἐκ τῆς ἑαυτοῦ περιωπῆς, ἢ κρεῖττόν τι πάντως νοήσει ἢ χεῖρον· οὐκ ἔστι δὲ κρεῖττον αὐτοῦ τι· λείπεται δὴ τὸ χεῖρον. κίνησις δὲ τοῦτο καὶ ἔκστασις τῆς ἑαυτοῦ ἀρίστης διαγωγῆς. πίστις δὲ τούτου ἐκ τῶν τοῖς ἀνθρώποις συμβαινόντων. οἱ γὰρ ἀγαθοὶ ἄνθρωποι ὅταν φαῦλα νοῶσι, χείρονες ἑαυτῶν ἐκ τῆς τοιαύτης νοήσεως γίνονται· τούτου δὲ πίστις ὅτι μεταμέλονται, μεταμέλεται δέ τις ὅταν κακὸς γένηται. εἰπὼν δὲ ἀνωτέρω ὅτι ἡ οὐσία

---

1 ὁ M: om. AL καὶ L: om. A 5 πᾶσα L: om. A 10. 11 τοῦ κύριον L: τὸ om. A 18 ἐστὶ M: ἔσται AL 19 ὅλος scripsi: ὅλως libri 36 ἔκστασις L: ἕκτασις A 37 ἑαυτοῦ AL: αὐτοῦ c. S Bonitz 38 νοῶσι M: νοῶμεν AL

αὐτοῦ νοῦς ἐστι καὶ νόησις, νῦν αὐτὸ κατασκευάζει λέγων πρῶτον μὲν οὖν εἰ μὴ νόησις καὶ νοῦς ἐστιν ἡ οὐσία αὐτοῦ καὶ ἐν τούτῳ οὐσίωται, ἐν τῷ νοῦς καὶ νόησις εἶναι, ἀλλὰ δύναμις νοὸς καθ' ἣν ὁ νοῦς δύναται νοεῖν (ἄλλο γὰρ νοῦς καὶ ἄλλο ἡ δύναμις αὐτοῦ, ὥσπερ ἄλλο μὲν τὸ χρῶμα 25
5 καὶ ἄλλο ἡ δύναμις αὐτοῦ, καθ' ἣν ὁρᾶσθαι δύναται), εἰ οὖν ἐστι δύναμις νοός, δέδεικται δὲ ὅτι συνεχῶς καὶ ἀεὶ νοεῖ, ἐπίπονον ἔσται τὸ συνεχὲς τῆς νοήσεως αὐτῷ. εἰ μὲν γὰρ ἐν τῷ εἶναι νοῦς καὶ νόησις οὐσίωται, οὐκ ἔσται ἐπίπονον τὸ συνεχὲς τῆς νοήσεως αὐτῷ, ὥσπερ οὐδὲ τῷ ἀνθρώπῳ ἐπίπονόν ἐστι τὸ εἶναι ἄνθρωπον, ὅτι ἐν τῷ εἶναι ἄνθρωπος
10 οὐσίωται· ἀλλ' ἔστιν ἐπίπονον τῷ ἀνθρώπῳ τὸ συνεχῶς βαδίζειν διὰ τὸ 30 μὴ ἐν τῷ βαδίζειν οὐσιῶσθαι. ὡς οὖν ἐπὶ τοῦ ἀνθρώπου, οὕτω καὶ ἐπὶ τοῦ πρώτου νοῦ ἕξει, καὶ οὐκ ἔσται ἐπίπονον αὐτῷ τὸ συνεχὲς τῆς νοήσεως, εἰ νοῦς ἐστι καὶ νόησις. ἀλλὰ πῶς τῷ ἡμετέρῳ | νῷ οὐσιωμένῳ 688 ὄντι ἐν τῷ νοῦς εἶναι ἐπίπονόν ἐστι τὸ συνεχὲς τῆς νοήσεως; ἢ οὐκ ἔστιν
15 ὁ ἡμέτερος νοῦς ἐνεργείᾳ νοῦς καὶ ἐνεργείᾳ ὡς ἐκεῖνος, ἀλλὰ δυνάμει. πρῶτον μὲν οὖν, φησίν, εἰ μὴ νοῦς ἐστιν ἀλλὰ δύναμις, ἐπίπονον ἕξει τὸ συνεχὲς τῆς νοήσεως. ἔπειτα οὐκ ἔσται αὐτὸς τὸ τίμιον, ἀλλ' ἐκεῖνο ὃ νοῶν εἰς ἐνέργειαν ἀνάγεται δύναμις ὤν. τὸ γὰρ τελειοῦν καὶ εἰς ἐνέρ- 5 γειαν ἀνάγον τὸ δυνάμει τιμιώτερον τοῦ τελειουμένου. τὸ δὲ καὶ γὰρ νο-
20 εῖν καὶ νόησις ὑπάρξει καὶ τὸ χείριστον νοοῦντι οἶμαι ἐλλιπῶς ἀπηγγέλθαι ὥστε λείπειν τὸ ἔτι, ἵν' ᾖ ἀρχὴ ἄλλου ἐπιχειρήματος, ὅτι τὸ πρῶτον αἴτιον οὐκ ἔστι δύναμις. ὥστε τὸ καὶ γὰρ κατ' ἐμὴν γνώμην ἴσον ἐστὶ τῷ ἔτι, ὡς εἶναι τὸ πᾶν τοιοῦτον. ἔτι νοεῖν καὶ ἡ νόησις ὑπάρξει καὶ τὸ χείριστον νοοῦντι. πρόεισι δὲ ἡ δεῖξις ἐπὶ ἀξιώματι 10
25 τῷ τῶν ἐναντίων ἡ αὐτὴ δύναμις. εἴη ἂν οὖν λέγων 'ἔτι εἰ μή ἐστιν ἡ οὐσία αὐτοῦ νόησις καὶ νοῦς ἀλλὰ δύναμις, ἡ δὲ αὐτὴ καὶ μία δύναμίς ἐστι τῶν ἐναντίων, τῷ πρώτῳ αἰτίῳ νοοῦντι τὰ κάλλιστα ὑπάρξει αὐτῷ ἡ νόησις ἤτοι καὶ τὸ νοεῖν τὰ χείριστα, ὅπερ ἄτοπον. ὥστε εἰ τὸ νοεῖν τὰ χείριστα φευκτόν (κρεῖττον γὰρ τὸ μὴ νοεῖν αὐτά, ὥσπερ καὶ τὸ μὴ ὁρᾶν 15
30 τὰ αἰσχρότατα κρεῖττον τοῦ ὁρᾶν), ἐπεὶ οὖν ἐκ τοῦ λέγειν τὸ πρῶτον αἴτιον δύναμιν συνάγεται τὸ νοεῖν αὐτὸ τὰ φαῦλα, τοῦτο δὲ ἀσεβές, οὐκ ἂν εἴη ἡ πρώτη καὶ θειοτάτη καὶ ἀρίστη οὐσία δύναμις.' τὸ γὰρ οὐκ ἂν εἴη τὸ θειότατον καὶ ἄριστον ἡ νόησις τὸ ἡ νόησις ἀντὶ τοῦ δύναμις νῦν εἴληπται. νοῦς ἄρα ἐστὶ καὶ οὐ δύναμις, καὶ νοεῖ ἑαυτὸν ὡς ἄριστον. εἰ
35 δὴ νόησις ὢν ἑαυτόν, ἤτοι τὴν νόησιν, νοεῖ, καὶ ἔστιν ἡ νόησις νοήσεως, 20 ἤτοι αὐτὸς τὸ νοοῦν αὐτὸς τὸ νοούμενον.

p. 1074ᵇ35 Φαίνεται δ' ἀεὶ ἄλλου ἡ ἐπιστήμη καὶ ἡ αἴσθησις καὶ ἡ δόξα καὶ ἡ διάνοια, ἑαυτῆς δὲ ἐν παρέργῳ.

Εἰπὼν ὅτι τὸ ἄριστον καὶ θειότατον νόησίς ἐστιν, ἐπειδὴ ὡς ἔχει ἡ

---

7 et 8 αὐτῷ c. S Bonitz, cf. 12 et Metaph. p. 1074ᵇ29 8 οὐσίωτο e S coni. Bonitz 14 ὄντι omittendum coni. Bonitz 16 φησίν M: φασίν AL νοῦς LM: ὁ νοῦς A 35 ἔσται e S coni. Bonitz

αἴσθησις καὶ ἡ ἐπιστήμη πρὸς τὰ αἰσθητὰ καὶ ἐπιστητά, οὕτως ἀνάγκη ἔχειν καὶ τὴν νόησιν πρὸς τὰ νοητά, συνεῖδεν ἐκ τούτου ἔνστασιν δυνα- 25 μένην λέγεσθαι πρὸς τὰ ῥηθέντα τοιαύτην. εἴπερ ἡ ἐπιστήμη ἑτέρου ἐστὶ καὶ οὐχ ἑαυτῆς (ἡ γὰρ ἰατρικὴ ὑγιείας ἐστὶ καὶ οὐχ ἑαυτῆς· ἀεὶ γὰρ τὴν 5 ὑγίειαν θεωρεῖ τίς ἐστι καὶ πῶς ἂν γένοιτο, κατὰ συμβεβηκὸς δὲ καὶ ποτὲ ἑαυτὴν θεωρεῖ, οἷον ὅτι ἰατρική ἐστι τέχνη ὑγιεινῶν καὶ νοσωδῶν καὶ οὐδετέρων), ὁμοίως καὶ ἡ αἴσθησις τῶν αἰσθητῶν ἐστι καὶ ἡ δόξα τῶν δοξαστῶν· ὡς οὖν ἐπὶ τούτων, εἰ ἔστι καὶ τὸ θειότατον καὶ ἄριστον αἴτιον 30 νόησις, ἑτέρου ἂν εἴη καὶ οὐχ ἑαυτοῦ. ταύτῃ τῇ ἀπορίᾳ ἐπισυνάπτει καὶ 10 ἄλλην καὶ διὰ τῆς προτέρας λύει τὴν δευτέραν. ἔστι δὲ ἡ δευτέρα ἀπορία τοιαύτη. εἰ ἄλλο ἐστὶ τὸ νοεῖν καὶ | ἄλλο τὸ νοεῖσθαι (νοεῖν μὲν 689 γάρ ἐστι κατάληψις ἄπταιστος τοῦ νοητοῦ, νοεῖσθαι δὲ τὸ καταλαμβάνεσθαι τὸ νοούμενον ὑπὸ τοῦ νοοῦντος), ὁ δὲ πρῶτος νοῦς αὐτός ἐστι τὸ νοοῦν, αὐτὸς τὸ νοούμενον, κατὰ πότερον αὐτῷ τὸ εὖ καὶ τὸ ἄριστον, κατὰ 15 τὸ νοεῖν ἢ κατὰ τὸ νοεῖσθαι; οὐ γάρ ἐστι ταὐτὸν τὸ εἶναι νοήσει καὶ νοουμένῳ, τουτέστιν οὐκ ἔστι ταὐτὸν τὸ νοεῖν καὶ νοεῖσθαι, ὥστε συμ- 5 βαίνει εἶναι εὔλογον τὴν ζήτησιν. ταῦτα εἰπὼν λύει τὴν προτέραν ἀπορίαν λέγων ἐπ' ἐνίων ἡ ἐπιστήμη καὶ τὸ ἐπιστητὸν ταὐτόν ἐστιν. ἡ γὰρ οἰκοδομικὴ οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ τῆς οἰκίας εἶδος, καὶ ἡ ἰατρικὴ ὁμοίως τὸ 20 τῆς ὑγείας εἶδος. εἰ δὲ τοῦτο, καὶ τὸ θειότατον καὶ ἄριστον εἰ ἔστι νόησις, ἡ αὐτὴ ἔσται τῷ νοουμένῳ. τὸ δὲ ἐπ' ἐνίων πρόσκειται διὰ τὰ σύνθετα· οὐ γάρ ἐστιν ἡ οἰκοδομικὴ ἡ αὐτὴ πάσῃ οἰκίᾳ, οἷον τῇδε τῇ 10 μερικῇ τῇ ἐκ λίθων καὶ ξύλων, ἀλλὰ τῷ εἴδει αὐτῆς τῷ χωρὶς ὕλης νοουμένῳ. ὥστε ἐκ τούτου λύεται καὶ ἡ δευτέρα ἀπορία, ἣν καὶ σιγῇ 25 παρῆλθεν ὡς προφανοῦς οὔσης τῆς λύσεως αὐτῆς. εἰ γὰρ ἡ νόησις καὶ τὸ νοούμενον αὐτός ἐστιν ὁ πρῶτος νοῦς, κατ' ἄμφω ὑπάρξει αὐτῷ τὸ εὖ, κατὰ τὸ νοεῖν καὶ κατὰ τὸ νοεῖσθαι. ἐπ' ἐνίων οὖν, φησίν, ἡ ἐπιστήμη 15 ἐστὶ τὸ πρᾶγμα καὶ τὸ ἐπιστητόν· καὶ ποῖόν ἐστι τὸ ἐπιστητὸν τὸ τῇ ἐπιστήμῃ ταὐτὸν ἐπάγει ἐπὶ μὲν τῶν ποιητικῶν ἄνευ ὕλης ἡ οὐσία, 30 τουτέστιν ἡ οὐσία καὶ τὸ εἶδος τὸ ἄνευ ὕλης ταὐτόν ἐστι τῇ ἐπιστήμῃ. ποιητικὰς δὲ ἐπιστήμας καταχρώμενος τῷ τῆς ἐπιστήμης ὀνόματι λέγει οἰκοδομικὴν καὶ τὰς ὁμοίας. ἐπὶ δὲ τῶν θεωρητικῶν, οἷον γεωμετρίας ἀριθμητικῆς καὶ τῶν τοιούτων, ὁ λόγος, καὶ τίς ἐστιν ὁ λόγος ἐπάγει, 20 τὸ πρᾶγμα καὶ ἡ νόησις ταὐτόν ἐστιν. ἡ γὰρ νόησις τοῦ ὅτι ἐκλείπει 35 ἡ σελήνη ἡ αὐτή ἐστι τῷ αἰτίῳ καθ' ὃ ἡ ἔκλειψις γίνεται, τὸ δὲ αἴτιον τῆς ἐκλείψεως αὐτὴ ἡ ἔκλειψίς ἐστιν· ὥστε ἡ νόησις τῆς ἐκλείψεως ἡ αὐτή ἐστι τῇ ἐκλείψει. ταῦτα εἰπὼν ὥσπερ συμπέρασμα ἐπάγει τὸ οὐχ ἑτέρου οὖν ὄντος τοῦ νοούμενου καὶ τοῦ νοῦ, ὅσα μὴ ὕλην ἔχει, 25 ταὐτὸν ἔσται, ἴσον λέγων τῷ ἐπὶ τῶν κυρίως νοητῶν, τῶν ἀύλων καὶ 40 καθ' αὑτὰ ὄντων, ὁ νοῦς καὶ τὸ νοούμενον οὐχ ἕτερά ἐστιν ἀλλὰ ταὐτά· τὰ γὰρ κυρίως νοητά, ὡς ἐν τῇ Περὶ ψυχῆς εἴρηται, νοῖ εἰσι καὶ οἱ νοῖ

---

10 ἄλλην M: ἄλλο A: ἄλλος L 16. 17 συμβαίνει M: om. AL 41 ἐν τῇ Περὶ ψυχῆς] Γ 4—6

νοητά. εἰ δὲ τοῦτο, καὶ ἡ νόησις τῷ νοουμένῳ μία, τουτέστιν ἡ αὐτή. τούτοις ἐπάγει καὶ ἄλλην ἀπορίαν λέγων

p. 1075a5 Ἔτι δὴ λείπεται ζητῆσαι εἰ τὸ νοούμενον σύνθετόν ἐστι· μεταβάλοι γὰρ ἂν ἐν τοῖς μέρεσι τοῦ ὅλου.

Καὶ εἴη ἂν λέγων, εἰ ἔστι τὸ νοούμενον πᾶν (καθόλου γὰρ ἐπὶ παντὸς νοουμένου ἀκουστέον τοῦ λεγομένου) σύνθετον, οὐκ ἐν τῷ νῦν οὐδ' ἐν ἀκαρεῖ χρόνου ὁ νοῦς νοήσει τὸ νοούμενον, ἀλλὰ μεταβάλοι ἂν ἐκ τοῦ νοεῖν τόδε εἰς τὸ νοεῖν τόδε τὸ μέρος αὐτοῦ, τοῦτο δὲ γενήσεται διὰ χρονικῆς παρατάσεως· ἐν ἄλλῳ γὰρ χρόνῳ τόδε | τὸ μέρος νοήσει καὶ ἐν 690
ἄλλῳ τόδε. καὶ λύει λέγων ὅτι πᾶν τὸ μὴ ἔχον ὕλην, οἷά ἐστι τὰ νοητά, ἀδιαίρετον καὶ ἀμερὲς καὶ οὐδέν ἐστιν αὐτῶν σύνθετον. πρὸς τούτοις λέγει καὶ πῶς ἑαυτὸν ὁ πρῶτος νοῦς νοεῖ, καὶ λέγει ὅτι οὐ διὰ χρόνου, ὡς φέρε εἰπεῖν ὅτι ἐν τῷδε μὲν τοῦ χρόνου μέρει τόδε τὸ μέρος αὐτοῦ νοεῖ, ἐν τῷδε δὲ τόδε (μεριστὸν γὰρ ἂν ἦν), ἀλλ' ἀμερὴς ὢν ἐν ἀμερεῖ, εἰ θέμις λέγειν, τῷ νῦν τῷ ἀτόμῳ ἑαυτὸν νοεῖ· ὥσπερ γάρ, φησίν, ὁ ἀνθρώπινος νοῦς (ἢ εἴ τις μὴ βούλοιτο λέγειν ὅτι ὁ ἀνθρώπινος νοῦς, λεγέτω καθολικώτερον ὅτι ὁ τῶν συνθέτων νοῦς), ὥσπερ οὖν ὁ ἀνθρώπινος ἢ ὁ τῶν συνθέτων νοῦς ἔχει ἔν τινι χρόνῳ, οἷον ὅταν ἐνεργήσῃ καὶ τὸ τρισμακάριστον πάθος πάθῃ (τότε γὰρ ὁ ἀνθρώπινος νοῦς οὐκ ἐν τῷδὶ τοῦ χρόνου μέρει ἢ ἐν τῷδὶ τόδε ἢ τόδε τοῦ ἀρίστου νοεῖ καὶ ἐφάπτεται αὐτοῦ ὡς δυνατὸν ἐφάψασθαι αὐτοῦ· μεριστὸν γὰρ ἂν καὶ οὕτως ἦν τὸ πρῶτον αἴτιον· ἀλλὰ νοεῖ αὐτὸ ἐν ὅλῳ τινί, οἷον τῷ ἀμερεῖ καὶ ἀτόμῳ νῦν), οὕτω τὸν ἅπαντα αἰῶνα ὁ πρῶτος νοῦς αὐτὸς ἑαυτὸν νοεῖ ἀμερῶς καὶ ἀχρόνως. εἴρηται δὲ διαρκῶς ἐν τῷ τρίτῳ τῆς Περὶ ψυχῆς πραγματείας πῶς ὁ κατ' ἐνέργειαν νοῦς τὸ κυρίως νοεῖ νοητόν. οὐκ ἔχει οὖν, φησίν, ὁ ἀνθρώπινος νοῦς τὸ εὖ ἤτοι τὴν ἀρίστην διαγωγὴν ἤτοι τὴν νόησιν ἤτοι τὴν ἁφὴν καὶ θεωρίαν τοῦ ἀρίστου καὶ πρώτου νοῦ, ὑπάρχοντος δηλαδὴ τοῦ πρώτου νοῦ ἑτέρου παρὰ τὸν ἀνθρώπινον νοῦν, ταύτην δὴ τὴν ἀρίστην διαγωγὴν οὐκ ἔχει ὁ ἀνθρώπινος νοῦς ἐν χρόνῳ καὶ διὰ χρόνου, ἀλλ' ἐν ὅλῳ τινί. λέγει δὲ ὅλον τι τὸ ἄτομον νῦν, ὃ πέρας μέν ἐστι χρόνου, οὐ χρόνος δέ. ἐπειδὴ γὰρ οἷον εἶδός ἐστι τοῦ ἀνθρωπίνου νοῦ ὁ θεῖος νοῦς, ὅταν αὐτοῦ ἅψασθαι δυνηθῇ, πᾶν δὲ εἶδος ἐν τῷ ἀτόμῳ νῦν ἐπιγίνεται, δῆλον ὅτι καὶ τῷ ἀνθρωπίνῳ νῷ ἐν τῷ αὐτῷ νῦν ἡ τοῦ πρώτου νοῦ γνῶσις καὶ ἁφὴ ἐπιγίνεται.

p. 1075a11 Ἐπισκεπτέον δὲ καὶ ποτέρως ἔχει ἡ τοῦ ὅλου φύσις τὸ ἀγαθὸν καὶ τὸ ἄριστον.

Ὃ ζητεῖ τοιοῦτόν ἐστιν. ἐπειδὴ ἡ τοῦ ὅλου (λέγων ὅλον τὸν κόσμον

24. 25 ἐν τῷ τρίτῳ τῆς Περὶ ψυχῆς πρ.] Γ 6 — [illegible] Γ 4—6 [illegible]

τοῦτον τὸν αἰσθητόν) φύσις ἀγαθὴ καὶ ἀρίστη ἐστί, πότερον τὸ αἴτιον, καθ' ὃ ὅδε ὁ κόσμος ἀγαθὸς καὶ ἄριστός ἐστιν, ἕτερόν τι καὶ οὐσίαν τινὰ καὶ φύσιν καθ' αὑτὴν οὖσαν χρὴ λέγειν, ἢ αὐτὴν τὴν τάξιν καθ' ἣν τέτακται, ὥστε εἶναι τὸ ἀγαθὸν καὶ τὸ ἄριστον τοῦδε τοῦ κόσμου τὴν τάξιν αὐτοῦ. καὶ ἀποκρίνεται λέγων ἢ ἀμφοτέρως. δεῖ γὰρ λέγειν ὅτι τὸ ἀγαθὸν καὶ τὸ ἄριστον τοῦ παντὸς διττόν ἐστιν, ἥ τε τάξις αὐτοῦ (ἔχει γὰρ καὶ δι' αὐτὴν τὸ ἀγαθὸν καὶ τὸ ἄριστον) καὶ ὁ πρῶτος νοῦς· ἔχει γὰρ καὶ δι' αὐτὸν καὶ μάλιστα τὸ καλὸν καὶ ἄριστον. καὶ σαφηνίζει προθύμως δι' ὑποδείγματος τὸ λε|γόμενον. ὥσπερ γάρ, φησί, τὸ στράτευμα ἔχει 691 καὶ ἐν τῇ τάξει τὸ εὖ καὶ ἔστιν αὐτῷ ἀγαθὸν καὶ ἄριστον ἡ τοιάδε τάξις, ἔστι δὲ τῷ στρατεύματι εὖ καὶ ἀγαθὸν καὶ ὁ στρατηγός, καὶ μᾶλλον οὗτός ἐστι τὸ εὖ (διὰ γὰρ τὸν στρατηγόν ἐστι καὶ ἡ τοῦ στρατεύματος τάξις, ἀλλ' οὐ διὰ τὴν τάξιν ὁ στρατηγός) οὕτως ἐστὶ τῷ παντὶ τὸ εὖ καὶ τὸ ἀγαθὸν καὶ ἄριστον καὶ διὰ τὴν τάξιν, ἔστι δὲ καὶ διὰ τὸν πρῶτον νοῦν, δι' ὅν ἐστι καὶ ἡ τάξις τοῦ παντός. ταῦτα εἰπὼν θεοφιλῶς καὶ φιλοσόφως λέγει ὅτι οὐδὲν τῶν ὄντων μάτην ἐστὶν ἀλλὰ πάντα συντέτακται καὶ συντελεῖ. εἰ καὶ ἡμῖν πολλὰ ἀγνοεῖται, πρὸς ἑνὸς κόσμου συμπλήρωσιν καὶ ἀπαρτισμὸν καὶ τὸ καλὸν αὐτοῦ καὶ ἄριστον καὶ εὖ. καὶ τίνα ἐστὶ τὰ συντεταγμένα πρὸς τὴν τοῦ ὅλου συμπλήρωσιν, καταλέγει, πτηνὰ πλωτὰ φυτὰ καὶ τὰ λοιπά. ἀλλ' εἰ καὶ πάντα πάντως συντελεῖ, ἀλλ' οὐχ ὁμοίως ἅπαντα, ἀλλὰ τὰ μὲν μᾶλλον τὰ δὲ ἧττον. τάχα δὲ εἰ καὶ τὰ μὲν αὐτῶν μέγιστα συμβάλλεται τὰ δ' ὀλίγον εἰς τὴν τοῦ ὅλου συμπλήρωσιν, ἀλλ' οὐχ οὕτως ἔχει ὥστε μὴ εἶναι θατέρου πρὸς θάτερον κοινωνίαν, ἀλλ' ἔστι πᾶσι κοινόν τι, ἢ καὶ τὸ ὑποκείμενον καὶ τὸ σχῆμα ἢ τὸ ὑποκείμενον μόνον ἢ οὔτε τὸ ὑποκείμενον οὔτε τὸ σχῆμα ἀλλὰ τὸ χρῶμα. τὰ μὲν γὰρ ἄφθαρτα καὶ θεῖα σώματα τοῖς ἐν γενέσει οὔτε κατὰ τὸ ὑποκείμενον οὔτε κατὰ τὸ σχῆμα ἢ τὸ εἶδος κοινωνεῖ, ἀλλ' ἴσως κατὰ τὸ λαμπρόν, εἰ καὶ μὴ παντελῶς ὅμοιον τὸ ἐκείνων λαμπρὸν τοῖς ἐν γενέσει εὑρισκομένοις λαμπροῖς· ἀλλήλοις δὲ κοινωνεῖ καὶ τῷ εἴδει καὶ τῷ ὑποκειμένῳ. τὰ δὲ ἐν γενέσει τινὰ μέν τισι καὶ κατὰ τὴν προσεχῆ αὐτοῖς ὕλην κοινωνεῖ, πάντα δὲ πᾶσι κατὰ τὴν ἀνείδεον. ταῦτα οὖν, ὡς εἴρηται, πρὸς ἕν τι καὶ μίαν τὴν τοῦ ὅλου φύσιν τε καὶ συμπλήρωσιν συντέτακται, ἀλλ' οὐχ ὁμοίως πάντα· ἀλλ' ὥσπερ ἐν οἰκίᾳ ἤτοι ἐν πολιτείᾳ τοῖς μὲν ἐλευθέροις οὐδαμῶς ἔξεστι καὶ ἐφεῖται καὶ δέδοται τόδε μὲν πράττειν τόδε δὲ μή, ἀλλ' ἔξεστιν αὐτοῖς καὶ ἰατρεύειν καὶ στρατεύεσθαι καὶ ἁπλῶς πάντα πράττειν, ὅσα κυρίως εἰς τὴν τῆς πόλεως σύστασιν συμβάλλεται, ἢ εἰ καὶ μὴ πάντα (εἰσὶ γάρ τινα οἷον καθάρσεις στενωπῶν καὶ τὰ τοιαῦτα, ἃ οὐκ ἂν πράξαιεν οἱ ἐλεύθεροι), ἀλλ' οὖν τά γε πλεῖστα ἔξεστιν αὐτοῖς ποιεῖν, τοῖς δὲ ἀνδραπόδοις καὶ τοῖς θηρίοις ἤτοι τοῖς ἀλόγοις ζῴοις καὶ μικρὰ τὰ ὑπ' αὐτῶν πραττόμενα καὶ μικρὰ συντελεῖ πρὸς τὴν τῆς πόλεως σύστασιν, τὸν δὲ πλείονα χρόνον ὅ τι ἔτυχε

7 νοῦς L: νοῦς ἐστίν A 11 τῷ] τὸ L 22 μέγιστα L: μάλιστα A 40 τοῖς M: om. AL

πράττουσι, τουτέστιν ὀλίγον χρόνον καὶ ὀλίγον συντελεῖ πρὸς τὴν τῆς πόλεως σύστασιν τὰ ὑπ' αὐτῶν πραττόμενα, τὸν δὲ πλείονα χρόνον πράττουσι μέν, ἀλλ' οὐδὲν ὧν πράττουσι πρὸς πόλεως σύστασιν ὠφελεῖ (οὐ γὰρ ἐξῆν τότε τοῖς δούλοις ἢ στρατεύεσθαι ἢ νόμους μετέρχεσθαι ἢ φιλοσοφεῖν ἢ ἄλλο τι τῶν μεγάλως πρὸς πολιτείας σύστασιν συντεινόντων πράττειν, ἀλλ' ἢ ξυλοτομεῖν ἢ | μαγειρεύειν ἢ ἄλλο τι τοιοῦτον ποιεῖν), ὡς οὖν ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τῶν εἰς τὴν τοῦ ὅλου φύσιν συντεινόντων ἔχει, καὶ τινὰ μὲν πρὸς τὴν τοῦ ὅλου φύσιν τε καὶ σύστασιν συντείνει μέγιστα, τινὰ δ' ἧττον. λαβὼν οὖν εἰς ὑπόδειγμα τὴν πολιτείαν ἀπὸ ταύτης μετάγει τὸν λόγον ἐπὶ τὴν τοῦ ὅλου φύσιν καὶ λέγει τοιαύτη γὰρ ἑκάστου ἀρχὴ αὐτῶν ἡ φύσις ἐστί, τουτέστιν ἡ φύσις καὶ ἡ ἀρχὴ τῶν εἰς τὴν τοῦ ὅλου φύσιν συντελούντων. καὶ οὐ λέγει περὶ πάντων ἁπλῶς νῦν, ἀλλὰ περὶ τῶν ἐν γενέσει ὄντων καὶ φθορᾷ. ἡ φύσις οὖν καὶ ἡ ἀρχὴ τούτων τοιαύτη· καὶ ποδαπή, ἐπάγει, λέγω δ' οἷον εἴς γε τὸ διακριθῆναι ἀνάγκη ἅπασιν ἐλθεῖν, τουτέστιν ἀνάγκη ἅπασι τοῖς ἐν γενέσει (περὶ γὰρ τούτων νῦν, ὡς εἴρηται, λέγει) ἐλθεῖν εἰς τὸ διακριθῆναι, ἤτοι ἄλλο ἐξ ἄλλου γενέσθαι· εἰς τοῦτο γὰρ συνῆλθεν ἡ φύσις τῶν ἐν γενέσει, καὶ τοῦτο αὐτοῖς κοινόν, τὸ γίνεσθαι πάντα ἐκ πάντων, ἐκ στοιχείων σύνθετα καὶ ἐκ συνθέτων στοιχεῖα ἄλλον τρόπον· ὥστε δῆλον ὅτι τὰ ἐν γενέσει ἅπαντα κοινὸν ἔχουσι τὸ ἐξ ἀλλήλων γίνεσθαι. εἰπὼν δὲ ὅτι τὰ ἐν γενέσει πάντα κοινωνεῖ κατὰ τὴν ὕλην καὶ τὸ γίνεσθαι ἐξ ἀλλήλων, ἐπάγει καὶ ἄλλα οὕτως ἐστὶν ὧν κοινωνεῖ ἅπαντα εἰς τὸ ὅλον, τουτέστιν οὐ μόνον κατὰ τὸ γίνεσθαι ἐξ ἀλλήλων κοινωνεῖ εἰς συμπλήρωσιν τοῦ ὅλου, ἀλλὰ καὶ κατὰ ἄλλα, οἷον χρώματα σχήματα μεγέθη. ταῦτα γὰρ πάντα συντελεῖ εἰς τὴν τοῦ ὅλου φύσιν· οὐδὲν γὰρ αἰσθητὸν χωρὶς μεγέθους καὶ σχήματός ἐστιν. οὕτω μὲν οὖν ὁ ἡμέτερος καθηγεμὼν τὸ παρὸν ἐξηγεῖτο χωρίον. μήποτε δὲ τὸ εἴς γε τὸ διακριθῆναι ἀνάγκη ἅπασιν ἐλθεῖν, τὸ ἅπασιν οὐκ ἐπὶ τῶν ἐν γενέσει μόνον ἀκούειν δεῖ, ἀλλ' ἐπὶ πάντων, καὶ αὐτῶν φημι τῶν κυκλοφορητικῶν καὶ θείων σωμάτων, ἵν' ᾖ τὸ λεγόμενον 'ἀνάγκη ἅπασι καὶ τοῖς ἐν γενέσει καὶ τοῖς κυκλοφορητικοῖς ἐλθεῖν εἰς τὸ διακριθῆναι ἤτοι συστῆναι τὸν ὅλον κόσμον', ἵν' ᾖ τὸ διακριθῆναι ἀντὶ τοῦ συστῆναι. οὕτως γὰρ Ἀναξαγόρας ἔλεγεν ὅτι διακρίνας ὁ νοῦς ἀπ' ἀλλήλων τὰς ὁμοιομερείας συνέστησε τὸ πᾶν. τὸ δὲ καὶ ἄλλα οὕτως ἐστὶν ὧν κοινωνεῖ ἅπαντα εἰς τὸ ὅλον συνεχὲς ἂν εἴη τῷ περὶ τῆς πολιτείας ὑποδείγματι, ὡς εἰ ἔλεγεν 'ὥσπερ ἐπὶ τῇ τῆς πολιτείας συστάσει πάντα κοινωνεῖ ἀλλήλοις, οὕτως εἰσὶ καὶ ἄλλα τινὰ κοινωνοῦντα καὶ βοηθοῦντα ἀλλήλοις εἰς τὴν τοῦ ὅλου συμπλήρωσιν, οἷον ἐπὶ τῆς οἰκίας οἱ μὲν οἰκοδομοῦσιν, οἱ δὲ διακομίζουσι τὸν πηλόν, οἱ δὲ λεαίνουσι τὰ ξύλα, πάντες δὲ πάντα ταῦτα διὰ τὴν τῆς οἰκίας ποιοῦσιν ὁλότητα.'

692

---

6 μαγειρεύειν LM: μαγαρεύειν A  οὖν M: om. AL  17 γίνεσθαι L  24 κατὰ ἄλλα L: κατὰ τὰ ἄλλα A  34 συνεχὲς ἂν εἴη M: ἵν' ᾖ συνεχὲς AL

p. 1075ᵃ25 Ὅσα δὲ ἀδύνατα ἢ ἄτοπα συμβαίνει τοῖς ἄλλως λέγουσιν ἕως τοῦ δεῖ μὴ λανθάνειν.

Εἰπὼν τὰ δοκοῦντα αὐτῷ νῦν ἃ ἐν ταῖς ἄλλαις ἁπάσαις αὐτοῦ πραγματείαις εἴρηκε τοὺς ἄλλους λέγειν συντόμως ἐκτίθεται, λέγων | δεῖ μὴ 693
λανθάνειν ὅσα ἄτοπα καὶ ἀδύνατα συμβαίνει τοῖς ἄλλως ἢ ὡς ἡμεῖς λέγομεν εἰποῦσι. καὶ τίνα τὰ ὑπ' ἐκείνων λεγόμενα ἐκτίθεται. πάντες γάρ, φησίν, ἐξ ἐναντίων ποιοῦσι πάντα, οὔτε τὸ πάντα γεγενῆσθαι λέγοντες ὀρθῶς (οὐ γὰρ πάντα γέγονεν) οὔτε τὸ ἐξ ἐναντίων (οὐ γάρ εἰσι πᾶσιν ἐναντία· τῷ γὰρ κυκλοφορητικῷ σώματι οὐδέν ἐστιν ἐναντίον)· ὥστε, ᾗ μὲν τινὰ γέγονε τινὰ δὲ οὐ γέγονεν, οὗτοι δὲ πάντα γενέσθαι ἔλεγον, οὐκ ὀρθῶς ὑπελάμβανον· ὁμοίως ἐπεὶ τισὶ μέν εἰσιν ἐναντία τισὶ δὲ οὐκ ἔστι, πᾶσι δ' ἀπεφαίνοντο ὡς ἔστιν ἐναντιότης, ἐσφάλλοντο. ἀλλὰ καὶ ὅσοις ἐστὶν ἐναντίον πῶς ἐκ τοῦ ἐναντίου τὰ ἐναντία γίνεται οὐ λέγουσιν· οὐ γὰρ γίνεται ἡ λευκότης μελανία, οὐδὲ πάσχει ὅλως ἡ λευκότης ὑπὸ τῆς μελανίας. ἡμῖν δέ, φησί, λύεται αὕτη ἡ ζήτησις ὑποθεμένοις τρίτον ὑποκείμενον τὴν ὕλην. οἱ δέ, ὥσπερ ὁ Πλάτων, τὸ ἕτερον τῶν ἐναντίων ἐποίουν ὑποκείμενον τῷ ἑτέρῳ· τὸ γὰρ κακὸν καὶ τὸ ἄνισον (ἔλεγε δὲ διὰ τοῦ κακοῦ καὶ ἀνίσου τὴν ὕλην) ὑποκείμενον ἐποίει τῷ ἑτέρῳ τῶν ἐναντίων τῷ ἀγαθῷ καὶ ἴσῳ, διὰ τοῦ ἀγαθοῦ καὶ ἴσου πάλιν τὸ εἶδος αἰνιττόμενος. ἐπεὶ δὲ ὁ Πλάτων τὴν ὕλην ποτὲ μὲν κακὸν ἐκάλει ποτὲ δὲ ἄνισον καὶ ἄλλοτε πολλά, ὁμοίως καὶ τὸ εἶδος ὁτὲ μὲν ἀγαθὸν ὁτὲ δὲ ἴσον καὶ ἄλλοτε ἕν, εἰπὼν ὅτι τὸ ἄνισον ὑποκείμενον ποιοῦσι τῷ ἴσῳ, ἐπήγαγεν ἢ τῷ ἑνὶ τὰ πολλά. ἀλλ' οὐδὲ οὗτοι, φησίν, εἰρήκασι τὸν τρόπον, καθ' ὃν τὸ ἐναντίον τῷ ἐναντίῳ ὑπόκειται. ἐγκαλεῖ δὲ αὐτοῖς ὅτι τὴν ὕλην ἔλεγον ἐναντίον· οὐ γάρ ἐστιν ἡ ὕλη ἐναντίον τῷ εἴδει, ἥτις καὶ συνυπάρχει αὐτῷ, ἀλλ' ἡ στέρησις. ὥστε τὸ μὲν τὴν ὕλην λέγειν ὑποκείμενον τῷ εἴδει καλῶς λέγεται αὐτοῖς, τὸ δὲ λέγειν ἐναντίον τῷ εἴδει, οὐ καλῶς· τὰ γὰρ ἐναντία οὐδέποτε συνυπάρχειν δύναται. ἐπειδὴ δὲ καὶ ὁ Ἀριστοτέλης καὶ μᾶλλον καὶ μάλιστα τὴν ὕλην ὑποκείμενόν φησιν, ὥσπερ ἀπολογούμενος ὑπὲρ ἑαυτοῦ λέγει, ἀλλ' ἡμῖν λύεται τὸ τοιοῦτον ἄτοπον· εἰ γὰρ καὶ ὑποκείμενον λέγομεν τὴν ὕλην, ἀλλ' οὐδενὶ αὐτήν φαμεν ἐναντίαν, ἀλλὰ τὰ χάριν αὐτῆς μαχόμενα τὸ εἶδος καὶ τὴν στέρησιν. φέρεται δὲ καὶ ἄλλη γραφὴ ἔχουσα ὧδε καὶ γὰρ ἡ ὕλη ἡ μία· καὶ εἴη ἂν λέγων 'καὶ γὰρ ἡ ὕλη ἡ πρώτη οὐδενί ἐστιν ἐναντία (ἄποιος γάρ ἐστιν), ἡ γῆ δὲ καὶ τὸ πῦρ καὶ τὰ μεταξύ, ἅπερ εἰσὶ προσεχεστέρα ὕλη, ἔχει πρὸς ἄλληλα ἐναντίωσιν.'

Ἔτι, φησίν, εἰ ὑπόκειται τὸ κακὸν καὶ πάντα ἐστὶν ἐκ τοῦ κακοῦ, πάντα μεθέξει τοῦ κακοῦ καὶ οὐδὲν ἔσται ἀγαθὸν πλὴν τοῦ ἑνός, ὃ καθ' αὑτὸ εἶναι ἔλεγον. ἀλλ' οἱ μὲν περὶ Πλάτωνα ἀρχὰς τὸ ἀγαθὸν καὶ τὸ

2 ἕως τοῦ M: om. AL 12 ἀπεφαίνοντο LM: ὑπεφαίνοντο A 21 ὁτὲ—ὁτὲ M: οὔτε—οὔτε AL 27 ἐναντίαν L 29 καὶ μᾶλλον om. L 32 τὰ LM: τὴν A

κακὸν ἐτίθεντο, οἱ δὲ ἄλλοι, οἷον οἱ Πυθαγόρειοι, ἐνίστανται φάσκοντες ὅτι τὸ ἀγαθὸν οὐκ ἔστιν ἀρχή· καὶ πῶς οἱ Πυθαγόρειοι τὸ ἀγαθὸν καὶ ἄριστον ἀρχὴν εἶναι οὐκ ἐβούλοντο, εἴρηται ἐν | τῷ παρόντι βιβλίῳ ἐξη- 694
γουμένοις τὴν λέξιν τὴν "ὅσοι δὲ ὑπολαμβάνουσιν ὥσπερ οἱ Πυθαγόρειοι
5 καὶ Σπεύσιππος τὸ κάλλιστον καὶ ἄριστον μὴ ἐν ἀρχῇ εἶναι." ἄλλοι δέ, φησί, τὸ ἀγαθὸν λέγοντες ἀρχὴν ὀρθῶς λέγουσιν, ἀλλ' ἀρχὴν λέγοντες τὸ ἀγαθὸν οὐ διορίζουσιν εἴτε ὡς τελικὸν εἴτε ὡς ποιητικὸν εἴτε ὡς εἰδικὸν αὐτό φασιν. ἐγκαλεῖ δὲ καὶ τῷ Ἐμπεδοκλεῖ ἀτόπως τὴν φιλίαν ἀρχὴν 5
τιθεμένῳ. συναγωγὸν γὰρ λέγων τὴν φιλίαν καὶ ποιητικὸν τοῦ σφαίρου
10 φαίνεται ὅτι ποιητικὸν εἶναι αἴτιον αὐτὴν βούλεται· πάλιν δὲ μέρος αὐτὴν ποιῶν τοῦ μίγματος καὶ τοῦ σφαίρου ἐμφαίνει ὅτι ὑλικὸν εἶναι αὐτὴν αἴτιον ἀποδέχεται. τοῦτο θεὶς λέγει, εἰ καὶ συγχωρήσομεν τὴν φιλίαν τῷ ὑποκειμένῳ εἶναι καὶ ὡς ὕλην καὶ ὡς κινοῦν, ἀλλὰ τῷ γε λόγῳ διαφέροι ἂν 10
πάντως. εἰ δὲ τοῦτο, πότερον διότι κινεῖ ἐστι φιλία ἢ διότι ἐστὶν ὕλη;
15 ἔδει οὖν λέγειν κατὰ τί αὐτῇ τὸ φιλίᾳ εἶναί ἐστιν. ἄλλως τε εἰ ἔστιν ἡ φιλία, ὡς Ἐμπεδοκλῆς βούλεται, τὸ ἀγαθόν, τὸ νεῖκος ἔσται κακόν· εἰ γὰρ τὸ ἐναντίον τῷ ἐναντίῳ, καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ· εἰ δὲ τοῦτο, πῶς οἷόν τε λέγειν ἄφθαρτον τὸ νεῖκος; ὅταν γὰρ ἡ φιλία συνελθοῦσα 15
μετὰ τῶν πάντων ποιήσῃ τὸν σφαῖρον, ἀναγκαῖον τὸ νεῖκος φθείρεσθαι.
20 οὐ γὰρ ἅμα ἔσται τὸ νεῖκος καὶ ἡ φιλία. ψεῦδος ἄρα ὅτι τὸ νεῖκος ἄφθαρτόν ἐστιν ὡς Ἐμπεδοκλῆς ἀποδέχεται. Ἀναξαγόρας δὲ ἀρχὴν κινητικὴν τὸ ἀγαθὸν ἤτοι τὸν νοῦν ἐτίθετο. ἀλλ' ἐπεὶ τὸ κινοῦν ἕνεκά τινος κινεῖ, ἔσται τι οὗ ἕνεκα ὁ νοῦς κινεῖ, καὶ τί ἐστι τοῦτο λεγέτωσαν. πλήν, φησίν, ἐὰν λέγῃ ὁ Ἀναξαγόρας, ὥσπερ καὶ ἡμεῖς φαμεν. ἡμεῖς μὲν λέ- 20
25 γομεν ὅτι ἡ ἰατρικὴ τὸ εἶδός πως οὖσα τῆς ὑγιείας, ὅταν τι κινῇ ἕνεκεν τῆς ὑγιείας, ἕνεκεν ἑαυτῆς τοῦτο κινεῖ. εἰ οὖν καὶ ὁ Ἀναξαγόρας περὶ τοῦ νοῦ οὕτω λέγει ὅτι τὸ κινοῦν καὶ οὗ ἕνεκεν κινεῖ αὐτός ἐστι, καὶ διὰ τοῦτο πᾶν ὃ ἂν κινῇ ἕνεκεν αὐτοῦ τὸ κινούμενον κινεῖται, λέγοι ἂν οὕτω λέγων εὔλογα. ἐγκαλεῖ δὲ τῷ Ἀναξαγόρᾳ καὶ ἕτερον λέγων ἄτοπον δὲ 25
30 τὸν νοῦν ἀγαθὸν λέγοντα μὴ ποιῆσαι αὐτῷ ἐναντίον τὸ κακόν· τῶν γὰρ ἐναντίων θατέρου ὄντος ἐν ὑπάρξει, ἀνάγκη καὶ θάτερον εἶναι. τοῖς δὲ κατὰ μέρος τούτοις καὶ ἕτερον ἐπάγει κοινὸν πᾶσιν ἔγκλημα λέγων, εἴ τις μὴ ῥαθυμήσῃ μηδ' ἀποκνήσῃ τὰ αὐτῶν μετελθεῖν, ἀλλὰ ἀκριβῶς μετέλθῃ, εὑρήσει πάντας ἐξ ὧν λέγουσιν ἀρχὰς ποιοῦντας τὰ ἐναντία, μὴ χρωμένους 30
35 δὲ ἐν τῇ τῶν πραγμάτων γενέσει, ἀλλὰ τρεπομένους εἰς ἕτερον. τοῦτο δὲ πολλαχῶς αὐτοῖς ἐνεκάλεσε καὶ πολλαχοῦ τῆς προσηκούσης τετύχηκε σαφηνείας. ἀλλὰ καὶ ὅσοι ἀρχὰς λέγουσι πάντα ἐκ τῆς ὑποτεθείσης αὐτοῖς ἀρχῆς γεννῶντες, οἷον οἱ τὸ ὕδωρ ἀρχὴν τιθέμενοι ἐξ αὐτοῦ καὶ οὐρανὸν καὶ γῆν καὶ πάντα γενέσθαι λέγοντες, τὴν αἰτίαν τοῦ διὰ τί τὰ μὲν 695
40 αὐτῶν ἐστι φθαρτὰ τὰ δὲ ἄφθαρτα, λέγειν ἐρραθύμησαν. ἀναγκαῖον

---

4 ὅσοι δὲ κτλ.] Λ 7 p. 1072b30 19 ποιήσῃ M: καὶ ποιήσῃ A: καὶ ποιήσει L
30 λέγοντα scripsi: λέγων libri 33 ῥαθυμήσῃ] ῥυθμίσῃ Metaph. vulg. ῥαθυμήσῃ μηδ' ἀποκνήσῃ M: ῥαθυμήσει μηδ' ἀποκνήσει AL μετέλθῃ M: μετέλθοι AL

γὰρ ἦν εἰπεῖν διὰ τί ἐκ τῶν αὐτῶν ὄντα ἀρχῶν τὰ μὲν αὐτῶν φθαρτά ἐστι τὰ δὲ ἄφθαρτα. ὁ μὲν γὰρ Ἀριστοτέλης ἐξ ἄλλου μὲν ποιῶν (ἐκ γὰρ τοῦ πέμπτου σώματος) τὰ οὐράνια, ἐξ ἄλλων δὲ τὰ ἐν γενέσει, ἔσχε λέγειν καὶ διὰ τί τὰ μὲν αὐτῶν ἐστι φθαρτὰ τὰ δὲ ἄφθαρτα· ἐκεῖνοι δὲ οὐχ ἕξουσι, τὸ αὐτὸ πᾶσιν ὑποκείμενον ποιοῦντες.

Ἔτι, φησίν, ἄλλοι μέν, ὡς οἱ περὶ Ἡσίοδον, ἐκ τοῦ μὴ ὄντος πάντα γεννῶσι, καὶ λεγέτωσαν διὰ τί· οἱ δ' ὥσπερ οἱ περὶ Παρμενίδην, ἵνα μὴ τοῦτο πάθωσι (κοινὴ γὰρ δόξα τῶν φυσικῶν πάντων τὸ μηδὲν ἐκ τοῦ μηδαμῇ ὄντος γίνεσθαι), ἕν φασι τὸ ὂν καὶ ἀγέννητον. ἀλλὰ καὶ διὰ τί ἐστι γένεσις καὶ τί τὸ αἴτιον τοῦ ἀεὶ γένεσιν εἶναι οὐδεὶς λέγει. ταῦτα εἰπὼν λέγει ὅτι καὶ τοῖς δύο ἀρχὰς ποιοῦσιν, οἷον τὰ ἐναντία, καὶ τοῖς τὰ εἴδη, οὐκ ἀρκεῖ ταῦτα πρὸς τὸ τὰ ὄντα ἔχειν ὥσπερ ἔχει, ἀλλ' ἀνάγκη ἄλλην ἀρχὴν κυριωτέραν τούτων ὑποθέσθαι, ἣν οὗτος εἶπε τὸν πολυτίμητον νοῦν. ἐξ αὐτοῦ γὰρ πάντα καὶ εἰς αὐτὸν ἐπιστρέφει. καὶ τὴν αἰτίαν τοῦ ἀναγκαῖον εἶναι ἄλλην ἀρχὴν ὑποθέσθαι κυριωτέραν τίθησι λέγων 'ἐπεὶ γὰρ τῇ μεθέξει κατὰ τοὺς λέγοντας τῶν εἰδῶν τὰ τῇδε γίνεται, πῶς, φησί, μεθέξει τούτων ἡ ὕλη, εἰ μὴ ἔστιν ἄλλο κυριώτερον τὸ κινῆσον ἀμφότερα, τήν τε ὕλην καὶ τὴν ἀπὸ τοῦ εἴδους ἐν τῇ ὕλῃ γινομένην, ὡς αὐτοί φασιν, ἀπόρροιαν'; εἰ γὰρ ἀπόρροιαί τινες ἐκ τῶν εἰδῶν ἀπορρέουσαι καὶ συντιθέμεναι τῇ ὕλῃ τὰ τῇδε γίνεται, ἀνάγκη πάντως εἶναι τὸ κινοῦν καὶ τὴν ὕλην πρὸς τὸ δέξασθαι τὴν ἀπόρροιαν καὶ τὴν ἀπόρροιαν πρὸς τὸ συγγενέσθαι τῇ ὕλῃ. καὶ τοῖς μὲν ἄλλοις θεολόγοις τοῖς ἀρχὰς τὰ ἐναντία λέγουσιν ἀνάγκη κατ' αὐτοὺς τῇ φιλοσοφίᾳ καὶ τιμιωτάτῃ καὶ βεβαιοτάτῃ ἐπιστήμῃ εἶναί τι ἐναντίον. εἰ γὰρ ἡ ἐπιστήμη ταὐτόν ἐστιν, ὥσπερ πρὸ ὀλίγου εἴρηται, τῷ ἐπιστητῷ, εἰ ἔστι τῇ ἀρχῇ τῷ κυρίως ἐπιστητῷ ἐναντίον, ἔσται καὶ τῇ ἐπιστήμῃ. ἀλλ' ἐκείνοις μὲν συμβαίνει τοῦτο τὸ ἄτοπον τὸ εἶναί τι ἐναντίον τῇ σοφίᾳ, ἡμῖν δέ, φησίν, οὐδαμῶς. οὐδὲν γάρ ἐστιν ἐναντίον τῷ πρώτῳ αἰτίῳ τῷ πολυτιμήτῳ νῷ, ὥστε οὐδὲ τῇ περὶ αὐτὸ ἐπιστήμῃ. καὶ τὴν αἰτίαν τοῦ μηδὲν εἶναι ἐναντίον τῷ πρώτῳ αἰτίῳ συντόμως τέθεικεν εἰπὼν πάντα γὰρ τὰ ἐναντία ὕλην ἔχει καὶ ἐν ὕλῃ ἔστι καὶ δυνάμει ἐστὶ τὸ ἐναντίον· τὸ γὰρ λευκὸν δυνάμει τὸ μέλαν ἐστίν. ὥστε εἴπερ ἐστὶ τῇ πρώτῃ ἀρχῇ ἐναντίον, οὐδὲν δὲ ἐναντίον καθ' αὑτό ἐστιν, ἀλλ' ἐν ὑποκειμένῳ καὶ ἐν ὕλῃ, ἡ δὲ πρώτη ἀρχὴ ἀυλοτάτη καὶ ἐνέργεια οὖσα καὶ πάντῃ τοῦ δυνάμει ἀμοιροῦσά ἐστιν, οὐκ ἂν εἴη αὐτῇ ἐναντίον τι. ὥστε οὐδὲ | τῇ 696 περὶ αὐτὴν ἐπιστήμῃ ἔσται ἐναντία ἡ ἄγνοια· εἰ γάρ ἐστιν ἡ ἄγνοια ἐναντίον τῇ τοιαύτῃ ἐπιστήμῃ, ἔσται καὶ τὸ περὶ ὃ ἡ ἄγνοια ἐναντίον τῇ πρώτῃ ἀρχῇ.

---

2 μὲν (post ἄλλου) M: om. AL 18 κινῆσον L: κοινῆσον A 20 πάντως L: πάντῃ A 23 τοῖς L: τὰς A 24 γὰρ L: om. A 32 ante ὥστε add. *quae ratio eadem in principio primo valebit* S 34 ἀυλοτάτη L: ἀυλότατον A

p. 1075ᵇ24 Ἔτι εἰ μὴ ἔσται παρὰ τὰ αἰσθητὰ ἄλλα, οὐκ ἔσται ἀρχὴ καὶ τάξις.

Οὐ παρέργως νῦν τοῦτο τίθησιν, ἀλλ' ἐπεὶ μέλλει ἀντιλέγειν τοῖς Πυθαγορείοις καὶ Πλάτωνι, συνίστησι πρῶτον ὅτι εἰσὶν οὐσίαι νοηταί, καὶ οὕτως ἀκολούθως ζητεῖ· ὅ τι καὶ τίνες αὗταί εἰσιν αἱ τοῦ Πλάτωνος ἰδέαι ἢ οἱ Πυθαγόρειοι ἀριθμοί. εἰ οὖν μή ἐστι, φησί, νοητὴ ἀρχὴ καὶ ἀσώματος καὶ καθ' αὑτήν, οὐκ ἔσται τάξις καὶ γένεσις. καὶ τί φημι ὡς οὐκ ἔσται γένεσις; οὐδ' αὐτὰ τὰ οὐράνια ἔσται, ἅπερ ἐν τῇ Περὶ οὐρανοῦ ἀγένητα δέδεικται καὶ ἄφθαρτα. ἀλλ' εἰ μέλλει ἀεί τι εἶναι, ἔσται ἀρχῆς ἀρχὴ καὶ ταύτης ἑτέρα καὶ τοῦτο εἰς ἄπειρον, ὥσπερ οἱ θεολόγοι φασίν. εἰ γάρ ἐστι τοῦ Ἡρακλέος ἀρχὴ ὁ Ζεὺς καὶ τούτου ὁ Κρόνος καὶ τούτου ἑτέρα, ἢ πάλιν εἰ ἔσονται τῶν τῇδε ἀρχαὶ τὰ εἴδη καὶ τούτων οἱ ἀριθμοὶ καὶ τούτων ἡ δυὰς καὶ τὸ ἕν, ἐπ' ἄπειρον ἡ πρόοδος ἥξει. ἄλλως τε εἴ εἰσιν ἀρχαὶ αἱ ἰδέαι, ὡς ὁ Πλάτων λέγει, ἢ οἱ ἀριθμοί, ὡς οἱ Πυθαγόρειοί φασιν, οὐδενὸς ἔσται αἴτια, ὥσπερ ἐν τῷ μείζονι Α δέδεικται καὶ ἐν τοῖς ἐφεξῆς δύο δειχθήσεται βιβλίοις. εἰ δὲ μή, τουτέστιν εἰ δὲ λέγοι τις ὅτι ψεῦδος τὸ μὴ εἶναι τὰ εἴδη καὶ τοὺς ἀριθμούς τινων αἴτια· εἰσὶ γάρ, συγχωρητέον αὐτῷ τοῦτο νῦν, ἀλλὰ κινήσεως αἴτια οὐδαμῶς ἔσονται τὰ εἴδη καὶ οἱ ἀριθμοί. συγχωρήσας οὖν ὅτι εἰσὶν οἱ ἀριθμοὶ αἴτια, ἐρωτᾷ, πῶς ἐξ ἀμεγεθῶν τῶν ἀριθμῶν καὶ διωρισμένων ἀπ' ἀλλήλων ἔσται μέγεθος καὶ συνεχές. ὁ γὰρ ἀριθμὸς οὐ ποιήσει συνεχές· ἀδύνατον γὰρ μονάδα μονάδι συσχεθῆναι. τὸ δὲ οὔτε ὡς κινοῦν οὔτε ὡς εἶδος ἀντὶ τοῦ ἀλλὰ μὴν οὔτε ὡς κινητικὸν αἴτιον οὔτε ὡς εἰδικὸν ὁ ἀριθμὸς ἔσται. εἰπὼν δὲ ὅτι οὔτε τὰ εἴδη οὔτε οἱ ἀριθμοί εἰσι κινητικά, λέγει ὅτι οὐδὲ τῶν ἐναντίων οὐδὲν ἔσται ποιητικὸν καὶ κινητικόν, οἷον φέρε τὸ κακὸν ἢ τὸ ἄνισον. τὸ γὰρ ἐναντίον δύναμίς ἐστι καὶ δύναται ἐνεργῆσαι, ὥστε ἦν ὅτε μὴ ἐνήργει· πᾶσα γὰρ ἐνέργεια δυνάμεως ὑστέρα. ὅτε οὖν οὐκ ἐνήργει καὶ οὐκ ἐποίει, οὐδὲν ἦν τῶν ὄντων, ὅπερ ἀδύνατον· δέδεικται γὰρ ὅτι ἀίδια τὰ ὄντα. ἀναιρετέον ἄρα τὸ λέγειν ὅτι τὸ ἕτερον τῶν ἐναντίων ἐστὶ ποιητικόν· δύναμις γὰρ ὂν τὸ ἐναντίον, ὡς εἴρηται, ὅστερον ἐκβαίνει εἰς ἐνέργειαν. ὅτι δέ, φησίν, ἡ δύναμις τρόπον τινὰ προτέρα ἐστὶν ἐνεργείας, εἴρηται· εἴρηται γὰρ ὅτι ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνός, οἷον τοῦ Σωκράτους, ἐστὶν ἡ δύναμις προτέρα τῆς ἐνεργείας, πρὸς δὲ τὸ πᾶν οὐδαμῶς. ἔτι, φησί, τίνι οἱ ἀριθμοὶ ἕν εἰσιν, ἢ τί τὸ ἑνῶσαν τὰς τρεῖς μονάδας καὶ ποιῆσαν τὸν τρία ἀριθμὸν ἢ τὰς ἑπτὰ τὸν | ἑπτά, καὶ τῶν 697
ἄλλων ὁμοίως. ἀλλὰ καὶ τὴν ψυχὴν τί τὸ ἑνῶσαν μετὰ τοῦ σώματος καὶ ποιῆσαν ἕν τι, καὶ ὅλως, φησί, τὸ εἶδος καὶ τὸ πρᾶγμα, οἶμαι

1 Ἔτι εἰ AL: εἴτε M Metaph. vulg. 6 οὖν M: om. AL 8 ἐν τῇ Περὶ οὐρανοῦ] A 3 p. 270ᵃ12 sqq. 12 ἑτέρα L: ἕτερος A 15 ἐν τῷ μείζονι A] c. 9 p. 991ᵇ9 17 τοὺς ἀριθμούς M: οἱ ἀριθμοί AL 22 συσχεθῆναι M: συσχεσθῆναι A: συσχισθῆναι L 34 ἢ τί] ἤτοι AL 35 τὸν (post ἑπτὰ) A: τῶν L: fort. τοῦ

πρᾶγμα λέγων τὴν ὕλην, τὸ δὴ εἶδος καὶ ἡ ὕλη πῶς ἓν γίνεται, οὐδεὶς λέγει, οὐδὲ ἐνδέχεται εἰπεῖν ἐνεργείᾳ ποιοῦντας καὶ καθ' αὑτὰ τὰ εἴδη, ἐὰν μὴ εἴπωσιν ὡς ἡμεῖς λέγομεν, ὅτι τὸ εἶδος μὴ ὂν καθ' αὑτὸ ἐν ὑπάρξει ἀλλὰ δυνάμενον τῇ τοιᾷδε τῆς ὕλης κινήσει ἐπιγενέσθαι αὐτῇ, ὅταν ὑπὸ τοῦ κινοῦντος αὐτὴν κινηθῇ, ἀπολαμβάνει αὐτό· καὶ οὐ χρὴ ζητεῖν πῶς ἡ στρογγυλότης μετὰ τοῦ κηροῦ ἕν ἐστιν· οὐ γὰρ ὑπάρχουσα ἡ στρογγυλότης καθ' αὑτὴν συνῆλθε τῷ κηρῷ, ἀλλ' ἐπιγέγονε τῇ τοιᾷδε τοῦ κηροῦ κινήσει μὴ οὖσα καθ' αὑτήν. τοῖς δὲ ποιοῦσιν ἐν ὑπάρξει καὶ καθ' αὑτὰ τὰ εἴδη οὐκ ἐνδέχεται λέγειν, πῶς ἡ ὕλη ἀλλαχοῦ οὖσα καὶ τὸ εἶδος καὶ ἀπ' ἀλλήλων κεχωρισμένα ἐν ὑπάρξει δὲ συνῆλθον, καὶ ἕν τι ἐξ αὐτῶν γέγονε. ἀλλὰ καὶ οἱ Πυθαγόρειοι, φησίν, ἢ καὶ ὁ Πλάτων, οἱ λέγοντες ὅτι ἐκ μὲν τοῦ τρία ἀριθμοῦ γέγονε τὸ ἐπίπεδον καὶ ἐξ αὐτοῦ τὰ τρίγωνα καὶ ἐξ αὐτῶν αἱ πυραμίδες καὶ ἐξ αὐτῶν τὸ πῦρ, καὶ πάλιν ἐκ μὲν τῆς πεντάδος ἡ δικαιοσύνη ἐκ δὲ τῆς μονάδος ὁ οὐρανὸς καὶ ἄλλο ἐξ ἄλλου, ἐπεισοδιώδη τὴν τῶν ὄντων φύσιν ποιοῦσι, τουτέστιν οὐδὲν κοινὸν ἕτερον ἑτέρῳ ἔχειν φασὶν ἀλλ' ἠλλοτριωμένα· ὥστε εἴπερ ἐστὶ φέρε εἰπεῖν τὸ πῦρ πάντῃ ἀλλότριον τῇ γῇ καὶ μηδέν ἐστι κοινὸν αὐτοῖς, εἴτε ἔστι τὸ πῦρ εἴτε μὴ ἔστιν, οὐδὲν συμβαλεῖται πρὸς τὸ εἶναι τῇ γῇ· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. ἡμεῖς γὰρ πάντα πᾶσι κοινωνεῖν κατά τι λέγοντες καὶ συμβάλλεσθαι καὶ συνεργεῖν ἄλλην οὐσίαν ἄλλῃ εἰς τὸ εἶναί φαμεν. τὸ δὲ ἐκ πάντῃ ἄλλης, οἷον τῆς μονάδος, ἀρχῆς ὂν τί συμβαλεῖται τῷ ἐξ ἄλλης ἀρχῆς, οἷον τοῦ τριγώνου ἢ τοῦ κύβου, ὄντι· οὐδὲν γὰρ μονάδι καὶ κύβῳ κοινόν. ὥστε ἐπεὶ καὶ ἐν τοῖς ἐφ' ἡμῖν ὅταν μὴ συνεργῇ ἕτερος ἑτέρῳ κακῶς πάσχομεν, καὶ ἐν τῷ παντὶ τοῦτο γενήσεται· ὥστε καὶ διὰ τοῦτο τὰ ὄντα κακῶς πολιτεύσεται καὶ διὰ τὸ πολλὰς ποιεῖν τοὺς Πυθαγορείους καὶ τοὺς ὁμοίους ἀρχάς. ὅπου γὰρ πλῆθος ἀρχῶν, ἀταξία· ἡ γὰρ πολυαρχία αὐτὸ τοῦτο ἀταξία ἐστίν. ἀλλὰ μὴν τὰ ὄντα οὐ πολιτεύεται κακῶς ἀλλὰ τεταγμένως καὶ ἄριστως. εἰ δὴ ἡ πολυαρχία ἀταξία καὶ τοῦ κακῶς τὰ ὄντα πολιτεύεσθαι αἰτία ἐστίν, ἐπειδὴ τὰ ἐφ' ἡμῖν ὑπ' ἀλλήλων συνεργούμενα οὐ κακῶς πολιτεύεται ἀλλ' ἄριστως, οὐκ ἂν εἶεν ἀρχαὶ πολλαί· οὐ γὰρ ἀγαθὸν πολυκοιρανίη. ἀλλ' εἷς κοίρανος, μία ἀρχή, εἷς θεός ἐστι. τὰ γὰρ τῶν πλανωμένων αἴτια θεοὶ μέν, ἀλλὰ μεθέξει καὶ τῷ βουλήματι τοῦ πρώτου καὶ μακαριωτάτου ἐξήρτηνται νοός.

11 γέγονε L: ἐτέλεσαν A: ἀπετέλεσαν coni. Bonitz 12 τοῦ τρία L: τοῦ om. A 16 ἠλοτριωμένα AL 25 πολιτεύεται L 31 οὐ γὰρ ἀγαθὸν — κοίρανος] cf. Hom. Il. B 204

Ἐν τῷ Λ τῆς προκειμένης πραγματείας, ἣν καὶ Μετὰ τὰ Φυσικὰ ἐπιγράφει, εἰπὼν περὶ τῆς πρώτης καὶ θείας καὶ ἀκινήτου ἀρχῆς ὅτι νοῦς ἐστι καὶ ἐνέργεια πάντῃ πάντως ἀμοιροῦσα τοῦ δυνάμει, εὑρὼν δὲ καὶ ἀπὸ τοῦ πλήθους τῶν φερομένων σφαιρῶν ὁπόσαι εἰσὶν αἱ ὑφειμέναι μὲν τῆς πρώτης ἀρχῆς κινητικαὶ δὲ τοῦ πλανωμένου παντὸς σώματος, ἀσώματοι καὶ αὗται καὶ ἀκίνητοι οὖσαι, ἐν τῷ παρόντι βιβλίῳ, ὃ Μ ἐπιγράφεται, καὶ τῷ ἐφεξῆς τῷ Ν, ὃ τέλος ἐστὶ τῆς ὅλης πραγματείας, ἐπισκέπτεται τάς τε τῶν Πυθαγορείων περὶ ἀρχῶν δόξας καὶ τὰς τοῦ Πλάτωνος, ζητῶν πάνυ ἐντρεχέστατα εἰ ἔστι τὰ μαθήματα καὶ πῶς ἐστιν, εἴ εἰσιν αἱ ἰδέαι καὶ ὁ τῶν ἰδεῶν ἀριθμός, καὶ τρίτον εἰ τῶν ὄντων ἀρχαί εἰσιν αἱ ἰδέαι καὶ οἱ ἀριθμοί. καὶ ἐν μὲν τῷ Μ διαλέγεται περὶ τῶν προτέρων δύο, ἐν δὲ τῷ Ν περὶ τοῦ τρίτου.

Λέγει οὖν ὅτι περὶ μὲν τῆς τῶν αἰσθητῶν ὑλικῆς οὐσίας εἴρηται ἐν τῷ Λ τῆς Φυσικῆς ἀκροάσεως, ὕστερον δέ, τουτέστιν ἐν τῷ Β τῆς πραγματείας ἐκείνης, περὶ τῆς κατ' ἐνέργειαν καὶ εἰδικῆς οὐσίας. ἀλλὰ περὶ μὲν ὕλης καὶ εἴδους εἴρηται ἐν ἐκείνοις· ἐπεὶ δέ, φησίν, ἡ σκέψις ἡμῖν ἐστιν ἐν τῇ παρούσῃ πραγματείᾳ ἰδεῖν εἰ ἔστι τις παρὰ τὰς αἰσθητὰς οὐσίας ἀκίνητος καὶ ἀίδιος καὶ ἀσώματος, ἢ οὐκ ἔστι. καὶ εἰ ἔστι. τίς ἐστιν, εἴρηται δὲ ἡμῖν τὰ δοκοῦντα περὶ τῆς τοιαύτης οὐσίας. μετὰ ταῦτα τὰ παρὰ τῶν ἄλλων λεγόμενα θεωρητέον (οὐ γὰρ ἐνδεικτικόν ἐστι τὸ πρῶτον τοῦ μετὰ τὸ τὰ παρὰ τῶν ἄλλων ἐπισκέψασθαι ἐρεῖν αὐτὸν περὶ ἐκείνης· εἴρηκε γάρ· εἰ μὴ ἄρα τὸ πρῶτον ἀντὶ τοῦ προηγουμένως καὶ ἐπίμελῶς τὰ παρὰ τῶν ἄλλων λεγόμενα θεωρητέον εἴληπται)· καὶ τὴν αἰτίαν, δι' ἣν τὰ παρὰ τῶν ἄλλων λεγόμενα τεθεωρηκέναι βούλεται, ἐπήγαγεν εἰπὼν ὅπως εἴτε τι μὴ καλῶς λέγουσι. μὴ τοῖς αὐτοῖς ἔνοχοι ὦμεν. εἴη δ' ἂν λέγων ὅτι τὸ ἀντιλέγειν τε τοῖς ὑπ' αὐτῶν λεγομένοις, καὶ εὐθύνειν εἴ τι μὴ καλῶς λέγουσιν,

1 Tit. σχόλια — φυσικά A: om. L: post τῶν add. ἀριστοτέλους M 6 ἀσώματοι M²: ἀσώματα ALM¹ 7 αὐταὶ coni. Bonitz 8 τῷ (ante N) LM²: τούτῳ A 11 ἰδεῶν M: εἰδῶν AL 15. 16 ἐν τῷ A — ἐκείνης] v. Bonitzii Comment. in Metaph. p. 526sq. 22 μετὰ τὸ τὰ M: τὸ om. AL 24 προηγουμένως LM: προηγουμένης A

ἅμα τε δείξει ἡμᾶς μὴ ἀρεσκομένους τοῖς τούτων δόγμασι. καὶ σὺν αὐτοῖς εἰς εὐθύνας ὑποπεσεῖν οὐκ ἐάσει. ὡς γὰρ ὁ μὴ προδοὺς πόλιν οὐ συγκολασθησόμενος ἄγεται τῷ προδεδωκότι, οὕτως οὐδὲ ἡμεῖς | σὺν αὐτοῖς εὐ- 699
θυνθησόμεθα ὑπὸ τῶν ἐλέγχειν αὐτοὺς βουλομένων, δείξαντες ἐκ τοῦ ἀντει-
5 πεῖν πρὸς αὐτοὺς ὅτι οὐ συγκοινωνοὶ τοῖς ὑπ' αὐτῶν λεγομένοις ἐσμέν. εἴ τι οὖν, φησίν, ὑπὸ τούτων λέγεται μὴ καλῶς, οὐ σὺν αὐτοῖς καὶ ἡμεῖς ὡς ἀρεσκόμενοι αὐτῷ κατακριθησόμεθα· ἐκ γὰρ τοῦ ἐνίστασθαι πρὸς αὐτὸ 5
δείκνυμεν ὡς οὔτε ἀρεσκόμεθα τούτῳ καὶ ἑαυτοὺς ἐλευθεροῦμεν τῶν ἐλέγχων, οἷς ὑποπεσεῖσθαι μέλλουσιν οἱ τούτοις ἀρεσκόμενοι. εἰ δέ τι κοινὸν
10 ἡμῖν τε καὶ ἐκείνοις ἐστὶ δόγμα, βουληθείη δέ τις κατ' αὐτοῦ τοῦ δόγματος καὶ δι' αὐτοῦ καθ' ἡμῶν ἐνίστασθαι, οὐ δυσχεραινοῦμεν ὡς καθ' ἡμῶν μόνων ἰδίᾳ ἐνισταμένου. ὥσπερ γὰρ ὅταν τις μόνος ζημίᾳ περιπέσῃ ἀφορήτως λυπεῖται, ὅταν δὲ καὶ ἄλλους τὸ αὐτὸ πάσχοντας ὁρᾷ μετρίως 10
φέρει διὰ τὸ ὁρᾶν καὶ ἄλλους αὐτῷ συμπάσχοντας, οὕτω καὶ περὶ τοὺς
15 λόγους. ὅταν γάρ τις μόνος ἐλέγχηται περί τινος δόγματος, δυσχεραίνει ἀμέτρως καὶ ἑαυτὸν πάνυ ταλανίζει ὡς αὐτὸς μόνος ἀπατηθείς· εἰ δὲ καὶ ἄλλους τούτῳ περιπεπτωκότας ἴδῃ, οὐ δυσχεραίνει τοσοῦτον, ὅσον ὅταν μόνος αὐτὸς ηὐθύνετο. ὥστε εἴ τι, φησίν, ἐστὶ κοινὸν ἡμῖν τε καὶ ἐκεί- 15
νοις, τοῦτ' ἰδίᾳ μὴ καθ' ἡμῶν δυσχεραίνωμεν, τουτέστιν οὐ δυσχε-
20 ραινοῦμεν ὡς καθ' ἡμῶν μόνον ὂν τὸ ἔγκλημα (ἀφορήτως γὰρ ἂν ἡμῶν ἤψατο τὸ πάθος), ἀλλ' ἕξομεν μετρίως διὰ τὸ καὶ ἄλλους ἔχειν ἡμῖν τοῦ τοιούτου συγκοινωνούς. τὸ δὲ ἀγαπητὸν γὰρ εἴ τις τὰ μὲν κάλλιον λέγει τὰ δὲ μὴ χεῖρον ἀντὶ τοῦ ἀγαπητὸν γὰρ καὶ φίλιον ἡμῖν ἔσται. ἐὰν τῶν ὑφ' ἡμῶν λεχθησομένων τὰ μὲν κάλλιον ἔσται τῶν ὑπ' ἐκείνων 20
25 λεγομένων, τὰ δὲ μὴ χεῖρον. ὅσα γὰρ ἂν πρὸς ἔλεγχον ῥηθείη τῆς τῶν Πυθαγορείων καὶ Πλάτωνος δόξης, καλλίονα ἔσται τῶν τοῦ Πυθαγόρου καὶ Πλάτωνος δογμάτων, ὅσα δὲ τοῖς τούτων δόγμασι συνᾴσεται, οὐ χείρονα.

p. 1076a16 Δύο δ' εἰσὶ δόξαι περὶ τούτων. τά τε γὰρ μαθηματικά φασιν οὐσίας εἶναί τινες.

30 Δύο θεὶς αἰτίας δι' ἃς τὰ ὑπὸ τῶν Πυθαγορείων καὶ Πλάτωνος λεγό- 25
μενα ἐπισκέψασθαι τὴν πρόθεσιν ποιεῖται. πρῶτον ἐκτίθεται τὰς τούτων δόξας καὶ οὕτως ἐπισκέπτεται αὐτάς. λέγει οὖν ὅτι δύο εἰσὶν αἱ δόξαι περὶ τούτων. τουτέστι δύο εἰσὶν αἱ τούτων δόξαι, μία μὲν ἡ τῶν ἀριθμῶν καὶ γραμμῶν καὶ τῶν συγγενῶν τούτοις ἐπιπέδων καὶ στιγμῶν, ἄλλη δὲ ἡ
35 τῶν ἰδεῶν· ἀμφότεροι δὲ οὐσίας αὐτὰ ἔλεγον, ἤτοι ἐνεργείᾳ καὶ καθ' αὑτά. οἱ μὲν τὰς γραμμὰς καὶ τὰ ἐπίπεδα καὶ τοὺς ἀριθμούς, οἱ δὲ τὰ εἴδη. 30
καὶ ἐπεὶ οἱ μὲν τῶν Πυθαγορείων δύο γένη καὶ δύο φύσεις ποιοῦσι τὰ μαθηματικὰ καὶ | τὰς ἰδέας, ἄλλην μὲν τὴν τῶν μαθηματικῶν καὶ 700

---

7 ὡς ἀρεσκόμενοι M: post ὡς add. ἅτε AL marg. M² 12 περιπέσῃ M: περιπεσεῖται AL 19 δυσχεραίνωμεν LM: δυσχεραίνομεν A 21 τὸ πάθος M: τοῦ πάθους AL 31 πρῶτον ἐκτίθεται M: post πρῶτον add. ἐκ τούτων AL

ἄλλην τὴν τῶν ἰδεῶν, ἄλλοι δὲ τοὺς ἀριθμοὺς καὶ τὰς ἰδέας τῆς αὐτῆς ποιοῦσι φύσεως, μηδὲν διαφέρειν ἀλλήλων λέγοντες. ἕτεροι δὲ καὶ αὐτοὶ Πυθαγόρειοι τὰς μὲν ἰδέας ἀποδοκιμάζουσι καὶ οὐδαμῶς προσίενται. μόνας δὲ τὰς μαθηματικὰς οὐσίας εἶναί φασι, σκεπτέον, φησί, πρῶτον περὶ τῶν μαθηματικῶν, μηδεμίαν προστιθέντας αὐτοῖς φύσιν, μηδὲ θεωροῦντας ἢ ὅλως ἀναλογιζομένους εἴτε ἰδέαι τὰ μαθηματικὰ τυγχάνουσι καὶ τὰ αὐτά ἐστιν ἐκείναις εἴτε μή. οὔτε οὖν τοῦτο σκοπητέον οὔτε πολλῷ τέως τὸ νῦν πολυπραγμονητέον εἴ εἰσιν ἀρχαὶ τὰ μαθηματικὰ πάντων τῶν ὄντων, ἀλλὰ μόνον τοῦτο ἐξεταστέον εἰ ὅλως εἰσὶν ἐν ὑπάρξει, καὶ ἂν ὦσι, πῶς εἰσι, πότερον ἐνεργείᾳ καὶ καθ' αὑτά, ὡς οἱ ταῦτα τιθέμενοι βούλονται, ἢ ἐξ ἀφαιρέσεως παρ' ἡμῶν γεννῶνται καὶ τοῦ εἶναι τυγχάνουσιν, ὡς αὐτῷ τε τῷ Ἀριστοτέλει καὶ τῇ φίλῃ δοκεῖ ἀληθείᾳ. εἶτα μετὰ τὴν τῶν μαθηματικῶν ἐπίσκεψιν ζητητέον, φησί, καὶ περὶ τῶν ἰδεῶν χάριν νόμου. ἐπεὶ γὰρ νόμος καὶ ἔθος ἐστίν, ὅταν τις περί τινων ἀποφαίνηται, ἐπισκέπτεσθαι καὶ τὰς τῶν ἄλλων περὶ τῶν τοιούτων δόξας, ἵνα μὴ μένουσαι ἀνεξέταστοι ταράττωσι τοὺς ἐντυγχάνοντας, εἴρηκε δὲ αὐτὸς περὶ τῶν πρώτων καὶ ἀκινήτων ἀρχῶν τίνες καὶ πόσαι εἰσί, διὰ τὸν νόμον, φησί. τοῦτον καὶ τὸ ἔθος ἐπισκέψασθαι τὰ περὶ τῶν ἰδεῶν βούλομαι. ἐπεὶ ὅτι οὐκ εἰσιν ἰδέαι, δέδεικται μὲν πολλαχοῦ, τεθρύληται δὲ καὶ εἰς ἐξέτασιν τὰ περὶ αὐτῶν ἤχθη καὶ ἐν τοῖς ἐξωτερικοῖς λόγοις, καὶ οὐκ ἔδει πάλιν τὸν περὶ αὐτῶν ἀνακινεῖν λόγον· ἀλλὰ διὰ τὸν νόμον καὶ τὸ ἔθος πάλιν ἐπισκεπτέον περὶ αὐτῶν μετὰ τὰ περὶ τῶν μαθηματικῶν σκέμματα. ἔτι δέ, φησίν, ὅταν ἐπισκοπῶμεν τὰ περὶ τῶν εἰδῶν, τοῦτο ζητεῖν ἡμᾶς ὑπολαμπτέον, ὡς ἄρα οὐσίαι καὶ ἀρχαί εἰσιν αἱ ἰδέαι τῶν ὄντων ἢ οὔ· μετὰ γὰρ τὴν τῶν ἰδεῶν ζήτησιν τοῦτο λοιπόν ἐστιν ἰδεῖν ἡμᾶς, εἴτε εἰσὶν ἀρχαὶ καὶ οὐσίαι τῶν ὄντων αἱ ἰδέαι εἴτε μή. ἢ τὸ μετὰ γὰρ τὰς ἰδέας αὕτη λείπεται τρίτη σκέψις ἴσον ἐστὶ τῷ μετὰ γὰρ τὸ δεῖξαι ὡς οὐκ εἰσιν αἱ ἰδέαι, λοιπόν ἐστι λέγειν ὅτι ὅλως ἀνύπαρκτοι οὖσαι πῶς ἂν εἶεν ἀρχαὶ τῶν ὄντων; τὸ γὰρ ἁπλῶς μὴ ὂν οὐδενός ἐστιν ἀρχή. ταῦτα εἰπὼν καὶ ἤδη χωρῆσαι βουλόμενος πρὸς ἔλεγχον τῶν μαθηματικῶν. διαιρέσει χρῆται τοιαύτῃ. ἀνάγκη, εἴπερ εἰσὶ τὰ μαθηματικὰ οὐσίαι τινὲς καὶ φύσεις καὶ ἐνεργείᾳ ἀλλὰ μὴ δυνάμει, ἢ ἐν τοῖς αἰσθητοῖς εἶναι. ὥσπερ τινὲς τῶν Πυθαγορείων λέγουσι (λέγουσι γάρ τινες τούτων ὅτι ὥσπερ ἡ λογικὴ ψυχή, οἷον φέρε τοῦ Σωκράτους ἢ τοῦ οὐρανοῦ, εἰ καὶ ἐν ὑπάρξει ἐστὶ καὶ ὀντότητος μετέχει καὶ καθ' αὑτήν ἐστιν, ὅμως ἐν σώματι ἔστιν, ἡ μὲν οὐρανία τοῦ παντός, ἡ δὲ τοῦ Σωκράτους ἐν τῷ τοῦ Σωκράτους σώματι, οὕτω καὶ τὰ μαθηματικὰ ἐνεργείᾳ καὶ καθ' αὑτὰ ὄντα ἐν τοῖς αἰσθητοῖς εἰσιν)· ἢ οὖν ἐν τοῖς αἰσθητοῖς εἰσι τὰ

5 προστιθέντας M: προστιθέντες AL 6 θεωροῦντας et ἀναλογιζομένους M: θεωροῦντες et ἀναλογιζόμενοι AL 7 ἐκείναις L: ἐκείνοις A 8 πολλῷ] πολλῶν L πολλῷ μᾶλλον coni. Bonitz 12 τυγχάνουσιν Brandis Bonitz: τυγχάνει ALM 24 ἄρα coni. Bonitz 26 αἱ ἰδέαι M¹: αἱ οὐσίαι ALM² 35 εἰ καὶ ἐν ὑπάρξει M: ἐν ὑπάρξει εἰ A: ἐν ὑπάρξει L

μαθηματικά, ἢ οὐκ ἐν τούτοις ἀλλὰ καθ' αὑτά, ἔν τινι μὴ ὄντα, ὥσπερ οὐδὲ αἱ ἀσώματοι καὶ ἀκίνητοι καὶ θεῖαι οὐσίαι. ἢ εἰ μήτε ἐν τοῖς αἰσθητοῖς μήτε καθ' αὑτά. ἢ ὅλως οὔκ εἰσι, καὶ ἔσονται αἱ μαθηματικαὶ περὶ μὴ ὄντα, ἢ εἰσὶ μέν, ἀλλ' ἄλλον τρόπον, ὡς οὗτος βούλεται, ἐξ ἀφαιρέσεως. ὥστε, φησίν. ἡ ἀμφισβήτησις ἡμῖν ἐστιν οὐ περὶ τοῦ εἰ ἔστι τὰ μαθηματικά (εἶναι γὰρ καὶ ἡμεῖς φαμεν), ἀλλὰ περὶ τοῦ τρόπου τῆς ὑπάρξεως πῶς τὸ εἶναι ἔχουσι, πότερόν εἰσιν ἐνεργείᾳ καὶ καθ' αὑτὰ ἢ ἐν τοῖς αἰσθητοῖς εἰσιν ἢ ἐξ ἀφαιρέσεως.

p. 1076a38 Ὅτι μὲν οὖν ἔν γε τοῖς αἰσθητοῖς ἀδύνατον εἶναι καὶ ἅμα πλασματίας ὁ λόγος, εἴρηται μὲν καὶ ἐν τοῖς ἀπορήμασιν.

Ἐντεῦθεν ἄρχεται τῶν ἐλέγχων δεικνὺς ὅτι τὰ μαθηματικὰ οὔκ εἰσιν ἐν τοῖς αἰσθητοῖς ἄλλα ὄντα τῶν αἰσθητῶν. καί φησιν ὅτι μὲν οὖν οὔκ εἰσι τὰ μαθηματικὰ ἐν τοῖς αἰσθητοῖς, εἴρηται καὶ ἐν τῷ B ταύτης τῆς πραγματείας· ἐκεῖ γὰρ περὶ τούτων ἠπόρησε, λέγων εἰ τὸ μαθηματικὸν σῶμα τριχῇ ἐστι διαστατόν, ἐστὶ δὲ καὶ τὸ αἰσθητὸν καὶ φυσικὸν σῶμα τριχῇ διαστατόν, ἔστι δὲ τὸ μαθηματικὸν σῶμα ἐν τῷ φυσικῷ σώματι, ἐχώρησαν αἱ τοῦ μαθηματικοῦ διαστάσεις ἐν ταῖς τοῦ αἰσθητοῦ διαστάσεσιν, ὥστε ἐχώρησε σῶμα διὰ σώματος· ἀλλ' ἀδύνατον. δι' οὗ οὖν λόγου δείκνυται ὅτι ἀδύνατον τὰ μαθηματικὰ στερεὰ ἄλλα ὄντα παρὰ τὰ φυσικὰ ἐν τούτοις εἶναι, διὰ τοῦ αὐτοῦ δειχθήσεται ὅτι οὐδὲ τὰς ἄλλας δυνάμεις καὶ φύσεις (λέγοι δ' ἂν δυνάμεις καὶ φύσεις τὰ πέρατα τούτων, τὰ ἐπίπεδα καὶ τὰς γραμμάς, εἰ μὴ ἄρα καὶ τὰ τῇ ὀπτικῇ καὶ τῇ ἁρμονικῇ καὶ ταῖς συστοίχοις ἐπιστήμαις ὑποβεβλημένα περιλαμβάνει). οὐδὲ τὰς ἄλλας οὖν δυνάμεις οἷόν τε ἄλλας οὔσας τῶν αἰσθητῶν ἐν αὐτοῖς εἶναι· ἀλλὰ ἔσονται μὲν ἐν τοῖς αἰσθητοῖς, ἀλλὰ δυνάμει καὶ ἐξ ἀφαιρέσεως αὐτοῖς τὸ εἶναι ἔσται. ἀλλὰ ταῦτα μὲν εἰρῆσθαι καὶ πρότερόν φησι, προσάπτει δὲ αὐτοῖς καὶ ἕτερον ἄτοπον, λέγων ἀλλὰ πρὸς τούτοις φανερὸν ὅτι ἀδύνατον διαιρεθῆναι ὁτιοῦν σῶμα. ὃ δὲ λέγει δυνάμει τοιοῦτόν ἐστιν. εἰ γὰρ τὰ μαθηματικὰ μεγέθη ἄλλα ὄντα τῶν αἰσθητῶν ἐν αὐτοῖς ἐστιν, οὐ διαιρεθήσεται τὰ σώματα· εἰ γὰρ διαιρεθῇ, διαιρεθήσεται ἡ στιγμή· εἰ δὲ ἀδύνατον διαιρεθῆναι τὴν στιγμήν, ἀδύνατον καὶ ᾧ εἵπετο τὸ διαιρεθῆναι αὐτήν· τοῦτο δὲ ἦν τὸ τὰ μαθηματικὰ ἄλλα ὄντα τῶν αἰσθητῶν ἐν αὐτοῖς εἶναι. ὅτι δὲ τῶν μαθηματικῶν ἐνεργείᾳ καὶ καθ' αὑτὰ φύσεών τινων ὄντων καὶ οὐσῶν ἐν τοῖς αἰσθητοῖς, διαιρουμένων τῶν αἰσθητῶν διαιρεθήσεται ἡ στιγμὴ | δῆλον. ἐπεὶ γὰρ τὸ μαθηματικὸν 702
στερεὸν ἐνεργείᾳ ἔχει ἐν ἑαυτῷ καὶ ἐπίπεδα καὶ γραμμὰς ἀλλ' οὐ δυνάμει ὡς τὰ φυσικά (ταῦτα γὰρ ὅταν διαιρεθῇ, τότε ἐν αὐτοῖς γίνεται ἐνεργείᾳ καὶ τὸ ἐπίπεδον καὶ ἡ γραμμή, ὁμοίως δὲ καὶ ἡ στιγμή, πρὶν δὲ διαιρε-

1 καθ' αὑτὰ L: καὶ καθ' αὑτὰ A 11 οὔκ εἰσιν—μαθηματικὰ (13) om. L 12 ἄλλα Bonitz: ἀλλὰ A: ἀλλ' M 13 ἐν τῷ B] c. 2 p. 998a13 18 οὖν L: om. A 20 ὅτι L: om. A 22. 23 ἁρμονικῇ e Syr. Bonitz: ἀριθμητικῇ AL 31 δὲ] δὴ coni. Bonitz

θῆναι δυνάμει εἰσὶν ἐν αὐτοῖς ταῦτα). ἐπεὶ οὖν, ὡς εἴρηται, ἐνεργείᾳ εἰσὶν ἐν τῷ μαθηματικῷ σώματι τὰ ἐπίπεδα καὶ αἱ γραμμαί, ἐχώρησε δὲ δι' ὅλου τοῦ φυσικοῦ σώματος, διαιρουμένου τοῦ αἰσθητοῦ σώματος διαιρεθήσεται καὶ τὸ ἐν αὐτῷ ὂν μαθηματικὸν σῶμα· πάντως δὲ ἐπιπέδῳ· οὐκοῦν καὶ τὸ ἐπίπεδον γραμμῇ, καὶ γραμμὴ στιγμῇ· ὥστε ἐπεὶ ἐνεργείᾳ εἰσὶ καὶ αἱ γραμμαὶ καὶ αἱ στιγμαί, διαιρεθήσεται ἡ στιγμή. ἡμεῖς μὲν γὰρ δυνάμει λέγοντες εἶναι τὰς στιγμὰς ἐν ταῖς γραμμαῖς καὶ αὐτὰς ἐν τοῖς ἐπιπέδοις καὶ ταῦτα ἐν τοῖς σώμασιν, ὅταν διαιρεθῇ ἡ γραμμὴ λέγομεν γίνεσθαι τὴν δυναμένην ἐν αὐτῇ γίνεσθαι στιγμὴν ἐνεργείᾳ· οὗτοι δὲ συνεχῆ μὲν τὰ μεγέθη λέγοντες, ἐνεργείᾳ δὲ εἶναι ἐν αὐτοῖς τὰ ἐπίπεδα καὶ τὰς γραμμὰς καὶ στιγμάς. ὑποθέμενοι δὲ καὶ ἐν τοῖς αἰσθητοῖς εἶναι, κινουμένης τῆς γραμμῆς καὶ τεινομένης κατὰ τὴν διαίρεσιν ὥσπερ τριχός, ἀνάγκη συνεπεκτείνεσθαι καὶ τὰς ἐν αὐτῇ στιγμάς, ἐνεργείᾳ μὲν οὔσας, μὴ ἁπτομένας δέ· εἰ γὰρ ἥπτοντο, οὐκ ἂν ἦν ἡ γραμμὴ συνεχής· ὥστε διαιρεθήσεται ἡ στιγμή. εἰ μὲν γὰρ ἥπτοντο αἱ στιγμαί. δυνατὸν ἦν λέγειν ὅτι ἀπολυόμεναι ἀπ' ἀλλήλων διαιρεῖται ἡ γραμμή· ἐπεὶ δὲ οὐχ ἅπτονται (συνεχὴς γὰρ ἡ γραμμή), ἀνάγκη τεμνομένης τῆς στιγμῆς διαιρεῖσθαι τὴν γραμμήν, ὁμοίως σχιζομένης τῆς γραμμῆς διαιρεῖσθαι τὸ ἐπίπεδον, καὶ τοῦτου τὸ σῶμα. ταῦτα εἰπὼν ἐπάγει τί οὖν διαφέρει ἢ ταύτας εἶναι τοιαύτας φύσεις, ἢ αὐτὰς μὲν μή, καὶ τὰ ἑξῆς. λέγει δὲ ὅτι οὐδὲν διαφέρει εἴτε τὰς φυσικὰς στιγμὰς λέγοι τις τοιαύτας φύσεις, τουτέστιν ἀδιαιρέτους, ἢ αὐτὰς μὲν μὴ λέγειν ἀδιαιρέτους εἶναι, εἶναι δὲ ὡς ἐν ὑποκειμέναις αὐταῖς τοιαύτας φύσεις. ἤτοι μαθηματικὰς στιγμὰς καὶ ἀδιαιρέτους· διαιρουμένων γὰρ τῶν αἰσθητῶν καὶ φυσικῶν στιγμῶν, ἤτοι γινομένων γὰρ τῶν διαιρέσεων κατ' αὐτάς, αἱ ἐν αὐταῖς ὡς ὑποκειμέναις οὖσαι μαθηματικαὶ στιγμαὶ διαιρεθήσονται. ἐν δὲ τῇ λέξει τῇ τί οὖν διαφέρει ἢ ταύτας εἶναι ἢ ταύτας μὲν μή, εἶναι δ' ἐν αὐταῖς ὑποστικτέον εἰς τὸ μή, εἶτα δὲ ἐπακτέον τὸ εἶναι δὲ ἐν αὐταῖς τοιαύτας φύσεις. ἵν' ᾖ 'τί διαφέρει τὰς φυσικὰς στιγμὰς ἀδιαιρέτους λέγειν, ἢ ταύτας μὲν μὴ λέγειν, ἐπεὶ μηδ' ὅλως εἰσὶν ἐνεργείᾳ ἀλλὰ δυνάμει, εἶναι δ' ἐν αὐταῖς ταῖς δυνάμει στιγμαῖς τὰς μαθηματικάς, αἵ τινες ἐνεργείᾳ εἰσίν;' |

p. 1076b11 Ἀλλὰ μὴν οὐδὲ κεχωρισμένας γε εἶναι τοιαύτας φύσεις δυνατόν. 703

Δείξας ὅτι ἀδύνατον τὰ μαθηματικὰ σώματα καὶ μεγέθη, ἄλλα ὄντα τῶν αἰσθητῶν, ἐν αὐτοῖς εἶναι, δείκνυσιν ὅτι οὐδὲ κεχωρισμένας καὶ αὐτὰς καθ' αὑτὰς εἶναι τοιαύτας οὐσίας δυνατόν, ὥσπερ τὰς θείας οὐσίας καὶ ἀσωμάτους ἡμεῖς εἶναί φαμεν. εἰ γάρ εἰσι, φησί, στερεὰ ἢ σώματα (ταὐτὸν γάρ ἐστι τὸ σῶμα στερεὸν καὶ τὸ στερεὸν σῶμα), εἰ οὖν εἰσι

14 εἰ L: ἡ A 22 ἢ αὐτὰς—ἀδιαιρέτους εἶναι LM²: om. A 22. 23 ὑποκειμέναις L: ὑποκειμένῳ A

σώματα μαθηματικὰ παρὰ τὰ αἰσθητὰ καὶ φυσικὰ κεχωρισμένα καὶ καθ' αὑτὰ καὶ πρότερα ὡς ἁπλούστερα (τὸ γὰρ ἁπλούστερον πρότερον τοῦ συνθετωτέρου), δῆλον ὅτι καὶ παρὰ τὰ ἐπίπεδα τὰ ἐν τοῖς σώμασι τοῖς φυσικοῖς ὄντα ἔσονται ἄλλα ἐπίπεδα πρότερα· τοῦ γὰρ αὐτοῦ λόγου καὶ τῆς αὐτῆς αἰτίας. εἰ ἄρα εἰσὶ σώματα παρὰ τὰ αἰσθητὰ καὶ φυσικά, ἔσονται καὶ ἐπίπεδα παρὰ τὰ φυσικὰ ἐπίπεδα, ἁπλούστερα τῶν φυσικῶν ἐπιπέδων καὶ καθ' αὑτὰ ὄντα καὶ οὐκ ἐν σώμασιν. ἀλλὰ μὴν εἰ τὰ μαθηματικὰ σώματα ἔχει ἐπίπεδα, ἔσονται τῶν τοιούτων ἐπιπέδων ἄλλα ἐπίπεδα ἁπλούστερα καὶ καθ' αὑτά, ἐξ ὧν ὡς ἀπὸ ἁπλουστέρων γίνεται τὰ μαθηματικὰ σώματα. πάλιν ἐπεὶ ἐν τοῖς ἐπιπέδοις τοῖς οὖσι μετὰ τῶν μαθηματικῶν σωμάτων εἰσὶ γραμμαὶ καὶ ἐν αὐταῖς στιγμαί, ἔσονται καὶ παρὰ τὰς τοιαύτας γραμμὰς ἄλλαι ἁπλούστεραι γραμμαὶ καθ' αὑτὰς οὖσαι καὶ μὴ ἐν ἐπιπέδοις τισί. πάλιν ἐπεὶ αἱ τοιαῦται γραμμαὶ αἱ καθ' αὑτὰς οὖσαι καὶ μὴ ἐν ἐπιπέδοις τὸ εἶναι ἔχουσαι ἔχουσι στιγμάς, ἔσονται τῶν τοιούτων στιγμῶν ἄλλαι πρότεραι στιγμαὶ μὴ ἐν γραμμαῖς οὖσαι ἀλλ' αὐταὶ καθ' αὑτάς. τούτων δὲ τῶν στιγμῶν οὐκ ἔσονται ἄλλαι πρότεραι στιγμαί· ἁπλούσταται γὰρ εἰσι διὰ τὸ μὴ κεῖσθαι ἐν γραμμαῖς. ὥστε, φησί, συμβαίνει εἶναι παρὰ τὰ αἰσθητὰ στερεὰ ἄλλα στερεὰ μοναχῶς, τουτέστιν ἓν γένος καὶ μίαν φύσιν στερεῶν, ἐπιπέδων δὲ παρὰ τὰ αἰσθητὰ καὶ τὰ φυσικὰ ἐπίπεδα γένη τριττά, τά τε παρὰ τὰ φυσικὰ ἐπίπεδα καὶ τὰ ἐν τοῖς μαθηματικοῖς σώμασι καὶ τὰ παρὰ τὰ ἐν τοῖς μαθηματικοῖς, ἃ καθ' αὑτὰ ὑπάρχει. γραμμαὶ δέ, φησίν, ἔσονται τετραξαὶ καὶ στιγμαὶ πενταξαί, τουτέστι γένη δὲ καὶ φύσεις γραμμῶν ἔσονται τετραπλαῖ, στιγμῶν δὲ πενταπλαῖ. τοῦτο δὲ ὧδέ ἐστι δῆλον. ἓν μὲν γένος γραμμῶν ἔσται τὸ ὂν μετὰ τῶν ἐπιπέδων, ἅπερ ἐπίπεδα ἄλλα μὲν τῶν φυσικῶν ἐπιπέδων καθ' αὑτὰ δὲ εἶναι ὁ λόγος ἠνάγκασεν· ἄλλο δὲ γένος γραμμῶν ἔσται τὸ ὂν μετὰ τῶν ἐπιπέδων τῶν ἐν τοῖς μαθηματικοῖς σώμασιν ὄντων· τρίτον δὲ γένος γραμμῶν ἔσται τὸ συνὸν τοῖς καθ' | αὑτὰ οὖσιν ἐπιπέδοις, ἀφ' 704
ὧν ὡς ἁπλουστέρων τὰ μαθηματικὰ ἐπίπεδα ἢ καὶ σώματα γίνεται· τέταρτον δὲ γένος γραμμῶν ἔσται τὸ ὂν παρὰ τὰς γραμμὰς τὰς ἐν τοῖς καθ' αὑτὰ ἐπιπέδοις ὑπάρχουσιν οὔσας, λέγω δὴ αὐτὰς τὰς καθ' αὑτὰς οὔσας γραμμὰς καὶ οὐκ ἐν ἐπιπέδοις ὅλως ὑπάρχουσιν οὔσας. στιγμῶν δὲ γένη εἰσὶ ταῦτα, πρῶτον μὲν τὸ συνὸν ταῖς γραμμαῖς ταῖς οὔσαις ἐν τοῖς ἐπιπέδοις τοῖς παρὰ τὰ φυσικὰ ἐπίπεδα οὖσι, δεύτερον δὲ τὸ συνὸν ταῖς γραμμαῖς ταῖς οὔσαις ἐν τοῖς ἐπιπέδοις τοῖς συνοῦσι τοῖς μαθηματικοῖς σώμασι· τρίτον γένος στιγμῶν ἔσται τὸ συνὸν ταῖς γραμμαῖς ταῖς συνούσαις τοῖς καθ' αὑτὰ οὖσιν ἐπιπέδοις, ἀφ' ὧν ὡς ἁπλουστέρων τὰ μαθηματικὰ ἐπίπεδα ἢ καὶ σώματα γίνεται· τέταρτον γένος τὸ συνὸν ταῖς καθ' αὑτὰς οὔσαις γραμμαῖς καὶ μὴ ἐν ἐπιπέδοις οὔσαις· πέμπτον γένος στιγμῶν ἔσται αὐτὸ καθ' αὑτὸ ὂν καὶ μὴ ἐν γραμμαῖς τὸ εἶναι ἔχον. ὥστε, φησί, ποίων

4 πρότερα M¹: πρότερον ALM² 5 ἄρα M: om. AL 7 εἰ M: om. AL 18 συμβαίνει εἶναι LM: εἶναι om. A ἄλλα L: ἀλλὰ A 22 φησίν L: om. A 23 post γραμμῶν add. φησίν A

γραμμῶν ἢ ποίων ἐπιπέδων ἔσονται αἱ ἐπιστῆμαι; πότερον τῶν μετὰ τῶν ἀκινήτων στερεῶν ὄντων; ἀλλ' ἄτοπον· αἱ ἐπιστῆμαι γὰρ ἀεὶ τῶν προτέρων καὶ ἁπλουστέρων εἰσί. τούτοις καὶ ἄλλο προστίθησι λέγων ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῶν ἀριθμῶν· παρ' ἑκάστας γὰρ τὰς στιγμὰς ἕτεραι ἔσονται μονάδες. λέγοι δ' ἂν 'ἐπειδὴ πάλιν αἱ μονάδες ἁπλούστεραί εἰσι τῶν στιγμῶν, καθὸ αὗται μὲν ἄθετοί εἰσιν αἱ δὲ στιγμαὶ θέσιν ἔχουσιν καὶ κεῖνταί που, ἔσται ἄλλο γένος μονάδων, ἀφ' ὧν ὡς ἀπὸ ἁπλουστέρων εἰσὶν αἱ στιγμαί· ὥστε ἄλλο μὲν γένος ἔσται μονάδων τὸ ὂν παρὰ τὰς στιγμὰς τὰς συνούσας ταῖς γραμμαῖς ταῖς συνούσαις τοῖς ἐπιπέδοις τοῖς οὖσι παρὰ τὰ φυσικὰ ἐπίπεδα, ἄλλο δὲ πάλιν γένος μονάδων ἔσται τὸ ὂν παρὰ τὰς στιγμὰς τὰς συνούσας ταῖς γραμμαῖς αἵτινες σύνεισι τοῖς ἐν τοῖς μαθηματικοῖς σώμασιν οὖσιν ἐπιπέδοις· καὶ ὅλως ὅσα γένη τῶν στιγμῶν, τοσαῦτα καὶ μονάδων καὶ ἔτι πλείω.' τὸ δὲ ἔτι πλείω προσέθηκα ἐγὼ διὰ τὸ μέλλον ὑπ' αὐτοῦ εὐθὺς λέγεσθαι· ἔστι δὲ τόδε. ἐπεὶ ὁ Σωκράτης καθὸ ἄνθρωπος ἕν ἐστι καὶ ὁ Πλάτων καὶ ἁπλῶς πάντα τὰ αἰσθητὰ καθὸ τόδε τί ἐστιν ἕν εἰσιν, ἔσται ἄλλη μὲν μονὰς παρὰ τὸ ἐν τῷ Σωκράτει ἕν, καὶ ἄλλη παρὰ τὸ ἐν Πλάτωνι, καὶ ἄλλη παρὰ τὸ ἐν ἐμοί, καὶ οὕτως ἐπὶ πάντων τῶν αἰσθητῶν. ἀλλ' ἐπεὶ καὶ τὰ νοητὰ ἕκαστον αὐτῶν ἕν ἐστι καὶ μᾶλλον ἕν (τούτου γὰρ δηλωτικόν ἐστι τὸ εἶτα τὰ νοητά), ἔσονται καὶ παρὰ τὸ ἐν ἑκάστῳ τῶν νοητῶν ἓν ἄλλαι ἁπλούστεραι μονάδες καὶ καθ' αὑτάς· τὸ γὰρ ἐν ἑκάστῳ ἕν, ἐπειδὴ ἐν ἐκείνῳ καθ' οὗ λέγεταί ἐστιν, οὐχ ἁπλοῦν ἐστιν ἀλλὰ σύνθετον· ὥστε ἔσονται ἄπειρα γένη τῶν μαθηματικῶν μονάδων καὶ ἀριθμῶν. ἡ μὲν οὖν σύμπασα διάνοια τῶν λεγομένων αὕτη, τὰ δὲ κατὰ τὴν λέξιν ὧδέ πῃ ἔχει. εἰ γάρ εἰσι, φησί, παρὰ τὰ αἰσθητὰ στερεὰ ἕτερα καὶ πρότερα τῶν αἰσθητῶν, δῆλον ὅτι καὶ παρὰ τὰ ἐπίπεδα τὰ φυσικά (τούτου γὰρ δεῖ προσυπακούειν) ἔσονται ἄλλα ἐπίπεδα κεχωρισμένα παντὸς σώματος καὶ καθ' αὑτά· ὁμοίως καὶ γραμμαί· αἱ γὰρ ἐν τοῖς τοιούτοις ἐπιπέδοις γραμμαὶ καὶ στιγμαὶ δῆλον ὡς ἕτεραι ἔσονται τῶν φυσικῶν γραμμῶν καὶ στιγμῶν. τὸ δὲ τοῦ γὰρ αὐτοῦ λόγου ἴσον ἐστὶ τῷ τίς γὰρ ἡ ἀποκλήρωσις τοῦ στερεὰ μὲν εἶναι παρὰ τὰ αἰσθητά, ἐπίπεδα δὲ καὶ γραμμὰς μὴ εἶναι ἑτέρας τῶν φυσικῶν γραμμῶν καὶ ἐπιπέδων καθ' αὑτὰ ὄντα. ἀλλὰ καὶ παρὰ τὰ τοῦ ἀκινήτου καὶ μαθηματικοῦ σώματος ἐπίπεδα ἔσονται ἄλλα πρότερα ἐπίπεδα. καὶ τὴν αἰτίαν ἐπήγαγεν εἰπὼν πρότερα γὰρ τῶν συγκειμένων ἐστὶ τὰ ἀσύνθετα· ὥστε ἔστιν ἄλλο τι γένος ἐπιπέδων ἁπλούστατον, ἐξ ὧν συντεθειμένων ταῦτα τὰ ἀκίνητα καὶ μαθηματικὰ ἀποτελεῖται στερεά· τούτων δὲ τῶν ἐν τοῖς ἀκινήτοις στερεοῖς ὄντων ἐπιπέδων ἔσονται τὰ πέρατα γραμμαί, ὧν γραμμῶν δεήσει ἑτέρας εἶναι προτέρας γραμμάς.

4 τὰς στιγμὰς L: ἓν στιγμὰς A 5 μονάδες (post ἔσονται) M: om. AL
12 τῶν A: om. L 24 εἰ γάρ L: om. A 33 et 34 πρότερα M¹: πρότερον ALM²

p. 1076b39 Ἔτι ἅπερ καὶ ἐν τοῖς διαπορήμασιν ἐπήλθομεν πῶς ἐνδέχεται λύειν;

Ἀπορῶν ἐν τῷ B τῆς προκειμένης πραγματείας ἐζήτησε καὶ τοῦτο, ὅτι εἰ αἱ μαθηματικαὶ ἐπιστῆμαι περὶ ἄλλας φύσεις εἰσὶ μεταξὺ οὔσας τῶν αἰσθητῶν καὶ νοητῶν, ἔστι δὲ ἡ ἀστρολογία μία τῶν μαθηματικῶν ἐπιστημῶν, ἔσται παρὰ τὸν αἰσθητὸν οὐρανὸν ἄλλος οὐρανὸς μαθηματικὸς καθ' αὑτὸν ὢν καὶ ἐνεργείᾳ ἀλλ' οὐκ ἐπινοίᾳ τὸ εἶναι ἔχων· ὡς γὰρ περὶ ἃ ἡ γεωμετρία ἐστὶ μεταξύ εἰσι κατ' αὐτοὺς τοῦ αὐτομεγέθους καὶ τῶν αἰσθητῶν μεγεθῶν, οὕτως ἕξει καὶ περὶ ἃ ἡ ἀστρολογία. τοῦτον οὖν τὸν λόγον τὸν ἀποροῦντα καὶ λέγοντα ὅτι εἰ ἔστι τις μαθηματικὸς οὐρανός, ἀνάγκη αὐτὸν ἀκίνητον εἶναι καὶ τὰ μόρια αὐτοῦ ἤτοι τοὺς ἀστέρας, οὐρανὸν δὲ ἀκίνητον ἀδύνατον εἶναι (πᾶς γὰρ οὐρανὸς ἐν τῷ εἶναι ἐν κινήσει τοιαδὶ ἔχει τὸ οὐρανὸς εἶναι), ὁμοίως κἂν ἄλλο τι ἐν κινήσει ὂν καὶ ἐν αὐτῇ τὸ εἶναι ἔχον οὐκ ἐνδέχεται ἀκίνητον εἶναι, τοῦτον δὴ τὸν λόγον πῶς ἐνδέχεται αὐτοὺς λύειν; ὁμοίως δὲ τῇ ἀστρολογίᾳ ἕξει καὶ ἡ ὀπτικὴ καὶ ἡ ἁρμονική· ἡ μὲν γὰρ ἔσται περὶ ὄψεις ἄλλας παρὰ τὰς αἰσθητάς, καὶ ἡ ἁρμονικὴ περὶ φωνάς· ὥστε ἔσονται καὶ αἱ ἄλλαι αἰσθήσεις. διὰ τί γὰρ ὄψεις μὲν ἔσονται παρὰ τὰς αἰσθητάς, παρὰ δὲ τὰς λοιπὰς αἰσθήσεις οὐκ ἔσονται ἄλλαι; εἰ δὲ τοῦτο, ἔσονται καὶ ζῷα μαθηματικά.

p. 1077a9 Ἔτι γράφεται ἔνια καθόλου ὑπὸ τῶν μαθηματικῶν.

Τὸ γράφεται ἀντὶ τοῦ δείκνυται νῦν εἴληπται. λέγει δὲ ὅτι ἐπεὶ δείκνυταί τινα παρὰ τοῖς μαθηματικοῖς διὰ τῶν καθόλου λόγων καὶ διά τινων ἀξιωμάτων (οἷον διὰ τοῦ | ἀπὸ ἴσων ἴσα ἂν ἀφέλῃς, τὰ καταλειπόμενα ἴσα ἐστί, καὶ διὰ τοῦ ἂν τέσσαρά τινα ᾖ ἀνάλογον, τὸ ὑπὸ τῶν ἄκρων ἴσον ἐστὶ τῷ ὑπὸ τῶν μέσων, καὶ ἄλλων πολλῶν τοιούτων), ἀνάγκη, φησίν, ὄντων χωριστῶν μεγεθῶν καὶ ἀριθμῶν, καὶ τὰ ὑπὸ τῶν ἀξιωμάτων δηλούμενα, οἷον τὰ τινά, εἶναι χωριστὰ καὶ καθ' αὑτά, αὐτὸ τοῦτο τινὰ ὄντα, οὔτε γραμμαὶ οὔτε ἐπίπεδα οὔτε χρόνοι οὔτε ἄλλο τι· ἕτερον γὰρ τούτων ἁπάντων ἔσται καθολικώτερον ὂν καὶ τῶν γραμμῶν καὶ τῶν ἐπιπέδων καὶ χρόνων καὶ στερεῶν καὶ τῶν ἄλλων ἁπάντων. ὥστε ἔσται τις φύσις μεταξὺ τοῦ αὐτομεγέθους καὶ τοῦ μαθηματικοῦ παντὸς μεγέθους τοῦ χωριστοῦ καὶ καθ' αὑτὸ ὄντος, οὔτε γραμμὴ οὖσα ἡ φύσις αὕτη οὔτε χρόνος, οὐ σῶμα, οὐκ ἄλλο τι, ὃ ἂν εἴη ἐκείνοις μὲν ἴσως δῆλον τοῖς ταῦτα τιθεμένοις, ἡμῖν δὲ ἄδηλον. ὡς γὰρ κατ' αὐτούς εἰσι παρὰ τὰ αἰ-

3 ἐν τῷ B] c. 2 p. 997b12 sqq. 4 εἰ M: ἐὰν AL 7 ὢν L: ὂν A 8 κατ' αὐτοὺς LM²: om. A 17 καὶ αἱ — οὐκ ἔσονται (18. 19) om. L 22 τινα e Syr. Bonitz: τὰ AL 25 ὑπὸ] ἀπὸ Brandis 26 μεγεθῶν e Syr. scripsi: στερεῶν libri 27 τὰ τινά scripsi: τὸ τινά libri 31 τοῦ αὐτομεγέθους L: τοῦ om. A 33 ὃ A: ὅτι L

σθητὰ τρίγωνα καὶ τὰς αἰσθητὰς γραμμὰς καὶ τὰ σώματα ἄλλα τρίγωνα καὶ γραμμαὶ καὶ σώματα, ἃ μαθηματικά φασιν, ἐπειδὴ ταῦτα τὰ μαθηματικὰ λέγεται τινά, ἀνάγκη εἶναι ἄλλην τούτων καθολικωτέραν φύσιν τὴν δηλουμένην ὑπὸ τῆς τινὰ φωνῆς. ἔχει δέ τινα βραχεῖαν ἀσάφειαν ἡ λέξις ἡ ἔσται οὖν καὶ αὕτη τις ἄλλη οὐσία μεταξὺ κεχωρισμένη τῶν τε ἰδεῶν καὶ τῶν μεταξύ· λέγει δὲ ἰδέας μὲν τὸ αὐτοποιὸν καὶ τὰ τοιαῦτα, μεταξὺ δὲ τὰ μαθηματικά· μεταξὺ γὰρ τῶν τε ἰδεῶν καὶ τῶν αἰσθητῶν ἐτίθεντο τὰ μαθηματικά. λέγει οὖν ὅτι ἔσται τις ἄλλη φύσις καθ' αὑτὴν οὖσα μεταξὺ τῶν τε ἰδεῶν καὶ τῶν μεταξύ, τουτέστι τῶν μαθηματικῶν, ὡς εἶναι κάτωθεν ἀρχομένοις πρῶτα τὰ μαθηματικά, δευτέρα ἡ φύσις αὕτη καὶ ἡ οὐσία, καὶ τρίται αἱ ἰδέαι. εἰ δὲ πρὸς τὰ αἰσθητὰ ἀπίδοις, ἔσονται πρῶτα μὲν τὰ αἰσθητά, δεύτερα δὲ τὰ μαθηματικά, τρίτη ἡ φύσις αὕτη καὶ τέταρτον αἱ ἰδέαι. ἀλλ' εἰ ἀδύνατον, φησίν, εἶναι οὐσίαν καθ' αὑτὴν μὴ χρόνον μὴ ἐπίπεδον μὴ ἄλλο τι οὖσαν, ἀδύνατον καὶ τὰ μαθηματικὰ εἶναι καθ' αὑτά· εἰ γὰρ αὐτά, κἀκείνη, εἰ δὲ μὴ ἐκείνη, οὐδ' αὐτά.

p. 1077a14 Ὅλως δὲ τοὐναντίον συμβαίνει καὶ τοῦ ἀληθοῦς καὶ τοῦ εἰωθότος ὑπολαμβάνεσθαι.

Καὶ ἡ ἀλήθεια, φησί, βοᾷ καὶ πάντες οἱ σοφοὶ εἰώθασιν ὑπολαμβάνειν ὅτι τὸ ἀτελὲς τῷ μὲν χρόνῳ πρότερόν ἐστι τοῦ τελείου, τῇ δὲ φύσει ἤτοι τῷ τελείῳ ὕστερον. ἐξ ὧν δ' οὗτοι λέγουσι (λέγουσι δὲ ὅτι τὰ μαθήματα ἄλλα ἐστὶ τῶν αἰσθητῶν καὶ καθ' αὑτὰ ὄντα καὶ χωριστά), συμβαίνει τοὐναντίον τοῦ εἰωθότος ὑπολαμβάνεσθαι καὶ τῆς ἀληθείας· τοῦτο δ' ἐστὶ τὸ τὰ μαθηματικὰ ἀτελέστερα τῶν φυσικῶν ὄντα | πρότερα εἶναι οὐ τῷ 707 χρόνῳ ἀλλὰ καὶ τῇ φύσει· ὁμοίως δὲ καὶ ὕστερα· οὐδὲν δέ ἐστι καὶ πρότερον καὶ ὕστερον τῇ φύσει. καθὸ μὲν γὰρ αἱ μαθηματικαὶ οὐσίαι χωρισταί εἰσι καὶ καθ' αὑτὰς καὶ τέλειαι κατ' αὐτοὺς καὶ ἁπλούσταται, ἀνάγκη προτέρας εἶναι τῇ φύσει καὶ τῇ οὐσίᾳ τῶν αἰσθητῶν μεγεθῶν. κατὰ δὲ τὸ ἀληθὲς ὑστέρας. καὶ τὴν αἰτίαν ἐπήγαγεν εἰπὼν τὸ γὰρ ἀτελὲς μέγεθος τῷ χρόνῳ μὲν ἀεὶ πρότερόν ἐστι τῇ οὐσίᾳ δὲ ὕστερον, οἷον ἄψυχον ἐμψύχου. ὥσπερ γὰρ πρότερον μὲν γίνεται τὸ ἄψυχον σῶμα καὶ οὕτως ἐμψυχοῦται καὶ τελειοῦται, οὕτω καὶ ἐπὶ τῶν ἄλλων· πρότερον μὲν ὁ λόγος ὑπονοεῖ τὸ τριχῇ διαστατὸν γινόμενον, ὅπερ ἀναλογεῖ τῷ μαθηματικῷ σώματι, καὶ οὕτως ὅτι εἰσῆλθον ἐν αὐτῷ ὑπὸ τῆς φύσεως θερμότητες κουφότητες ἢ ἄλλη τις ποιότης, καὶ ἀπετέλεσαν τὸ φυσικὸν τέλος. ὡς οὖν τὸ ἄψυχον πρότερον ὂν τῇ γενέσει (πρότερον γὰρ αὐτὸ γίνεται) ἀτελέστερόν ἐστι τοῦ ἐμψύχου, οὕτω καὶ τὰ μαθηματικὰ τῇ μὲν γενέσει πρότερά ἐστι τῶν φυσικῶν σωμάτων, τῇ δὲ φύσει καὶ τῷ τελείῳ ὕστερα· ὥστε κατὰ μὲν τὴν ἀλήθειαν καὶ ἀτελέστερά ἐστι τὰ μαθηματικὰ τῶν φυσικῶν, καὶ διὰ τοῦτο καὶ ὕστερα τῇ φύσει· ἀλλὰ καὶ πρό-

6 τε L: om. A 7 τε M²: om. ALM¹ 24 ὄντα M: om. AL

τερα κατὰ τοὺς χωρίζοντας αὐτὰ καὶ ἄλλα τῶν φυσικῶν εἶναι λέγοντας. ταῦτα εἰπὼν διὰ μέσου ζητεῖ τινα ζήτησιν καὶ οὕτως πάλιν ἐπάνεισιν ἐπὶ τὸ προκείμενον. ὃ δὲ ζητεῖ τοιοῦτόν ἐστιν· ἐπεὶ τὰ μαθηματικὰ σώματα ἐξ ἐπιπέδων εἰσί, τί τὸ αἴτιον αὐτοῖς τῆς ἑνώσεως; τοῖς μὲν γὰρ φυσικοῖς σώμασιν ἢ ἡ ψυχὴ ὡς εἰδός ἐστιν αἰτία τοῦ ἓν εἶναι, ὡς ἐπὶ τῶν τελείων ζῴων, ἢ μέρος ψυχῆς, ὡς ἐπὶ τῶν ἐχόντων ἀφὴν μόνην, ἢ ἄλλο τι εὔλογον, κόλλα δηλαδὴ ἢ δεσμός. εἰ δὲ μή ἐστι τὸ δεσμοῦν ἀλλὰ ἐξέλθοι ἀπ' αὐτῶν, εὐθὺς πολλά τε γίνεται καὶ διαλύεται. τοῖς δὲ μαθηματικοῖς καὶ δυναμένοις διαιρεῖσθαι διὰ τὸ ποσὰ εἶναι τί τὸ αἴτιον τῆς αὐτῶν ἑνώσεως; τοῦτο διὰ μέσου εἰπὼν ἄνεισι πάλιν ἐπὶ τὸ ἐξ ἀρχῆς, ἐν ᾧ τὸ αἰσθητὸν πρότερον ἐδείκνυ τοῦ μαθηματικοῦ τῇ οὐσίᾳ, καὶ δείκνυσι καθόλου, ὅτι πᾶν σῶμα τῇ οὐσίᾳ πρότερόν ἐστι καὶ γραμμῆς καὶ ἐπιπέδου. ἐκ τούτου δὲ ἔχει ὅτι καὶ τῶν σωμάτων τὸ τελειότερον πρότερόν ἐστι τῶν ἀτελεστέρων· τελειότερον δὲ τὸ φυσικὸν τοῦ μαθηματικοῦ. λέγει δὴ ὅτι αἱ γενέσεις δηλοῦσιν ὅτι τὰ σώματα πρότερά ἐστι καὶ ἐπιπέδων καὶ γραμμῶν τῇ οὐσίᾳ· πρότερον γὰρ ἐπὶ μῆκος γίνεται ἡ αὔξησις ἢ ὅλως ἡ κίνησις, ἔπειτα εἰς πλάτος, εἶτα εἰς βάθος, καὶ τελειοῦται ὡς σῶμα ἁπλῶς, ὕστερον δὲ προσλαβὸν καὶ ποιότητα τελειοῦται ὡς φυσικὸν σῶμα. ὥστε εἰ τὰ τῇ γενέσει ὕστερα τῇ φύσει πρότερα, πρότερον ἂν εἴη τὸ σῶμα καὶ ἐπιπέδου καὶ γραμμῆς, καὶ τοῦ σώματος πάλιν τὸ αἰσθητὸν σῶμα, καὶ τούτου τὸ ἔμψυχον, καὶ ἐφεξῆς ἀκολούθως. ἔτι, φησί, καὶ διὰ τὸ τὸ μὲν σῶμα | ἔμψυχον δύνασθαι γενέσθαι, τὴν δὲ γραμμὴν καὶ τὸ ἐπίπεδον οὐ- 708
δαμῶς (οὐδεὶς γὰρ ἑώρακέ ποτε γραμμὴν ἔμψυχον), καὶ διὰ τοῦτο πρότερον ἂν εἴη τὸ σῶμα τῆς ἐπιφανείας καὶ τῆς γραμμῆς. πῶς δὲ ἀδύνατον, δῆλον. τὰ μὲν γὰρ εἴδη τῶν ἐμψύχων οἷς ἂν παρῇ ἔμψυχα καὶ ζῆν αὐτὰ ποιεῖ· οὐδεμία δὲ γραμμὴ ἢ ἐπίπεδον αἴτιον ζωῆς οὐδενί ἐστιν· οὐκ ἄρα εἰσὶν ὡς εἴδη ἐμψύχων οὐσίαι. ἀλλὰ μὴν οὐδ' ὡς ἀψύχων. τὰ γὰρ τῶν ἀψύχων εἴδη αἴτια αὐτοῖς ἐστι τοῦ ὡδὶ κινεῖσθαι, εἴ γε ἡ φύσις ἀρχὴ κινήσεως καὶ ἠρεμίας· αἱ δὲ γραμμαὶ καὶ τὰ ἐπίπεδα οὐδεμιᾶς ἠρεμίας οὐδὲ κινήσεώς ἐστιν αἴτια· οὐκ ἄρα εἰσὶν ὡς εἴδη οὐσίαι. ἀλλὰ μὴν οὐδ' ὡς ὕλη, εἴ γε ἡ μὲν ὕλη τοιωσδὶ ἀλλοιοῦσθαι δύναται καὶ βαρεῖα καὶ κούφη γίνεσθαι καὶ μανοῦσθαι καὶ πυκνοῦσθαι, οὐδεμία δὲ γραμμὴ ἢ ἐπίπεδον οὐδὲν τούτων πάσχειν δύναται.

p. 1077a31 Ἔτι τὸ μὲν σῶμα οὐσία τις· ἤδη γὰρ ἔχει πως τὸ τέλειον.

Καὶ τοῦτο κατασκευαστικόν ἐστι τοῦ δευτέρας εἶναι τὰς γραμμὰς καὶ τὰ ἐπίπεδα τῶν σωμάτων. δείκνυσι δὲ τοῦτο διὰ τοῦ δεῖξαι ὅτι αἱ γραμμαὶ καὶ τὰ ἐπίπεδα οὐκ εἰσιν οὐσίαι, τὸ δὲ σῶμα οὐσία, ὥστε εἰ τὸ σῶμα οὐσία αἱ δὲ γραμμαὶ καὶ τὰ ἐπίπεδα οὐκ οὐσίαι, πᾶσα δὲ οὐσία προτέρα

---

18 ποιότητα A: ποιότητας L 29. 30 ἠρεμίας οὐδὲ M Bonitz: οὐδενὶ AL 38. 39 ὥστε εἰ τ. σ. οὐσία A: om. L: ind. M²

τῶν μὴ οὐσιῶν (τοῦτο γὰρ δέδεικται), τὸ σῶμα ἄρα ὡς οὐσία πρότερον ἂν εἴη τῶν γραμμῶν καὶ ἐπιπέδων ὡς μὴ ὄντων οὐσιῶν. λέγει δὲ αὐτὸς ὅτι τὸ μὲν σῶμα οὐσία τίς ἐστι· σημεῖον δὲ ὅτι ἔχει πως τὸ τέλειον. καὶ ὅτι μὲν τὸ σῶμα τέλειον, δέδεικται εὐθὺς ἐν ἀρχῇ τῆς Περὶ οὐρανοῦ πραγματείας. τὸ δὲ πῶς πρόσκειται διὰ τὰ μαθηματικά· οὐ γάρ εἰσιν ἁπλῶς τέλεια ὡς τὰ φυσικά. ἀλλὰ καθὸ μὲν ἔχει τὰς τρεῖς διαστάσεις, εἰσὶ τέλεια, ὡς ἐν τῇ Περὶ οὐρανοῦ λέγεται, ᾗ δὲ ἐλλείπει αὐτοῖς τὰ πάθη, καθ' ἃ τὰ φυσικὰ εἰδοποιεῖται, ἐστὶν ἀτελῆ. καὶ ὅτι μὲν τὰ σώματα οὐσίαι, δέδεικται, ὡς εἴρηται· τὰ δὲ ἐπίπεδα καὶ αἱ γραμμαὶ ἐπειδὴ ἁπλᾶ εἰσιν, εἰ ἔσονται οὐσίαι, ἢ ὡς εἶδος ἔσονται ἢ ὡς ὕλη, ὥσπερ ἡ μὲν ψυχὴ οὐσία ἐστὶν ὡς εἶδος, τὸ δὲ σῶμα ὡς ὕλη. οὐδεμία δὲ οὐσία φαίνεται ἐκ γραμμῶν ἢ ἐξ ἐπιπέδων μαθηματικῶν συνίστασθαι δυναμένη· ἢ γὰρ ὡς ἐξ ὕλης τῆς γραμμῆς καὶ τοῦ ἐπιπέδου συσταίη ἂν ἡ οὐσία, ἢ ὡς ἐξ εἴδους· ἀδύνατον δὲ τούτων ἑκάτερον, ὥστε ἀνούσιοι αἱ γραμμαὶ καὶ αἱ στιγμαί, εἰ δὲ τοῦτο, δεύτεραι τῶν οὐσιῶν. κατὰ δὲ τὴν λέξιν τὸ εἰ δ' ἦν οὐσία τις ὑλική, τοῦτ' ἂν ἐφαίνετο πάσχειν ἴσον ἐστὶ τῷ 'εἰ δ' ἦσαν αἱ γραμμαὶ καὶ τὰ ἐπίπεδα ὑλικαὶ οὐσίαι, τοῦτ' ἄν, τουτέστι τὸ ἀλλοιουμένων αὐτῶν ἕτερον ἐξ αὐτῶν συνίστασθαι, ἐφαίνοντο πάσχουσαι.' ταῦτα εἰπὼν λέγει ὅτι τῷ μὲν λόγῳ ἔστωσαν πρότερα τὰ μαθηματικὰ τῶν αἰσθητῶν, ἐπειδή τις τὸ αἰσθητὸν ὁριζόμενος δεῖται τῶν | διαστάσεων, 709
αἳ ὁρίζουσι τὸ μαθηματικόν· ὥστε ἐπεὶ ὁ τοῦ αἰσθητοῦ σώματος λόγος προσδεῖται τῶν διαστάσεων καὶ τῶν λόγων αὐτῶν, ὥσπερ καὶ ὁ προσδεόμενος τοῦ ζῴου τοῦ λόγου αὐτοῦ προσδεῖται (τὸ γὰρ πρᾶγμα καὶ ὁ λόγος αὐτοῦ ταὐτόν), ὥστε ἐπεὶ ὁ τοῦ αἰσθητοῦ σώματος λόγος προσδεῖται τῶν διαστάσεων καὶ τῶν λόγων αὐτῶν, ἔσονται πρότερα τὰ διαστήματα τῷ λόγῳ· οὐκέτι δὲ καὶ τῇ οὐσίᾳ. εἶτα ἵνα μή τις νομίσῃ ὅτι τὰ τῷ λόγῳ πρότερα καὶ τῇ οὐσίᾳ πρότερα εὐθύς ἐστι, δείκνυσι τὴν τοιαύτην ὑπόνοιαν ψευδῆ. οὐ πάντα γάρ, φησίν, ὅσα τῷ λόγῳ πρότερα καὶ τῇ οὐσίᾳ πρότερα. καὶ τέως πρότερον διαρθροῖ τίνα ἐστὶ τὰ τῇ οὐσίᾳ πρότερα καὶ τίνα τὰ τῷ λόγῳ, καὶ οὕτω δείκνυσιν ὅτι οὐ πάντα τὰ τῷ λόγῳ πρότερα καὶ τῇ οὐσίᾳ πρότερά ἐστιν. ἔστιν οὖν, φησί, τῇ οὐσίᾳ πρότερα ὅσα χωριζόμενα τῷ εἶναι ὑπερβάλλει, τουτέστιν ὅσα χωριζόμενα τῶν ἐν οἷς εἰσιν, αὐτὰ μὲν εἶναι δύναται, ἐκεῖνα δὲ μή, ὥσπερ ἐπὶ τῆς μονάδος καὶ ἐπ' ἄλλων πολλῶν. οὔσης μὲν γὰρ δυάδος ἔστι καὶ μονάς, καὶ μὴ οὔσης δυάδος καὶ οὕτως ἔστι μονάς· ὥστε ἐπεὶ ἡ μονὰς καὶ συνυπάρχει καὶ μεθυπάρχει τῇ δυάδι, ἐπὶ πλέον ἐστὶ τὸ εἶναι αὐτῆς, ἀντὶ τοῦ μᾶλλον εἶναι δύναται τῆς δυάδος· ἡ γὰρ ὕλη εἰς τὸ εἶναι συντείνει, αἱ δὲ διαφοραὶ εἰς τὸ τοιοῖσδε εἶναι. ἐκδηλότερόν γε μὴν ἐπὶ τοῦ ζῴου τοῦτό ἐστιν· ἐπὶ τούτῳ γὰρ λέγομεν τὸ τοῦ ζῴου εἶναι ἐπὶ πλέον τῆς τοῦ ἀνθρώπου ὑπάρξεως εἶναι, ὅτι καὶ συνεῖναι τῷ ἀνθρώπῳ δύναται, καὶ μὴ ὄντος τοῦ

4 et 7 Περὶ οὐρανοῦ] A 1 p. 268a23 5 πρόσκειται Brandis Bonitz: πρόκειται ALM 15 δεύτεραι L Syr.: δεύτερα A 15 τὸ M¹: τὴν ALM² 20 αἰσθητῶν e Syr. Bonitz: οὐσιῶν ALM 39 ἐπὶ τούτῳ L: ἐπὶ τούτων A ἐπὶ πλέον M: om. AL 40 ὑπάρξεως LM: ὑπάρξει A

ἀνθρώπου καὶ οὕτως εἶναι δύναται. ὅσα μὲν οὖν χωριζόμενα καὶ χωρὶς τῶν ἀφ' ὧν κεχώρισται δύναται εἶναι, εἰσὶ τῇ οὐσίᾳ πρότερα. τῷ δὲ λόγῳ, φησί, πρότερά ἐστιν ὅσων οἱ λόγοι ἐκ τῶν λόγων. ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον. ἐπεὶ ὁ τοῦ λευκοῦ ἀνθρώπου λόγος ὁ λέγων ζῷον πεζὸν δίπουν ἔχον χρῶμα διακριτικὸν ὄψεως ἐκ τοῦ λόγου ἐστὶ τοῦ λευκοῦ καὶ τοῦ ἀνθρώπου, ὁ ἄνθρωπος καὶ τὸ λευκὸν πρότερά ἐστι τῷ λόγῳ τοῦ λευκοῦ ἀνθρώπου· ἐκ γὰρ τῶν λόγων αὐτῶν ὁ τοῦ λευκοῦ ἀνθρώπου λόγος. τὸ δὲ ταῦτα δὲ οὐχ ἅμα ὑπάρχει ἀντὶ τοῦ οὐ συνδυάζεται οὐδὲ εὑρίσκεται ἅμα, ὥστε τὰ τῷ λόγῳ πρότερα εὐθὺς καὶ τῇ οὐσίᾳ πρότερα εἶναι, ἀλλὰ κεχώρισται καὶ εἰσί τινα τῷ λόγῳ πρότερα τῇ δὲ οὐσίᾳ οὐκέτι. εἰπὼν οὖν τίνα ἐστὶ τὰ τῇ φύσει πρότερα καὶ τίνα τὰ τῷ λόγῳ, ἄνεισιν ἐπὶ τὸ προκείμενον, δεικνὺς ὅτι οὐ τὰ τῷ λόγῳ πρότερα ἀνάγκη καὶ τῇ φύσει καὶ τῇ οὐσίᾳ πρότερα εἶναι. εἰ γὰρ μὴ ἔστι, φησί, τὰ πάθη, οἷον λευκὸν καὶ κινούμενον, τουτέστι κίνησις, παρὰ τὰς οὐσίας, ἀλλ' ἐν αὐταῖς τὸ εἶναι ἔχει, τοῦ λευκοῦ ἀνθρώπου ἔσται πρότερον τὸ λευκὸν κατὰ τὸν λόγον, ὅτι ὁ λόγος αὐτοῦ ἐν τῷ τοῦ λευκοῦ ἀνθρώπου λόγῳ εἴληπται, κατὰ δὲ τὴν οὐσίαν καὶ τὸ εἶναι οὐκέτι· εἰ γάρ ἐστι τὸ λευκὸν καὶ κατὰ τὴν οὐσίαν καὶ κατὰ τὸ εἶναι πρότερον τοῦ λευκοῦ ἀνθρώπου, | ἔσται τὸ λευκὸν χωρὶς τῆς οὐσίας καὶ καθ' αὑτό· ἀλλ' 710 οὐκ ἐνδέχεται τὸ λευκὸν καθ' αὑτὸ εἶναι ἀλλ' ἀεὶ μετὰ τοῦ συνόλου ἐστίν. τί δ' ἐστὶ τὸ σύνολον, αὐτὸς ἐσαφήνισεν εἰπὼν σύνολον δὲ λέγω τὸν ἄνθρωπον καὶ τὸ λευκόν, τουτέστι τὸ ἐξ ἀνθρώπου καὶ λευκοῦ συγκείμενον. ὥστε φανερόν, φησίν, ὅτι οὔτε τὸ ἐξ ἀφαιρέσεως (λέγοι δ' ἂν ἐξ ἀφαιρέσεως τὸ μαθηματικόν) πρότερον τῇ οὐσίᾳ, ἐπεὶ καὶ τὸ λευκὸν ἐξ ἀφαιρέσεώς ἐστιν (ἐχώρισε γὰρ αὐτὸ ὁ λόγος τοῦ ὑποκειμένου) καὶ ὅμως οὐ πρότερον τοῦ ἀνθρώπου, οὔτε πάλιν τὸ ἐκ προσθέσεως, τουτέστι τὸ μαθηματικὸν σῶμα μετὰ τῶν ποιοτήτων, ὕστερον τοῦ μαθηματικοῦ σώματος, ἀλλὰ τῷ μὲν λόγῳ ὕστερον τῇ δὲ οὐσίᾳ πρότερον. ἢ ἐξ ἀφαιρέσεως λέγοι ἄν (δύναται γάρ τις καὶ οὕτως ἀκούειν) τὸ λευκόν· τοῦτο γὰρ ὁ λόγος ἀφαιρεῖται καὶ χωρίζει τοῦ ὑποκειμένου, καὶ οὐκ ἔστι τὸ λευκὸν τῆς οὐσίας πρότερον τῇ οὐσίᾳ ἀλλὰ τῷ λόγῳ· ἐκ προσθέσεως δὲ τὸ ἐκ λευκοῦ καὶ ἀνθρώπου. καὶ οὐκ ἔστι τοῦτο πάντῃ ὕστερον, ἀλλὰ τῷ μὲν λόγῳ ὕστερον τῇ δὲ φύσει πρότερον. τὸ δὲ ἐκ προσθέσεως γὰρ τῷ λευκῷ ὁ λευκὸς ἄνθρωπος λέγεται ἀντὶ τοῦ προσθέσει γὰρ τοῦ λευκοῦ ὁ λευκὸς ἄνθρωπος λέγεται ἐκ προσθέσεως. καὶ συμπεραίνεται λοιπὸν λέγων ὅτι μὲν οὔτε οὐσία τὰ μαθηματικὰ μᾶλλον τῶν σωμάτων εἰσὶ τῶν φυσικῶν, οὔτε πρότερα τῷ εἶναι καὶ τῇ οὐσίᾳ ἀλλὰ τῷ λόγῳ μόνῳ, οὔτε δὲ κεχωρισμένα που καὶ καθ' αὑτὰ εἶναι δυνατόν, εἴρηται αὐτάρκως.

---

3. 6. 9. 10. 13 πρότερον L 9 τὸ τῷ L εὐθὺς L: om. A 11 πρότερα LM: πρότερον A 11 τὰ (post τίνα) M: om. AL 21. 22 τὸν ἄνθρωπον τὸν λευκόν Metaph. vulg. 25 ἐχώρισε M: ἐχώρησε AL 26. 31. 33 προσθέσεως M Metaph. vulg.: προθέσεως AL Metaph. libri tres 34 τῷ λευκῷ AL Metaph.: τοῦ λευκοῦ M Bonitz

p. 1077b14 Ἐπεὶ δ' οὐδ' ἐν τοῖς αἰσθητοῖς ἐνεδέχετο αὐτὰ εἶναι, φανερὸν ὅτι ἢ ὅλως οὐκ ἔστιν ἢ τρόπον τινά.

Δείξας ὅτι τὰ μαθηματικὰ οὔτε κεχωρισμένα εἰσὶ καὶ καθ' αὑτά, οὔτε αἰσθητὰ ἄλλα ὄντα παρὰ τὰ αἰσθητά εἰσι, λέγει ποία ἐστὶν αὐτῶν ἡ ὑπόστασις, καὶ τάχα ἀρέσκει αὐτῷ καὶ τῇ ἀληθείᾳ μήτε καθ' αὑτὰ ὑφεστηκέναι τὰ μαθηματικὰ μεγέθη, μήτε ἐν τοῖς αἰσθητοῖς εἶναι ἄλλα ὄντα παρὰ τὰ αἰσθητά, ἀλλὰ ἀπὸ τῶν αἰσθητῶν κατὰ ἀφαίρεσιν τῶν ἐν τοῖς παθητικοῖς ποιοτήτων ἐπινοεῖσθαι. κατὰ ἀφαίρεσιν γὰρ τῆς ἐν τῷ αἰσθητῷ κύβῳ βαρύτητος σκληρότητος λευκότητος καὶ τῶν ὁμοίων ἐπινοεῖται ὁ μαθηματικὸς κύβος, καὶ οὔτε ἄλλος ὢν παρὰ τὸν αἰσθητὸν ἐν αὐτῷ ἐστιν (οὕτω γὰρ ἂν συνέβαινε δύο σώματα εἶναι ἐν τῷ αὐτῷ), οὔτε ἔστιν αὐτὸς καθ' αὑτόν. ἀλλὰ ταῦτα μὲν προϊοῦσιν ἔτι μᾶλλον ἔσται δῆλα· αὐτὸς δέ φησιν 'ἐπεὶ δέδεικται ὅτι καθ' αὑτὰ τὰ μαθηματικὰ σώματα οὐκ εἰσιν, ἐνεδέχετο δὲ ἢ καθ' αὑτὰ εἶναι ἢ ἐν τοῖς αἰσθητοῖς, ἐδείχθη δὲ καὶ τοῦτο ἀδύνατον, φανερὸν ὅτι ἢ ὅλως οὐκ εἰσιν ἢ τρόπον τινά, καὶ διὰ τοῦτο ἁπλῶς μέν, οἷον Σωκράτης ἢ αἱ θεῖαι καὶ ἀσώματοι οὐσίαι, οὐκ εἰσιν, ἀφαιρέσει δέ· πολ|λοὶ γὰρ τρόποι ὑπάρξεως. ὥστε κἂν μὴ ἁπλῶς εἶναι 711 [οὐ] δύνωνται, ἀλλ' ἐξ ἀφαιρέσεως ἔσονται, ἄλλως δὲ οὐκέτι.'

Ὥσπερ γάρ, φησί, καὶ τὸ καθόλου (λέγει δὲ καθόλου τό τε ἂν πρῶτον πρὸς δεύτερον καὶ τρίτον πρὸς τέταρτον τὸν αὐτὸν ἔχῃ λόγον, καὶ ἐναλλὰξ ληφθέντων σωθήσεται τὸ ἅμα τὸν αὐτὸν ἔχειν λόγον. καὶ τὸ ἂν ἀπὸ ἴσων ἴσα ἀφαιρεθῇ, τὰ καταλειπόμενα ἴσα ἐστί, καὶ τὰ ὅμοια), ὥσπερ οὖν, φησί, καὶ τὸ καθόλου ἐν τοῖς μαθήμασιν οὐ περὶ κεχωρισμένων ἐστί τινων καὶ καθ' αὑτὰ ὄντων καὶ ἑτέρων παρὰ τὰ αἰσθητὰ μεγέθη καὶ ἀριθμούς, ἀλλὰ περὶ τούτων μὲν ποιεῖται τοὺς λόγους, οὐχ ᾗ δὲ αἰσθητὰ οὐδὲ ᾗ δυνάμενα ἔχειν μέγεθος καὶ διαιρεῖσθαι, ἀλλ' αὐτὸ τοῦτο μόνον ὁρᾷ ὅτι δύνανται τὸν τῆς ἀναλογίας λόγον φυλάσσειν ἐναλλὰξ ληφθέντα. οὕτω καὶ ὁ γεωμέτρης ποιήσεται λόγον καὶ ἀπόδειξιν ἀκριβῆ περὶ τὸ αἰσθητὸν στερεόν, οὐχ ᾗ δὲ ἔχον ἀντιτυπίαν ἢ βάρος ἢ λευκόν, ἀλλ' ᾗ τοιόνδε, τουτέστιν ᾗ μέγεθος καὶ ᾗ τριχῇ διαστατόν, ὅλως μὴ προσεννοῶν τὴν ἐν αὐτῷ λευκότητα ἢ θερμότητα ἢ βαρύτητα ἢ ἄλλην τινὰ ποιότητα· ἐχώρισε γὰρ αὐτὰ λόγῳ καὶ καθ' αὑτὴν μόνην ὁρᾷ τὴν τοιανδὶ διάστασιν. πρὸς τούτῳ καὶ δι' ἄλλου ὑποδείγματος σαφηνίζει τὸ λεγόμενον λέγων ὥσπερ γὰρ καὶ ᾗ κινούμενα μόνον πολλοὶ λόγοι εἰσί, τουτέστιν ὥσπερ γὰρ πολλοὶ λόγοι καὶ ἀποδείξεις εἰσὶ τῶν κινουμένων (λέγομεν γὰρ καὶ δεικνύομεν ὅτι τὰ ἰσοταχῶς κινούμενα ἐν ἴσῳ χρόνῳ τὸ αὐτὸ διάστημα διέξεισιν, οὐδὲν ἁπτόμενοι τῶν ὑποκειμένων πραγ-

---

4 οὔτε αἰσθητὰ] exspectes οὔτε ἐν τοῖς αἰσθητοῖς 6 ἄλλα LM Syr.: ἀλλὰ A 7 ἀλλ' ἐκ τῶν Syr. 8 παθητικοῖς A: μαθηματικοῖς L 10 αὐτῷ L: αὐτοῖς A 13 σώματα A: μεγέθη L 18 οὐ del. Bonitz 19 τὰ καθόλου Metaph. vulg. 23 περὶ M: παρὰ AL 24 αἰσθητὰ om. Syr. 31 ἢ (post λευκότητα) L: καὶ A 33 τούτῳ L: τοῦτο A 34 λέγων M¹: del. M²: om. AL 37 χρόνῳ e Syr. coni. Usener: λόγῳ AL

μάτων, ἀλλὰ περὶ τῆς κινήσεως αὐτῶν μόνης διαλεγόμεθα, καὶ ὅμως οὐ διὰ τὸ μὴ ἅπτεσθαι τῶν ὑποκειμένων ὑπολαμβάνομεν εἶναι κίνησιν κεχωρισμένην· ἀλλὰ καὶ οἱ φυσικοὶ δεικνύουσι πάντα τὰ καθ' αὑτὰ ταῖς κινήσεσι μὴ θεωροῦντες μηδὲ πολυπραγμονοῦντες τὰ ὑποκείμενα τίνα ἐστί, πότερον ἄνθρωποι ἢ οὐρανός, ἀλλ' οὐδὲ τί συμβέβηκε τῷ ἀνθρώπῳ ἢ τῷ οὐρανῷ θεωροῦσιν, ἀλλ' αὐτὴν καθ' αὑτὴν τὴν τῆς κινήσεως φύσιν καὶ τὰ καθ' αὑτὰ ὑπάρχοντα αὐταῖς ἀνιχνεύουσί τε καὶ ἀποδεικνύουσι, καὶ οὐδεμία ἀνάγκη διὰ τὸ μὴ τὸν φυσικὸν ὁρᾶν τὸ κινούμενον, αὐτὸ δὴ τὸ τῇ κινήσει ὑποκείμενον, τί ἐστιν, εἶναί τι παρὰ τὰ αἰσθητὰ κινούμενον καὶ κεχωρισμένον καὶ καθ' αὑτό· ἀλλ' οὐδὲ πάλιν ἀνάγκη εἶναί τι κινούμενον παρὰ τὰ αἰσθητὰ καὶ ἄλλην τινὰ φύσιν, εἶναι δὲ ἐν αὐτοῖς), ὥσπερ οὖν ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τῶν κινουμένων καὶ αἰσθητῶν (κινούμενα γὰρ τὰ αἰσθητά), φησίν, ἕξει, καὶ ἔσονται λόγοι αὐτῶν καὶ ἐπιστῆμαι, ἀλλ' οὐχ ᾗ κινούμενά ἐστιν οὐδὲ ᾗ βαρύτητα ἢ κουφότητα ἔχει. | ἀλλὰ καθὸ 712
σῶμα μόνον, οὐδαμῶς θεωροῦντες εἴτε βαρύ ἐστι τὸ τοιοῦτον μέγεθος ἢ σῶμα εἴτε καὶ μή· ὁμοίως καὶ τῶν ἐπιπέδων καὶ μηκῶν ἔσονται λόγοι καὶ ἀποδείξεις, καθὸ μόνον ἐπίπεδά ἐστι καὶ καθὸ μήκη, τοῦ ἐν αὐτοῖς λευκοῦ ἢ βαρέος ἢ θερμοῦ κατορχούμενοι. ἀλλὰ κἂν περὶ διαιρετῶν θεωρῶσιν. οὕτω καὶ αὐτοὶ ἐπισκέπτονται ὡς μόνον δυνάμενα διαιρεῖσθαι· εἰ δὲ βαρέα ταῦτα οὐδὲ εἷς αὐτοῖς λόγος. ἀλλὰ καὶ τὰς στιγμὰς ὡς ἀδιαιρέτους μόνον ἐπισκέπτονται, ἄλλο τι μὴ προσθεωροῦντες.

p. 1077ᵇ31 Ὥστ' ἐπεὶ ἁπλῶς λέγειν ἀληθὲς μὴ μόνον τὰ χωριστὰ εἶναι ἀλλὰ καὶ τὰ μὴ χωριστά.

Ἔνστασίν τινα δυναμένην φέρεσθαι πρὸς τὰ λεγόμενα διὰ τούτων λύει. ἔστι δὲ ἡ ἔνστασις τοιαύτη. εἰ τὰ μαθηματικὰ ἐξ ἀφαιρέσεως τὸ εἶναι ἔχει, πῶς αὐτά φαμεν ὅτι εἰσίν; ταύτην λύων λέγει 'ἐπεὶ οὐ μόνον τὰς οὐσίας (ταύτας γὰρ λέγει χωριστάς) ἁπλῶς φαμεν εἶναι, ἀλλὰ καὶ τὰ μὴ χωριστὰ ἤτοι τὰ συμβεβηκότα καὶ μὴ καθ' αὑτὰ δυνάμενα εἶναι (κατηγοροῦμεν γὰρ καὶ κατὰ τούτων τὸ εἶναι ἁπλῶς, φημὶ δὴ τοῦ τε λευκοῦ καὶ τοῦ κινουμένου ἤτοι τῆς κινήσεως), ὡς οὖν οὐ μόνον τὰς οὐσίας εἶναί φαμεν, ἀλλὰ καὶ τὰς κινήσεις καὶ ὅλως τὰ πάθη, ἃ οὐ δύναται καθ' αὑτὰ εἶναι ἀλλ' ἐν ἄλλοις, οὕτω καὶ τὰ μαθηματικὰ ἕξουσι μὲν ἐξ ἀφαιρέσεως τὸ εἶναι, ἕξουσι δὲ καὶ τὸ κατ' αὐτῶν ἁπλῶς τὸ εἶναι λέγεσθαι, καὶ οὐ μόνον θαρρούντως ἐροῦμεν ὡς εἰσίν, ἀλλὰ καὶ ἀποφανούμεθα ὅτι τοιαῦτά εἰσιν οἷα λέγουσιν, οἷον ὅτι ἡ γραμμὴ ἀπλατὴς καὶ ἡ ἐπιφάνεια ἀβαθὴς καὶ τὰ ἄλλα ὁμοίως· ὁ γὰρ λόγος ὁ χωρίσας τὴν γραμμὴν δύναται αὐτὴν τοιαύτην εἶναι νοεῖν οἵαν ἐχώρισε.' καὶ ὥσπερ, φησίν, ἀληθές ἐστιν εἰπεῖν καὶ τὰς ἄλλας ἐπιστήμας τούτων μόνων ὧν εἰσιν ἐπιστῆμαι εἶναι καὶ οὐ

1 μόνης LM²: μόνον A 5 post συμβέβηκε add. καὶ AL 6 τὴν L: om. A 15 θεωροῦντες M: θεωρῶν AL 18 θεωρῶσιν M: θεωρῶν A: θεωρῶ L 24 πρὸς LM: παρὰ A 32 ἄλλοις LM: ἀλλήλοις A

τοῦ συμβεβηκότος, οἷον ὅτι ἡ ἰατρικὴ τοῦ ὑγιεινοῦ ἐστιν οὗ καὶ ἔστιν ἐπιστήμη, καὶ οὐ τοῦ συμβεβηκότος τῷ ὑγιεινῷ, οἷον τοῦ λευκοῦ, εἴ γε τῷ ὑγιεινῷ συμβέβηκε λευκῷ εἶναι, οὕτω καὶ τὴν γεωμετρίαν ἀληθὲς εἰπεῖν ὅτι τοῦ μεγέθους καὶ σχήματός ἐστι καὶ οὐ τοῦ βαρέος ἢ τοῦ θερμοῦ ἢ ὅλως τοῦ αἰσθητοῦ. ταῦτα γὰρ τῷ σώματι ὡς μὲν φυσικῷ καθ' αὑτὰ ὑπάρχει, ὡς δὲ μαθηματικῷ κατὰ συμβεβηκός. ὥστε οὔτε τῶν αἰσθητῶν ἁπλῶς ὡς αἰσθητῶν εἰσιν αἱ μαθηματικαί, οὔτε παντάπασιν ἑτέρων ἄλλων ὄντων παρὰ τὰ αἰσθητά, ἀλλὰ τῶν αἰσθητῶν μέν, οὐχ ᾗ δὲ αἰσθητὰ ἀλλ' ᾗ μόνον μεγέθη εἰσὶ καὶ γραμμαὶ καὶ ἐπιφάνειαι. ἡ μὲν οὖν τῶν λεγομένων διάνοια αὕτη. κατὰ δὲ τὴν λέξιν πολλὴν ἀσάφειαν ἐποίησε τὸ οὐχὶ τοῦ συμβεβηκότος, οἷον ὅτι λευκοῦ εἰ τὸ ὑγιεινὸν λευκόν, ᾗ δ' ἐστὶν ὑγιεινοῦ. λέγει δὲ ὅτι ὥσπερ αἱ ἄλλαι ἐπιστῆμαι τούτων | εἰσὶν 713
ὧν εἰσιν ἐπιστῆμαι καὶ πρὸς ἃ λέγονται ἀλλ' οὐ τῶν συμβεβηκότων αὐτοῖς, καὶ σαφηνίζει τοῦτο ἐπὶ τῆς ἰατρικῆς καὶ τοῦ ὑγιεινοῦ, πρὸς ὃ αὕτη λέγεται, λέγων ὅτι οὐ τοῦ συμβεβηκότος ἐστὶν ἡ ἰατρική, οἷον τοῦ λευκοῦ, εἰ τὸ ὑγιεινὸν περὶ ὅ ἐστιν ἡ ἰατρικὴ λευκόν ἐστιν· οὐκ ἔστιν οὖν ἡ ἰατρικὴ τοῦ λευκοῦ, ᾗ δ' ἐστὶν ὑγιεινοῦ, τουτέστιν ἀλλὰ καθό ἐστιν ὑγιεινόν, ἐστὶν αὐτοῦ ἡ ἰατρική, καὶ οὐ καθὸ λευκόν. ἢ οὖν οὕτως ἢ ὑπερβατῶς ἀναγνωστέον τὸ οὐχὶ τοῦ συμβεβηκότος, οἷον ὅτι λευκοῦ, εἰ τὸ ὑγιεινὸν λευκόν, ᾗ δ' ἐστὶν ὑγιεινοῦ, οὕτως 'οὐχὶ τοῦ συμβεβηκότος ἐστὶν ἡ ἰατρική, καθὸ ὑγιεινοῦ ἐστιν· οὖσα γὰρ καθ' αὑτὸ τοῦ ὑγιεινοῦ ὡς ὑγιεινοῦ, οὐκ ἔστι καὶ τοῦ συμβεβηκότος, οἷον τοῦ λευκοῦ, εἰ τὸ ὑγιεινὸν λευκόν ἐστιν.' τὸ δὲ ἀλλ' ἐκείνου οὗ ἐστιν ἑκάστη, εἰ ὑγιεινὸν ὑγιεινοῦ, τὸ ἀλλ' ἐκείνου ἀντὶ τοῦ ὅλως· ἵν' ᾗ τὸ λεγόμενον 'καὶ ὅλως ἑκάστη ἐπιστήμη ἐκείνου ἐστὶν οὗ ἐστι καὶ οὗ λέγεται εἶναι.' καὶ δέον δι' ἄλλου ὑποδείγματος σαφηνίσαι τὸν λόγον, οὐ ποιεῖ τοῦτο, ἀλλὰ πάλιν διὰ τοῦ ὑγιεινοῦ λέγων εἰ ὑγιεινόν, ἐκείνου, τουτέστιν εἰ ἔστι τὸ τῇ ἰατρικῇ ἐπιστήμῃ ὑποκείμενον ὑγιεινόν, ἐκείνου ἔσται καὶ οὐ τοῦ λευκοῦ ἢ ἄλλου τινός. εἰ δ' ἐστὶ τὸ ἐπιστητὸν ἄνθρωπος καὶ ἡ τούτου ἐπιστήμη ἀνθρώπου ἔσται, ἢ εἰ ἔστι τὸ ὑγιεινὸν ἄνθρωπος ἀνθρώπου ἔσται. ὡς οὖν ἐπὶ τούτων οὕτως, φησί, καὶ τὴν γεωμετρίαν· οὐκ εἰ συμβέβηκεν αἰσθητὰ εἶναι ὧν ἐστι, μή ἐστι δ' ᾗ αἰσθητά. καὶ παρέλκει γε ἐν τῇ λέξει τῇ οὐκ εἰ συμβέβηκεν αἰσθητὰ εἶναι ἡ οὐ ἀπόφασις. ἔστι δὲ τὸ κατάλληλον τῆς λέξεως τοιοῦτον· 'οὕτω καὶ τὴν γεωμετρίαν, εἰ συμβέβηκεν αἰσθητὰ εἶναι ὧν ἐστι θεωρητική, οὐκ ἔστι δὲ τούτων θεωρητικὴ ᾗ ἐστιν αἰσθητά, οὐδὲ θεωρεῖ αὐτὰ καθὸ θερμὰ ἢ βαρέα ἐστὶν ἀλλὰ καθὸ μόνον μεγέθη, εἰ δὴ τοῦθ' οὕτως ἔχει, οὔθ' ἡ γεωμετρία οὔτ' ἄλλη τις τῶν μαθηματικῶν ἐπιστημῶν ἔσται τῶν αἰσθητῶν ἁπλῶς, ἀλλὰ τούτων μὲν οὐχ ᾗ δὲ αἰσθητά ἐστιν.'

---

3 τὴν γεωμετρίαν L: τῆς γεωμετρίας A 5 καὶ καθ' αὑτὰ L 7 ἁπλῶς ὡς—αἰσθητῶν (8) om. L 7 παντάπασιν M: πασῶν A 10 τὸ οὐχὶ $M^1$: τὴν οὐχὶ $ALM^2$ 12 ὑγιεινοῦ] ὑγιεινὸν Metaph. vulg. 13 αὐτοῖς $M^1$: αὐταῖς $ALM^2$ 15 ὅτι M: om. AL 16 ὅ ἐστιν ἡ LM: ὅ et ἡ om. A 25. 26 καὶ οὐ δέον L 32 ᾗ M: om. AL

p. 1078a5 Πολλὰ δὲ συμβέβηκε καθ' αὑτὰ τοῖς πράγμασιν, ᾗ ἕκαστον ὑπάρχει τῶν τοιούτων.

Ὃ λέγει τοιοῦτόν ἐστιν. ὥσπερ γὰρ πολλὰ πολλοῖς ὑπάρχει καθ' αὑτά, καὶ ἔστι τούτων, λέγω δὴ τῶν ἐνυπαρχόντων, ἀπόδειξις ἀκριβής, ὄντων καὶ τῶν ὑποκειμένων αὐτοῖς ἐν ἄλλοις, καὶ ὅμως οὐκ εἰσὶ χωρὶς τῶν ἐν οἷς ὑπάρχουσι διὰ τὸ εἶναι ἀκριβεῖς ἀποδείξεις τῶν ἐν τούτοις ὑπαρχόντων (οἷον τὸ θῆλυ καὶ τὸ ἄρρεν ἀχώριστά εἰσι πάθη τῶν ζῴων καὶ ἐν τοῖς ζῴοις τὸ εἶναι ἔχει, εἰσὶ δὲ πάλιν τοῦ θήλεος καὶ τοῦ ἄρρενος ᾗ θῆλυ καὶ ᾗ ἄρρεν πάθη, τοῦ μὲν θήλεος τὸ θρεπτικὸν καὶ ὑποδεκτικὸν τῶν σπερμάτων, τοῦ δὲ ἄρρενος τὸ | γεννητικόν, καί εἰσιν ἀποδείξεις 714
τοῦ θρεπτικοῦ καὶ δεκτικοῦ, ὁμοίως δὲ καὶ τοῦ γεννητικοῦ), ὥσπερ οὖν τοῦ θρεπτικοῦ καὶ ὑποδεκτικοῦ ἀλλὰ καὶ τοῦ γεννητικοῦ παθῶν ὄντων τοῦ ἄρρενος καὶ τοῦ θήλεός εἰσιν ἐπιστῆμαι, καὶ οὐ δήπου εἰσὶ τὰ ὑποκείμενα αὐτοῖς, φημὶ δὴ τὸ θῆλυ καὶ ἄρρεν, χωρὶς τοῦ ζῴου καὶ καθ' αὑτὰ ἀλλ' ἐν τῷ ζῴῳ τὸ εἶναι ἔχει, οὕτω καὶ τῶν καθ' αὑτὰ ὑπαρχόντων τοῖς μα- 5
θήμασιν ἔσται ἐπιστήμη, ἀλλ' οὐ διὰ τοῦτο χωρὶς τῶν αἰσθητῶν ἔσται τὰ μαθηματικά. εἰ γὰρ διὰ τὸ ἀποδείξεις καὶ ἐπιστήμας εἶναι τῶν καθ' αὑτὰ ὑπαρχόντων τοῖς μαθηματικοῖς ἀνάγκη τὰ μαθηματικὰ καὶ χωρὶς τῶν αἰσθητῶν εἶναι, ἔσται καὶ τὸ θῆλυ καὶ τὸ ἄρρεν χωρὶς τοῦ ζῴου, ὅτι καὶ τῶν ἐν τούτοις ὄντων, τοῦ γεννητικοῦ καὶ θρεπτικοῦ καὶ ὑποδεκτικοῦ, εἰσὶν 10
ἐπιστῆμαι. ἐν δὲ τῇ λέξει τῇ ὥστε καὶ ᾗ μὴ κινούμενον καὶ ᾗ ἐπίπεδα, ἀντὶ τοῦ ὥστε καθὸ ἀκίνητα ἔσται αὐτῶν ἐπιστήμη καὶ καθὸ ἐπίπεδα, μὴ φυσικά· τούτου γὰρ δεῖ προσυπακούειν. εἰ δὲ τὸ ἀκριβὲς ἔχει ἡ γεωμετρία διὰ τὸ ὡς ἁπλᾶ καὶ χωρὶς ποιοτήτων θεωρεῖν τὰ μεγέθη καὶ τὰ τούτοις καθ' αὑτὰ ὑπάρχοντα, ἡ ἐπιστήμη ἡ ποιουμένη τὴν θεωρίαν οἵα ἂν εἴη περὶ τῶν πραγμάτων τῶν τῷ λόγῳ προτέρων καὶ μᾶλλον ἁπλου- 15
στέρων μᾶλλον ἕξει τὸ ἀκριβὲς τῆς περὶ ἧττον ἁπλᾶ καταγινομένης. τὸ δὲ τοῦτο δὲ τὸ ἁπλοῦν ἐστιν ἴσον ἐστὶ τῷ τὸ δέ ἐστιν ἁπλούστερον τὸ μᾶλλον τὴν ἀκρίβειαν ἔχον. εἰ δέ τις πάλιν ἐπιστήμη ἐξετάζει τι ἀμέγεθες, ἐν μεγέθει δὲ τὸ εἶναι ἔχον, ὡς αἱ ποιότητες (ἀμεγέθεις γὰρ οὖσαι ἐν μεγέθεσίν εἰσι), μᾶλλον ἐπιστήσεται θεωρῶν αὐτὸ χωρὶς τοῦ ἐν ᾧ ἐστι 20
μεγέθους· εἰ δὲ καὶ ἐν κινήσει ὂν ὡς ἀκίνητον αὐτὸ θεωροίη, μᾶλλον ἐπιστήσεται αὐτὸ χωρὶς τῆς κινήσεως ἐνορῶν· ἁπλούστερον γὰρ τὸ μὴ κινούμενον τοῦ κινουμένου, ὥσπερ καὶ τὸ ἀχρωμάτιστον τοῦ κεχρωσμένου. ἀλλὰ κἂν μὴ περὶ κινουμένου τὴν ζήτησιν ποιῆται, ἀλλὰ περὶ αὐτῆς τῆς κινήσεως, μᾶλλον ἐπιστήσεται τοὺς λόγους περὶ τῆς ἁπλουστέρας ποιούμενος· 25

4 ἐνυπαρχόντων A: ὑπαρχόντων L 8 τοῦ ἄρρενος LM²: τοῦ om. A 10 τῶν σπερματικῶν λόγων Syr. 16 τοῦτο L: τούτων A 21 μὴ κινούμενον] μήκη μόνον Metaph. vulg. 21 λέξει τὸ coni. Bonitz 26 τῶν (ante τῷ) et προτέρων M¹: del. M²: om. AL 28 τὸ δέ M: τὸ καὶ L: om. A 29 τι Brandis: τί AL Bonitz 35 μὴ L: om. A

αὕτη δέ ἐστιν ἡ ὁμαλής. ὁμοίως δέ, φησί, καὶ περὶ ἁρμονικῆς καὶ ὀπτικῆς· οὔτε γὰρ ἡ ὀπτικὴ τὴν ὄψιν ἢ ὄψις καὶ ὅλως τὸ τῆς ὄψεως εἶδος ἐπισκέπτεται, οὔτε ὁ ἁρμονικὸς τὸ εἶδος τῆς φωνῆς, ἀλλ' ὁ ὀπτικὸς περὶ ἀκτίνων καὶ οἱονεὶ περὶ γραμμῶν τὸν λόγον ποιεῖται καὶ περὶ γωνιῶν, οἷον ὅτι τὰ ὑπὸ μειζόνων γωνιῶν ὁρώμενα ἢ ὑπὸ πλειόνων ἀκτίνων ἢ γραμμῶν μείζονα ὁρᾶται· τίς δὲ ἡ φύσις τῶν τοιούτων ἀκτίνων ἢ γραμμῶν καὶ τί τὸ εἶδος αὐτῶν, οὐ προσθεωρεῖ· καὶ ὁ ἁρμονικὸς δὲ περὶ τῶν πρός τι ἀριθμῶν· ἅπερ, | αἱ ἀκτῖνές τε καὶ οἱ πρός τι ἀριθμοί, καθ' αὑ- 715 τό εἰσι πάθη αἱ μὲν τῶν ὄψεων, οἱ δὲ τοιοῦτοι ἀριθμοὶ τῶν φωνῶν. παραπλησίως δὲ ταύταις καὶ ἡ μηχανικὴ ποιεῖ. ὥστε καὶ ἡ γεωμετρία καὶ πᾶσαι αἱ μαθηματικαὶ τὰ πάθη ὁρῶσι καὶ τὰ συμβεβηκότα καθ' αὑτά, τῶν δὲ ἄλλων ἀποστρέφονται. ὥστε, φησίν, εἰ καὶ μή εἰσι τὰ μεγέθη καὶ τὰ σώματα χωριστὰ τῶν παθητικῶν ποιοτήτων, χωρίσει δέ τις αὐτὰ τὰ σώματα ἀλλὰ καὶ τὰ ἐπίπεδα καὶ τὰς γραμμὰς τῶν τοιούτων παθῶν τῷ λόγῳ, καὶ ἐπιβλέπει τίνα τούτοις ὑπάρχει ᾗ τοιαῦτά ἐστι, τουτέστιν ᾗ χωριστὰ καὶ πάντῃ ἐστερημένα θερμοτήτων καὶ βαρυτήτων καὶ τῶν ὁμοίων, οὐδὲν ἂν ψεύδοιτο, ἐπεὶ οὐδ' ὁ ἐν τῷ ἐδαφίῳ τὴν μὴ ποδιαίαν ὡς ποδιαίαν γράφων ψεύδεται· οὐ γὰρ ἐν τῇ προτάσει τὸ ψεῦδος, ἀλλ' ἐν τῇ καταγραφῇ. εἰ γὰρ καὶ μή ἐστιν ἐν τῇ γῇ ἢ ὅλως ἐν τῷ ἐδαφίῳ γεγραμμένη γραμμὴ ποδιαία, ἀλλ' ἐν τῇ προτάσει ὡς ποδιαίαν καὶ λαμβάνει καὶ νοεῖ.

p. 1078a21 Ἄριστα δ' ἂν οὕτω θεωρηθείη ἕκαστον, εἴ τις τὸ μὴ κεχωρισμένον θείη χωρίσας.

Ἔνστασιν ἐνταῦθα κομιζομένην πρὸς τὴν ἑαυτοῦ δόξαν διαλύει. ἡ δὲ ἔνστασις τοιαύτη. εἰ γάρ, φασί, μὴ συγχωρεῖς εἶναι χωριστοὺς ἀριθμοὺς μηδὲ σχήματα, περὶ μὴ ὄντων οἱ μαθηματικοὶ διαλέγονται· οὔτε γὰρ περὶ τῶν ἐν τοῖς σώμασι τοῖς αἰσθητοῖς διαλέξονται (ἔνυλα γὰρ τὰ τοιαῦτα, οἱ δὲ μαθηματικοὶ περὶ ἄυλα ἀναστρέφονται) οὔτε περὶ χωριστῶν, ἐπεὶ μηδ' ὅλως δίδως εἶναι χωριστά. λύων οὖν ταύτην τὴν ἔνστασιν λέγει ὅτι περὶ μὴ ὄντων μὲν ἐνεργείᾳ δυνάμει δὲ ὄντων τὴν θεωρίαν ποιοῦνται. ἄριστα οὖν, φησί, τοῦτο θεωρηθείη, ἤτοι τὸ περὶ ὄντων μὲν δυνάμει, ἐνεργείᾳ δὲ μὴ ὄντων τὴν σκέψιν ποιεῖσθαι τόν τε γεωμέτρην καὶ τὸν ἀριθμητικόν, εἴ τις τὰ μὴ κεχωρισμένα μηδὲ ἐνεργείᾳ ὄντα καθ' αὑτὰ χωρίσει τῇ ἐπινοίᾳ· ὄψεται γὰρ ὅτι πρότερον μὴ ὄν τι ὕστερον γέγονεν· ἀχώριστα γὰρ ὄντα πρότερον τῶν ποιοτήτων ὕστερον ἐχωρίσθη τῇ ἐπινοίᾳ, ὥστε δυνάμει εἰσὶ χωρὶς παθῶν· δύνανται γὰρ τούτων χωρισθῆναι τῇ ἐπινοίᾳ. πῶς δὲ δυνάμει εἰσὶ ταῦτα καὶ οὐκ ἐνεργείᾳ διδάσκων τῷ ἀνθρώπῳ χρῆται παραδείγματι καί φησιν ὅτι ἓν μὲν ὁ ἄνθρωπος καὶ ἀδιαίρετος καθὸ ἄνθρωπος

2 ᾗ ὄψις L: om. A 13 χωρίσει M: χωρίσοι AL 16 θερμοτήτων καὶ β. L: καὶ om. A 17 ψεύδοιτο M: ψεύδηται AL 19 καὶ L: om. A 32 τὸν (post καὶ) M: om. AL 37 οὐκ L Syr.: om. A 38 ὅτι e Syriano addidi

ἐνεργείᾳ, τουτέστιν ἓν τῷ ὑποκειμένῳ· ὁ δ' ἔθετο ἓν ἀδιαίρετον, τουτέστιν ὁ δὲ ἀριθμητικὸς προσελθὼν αὐτῷ ἔθετο καὶ ἔλαβε τὸ ἐν αὐτῷ ἓν ἀδιαίρετον, ἤτοι τὸ μοναδικὸν αὐτοῦ καὶ τὸ ἄτομον, καὶ θεωρεῖ τί τούτῳ ᾗ ἀδιαίρετος συμβαίνει. ὁ δὲ γεωμέτρης τὸ στερεὸν αὐτοῦ καὶ τὸ πάντῃ 30
5 διαστατὸν ἐπισκέπτεται· οὐ γὰρ ᾗ ἄνθρωπον αὐτὸν θεωρεῖ οὐδ' ᾗ ἀδιαίρετον, ἀλλ' ᾗ στερεὸν καὶ πάντῃ διαστατόν. ὑπάρχει γὰρ τῷ ἀνθρώπῳ οὐ μόνον τὸ μοναδικὸν καὶ ἄτομον, ἀλλὰ καὶ τὸ πάντῃ διαστατόν. οὐ προσποιεῖται οὖν αὐτοῦ ὁ γεω|μέτρης τὸ ἀδιαίρετον, ἀλλὰ ταῦτα ἃ ὑπάρ- 716
χει αὐτῷ μετὰ τοῦ ἀδιαιρέτου, δυνάμενα δὲ ὑπάρχειν κἂν εἰ μὴ ἦν ἀδι-
10 αίρετος. καὶ γὰρ ἀδιαιρέτῳ ὄντι ὑπάρχει αὐτῷ τὸ τριχῇ διαστατόν, τὸ ἐπ' ἄπειρον διαιρετὸν καὶ ὅσα ὅλως περὶ τῶν στερεῶν ὁ γεωμέτρης τε λέγει καὶ δείκνυσιν, [ἃ] κἂν εἰ μὴ ἦν ἀδιαίρετος ὑπῆρξεν αὐτῷ ταῦτα, 5
δυνάμενα αὐτῷ καὶ ἀδιαιρέτῳ ὄντι ὑπάρχειν. τούτου γάρ ἐστι δηλωτικὸν τὸ κἂν εἰ μή που ἦν ἀδιαίρετος ὑπῆρχεν αὐτῷ, δηλονότι καὶ ἄνευ
15 τούτου, ἤτοι τοῦ ἀδιαιρέτου, ἐνδέχεται ὑπάρχειν αὐτῷ τὸ δυνατόν, ἤτοι τὸ τριχῇ διαστατόν, τὸ ἐπ' ἄπειρον διαιρετόν· ὥστε ὀρθῶς ὁ γεωμέτρης περὶ τούτων διαλέγεται ὡς περὶ ὄντων· ὄντα γάρ εἰσιν, οὐχ ὡς ἔνυλα δέ, ἀλλ' ὡς ἄυλα καὶ εἴδη. 10

p. 1078a31 Ἐπεὶ δὲ τὸ ἀγαθὸν καὶ τὸ καλὸν ἕτερον· τὸ μὲν γὰρ
20 ἀεὶ ἐν πράξει, τὸ δὲ καλὸν καὶ ἐν τοῖς ἀκινήτοις.

Ἐν τούτοις ἀποτείνεται πρὸς Ἀρίστιππον καὶ εἴ τις ἄλλος ἀπεσκοράκιζε τὰ μαθήματα. εἰ γὰρ πᾶν, φησὶν ὁ Ἀρίστιππος, ὃν ἀγαθοῦ ἢ καλοῦ ἕνεκεν ἐργάζεται, τὰ δὲ μαθηματικὰ οὔτε καλοῦ οὔτε ἀγαθοῦ στοχάζεται, τὰ μαθηματικὰ ἄρα οὐκ εἰσιν. καί φησι τοῦ χρησίμου μὲν οὖν καὶ συμ- 15
25 φέροντος τοῦ ἐν τοῖς πρακτοῖς (τοῦτο γὰρ νῦν ἀγαθὸν καλεῖ) μὴ μετεῖναι τοῖς μαθήμασιν, ἐπεὶ μηδὲ τὴν ἀρχὴν πολιτική τις ἕξις ἦν ἡ μαθηματική· περὶ γὰρ τὴν πολιτικὴν ἕξιν τὸ ὡς πρακτὸν καὶ ὡς συμφέρον ἀγαθόν ἐστιν· τοῦ μέντοι καλοῦ μάλιστα ἔχεται ἡ μαθηματική, περὶ τὰ σύμμετρα καὶ εὔτακτα καὶ ὡρισμένα διατρίβουσα. κἂν γὰρ μὴ ὀνόματα τῶν μαθηματι-
30 κῶν ἐν τοῖς συμπεράσμασι λαμβάνουσιν (οὐ γὰρ λέγουσιν ὅτι παντὸς ἄρα 20
τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ὅτι τοῦτο καλόν), ἀλλ' οὖν δήλη ἐστὶν αὐτῶν πᾶσα ἡ πραγματεία συμμετριῶν καὶ ὁμοιοτήτων καὶ ἀναλογιῶν καὶ τάξεων στοχαζομένη. ἀλλὰ καὶ ἐπ' ἄλλων πολλῶν αἴτια φαίνεται ἡ τάξις καὶ τὸ ὡρισμένον· πολλὰ γὰρ ἐν τῇ φύσει τέλος ποιεῖται

---

8 αὐτοῦ Syr.: αὐτῷ AL ὁ L Syr.: om. A 9 δυνάμενα M: δυναμένου AL
12 ἃ κἂν M¹: καὶ ἂν ALM²: ἃ del. Bonitz 13 τούτου M: τούτων AL 20 καὶ om. A, sed cf. p. 740,2. 3 23 ἕνεκεν M: om. AL 24 καί φησι M¹ Syr.: expunxit M²: τοῦ AL οὖν deest Syriano 25 καλεῖ L Syr.: καλεῖν A 26 ἦν M¹ Syr.: ἢ A: ἐστὶν LM² 28 ἔχεσθαι τοὺς μαθηματικοὺς et 29 διατρίβοντας Syr.
29 κἂν — λαμβάνουσιν (30) M eademque A praeterquam quod ὀνόματα τὸ μαθηματικὸν habet (ὁρόμενα τὸ μαθηματικὸν L): κἂν γὰρ μὴ ὀνομάζωσι τὸ καλὸν ἐν τοῖς συμπεράσμασιν recte Syr.

τὸ καλὸν καὶ τὸ εὔτακτον καὶ τὸ ὡρισμένον. ἐν δὲ τῇ λέξει τῇ τὸ δὲ καλὸν καὶ ἐν τοῖς ἀκινήτοις ἀκίνητά φησι τὰ μαθηματικά. τὸ καλὸν οὖν φησι καὶ ἐν τοῖς πρακτοῖς, ἔστι δὲ καὶ ἐν τοῖς ἀκινήτοις ἤτοι τοῖς μαθήμασι. τὸ δὲ εἰ γὰρ καὶ μὴ ὀνομάζουσι, τὰ δ' ἔργα καὶ τοὺς λόγους δεικνύουσι ἀντὶ τοῦ εἰ μὴ λέγουσιν ἐν τοῖς συμπεράσμασι τὸ καλόν, δεικνύουσι δὲ τοῦ καλοῦ ἔργα (ἔργον γὰρ καλοῦ τὸ | σύμμετρον 717
καὶ τὰ ὅμοια). οὐ διὰ τοῦτο δὴ ὑποληπτέον ὡς οὐ λέγουσι περὶ τοῦ καλοῦ. καὶ συμπεραίνεται λέγων περὶ μὲν οὖν τῶν μαθηματικῶν, ὅτι τε ὄντα ἐστὶ καὶ πῶς ὄντα, ὅτι δυνάμει καὶ ἐξ ἀφαιρέσεως, καὶ πῶς πρότερα, ὅτι τῷ λόγῳ, τοσαῦτα εἰρήσθω.

p. 1078b9 Περὶ δὲ τῶν ἰδεῶν πρῶτον αὐτὴν τὴν κατὰ τὴν ἰδέαν δόξαν ἐπισκεπτέον.

Δείξας ὅτι τὰ μαθήματα ἐνεργείᾳ μὲν καὶ καθ' αὑτὰ οὔκ εἰσι, δυνάμει δὲ καὶ ἐξ ἀφαιρέσεως, νῦν ἐξετάζει τὰ περὶ τῶν ἰδεῶν. καὶ ἐπεὶ ὁ Πλάτων ἀριθμοὺς εἰδητικοὺς ἐκάλει τὰς ἰδέας ἑπόμενος τοῖς Πυθαγορείοις, πρότερον, φησίν, ὡς ἰδέας αὐτὰς ἐξετάσωμεν μὴ συνάπτοντες μηδὲ μεμνημένοι μηδ' ὅλως ἀναλογιζόμενοι εἴτε εἰσὶν ἀριθμοὶ τὰ εἴδη εἴτε καὶ μή, ἀλλ' εἰς αὐτὴν τὴν ἔννοιαν ἀνελθόντες καθ' ἣν ἰδέας εἶναι ὑπέλαβεν, ἐπισκεπτέον εἰ δυνατὸν εἶναι ἰδέας. ζητήσει γὰρ μετὰ ταῦτα εἰ καὶ ἀριθμοὶ εἶναι εἰδητικοὶ δύνανται. τοῦτο θεὶς εὐθὺς λέγει τὴν αἰτίαν ἐξ ἧς εἴδη εἶναι λέγειν ὡρμήθησαν. ἔχοντες γὰρ ὁμολογούμενον ὡς εἰσιν ἐπιστῆμαι καὶ φρόνησις, πεισθέντες δὲ καὶ τοῖς Ἡρακλειτείοις λόγοις ὡς ἀληθέσι τοῖς λέγουσιν ὅτι πάντα τὰ αἰσθητὰ ἐν συνεχεῖ ἐστι ῥύσει καὶ οὐδὲν οὐδέποτε αὐτῶν ἐν ταυτότητί ἐστιν, ἐταράχθησαν καὶ ἠπόρουν τίνων ἔσονται αἱ ἐπιστῆμαι. τῶν γὰρ αἰσθητῶν ἀδύνατον· ῥεῖ γὰρ καὶ καθ' ὁμωνυμίαν μέν εἰσιν ὄντα, κυρίως δὲ μὴ ὄντα, αἱ δὲ ἐπιστῆμαι τῶν κυρίως ὄντων καὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων εἰσί. λείπεται δὴ εἶναι ἄλλας τινὰς ἑτέρας παρὰ τὰ αἰσθητὰ φύσεις, αἵτινες καὶ μένουσαί εἰσι καὶ ἀεὶ ὡσαύτως ἔχουσαι, ὧν ἔσονται αἱ ἐπιστῆμαι· ταύτας δὲ ἐκάλουν ἰδέας. ἀλλ' οὗτοι μὲν τὰς ἰδέας διὰ ταύτην εἶναι τὴν αἰτίαν λέγουσιν, ὁ δὲ Σωκράτης ἰδέας μὲν εἶναι οὐκ ἔλεγε, περὶ μόνας δὲ τὰς ἠθικὰς ἀρετὰς διατρίβει. καὶ οὗτος πρῶτος ἐζήτησεν ὁρισμοὺς λαμβάνειν τῶν καθόλου, οἷον τῆς καθόλου σωφροσύνης, τῆς καθόλου δικαιοσύνης καὶ τῶν ἄλλων ἁπασῶν. εἰπὼν δὲ ὅτι πρῶτος ὁ Σωκράτης ὁρισμοὺς τῶν καθόλου λαμβάνειν ἐζήτησεν, ἐπειδὴ πρὸ τοῦ Σωκράτους Δημόκριτος καὶ πρὸ τοῦ Δημοκρίτου οἱ Πυθαγόρειοι, ὁ μὲν τὸ θερμὸν καὶ τὸ ψυχρόν, οἱ δὲ Πυθαγόρειοι τὸν καιρὸν καὶ τὸ δίκαιον καὶ τὸν γάμον ὡρίζοντο καὶ τὰ τοιαῦτα, ἐπήγαγε τῶν μὲν φυσικῶν ἐπὶ μικρὸν Δημόκριτος ἥψατο μόνον, δυνάμει λέγων

---

2 τὰ μαθήματα L 2. 3 τὸ καλὸν φησὶν ἐστὶν καὶ L 18 ἀνελθόντες e Syriano Bonitz: ἐλθόντες libri 27 δὴ M: δὲ AL 31 εἶναι οὐκ $M^2$: οὐκ om. AL: εἶναι om. $M^1$

ὅτι ὁ μὲν Σωκράτης τὰς ἀρετὰς ὁρίζεσθαι ἐζήτει τῶν φυσικῶν μηδένα λόγον ποιούμενος, Δημόκριτος δὲ ἥψατο μὲν τῶν φυσικῶν, ἀλλ' ὡρίσατο τὸ θερμὸν καὶ τὸ ψυχρόν πως, τουτέστι μαλακῶς καὶ ὡς ἔτυχε. καὶ πρὸ τούτου, ὡς εἴρηται, οἱ Πυθαγόρειοί τινων ὀλίγων ὁρισμοὺς ἀπέδωκαν, οὓς ὁρισμοὺς εἰς | τοὺς ἀριθμοὺς ἀνῆγον· δικαιοσύνη γάρ, φασίν, ἐστὶν ἀριθ- 718
μὸς ὁ διαιρῶν τὴν δεκάδα δίχα, καὶ τὰ λοιπὰ ὁμοίως. ἀλλ' οὗτοι μὲν οὕτως· ὁ δὲ Σωκράτης, φησίν, εὐλόγως ἐζήτει τὸ τί ἐστι καὶ τοὺς ὁρισμούς. ἐπειδὴ γὰρ ὁ ὁρισμὸς ἀρχὴ συλλογισμοῦ καὶ ἀποδείξεώς ἐστιν, ὡς ἐν τῇ Ἀποδεικτικῇ δείκνυται, ὁ δὲ Σωκράτης συλλογίζεσθαι ἐζήτει, εἰκότως τὸ τί ἐστι καὶ τοὺς ὁρισμοὺς ἐζήτει. ἐπειδὴ δὲ καί εἰσι συλλογισμοὶ χωρὶς ὁρισμοῦ (οἱ γὰρ διαλεκτικοὶ ἅπαντες τοιοῦτοι, τῶν δ' ἀποδεικτικῶς δεικνύντων ἐστὶ τὸ ὁρισμοὺς λαμβάνειν, ὡς οἱ γεωμέτραι καὶ οἱ λοιποί), ἐπήγαγεν ὅτι διαλεκτικὴ ἰσχὺς οὔπω τότ' ἦν, ὥστε δύνασθαι καὶ χωρὶς τοῦ τί ἐστι καὶ τοῦ ὁρισμοῦ τἀναντία περὶ τὸ αὐτὸ συλλογίζεσθαι, οἷον ὅτι ἡ ἡδονὴ ἀγαθόν ἐστι καὶ πάλιν ὅτι ἡ ἡδονὴ κακόν ἐστι, καὶ ὅτι τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη. διὰ δὴ τὸ μὴ εἶναι ἰσχὺν διαλεκτικὴς ἐζήτει πάντων ὁρισμοὺς λαμβάνειν. ὥστε, φησί, δύο ἄν τις ἀποδώσοι καὶ ἀναθήσοι τῷ Σωκράτει δικαίως, τούς τε ἐπακτικοὺς λόγους καὶ τὸ ὁρίζεσθαι τὰ καθόλου· ἀρχὴ γὰρ συλλογισμοῦ καὶ ἡ ἐπαγωγὴ καὶ ὁ ὁρισμός. ἀλλ' ὁ μὲν Σωκράτης τὰ καθόλου, ὧν καὶ τοὺς ὁρισμοὺς ἐζήτει, οὐ χωριστὰ ἐποίει τῶν αἰσθητῶν, οὐδὲ τοὺς ὁρισμοὺς χωριστῶν φύσεων εἶναι ἔλεγεν, οἱ δὲ περὶ Πλάτωνα ἐχώρισαν καὶ τὰ τοιαῦτα ἰδέας κατωνόμασαν· ὥστε συμβαίνει αὐτοῖς πάντων καὶ ὅλως ὧν οὐ βούλονται ἰδέας εἶναι. εἰ γὰρ κατ' αὐτοὺς ὅπου ἓν ἐπὶ πολλῶν καὶ καθόλου ἕτερον τῶν μερικῶν νοεῖται, τούτων εἰσὶν ἰδέαι, ἔσται καὶ τῶν πρός τι καὶ τῶν οἰκιῶν καὶ ἄλλων πολλῶν ἰδέαι, ὧν ἰδέας εἶναι οὐ βούλονται.

Ταῦτα μὲν δὴ μέχρι τῆς λέξεως ταύτης κατὰ τὴν ἐμὴν σεσαφήνισται δύναμιν· ἀπὸ δὲ τῆς λέξεως τῆς καὶ παραπλήσιον ὥσπερ ἂν εἴ τις ἀριθμῆσαι βουλόμενος ἕως τοῦ ἀλλὰ περὶ μὲν τῶν ἰδεῶν καὶ τοῦτον τὸν τρόπον καὶ διὰ λογικωτέρων καὶ ἀκριβεστέρων λόγων ἔσται πολλὰ συναγαγεῖν ὅμοια τοῖς τεθεωρημένοις τὰ αὐτά ἐστιν ἀπαραλλάκτως τοῖς ἐν τῷ μείζονι Α λεγομένοις, πλὴν τῆς λέξεως τῆς εἰ δὲ τὰ μὲν ἄλλα τοὺς κοινοὺς λόγους ἐφαρμόττειν θήσομεν ἕως τοῦ ἢ πᾶσιν ὑπάρξει τοῖς εἴδεσιν ὡς γένος· διὸ ταύτην μὲν σαφηνιοῦμεν, ἐκείνων δὲ τὴν σαφήνειαν ἐκ τῶν ἐν τῷ μείζονι Α σχολῶν θηρᾶσθαι χρή.

---

9 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 1. 2 16 δὴ L: δὲ A 17 διαλεκτικὴν coni. Bonitz 18 ἀποδώσει καὶ ἀναθήσει L 29 καὶ παραπλήσιον — τεθεωρημένοις (32) Metaph. 1078ᵇ34 — 1080ᵃ11 32 ἔσται] ἔστι Metaph. ἐν τῷ μείζονι A] 9 p. 990ᵇ3 — 991ᵇ9 33. 34 εἰ δὲ — γένος (35) Metaph. 1079ᵇ3 — 11 35 ἐνυπάρξει Metaph.

p. 1079b3 Εἰ δὲ τὰ μὲν ἄλλα τοὺς κοινοὺς λόγους ἐφαρμόττειν θήσομεν τοῖς εἴδεσιν.

Εἰπὼν ὅτι εἰ τὸ αὐτὸ εἶδος καὶ ἡ αὐτὴ φύσις ἐστὶ τῆς αὐτοδυάδος καὶ τῆς αἰσθητῆς δυάδος καὶ τοῦ αὐτοανθρώπου καὶ τοῦ αἰσθητοῦ ἀνθρώ- 30
5 που, ἔσται καὶ τρίτη δυὰς καὶ τρίτος ἄνθρωπος, εἰ δὲ μὴ τὸ αὐτό, ὁμώνυμον ἂν εἴη, λέγει ὅτι εἰ δὲ τὰ μὲν ἄλλα τὰ λεγόμενα κατὰ τῶν αἰσθητῶν κύκλων, οἷον τὸ σχῆμα, τὸ ἐπίπεδον καὶ τὰ λοιπὰ μέρη τοῦ λόγου, ἐφαρμόζειν θήσομεν καὶ τῷ αὐτοκύκλῳ (τοῦτον | γὰρ εἶπεν αὐτὸν τὸν 719
κύκλον), εἰ δὴ κατὰ τὰ μέρη τοῦ ὁρισμοῦ μηδὲν διαφέρειν τὰ αἰσθητὰ
10 καὶ τὰς ἰδέας αὐτῶν φήσομεν, τὸ δ' οὗ ἐστι προστεθήσεται, τουτέστι παράδειγμα ὂν τῶν αἰσθητῶν, ἵν' ᾖ τοῦ μὲν αἰσθητοῦ κύκλου ὁρισμὸς σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς τῶν ἐντὸς τοῦ κύκλου σημείων πᾶσαι αἱ προσπίπτουσαι ἴσαι ἀλλήλαις εἰσίν, τοῦ δὲ 5
αὐτοκύκλου σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ'
15 ἑνὸς τῶν ἐντὸς τοῦ κύκλου σημείων πᾶσαι αἱ προσπίπτουσαι ἴσαι ἀλλήλαις εἰσίν, παράδειγμα ὂν τῶν αἰσθητῶν κύκλων, καὶ πάλιν τοῦ μὲν αἰσθητοῦ ἀνθρώπου τὸ ζῷον πεζὸν δίπουν. τοῦ δὲ αὐτοανθρώπου τὸ ζῷον πεζὸν δίπουν παράδειγμα ὂν τῶν αἰσθητῶν ἀνθρώπων, — εἰ οὖν τοῦτο φήσουσι τὸ δεῖν ταῖς ἰδέαις προστεθῆναι τὸ οὗ ἐστι παράδειγμα, οἷον ἀνθρώπου ἢ
20 ἵππου ἢ οὗ ἂν εἴη, καὶ κατὰ τοῦτο μόνον διαφέρειν αὐτὰς τῶν αἰσθητῶν 10
εἴπωσι, σκοπεῖν, φησί, δεῖ μὴ κενὸν ᾖ τὸ λεγόμενον. τίνι γὰρ ἡ προσθήκη αὕτη προστεθήσεται, τῷ σχήματι, τῇ γραμμῇ, τῷ ἐπιπέδῳ, τῷ μέσῳ (λέγων μέσον τὸ σημεῖον ἀφ' οὗ πᾶσαι αἱ προσπίπτουσαι ἴσαι ἀλλήλαις εἰσίν) ἢ πᾶσι; πάντα γὰρ τὰ ἐν τῇ ἰδέᾳ κατ' αὐτοὺς οὐσίαι καὶ
25 ἰδέαι, οἷον τὸ αὐτοσχῆμα, τὸ αὐτοεπίπεδον· ὁμοίως καὶ τὸ ἐν τῷ αὐτο- 15
ανθρώπῳ ζῷον οὐσία καὶ ἰδέα, ἀλλὰ καὶ τὸ πεζόν, ἀλλὰ καὶ τὸ δίπουν· ὥστε εἰ ταῖς ἰδέαις δεῖ προσκεῖσθαι τὸ 'παράδειγμα ὂν τῶν αἰσθητῶν,' προστεθήσεται καὶ τῷ ἐν τῷ αὐτοανθρώπῳ ζῴῳ ἰδέᾳ ὄντι καὶ τῷ δίποδι· ἰδέα γὰρ καὶ αὐτό. συμβαίνει οὖν ἐρωτωμένους τί ἐστιν αὐτοάνθρωπος
30 λέγειν ὅτι ζῷον παράδειγμα ὂν τῶν αἰσθητῶν, πεζὸν παράδειγμα ὂν τῶν αἰσθητῶν, δίπουν παράδειγμα ὂν τῶν αἰσθητῶν. ἔτι, φησίν, ὥσπερ τὰ 20
ἐνυπάρχοντα τῷ αὐτοανθρώπῳ οἷον τὸ ζῷον καὶ τὰ λοιπά, ὁμοίως καὶ τῷ αὐτοκύκλῳ, τὸ σχῆμα τὸ ἐπίπεδον τὰ ὅμοια, φύσεις εἰσί τινες κατ' αὐτούς, ἀνάγκη καὶ τὸ προσκείμενον αὐτοῖς τὸ 'παράδειγμα ὂν τῶν αἰσθη-
35 τῶν' εἶναι φύσιν τινὰ καὶ οὐσίαν καθ' αὑτὴν καὶ ἰδέαν, ἵν' ὡς γένος ὑπάρχῃ πάσαις ταῖς ἰδέαις. ὡς γὰρ τὸ ζῷον πεζὸν τῷ αὐτοανθρώπῳ ὡς 25
γένος ὑπάρχει, οὕτω καὶ τὸ 'παράδειγμα ὂν τῶν αἰσθητῶν' ὡς γένος αὐτῷ τε καὶ ταῖς ἄλλαις ὑπάρξει ἰδέαις. διὰ τί γὰρ τὸ ζῷον ὑπάρχον τῷ

---

7 σχῆμα] χῦμα L 13 post προσπίπτουσαι add. εὐθεῖαι Syr. 14 σχῆμα — παράδειγμα (16) ALM²: αὐτός τε ὅλος ὁ ὁρισμὸς καὶ προσέτι τὸ παράδειγμα M¹ Brandis Bonitz 18 οὖν τοῦτο M¹: αὐ τοῦτο AM²: αὐτοῦ τὸ L 25 καὶ τὸ ἐν L: τὸ om. A 32 τὸ ζῷον M¹: del. M²: om. AL 34 προσκείμενον M: προκείμενον AL

αὐτοανθρώπῳ φύσις τις καὶ οὐσία ἐστί, τὸ δὲ 'παράδειγμα ὂν τῶν αἰσθητῶν', ὑπάρχον αὐτῷ, οὐκ ἔσται φύσις τις καὶ οὐσία; ἀλλὰ καὶ τοῦτο. λέγω δὴ τὸ φύσιν εἶναι καὶ οὐσίαν τὸ τοιοῦτον, ἀλογώτατον. | 30

p. 1080a12 Ἐπεὶ δὲ διώρισται περὶ τούτων, καλῶς ἔχει πάλιν τὰ περὶ τοὺς ἀριθμοὺς ἰδεῖν συμβαίνοντα. 720

Ἐνστὰς πρὸς τὰς ἰδέας μεταβαίνει καὶ ἐπὶ τὴν τῶν ἀριθμῶν ὑπόθεσιν τὴν τοῖς ἀριθμοῖς οὐσίαν ἀπονέμουσαν νοητήν· ἐκ διαιρέσεως δὲ αὐτὴν τίθησι καὶ καθ' ἕκαστον τῶν τῆς διαιρέσεως τμημάτων ἐνίσταται. λέγει οὖν ὅτι ἐπειδὴ τὰ περὶ τῶν ἰδεῶν διώρισται, καλῶς ἔχει λοιπὸν θεωρῆσαι καὶ τὰ συμβαίνοντα τοῖς τοὺς ἀριθμοὺς θεμένοις χωριστάς τινας φύσεις καὶ τῶν ὄντων πάντων αἰτίας πρώτας. τοῦτο εἰπὼν ἐκτίθεται τοὺς τρόπους, καθ' οὓς ἄν τις εἶναι ἀριθμοὺς χωριστοὺς ὑπονοήσειε, λέγων ἀνάγκη γὰρ εἴπερ ἔστιν αὐτοαριθμός (τούτου γάρ ἐστι δηλωτικὸν τὸ ἀνάγκη δ' εἴπερ ἔστιν ὁ ἀριθμὸς φύσις τις, καὶ μὴ ἄλλη τίς ἐστι φύσις καὶ οὐσία ὁ ἀριθμός, οἷον φέρε ξύλον ἢ ἄνθρωποι ἢ ἵπποι ἢ ἄλλο ὁτιοῦν, ἀλλ' αὐτὸ τοῦτο ἀριθμός), ὥς φασιν οἱ τοῦτο βουλόμενοι, ἤτοι εἶναι τὸν ἐχόμενον τοῦ προτέρου διαφέροντα κατ' οὐσιώδεις καὶ εἰδοποιοὺς διαφοράς, ὥσπερ ἄν τις εἴποι τὸν ἄνθρωπον τοῦ ἵππου πρότερον διὰ τὴν τοῦ λογικοῦ διαφοράν· τὸ γὰρ λογικὸν τοῦ ἀλόγου τῇ τιμιότητι καὶ τῷ ἀρίστῳ πρότερον· καὶ τοῦτο πάλιν, λέγω δὴ τὸ διαφόρους εἶναι καὶ προτέρους καὶ ὑστέρους τῷ εἴδει τοὺς ἀριθμούς, ἢ εὐθὺς ἐπὶ τῶν μονάδων ὑπάρχει, καὶ ἔστιν ἀσύμβλητος καὶ ἑτεροειδὴς ὁποιαοῦν μονὰς ὁποιαοῦν μονάδι, ἤτοι πᾶσα μονὰς πάσῃ μονάδι· ἢ οὐκ εἰσὶν ἑτεροειδεῖς αἱ μονάδες ἀλλὰ μόνον ἐφεξῆς (ὡς φαμεν ἄνωθεν κάτω ἐρχόμενοι πρώτην τὴν ἀπλανῆ σφαῖραν, ἐφεξῆς δὲ τὴν Κρονίαν καὶ ἐφεξῆς τὴν Διίον, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως), καὶ ὁμοειδεῖς πᾶσαι πάσαις, οἷόν φασι τὸν μαθηματικὸν ἀριθμόν· ἐν γὰρ τῷ μαθηματικῷ ἀριθμῷ πᾶσαι αἱ μονάδες ἀδιάφοροί εἰσιν· ἢ οὖν ἀσύμβλητοί εἰσι πᾶσαι αἱ μονάδες, ἢ συμβλῆται πᾶσαι, ἢ αἱ μὲν συμβλῆται αἱ δὲ ἀσύμβλητοι, οἷον εἰ ἔστι πρῶτον τὸ ἓν ἤτοι τὸ αὐτοέν, δευτέρα ἡ αὐτοδυάς, τρίτη ἡ αὐτοτριάς, λέγοιμεν ἂν ὅτι αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ ἤτοι τῇ αὐτοδυάδι μονάδες εἰσὶ συμβλῆται πρὸς ἑαυτὰς καὶ ὁμοειδεῖς, ὁμοίως καὶ ἐν τῇ αὐτοτριάδι (πάλιν γὰρ τὴν αὐτοτριάδα πρώτην εἴρηκε τριάδα) καὶ αὗται συμβλῆται καὶ ὁμοειδεῖς πρὸς ἑαυτάς, πρὸς δὲ τὰς ἐν τῇ αὐτοδυάδι οὔσας ἀσύμβλητοι καὶ ἀνομοειδεῖς, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, ὥσπερ καὶ οἱ τοὺς εἰδητικοὺς ἀριθμοὺς τιθέμενοι βούλονται. διό, τουτέστι καὶ διὰ τὸ τὰς εἰδητικὰς μονάδας

---

4. 5 πάλιν θεωρῆσαι τὰ omisso ἰδεῖν Metaph., cf. 9. 10 14 ὁ ἀριθμὸς L: ὁ om. A 19 τὸ γὰρ M: τοῦ γὰρ AL 22 ὑπάρχει Brandis Bonitz: ὑπάρχειν ALM 29 συμβλῆται utrobique M¹: συμβλητικαὶ ALM² 31 μονάδες Bonitz: δυάδες libri 33 συμβλῆται καὶ L: post συμβλῆται add. πρὸς ἑαυτὰς A 34 αὐτοτριάδι LM²

τὰς ἐνούσας τῇ αὐτοδυάδι ἀσυμβλήτους εἶναι καὶ ἀνομοειδεῖς κατὰ τοὺς λέγοντας πρὸς τὰς ἐν τῇ αὐτοτριάδι οὔσας μονάδας, τὰς δὲ μαθηματικὰς πάσας πάσαις συμβλητάς, | διὰ δὴ τοῦτο ὁ μὲν μαθηματικὸς ἀριθμὸς 721
ἀριθμεῖται καὶ τῇ προληφθείσῃ μονάδι προσληφθεῖσα ἑτέρα μονὰς γίνεται δυάς. ταῖς δὲ δύο ταύταις μονάσι συντεθεῖσα ἄλλη μονὰς συνίσταται ἡ τριάς, καὶ ταύταις ταῖς τρισὶ μονάσιν ἑτέρα μονὰς συναφθεῖσα ἀπογεννᾶται ἡ τετρὰς καὶ ἐπὶ τῶν λοιπῶν ἀριθμῶν ὁμοίως. ὁ δὲ εἰδητικὸς ἀριθμὸς ἀσύμβλητος ὤν, ὡς αὐτοῖς λέγεται, μετὰ τὸ αὐτοέν ἐστιν ἡ αὐτοδυάς, ὥς φασιν, οὐ προστεθέντος τῷ αὐτοενὶ ἄλλου ἑνὸς καὶ ἀποτελέσαντος τὴν αὐτοδυάδα, ἀλλ' εὐθὺς τὰ ἐν τῇ αὐτοδυάδι δύο ἕτερα, φασί, καὶ ἀνομοειδῆ τῷ πρώτῳ ἑνί (λέγων πάλιν πρῶτον ἓν τὸ αὐτοέν), καὶ γεννᾷ τὴν αὐτοδυάδα ἄνευ τοῦ πρώτου ἑνός, ὁμοίως καὶ τὴν αὐτοτριάδα ἄνευ τῆς αὐτοδυάδος· οὐ γὰρ προστεθέντος τῇ αὐτοδυάδι ἄλλου ἑνὸς γίνεσθαι λέγουσι τὴν αὐτοτριάδα, ἀλλ' εὐθὺς τὰς ἐν τῇ αὐτοτριάδι μονάδας ἄλλας καὶ ἀνομοειδεῖς εἶναι λέγούσι ταῖς ἐν τῇ αὐτοδυάδι μονάσι· παραπλήσια δὲ τούτοις καὶ ἐπὶ τῶν ἄλλων ἀποφαίνονται ἀριθμῶν. ἢ οὖν οὕτως ἄν, ὡς εἴρηται, ἔχοιεν οἱ εἰδητικοὶ ἀριθμοί, ἤ, φησίν, ἀνάγκη τινὰς μὲν τῶν ἀριθμῶν, οἷον εἰπεῖν τὸν τρία, τὸν τέσσαρα, τὸν πέντε εἶναι οἷος ὁ πρῶτος ἐλέχθη τρόπος, ἤτοι ἀσυμβλήτους (τοῦτο γὰρ ἔλεγε τὸ πρῶτον τῆς διαιρέσεως τμῆμα), τινὰς δὲ οἷον πάλιν τὸν ἑπτά, τὸν ὀκτώ, τὸν ἐννέα εἶναι οἷος ὁ μαθηματικός, ἤτοι συμβλητοὺς καὶ ὁμοειδεῖς, ἄλλους δέ, οἷον τὸν εἴκοσι, τὸν τριάκοντα, τοὺς ὁμοίους εἶναι οἷος ὁ τρίτος ἔλεγε τρόπος· οὗτος δὲ ἦν ὁ τιθεὶς τὰς μὲν ἐν τῷ εἴκοσιν ἀριθμῷ μονάδας εἶναι πρὸς ἑαυτὰς συμβλητὰς καὶ ὁμοειδεῖς, πρὸς δὲ τὰς ἐνούσας τῷ τριάκοντα ἀριθμῷ ἀσυμβλήτους καὶ ἀνομοειδεῖς· τούτου γὰρ ἦν μηνυτικὸν τὸ αἱ δὲ ἐν ἄλλῳ καὶ ἄλλῳ διάφοροι καὶ ἀσύμβλητοι. καὶ πάλιν ἢ πάντες καὶ οἱ συμβλητοὶ καὶ οἱ ἀσύμβλητοι χωριστοί εἰσι τῶν αἰσθητῶν ἢ ἀχώριστοι καὶ ἐν τοῖς αἰσθητοῖς. οὐχ οὕτω δέ, φησίν, ἐν τοῖς αἰσθητοῖς εἶναί φημι τοὺς ἀριθμοὺς ἐξ ἀφαιρέσεως καὶ τῇ ἐπινοίᾳ, ὡς πρότερον ἐπὶ τῶν μαθηματικῶν ἐσκοποῦμεν, οὐ τοῦτο δὴ ζητητέον, ἀλλ' εἰ δυνατὸν εἶναι τοὺς ἀριθμοὺς ἐν τοῖς αἰσθητοῖς ὡς στοιχεῖα, ἵνα ὡς ἐκ στοιχείων τῶν ἀριθμῶν ἡ φύσις εἴη τῶν αἰσθητῶν, ὥς φασί τινες τῶν Πυθαγορείων. ἢ δὴ οὕτως ἀναγκαῖόν ἐστι λέγειν, ἢ τινὰς μὲν αὐτῶν ὡς στοιχεῖα ὄντας τῶν αἰσθητῶν ἐνυπάρχειν τοῖς αἰσθητοῖς τινὰς δὲ μὴ ἐνυπάρχειν, ἢ πάντας ὑπάρχειν, ἢ πάντας μὴ ὑπάρχειν.

Ταῦτα εἰπὼν λέγει οἱ μὲν οὖν τρόποι καθ' οὓς ἐνδέχεται τοὺς ἀριθμοὺς εἶναι οὗτοί εἰσιν ἐξ ἀνάγκης μόνοι. καὶ οἱ ἐκ τοῦ ἑνὸς τοῦ πρώτου ὡς ἀρχῆς καὶ στοιχείου καὶ ἄλλου τινός, τῆς ἀορίστου | δη- 722
λαδὴ δυάδος, τοὺς ἑκασταχοῦ γεννῶντες ἀριθμοὺς τινὶ τῶν ῥηθέντων τρόπων κέχρηνται. οἱ μὲν γὰρ αὐτῶν περὶ τῶν ἀχωρίστων μόνων τὸν πολὺν

4 προληφθείσῃ Bonitz: προσληφθείσῃ libri 18 οἷος L: οἷον A 20 πάλιν Bonitz: πάλαι libri 22 οἷος AL: οἷον M: οἵους coni. Bonitz 25 ἀνομοειδεῖς LM: ὁμοειδεῖς A 30 δὴ M: δὲ AL 36, 37 τοὺς ἀριθμοὺς] αὐτοὺς Metaph.

ποιοῦνται λόγον καὶ πάντας ἀχωρίστους εἶναί φασιν, οἱ δὲ πάντας χωρίζουσιν, οἱ δὲ περὶ ἀμφοῖν λέγουσι, τοὺς μὲν αὐτῶν χωρίζοντες τοὺς δὲ οὐδαμῶς. τὸ δὲ σχεδὸν πρόσκειται διὰ τὸ εὐθὺς ὑπ' αὐτοῦ ἐπενεχθὲν τὸ πλὴν τοῦ πάσας τὰς μονάδας ἀσυμβλήτους εἶναι, ὃ ἴσον ἐστὶ τῷ οὐδεὶς τῶν περὶ ἀριθμοὺς εἰπόντων πάσας τὰς μονάδας ἀσυμβλήτους εἴρηκε. διὸ καὶ τὸ σχεδὸν δὲ καὶ οἱ λέγοντες τὸ ἓν ἀρχὴν καὶ τὰ ἑξῆς ἴσον ἐστὶ τῷ καὶ ἕκαστος τῶν λεγόντων τὸ ἓν καὶ τὴν ἀόριστον δυάδα ἀρχὴν τινὶ τῶν εἰρημένων τρόπων χρῆται πλὴν ἑνὸς τρόπου τοῦ πάσας τὰς μονάδας ἀσυμβλήτους λέγοντος· τούτῳ γὰρ τῷ τρόπῳ οὐδεὶς ἐχρήσατο. καὶ ἔστι τὸ πλὴν ἐφερμηνευτικὸν τοῦ σχεδόν. τὸ δὲ καὶ τοῦτο συμβέβηκεν εὐλόγως· οὐ γὰρ ἐνδέχεται ἔτι ἄλλον τρόπον εἶναι παρὰ τοὺς εἰρημένους οὕτως ἐπῆκται ὡς εἰ ἔλεγεν 'εἰ γὰρ μὴ τελείαν τὴν διαίρεσιν ἐποιησάμην, εἰκός, μᾶλλον δ' ἀναγκαῖον ἦν τοὺς εἰπόντας περὶ ἀριθμῶν μή τινι τῶν ῥηθέντων χρήσασθαι τρόπων· ἐπειδὴ δὲ τελείαν καὶ ἀπαράλειπτον αὐτὴν τέθεικα καὶ οὐδένα ἐνδέχεται ἄλλον ἐπινοῆσαι παρὰ τοὺς ῥηθέντας τρόπον, εὐλόγως τοῦτο συμβέβηκε, λέγω δὴ τὸ κατά τινα τῶν εἰρημένων τρόπων αὐτοὺς περὶ τῶν ἀριθμῶν ἀποφήνασθαι.'

p. 1080b11 Οἱ μὲν οὖν ἀμφοτέρους φασὶν εἶναι τοὺς ἀριθμούς, τὸν μὲν ἔχοντα τὸ πρότερον καὶ τὸ ὕστερον τὰς ἰδέας.

Θεὶς τοὺς τρόπους καθ' οὓς ἐνεδέχετο τοὺς ἀριθμοὺς εἶναι νῦν ἐκτίθεται τῶν περὶ ἀριθμῶν εἰπόντων τίνες τίνι τῶν εἰρημένων τρόπων ἐχρήσαντο, καί φησιν ὅτι οἱ μὲν γὰρ αὐτῶν, ὥσπερ ὁ Πλάτων, ἀμφοτέρους φασὶν εἶναι τοὺς ἀριθμοὺς καὶ τὸν εἰδητικὸν καὶ τὸν μαθηματικόν. τὸν μὲν γὰρ ἔχοντα τὸ πρότερον καὶ ὕστερον ἔλεγεν εἶναι τὰς ἰδέας καὶ τὸν εἰδητικὸν ἀριθμόν, τὸν δὲ μὴ τὸ πρότερον καὶ ὕστερον ἔχοντα μηδὲ κατ' εἶδος διαφέροντα τὸν μαθηματικὸν εἶναι ἐτίθετο, πρεσβύτερον μὲν αὐτὸν λέγων τοῦ φυσικοῦ καὶ δι' οὗ ἀριθμοῦμεν ἀριθμοῦ, καταδεέστερον δὲ τοῦ εἰδητικοῦ. καὶ χωριστοὺς ἀμφοτέρους καὶ τὸν εἰδητικὸν καὶ τὸν μαθηματικὸν τῶν αἰσθητῶν εἶναι βούλεται. διὰ μὲν οὖν τοῦ οἱ μὲν οὖν ἀμφοτέρους εἶναι τοὺς ἀριθμοὺς ᾐνίξατο τὸν Πλάτωνα, διὰ δὲ τοῦ οἱ δὲ τὸν μαθηματικὸν μόνον ἀριθμὸν εἶναι τὸν πρῶτον τῶν ὄντων τοὺς περὶ Ξενοκράτην· οὗτοι γὰρ καὶ χωρίζουσι τὸν μαθηματικὸν τῶν αἰσθητῶν καὶ μόνον αὐτὸν εἶναί φασι καὶ πρῶτον πάντων, τοῦ εἰδητικοῦ κατορχούμενοι. καὶ οἱ περὶ Ξενοκράτην οὖν ἕνα μόνον ἀριθμὸν νομίζουσι καὶ οἱ Πυθαγόρειοι· διὸ καὶ ὑποστικτέον εἰς τὸ ἕνα, εἶτα ἐπακτέον τὸ τὸν μαθηματικόν, ἵν' ᾖ τὸ τῆς λέξεως τοιοῦτον· καὶ οἱ Πυθαγόρειοι δὲ ἕνα ἀριθμὸν εἶναι νομίζουσι· καὶ τίνα τοῦτον; 723 τὸν μαθηματικόν, πλὴν οὐ κεχωρισμένον τῶν αἰσθητῶν, ὡς οἱ περὶ

6 καὶ τὸ M¹: τὸ καὶ ALM² 15 οὐδένα M: οὐδέν AL 17 τρόπων L: τρόπον A
24 γὰρ M: om. AL 31 οἱ δὲ M: οἱ μὲν AL 36 μαθηματικόν Bonitz: ἀριθμόν libri

Ξενοκράτην, οὐδὲ μοναδικόν, τουτέστιν ἀμερῆ καὶ ἀσώματον (μοναδικὸν γὰρ τὸ ἀμερὲς καὶ ἀσώματον ἐνταῦθα δηλοῖ), ἀλλὰ τὰς μονάδας καὶ δηλονότι καὶ τοὺς ἀριθμοὺς ὑπολαμβάνοντες οἱ Πυθαγόρειοι μέγεθος ἔχειν ἐκ τούτων τὰς αἰσθητὰς οὐσίας καὶ τὸν ἅπαντα οὐρανὸν εἶναι λέγουσιν. ἔχειν δὲ τὰς μονάδας μέγεθος κατεσκεύαζον οἱ Πυθαγόρειοι διὰ τοιούτου τινὸς λόγου. ἔλεγον οὖν ὅτι ἐπειδὴ ἐκ τοῦ πρώτου ἑνὸς αὗται συνέστησαν, τὸ δὲ πρῶτον ἓν μέγεθος ἔχει, ἀνάγκη καὶ αὐτὰς μεμεγεθυσμένας εἶναι· τὸ γὰρ ἐκ μεμεγεθυσμένου γεγονὸς καὶ αὐτὸ μέγεθος ἔχειν ἐπάναγκες. ἐρωτώμενοι δὲ καὶ τί τὸ συστῆσαν τὸ πρῶτον ἓν καὶ διὰ τί, καὶ πῶς τὸ μέγεθος ἔσχε καὶ πῶς ἐξ αὐτοῦ αἱ μονάδες γεννῶνται, οὐδὲν ἔλεγον σπουδαῖον. ἄλλος δὲ πάλιν, φησί, Πυθαγόρειος τὸν μαθηματικὸν ἀριθμὸν οὐ προσίετο, ἀλλ' ἕνα καὶ πρῶτον ἀριθμὸν τὸν τῶν εἰδῶν εἶναι ἔλεγεν. ἔνιοι δὲ καὶ τὸν μαθηματικὸν τὸν αὐτὸν τοῦτον, τουτέστι τινὲς δὲ τῶν Πυθαγορείων τὸν μὲν συνεγνωσμένον μαθηματικὸν ἀνῄρουν, ἕνα δὲ ποιοῦντες ἀριθμόν, τὸν εἰδητικόν, τὸν αὐτὸν τοῦτον ἐκάλουν καὶ μαθηματικόν.

p. 1080b23 Ὁμοίως δὴ καὶ περὶ τὰ μήκη καὶ τὰ ἐπίπεδα καὶ περὶ τὰ στερεά· οἱ μὲν γὰρ ἕτερα τὰ μαθηματικὰ καὶ τὰ μετὰ τὰς ἰδέας.

Καὶ περὶ τῶν ἐπιπέδων, φησί, καὶ τῶν στερεῶν ὁμοίως τοῖς ἀριθμοῖς ἀπεφήναντο. οἱ μὲν γὰρ αὐτῶν ἕτερα λέγουσι τὰ μαθηματικὰ ἐπίπεδα καὶ τὰ στερεὰ καὶ ἕτερα τὰ εἰδητικά· ἄλλο γὰρ ἔλεγον εἶναι τὸ μαθηματικὸν ἐπίπεδον, περὶ ὃ ὁ γεωμέτρης πραγματεύεται, καὶ ἄλλο τὸ αὐτοεπίπεδον. τῶν δὲ ἄλλως λεγόντων, φησίν, ἤτοι τῶν εἰδητικοὺς ἀριθμοὺς καὶ εἰδητικὰ ἐπίπεδα καὶ στερεὰ μὴ λεγόντων· ἢ εἰπὼν τῶν δὲ ἄλλως λεγόντων ἐξηγητικὸν οἶμαι ἐπήγαγε τὸ ὅσοι μὴ ποιοῦσι τὰς ἰδέας ἀριθμούς, ὡς εἰ ἔλεγε 'τῶν δὲ ἄλλως λεγόντων, τίνας δὲ ἄλλως λέγειν φημί; τοὺς ὅσοι δηλονότι μὴ ποιοῦσι τὰς ἰδέας ἀριθμούς, μηδὲ ὅλως εἶναι εἰδητικοὺς ἀριθμοὺς νομίζοντας'· οὗτοι τὰ μαθηματικὰ στερεά τε καὶ ἐπίπεδα καὶ μαθηματικῶς λέγουσι, τουτέστι πᾶν μέγεθος εἰς μεγέθη λέγουσιν εἶναι διαιρετόν· τοῦτο δὲ ταὐτόν ἐστι τῷ μὴ συγκεῖσθαι τὴν γραμμὴν ἐκ στιγμῶν ἢ τὸ ἐπίπεδον ἐκ γραμμῶν. πᾶν οὖν μέγεθος εἰς μεγέθη εἶναι διαιρετὸν οὗτοί φασιν· καὶ ὁποιασοῦν μονάδας συντεθειμένας ποιεῖν δυάδα ἀποδέχονται. οἱ δὲ λέγουσι μὲν τὰ μαθηματικὰ ἐπίπεδα, οἱ καὶ εἰδητικοὺς ἀριθμοὺς εἶναι λέγοντες, οὐ μαθηματικῶς δέ. οὐ γὰρ τέμνεσθαι πᾶν μέγεθος εἰς μεγέθη, οὐδὲ τὰς τυχούσας μονάδας | δυάδα ποιεῖν, ἀλλά φασιν 724 ὅτι αἱ πρώτως γεγονυῖαι δύο μονάδες ὡς ἐξ ὕλης μὲν τῆς ἀορίστου δυάδος, εἴδους δὲ τοῦ ἀρχικοῦ ἑνός, τοῦ αὐτοενὸς δηλονότι, αὗται πεποιήκασι τὴν πρώτην δυάδα ἤτοι τὴν εἰδητικὴν δυάδα ἤτοι τὴν αὐτοδυάδα· αἱ δὲ

14 συνεγνωσμένον L: συνεγνωμένον A 16 καὶ περὶ τὰ ἐπίπεδα Metaph.
20 γὰρ L: om. A 31 post μεγέθη add. λέγουσιν LM² 32 δυάδα L: δυάδας A

πάλιν δευτέρως γεγονυῖαι τρεῖς μονάδες ὡς ἐξ ὅλης μὲν καὶ αὗται τῆς ἀορίστου δυάδος, εἴδους δὲ τοῦ αὐτοενὸς πεποιήκασι τὴν αὐτοτριάδα. ὁμοίως καὶ ἐπὶ τῆς αὐτοτετράδος καὶ τῶν λοιπῶν ἀποφαίνονται, καὶ οὔ φασιν ὅτι ὁμοειδεῖς εἰσιν αἱ ἐν τῇ αὐτοδυάδι μονάδες ταῖς ἐν τῇ αὐτοτριάδι καὶ αὗται ταῖς ἐν τῇ αὐτοτετράδι (ἢ γὰρ ἂν καὶ συντιθέμεναι αἱ ἐν τῇ αὐτοδυάδι ταῖς ἐν τῇ αὐτοτριάδι ἀπεγέννων ἄν τινα ἀριθμόν), ἀλλ' ἀνομοειδεῖς τὰς ἐν τῇ αὐτοδυάδι καὶ ἄλλας τῶν ἐν τῇ αὐτοτριάδι οὐσῶν ἔλεγον. ταῦτα εἰπὼν λέγει πάντες μὲν τοὺς ἀριθμοὺς μοναδικοὺς καὶ ἀμεγέθεις καὶ ἀμερεῖς εἶναι λέγουσι, πλὴν τῶν Πυθαγορείων τῶν τὸ ἓν ἀρχὴν καὶ στοιχεῖον τῶν ὄντων καὶ μέγεθος ἔχειν λεγόντων. οὗτοι γὰρ μεμεγεθυσμένας τὰς μονάδας καὶ δηλονότι καὶ τοὺς ἀριθμοὺς ἀπεφαίνοντο. ὡς πρὸ ὀλίγου εἴρηται. καὶ συμπεραίνεται λέγων ὁσαχῶς μὲν οὖν ἐνδέχεται ὑπολαβεῖν εἶναι τοὺς ἀριθμοὺς καὶ ὅτι οἱ εἰρημένοι ὑφ' ἡμῶν τρόποι ἅπαντές εἰσι, καὶ οὔτε πλείονας οὔτε ἐλάττονας αὐτοὺς εἶναι δυνατόν ἐστι. φανερὸν ἐκ τούτων. εἰσὶ δέ, φησί, πάντα τὰ περὶ τῶν ἀριθμῶν ἀδύνατα, ἀλλὰ τὰ μὲν αὐτῶν εὐφορητότερά ἐστι καὶ ἥττονα ἔχει τὰ ἀδύνατα τὰ δὲ μείζονα.

p. 1080b37. Πρῶτον μὲν οὖν σκεπτέον εἰ συμβληταὶ αἱ μονάδες ἢ ἀσύμβλητοι.

Ἐπεξέρχεται πάντα τὰ τῆς διαιρέσεως τμήματα ἐπιμελῶς καὶ δείκνυσιν ὅτι κατ' οὐδένα τρόπον δύνανται οἱ εἰδητικοὶ εἶναι ἀριθμοί, καὶ εἴπερ ἀναγκαῖόν ἐστιν. εἴ εἰσιν οἱ εἰδητικοὶ ἀριθμοί, καθ' ἕνα τῶν τῆς διαιρέσεως εἶναι αὐτοὺς τρόπων. εἰ δειχθείη ὅτι κατ' οὐδένα δύνανται εἶναι, ὅλως οὐκ εἰσι. πρῶτον δέ, φησί, τοῦτο σκεπτέον, πότερον συμβληταί εἰσι πᾶσαι αἱ μονάδες ἢ ἀσύμβλητοι, καὶ εἰ ἀσύμβλητοι, κατὰ ποῖον τῶν ῥηθέντων τρόπων. ἐλέγετο γὰρ ἀνωτέρω πότερον πᾶσαι αἱ μονάδες ἀσύμβλητοί εἰσιν, ἢ αἱ ἐν τῇ δυάδι μονάδες πρὸς ἑαυτὰς μέν εἰσι συμβληταὶ πρὸς δὲ τὰς ἐν τῇ τριάδι ἀσύμβλητοι. ὁμοίως καὶ αἱ ἐν τῇ τριάδι πρὸς ἑαυτὰς μὲν συμβληταὶ πρὸς δὲ τὰς ἐν τῇ δυάδι ἀσύμβλητοι. τούτου γάρ ἐστι δηλωτικὸν καὶ νῦν τὸ ἔστι μὲν γὰρ ὁποιανοῦν εἶναι ὁποιαοῦν μονάδι ἀσύμβλητον, ἔστι δὲ τὰς ἐν αὐτῇ τῇ δυάδι πρὸς τὰς ἐν αὐτῇ τῇ τριάδι. λέγοι δ' ἂν αὐτὴν τὴν δυάδα καὶ αὐτὴν τὴν τριάδα τὴν αὐτοδυάδα καὶ αὐτοτριάδα. ἔστι μὲν γάρ, φησίν, τουτέστι δυνατὸν γὰρ λέγειν ὁποιανοῦν μονάδα ἤτοι πᾶσαν μονάδα πρὸς πᾶσαν μονάδα ἀσύμβλητον, δυνατὸν δὲ μὴ πᾶσαν πρὸς πᾶσαν λέγειν, ἀλλὰ τὰς ἐν τῇ αὐτοδυάδι πρὸς τὰς ἐν τῇ αὐτοτριάδι καὶ οὕτω πάσας τὰς ἐν ἑκάστῳ

---

9 ἀμερεῖς M¹: ἀμετρεῖς AM²: μετρεῖς L 11 ἀριθμοὺς ἀπεφαίνοντο A: post ἀριθμοὺς add. εἶναι L 12 μὲν LM²: om. A 13 καὶ ὅτι A: post καὶ add. τοὺς LM² 14 αὐτοὺς A: καὶ αὐτοὺς L 16 εὐφορητότερα M: εὐφωρατότερα A: εὐφορατώτερα L ἐστι M: εἰσὶ AL 27 αἱ M: om. AL 29 πρὸς δὲ — ἀσύμβλητοι M¹: om. AL ind. M² 36. p. 748,1 ἑκάστῳ εἰδητικῷ Bonitz: post ἑκάστῳ add. καὶ ALM

εἰδητικῷ ἀριθμῷ πρὸς ἀλλήλας ἀσυμβλήτους. περὶ δὴ τούτων πάλιν ἡμᾶς ὑπομνήσας λέγει εἰ μὲν γὰρ πᾶσαι αἱ μονάδες συμβληταί εἰσι καὶ ὁμοειδεῖς καὶ ἀδιάφοροι, ὁ μαθηματικὸς γίνεται ἀριθμὸς καὶ εἷς μόνος αὐτός, καὶ τοὺς εἰδητικοὺς εἶναι ἀριθμοὺς οὐκ ἐνδέχεται. τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ καὶ τὰς ἰδέας οὐκ ἐνδέχεται εἶναι τοὺς ἀριθμούς. ποῖος γὰρ ἔσται ἀριθμὸς ὁ αὐτοάνθρωπος ἢ τὸ αὐτοζῷον ἢ ὁ αὐτοῖππος ἢ ἄλλο ὁτιοῦν τῶν εἰδῶν; ἑκάστου μὲν γὰρ κατὰ τοὺς τιθεμένους τὰς ἰδέας ἡ ἰδέα μία· εἷς γὰρ ὁ αὐτοάνθρωπος καὶ ἓν τὸ αὐτοζῷον· εἰ δὲ ἀδιαφόρων οὐσῶν τῶν μονάδων εἶναί τις λέγοι τὸν αὐτοάνθρωπον τὴν τριάδα, ἐπειδὴ ἐν τῇ ἐννεάδι πρώτη καὶ μέση καὶ τελευταία ἐστὶ τριάς, ἔσονται τρεῖς αὐτοάνθρωποι. διὰ τί γάρ, εἰ τύχοι, ἡ πρώτη τριὰς ἔσται αὐτοάνθρωπος καὶ οὐχ ἡ δευτέρα ἢ ἡ τελευταία; ἢ οὖν οὐδεμία τῶν τριάδων ἐστὶν ἰδέα, ἢ πᾶσαι. εἰ δὲ ἀδύνατον πάσας (οὕτω γὰρ συμβήσεται, ἐπειδὴ ἄπειροί εἰσι τριάδες, ἀπείρους εἶναι καὶ αὐτοανθρώπους), οὐδεμία αὐτῶν ἐστιν ἰδέα. οὐκ ἄρα μοναδικὸς ἀριθμὸς ἡ ἰδέα, εἴπερ ἀδιάφοροί εἰσιν αἱ μονάδες. ἀλλὰ μὴν εἰ μή εἰσιν αἱ ἰδέαι ἀριθμοί, ἀδύνατον αὐτὰς εἶναι. καὶ κατασκευάζει τοῦτο, λέγω δὴ τὸ μὴ οἷόν τε ἰδέας εἶναι, εἰ μὴ καὶ ἀριθμοί εἰσι, διὰ τοῦ ἐκ τίνων γὰρ ἔσονται ἀρχῶν αἱ ἰδέαι; ὃ ἴσον ἐστὶ τῷ ἀδύνατον γὰρ ἐξ ἄλλων τινῶν ἀρχῶν εἶναι τὰς ἰδέας, ἢ ἐξ ὧν οἱ ταύτας θέμενοι κατασκευάζουσι. συλλογίζεται οὖν δυνάμει οὕτως. αἱ ἰδέαι ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος παρ' αὐτοῖς ὑφίστανται· τὰ ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος ὑφιστάμενα ἀριθμοί εἰσιν· αἱ ἰδέαι ἄρα ἀριθμοί εἰσιν. αὐτὸς δὲ τὴν μείζονα πρότασιν μόνον, τὴν τὰ ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος ὑφιστάμενα ἀριθμοί εἰσι, τέθεικε διὰ τοῦ ὁ γὰρ ἀριθμός ἐστιν ἐκ τοῦ ἑνὸς καὶ τῆς δυάδος τῆς ἀορίστου, τὴν ἐλάττω παρείς. τὸ δὲ καὶ αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα λέγονται τοῦ ἀριθμοῦ εἶναι ἀντὶ τοῦ καὶ αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα τῶν ἀριθμῶν παρ' αὐτοῖς ταῦτα εἶναι λέγονται, τό τε ἓν καὶ ἡ ἀόριστος δυάς. τὸ δὲ τάξαι τε οὔτε προτέρας ἐνδέχεται τῶν ἀριθμῶν αὐτὰς οὔτε ὑστέρας εὐλόγως εἴρηται· εἰ γάρ ἐστιν οἷον φέρε ἡ αὐτοτριὰς ὁ αὐτοάνθρωπος, πῶς οἷόν τε ἢ πρότερον ἢ ὕστερον αὐτὸν λέγειν τῆς αὐτοτριάδος; εἰ δὴ οὐσῶν τῶν ἰδεῶν ἀνάγκη αὐτὰς ἀριθμοὺς εἶναι, εἰ μή εἰσιν ἀριθμοὶ αἱ ἰδέαι, ὡς δέδεικται, ὅλως οὐκ εἰσιν. |

p. 1081a17 Εἰ δὲ ἀσύμβλητοι αἱ μονάδες, καὶ οὕτως ἀσύμβλητοι 726
ὥστε ἡτισοῦν ἡτινιοῦν.

Ὑποθέμενος πρῶτον πάσας συμβλητὰς καὶ δείξας ὅτι ἀδύνατον τὰς ἰδέας ἀριθμοὺς εἶναι, ᾧ συναπεδείχθη καὶ τὸ μὴ εἶναι αὐτὰς ὅλως, νῦν

1 δὴ M¹: exp. M²: om. AL 7 γὰρ LM: om. A 11 τύχοι M: τύχῃ AL
12 ἡ (post ἢ) M: om. AL 16 ἀριθμοί M: ἀριθμὸς AL 22 αἱ ἰδέαι] τὰ ὄντα Syr. 23 τὰ] πάντα τὰ Syr. 24 ὑφιστάμενα M: ὑφισταμένην AL 25 δυάδος M: μονάδος AL 36 πρῶτον A: πρότερον L

ὑποτίθεται πάσας ἀσυμβλήτους· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ ὥστε ἡτισοῦν ἡτινιοῦν. εἰ οὖν πᾶσαι αἱ μονάδες ἀσύμβλητοί εἰσι καὶ διάφοροι, οὔτε τὸν μαθηματικὸν ἐνδέχεται εἶναι τοῦτον τὸν ἀριθμόν (ὁ γὰρ μαθηματικὸς ἐκ συμβλητῶν καὶ ἀδιαφόρων καὶ αἱ διαιρέσεις καὶ αἱ συνθέσεις καὶ οἱ πολλαπλασιασμοὶ καὶ πάντα ἁπλῶς τὰ δεικνύμενα κατὰ τοῦ μαθηματικοῦ ὡς ἐπὶ ἀδιαφόρων δείκνυται), οὔτε δὴ τὸν μαθηματικὸν εἶναι τοῦτον δυνατὸν οὔτε τὸν τῶν εἰδῶν. καὶ ὅτι μὲν ὁ μαθηματικὸς ἀριθμὸς οὐκ ἔστιν ἀσύμβλητος οὐδὲ διάφορος, πάντες φασίν. ὅτι δὲ οὐδὲ πάσας τὰς εἰδητικὰς μονάδας διαφόρους εἶναι καὶ ἀσυμβλήτους δυνατόν ἐστι, προτίθεται δεῖξαι. εἰ δὴ τοῦτό τε δειχθείη καὶ πρὸς τούτῳ ὅτι οὐδὲ αἱ ἐν τῇ δυάδι ἀσύμβλητοί εἰσι πρὸς τὰς ἐν τῇ τριάδι, ἀδύνατον ὅλως ἰδέας εἶναι. εἰ γὰρ οὐσῶν τῶν εἰδητικῶν μονάδων ἀνάγκη ἢ πάσας εἶναι συμβλητὰς ἢ πάσας εἶναι ἀσυμβλήτους ἢ τὰς ἐν τῇ δυάδι πρὸς τὰς ἐν τῇ τριάδι καὶ ταύτας πρὸς τὰς ἐν τῇ τετράδι καὶ ἐφεξῆς, κατ' οὐδένα δὲ τούτων τῶν τρόπων εἶναι δύνανται, πάντῃ πάντως μὴ ὄντα εἰσίν. εἴπερ οὖν, φησίν, ἐστὶν ὁ εἰδητικὸς ἀριθμὸς ἐξ ἀσυμβλήτων μονάδων, οὐκ ἔσται ἡ δυὰς πρώτη γεγονυῖα ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος κατ' αὐτούς, ἔπειτα ἡ τριὰς καὶ τρίτον ἡ τετρὰς καὶ ἑξῆς οἱ λοιποὶ ἀριθμοί, ἀλλ' ἅμα πᾶσαι ἔσονται. εἰ γὰρ τὸ πρότερον καὶ τὸ δεύτερον κατ' οὐσιώδη καὶ συστατικὴν διαφορὰν καὶ ὅλως εἰδοποιὸν γίνεται (διὰ τοῦτο γάρ φαμεν τὸν ἄνθρωπον πρότερον τοῦ ἵππου, ὅτι ἡ τοῦ λογικοῦ διαφορὰ προτέρα τῆς τοῦ ἀλόγου τῷ ἀξιώματι καὶ τῷ ἀρίστῳ), εἰ δειχθῶσιν αἱ μονάδες πᾶσαι ἀδιάφοροι καὶ ὁμοειδεῖς, οὐκ ἂν εἴη ἡ δυὰς πρότερον, εἶτα ἡ τριάς, ὥς φασιν. ὥστε ἐὰν οὐσῶν τῶν εἰδητικῶν μονάδων ἢ ἀριθμῶν ἀνάγκη καὶ τὴν δυάδα προτέραν εἶναι τῆς τριάδος καὶ τὴν τριάδα τῆς τετράδος καὶ ἐφεξῆς, τούτων δὲ τῶν μὲν οὐσῶν πρώτων τῶν δὲ δευτέρων καὶ τρίτων ἀνάγκη ἀσυμβλήτους ἢ πάσας εἶναι τὰς μονάδας ἢ τὰς ἐν τῇ δυάδι ταῖς ἐν τῇ τριάδι καὶ οὕτως ἐπὶ τῶν λοιπῶν· εἰ δειχθείη ὅτι πᾶσαι συμβληταί εἰσιν, οὐκ ἔσται ἡ δυὰς προτέρα τῆς τριάδος καὶ αὕτη τῆς τετράδος, τούτων δὲ τὸ πρότερον καὶ δεύτερον μὴ ἐχουσῶν ἀδύνατον εἶναι τὰς | εἰδητικὰς μονάδας. τὸ δὲ ἅμα γὰρ αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ 727
μονάδες γεννῶνται οὐκ ἔστι κατασκευαστικόν, ὡς ἄν τῳ δόξειε διὰ τὸν γάρ σύνδεσμον, τοῦ ὅτι οὐκ ἔσται ἡ δυὰς πρώτη ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, εἶτα ἡ τριάς, ἀλλὰ πρῶτόν ἐστιν ἐπιχείρημα τῶν δεικνύντων μὴ εἶναι πάσας τὰς ἐν τοῖς εἰδητικοῖς ἀριθμοῖς μονάδας ἀσυμβλήτους. ἐκ διαιρέσεως δὲ δείκνυσι τοιαύτης ὅτι οὐκ εἰσιν αἱ πᾶσαι μονάδες ἀσύμβλητοι· εἰ γάρ εἰσιν ἀσύμβλητοι, ἢ ἅμα γίγνονται ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος αἱ ἐν τῇ αὐτοδυάδι μονάδες καὶ αἱ ἐν τῇ αὐτοτριάδι καὶ αἱ τῶν ἄλλων ἀριθμῶν ὁμοίως, ἢ πρῶτον μὲν γίνεται ἡ μία μονάς, εἶτα ἡ

---

3 τοῦτον L: τοιοῦτον A 8 ἀσύμβλητος L: οὐ συμβλητός A 12 ἢ LM²: om. AM¹
15 πάντως LM²: om. AM¹ πάντῃ iterat A 22 ἀρίστῳ Bonitz: ἀορίστῳ libri
29. 30 καὶ αὕτη τῆς τετράδος LM²: om. AM¹ 33 καὶ L: ἐκ A 38 αὐτοτριάδι καὶ αἱ M¹: post αὐτοτριάδι add. τριάδες ALM²
39 μονάς L: μονάδες A

ἑτέρα. καὶ τότε συντίθενται καὶ ἀποτελοῦσι τὴν αὐτοδυάδα. ἀλλ' ἐὰν ἅμα γεννῶνται αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ ἤτοι τῇ αὐτοδυάδι μονάδες καὶ αἱ ἐν τῇ αὐτοτριάδι καὶ αἱ ἐν τοῖς ἄλλοις ἀριθμοῖς, οὐκ ἔσονται ἀσύμβλητοι ἀλλὰ συμβληταὶ καὶ ἀδιάφοροι· τὰ γὰρ ἅμα ἐκ τῶν ἀρχῶν γεννώμενα, ὡς καὶ αὐτοί φασιν, ἀδιάφορά ἐστιν. ψεῦδος ἄρα τὸ πάσας λέγειν ἀσυμβλήτους· εἰ γὰρ καὶ τὰς ἐν τῇ δυάδι λέγοι τις μονάδας ἀσυμβλήτους εἶναι πρὸς τὰς ἐν τῇ τριάδι, ὅπερ καὶ αὐτὸ ἀδύνατον δείξει, ἀλλὰ πρὸς ἑαυτὰς αἱ ἐν τῇ δυάδι οὐκ ἔσονται ἀσύμβλητοι· ὁμοίως οὐδὲ αἱ ἐν τῇ αὐτοτριάδι. ὥστε δεῖ πρὸ τῆς λέξεως τῆς ἅμα γὰρ αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ μονάδες γεννῶνται ἔξωθεν προσυπακούειν τοῦ ἀδύνατον δὲ πάσας εἶναι τὰς μονάδας ἀσυμβλήτους· εἶτα ὡς προσκατασκευαστικὸν τοῦ ἀδύνατον πάσας εἶναι τὰς μονάδας ἀσυμβλήτους ἐπάγειν τὸ ἅμα γὰρ αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ μονάδες γεννῶνται. ἀλλὰ κἂν ταύτῃ τῇ λέξει ἐλλείπει ὁ ἡ σύνδεσμος· ἔδει γὰρ οὕτως εἶναι γεγραμμένον ἢ γὰρ ἅμα αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ μονάδες γεννῶνται· ἐρεῖ γὰρ προϊὼν 'ἢ οὐχ ἅμα.' ὥστε σαφεστάτη ἂν ἦν ἡ λέξις, εἰ οὕτω πως εἶχεν 'ἀδύνατον δὲ πάσας εἶναι τὰς μονάδας ἀσυμβλήτους· ἢ γὰρ αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ μονάδες γεννῶνται ἅμα ἢ οὐχ ἅμα.' ἀλλὰ τὰ μὲν τῆς λέξεως οὕτως ἐχρῆν ἔχειν οἶμαι τοιαῦτα· αὐτὸς δὲ μέμνηται καὶ ῥημάτων τοῦ Πλάτωνος λέγων εἴτε ὥσπερ ὁ πρῶτος εἰπών· ἐξ ἀνίσων γὰρ ἰσασθέντων ἐγένοντο, δεικνὺς ὅτι κατ' ἐκεῖνον ἕκαστος τῶν ἀριθμῶν ἅμα πᾶς γεννᾶται ὑπὸ τῶν ἀρχῶν, καὶ οὐχὶ πρῶτον μὲν ἡ μία μονὰς ὕστερον δὲ ἡ ἄλλη· αὐτὸς δὲ διὰ τὸ πλῆρες τῆς διαιρέσεως ἐπισκέπτεται καὶ τὸ λοιπὸν τὸ λέγον 'ἢ οὐχ ἅμα.' τὸ δὲ ἐξ ἀνίσων ἰσασθέντων τοιοῦτόν ἐστιν. δοκεῖ ὁ Πλάτων λέγειν ὅτι ἐπειδὴ ἐκ τῆς ἀορίστου δυάδος, ἥτις καθὸ ἄριστος ἄνισός | ἐστιν, οἱ ἀριθμοὶ γίνονται, ἄνισοί εἰσιν, ἰσάζονται δὲ ὑπὸ τοῦ ἀρχικοῦ ἑνός· ὥστε ἐπειδὴ ἅμα γεννῶνται, δῆλον ὡς ἀδιάφοροί εἰσιν. εἰ δὲ ἀσυμβλήτων οὐσῶν τῶν ἐν τῇ δυάδι μονάδων ἐστὶν αὐτῶν ἡ μὲν προτέρα ἡ δὲ δευτέρα (οὐ γὰρ δὴ ἅμα διάφοροι καὶ ἀσύμβλητοι οὖσαι ἀπὸ τῶν ἀρχῶν προΐασι), καὶ ἡ αὐτοδυὰς προτέρα μὲν ἔσται τῆς νεωτέρας μονάδος, νεωτέρα δὲ τῆς προτέρας· μῖξις γάρ ἐστι τῶν δύο μονάδων. ὥσπερ γὰρ τὸ οἰνόμελι τοῦ μὲν οἴνου γλυκύτερον τοῦ δὲ μέλιτος ἀγλευκέστερόν ἐστιν, οὕτω καὶ ἡ δυὰς ὑστέρα μὲν τοῦ προτέρου μέρους ἑαυτῆς πρεσβυτέρα δὲ τοῦ δευτέρου. εἰ δὲ τοῦτο, συμβαίνει τῆς πρώτης δυάδος εἶναι τὴν προγεγονυῖαν αὐτῆς μονάδα πρεσβυτέραν αὐτῆς. ἀλλ' οὐδὲν κατ' αὐτοὺς πρότερον τῆς αὐτοδυάδος, εἰ μὴ τὸ ἀρχικὸν ἓν καὶ ἡ ἄριστος δυάς.

728

---

4 ἀδιάφοροι M: διάφοροι AL 13 ἀλλὰ L: om. A 16 ἦν M: om. AL 20 εἰπὼν — ἰσασθέντων] εἰπὼν ἐξ ἀνίσων· ἰσασθέντων γὰρ Metaph. 21 ὅτι L: ὅτε A 22 post ἀρχῶν add. ἐξ ἀνίσων ἰσασθεὶς Syr. 26 ἰσάζονται — εἰσὶν (27) LM²: om. AM¹ 29 διάφοροι e Syriano Bonitz: ἀδιάφοροι libri ἀσύμβλητοι A: συμβλητικαί LM²: συμβληταί M¹ 33 προτέρου e Syriano scripsi: πρώτου libri

p. 1081a29 Ἔτι ἐπειδή ἐστι πρῶτον μὲν αὐτὸ τὸ ἕν, ἔπειτα τῶν ἄλλων ἐστί τι πρῶτον ἕν, δεύτερον δὲ μετ' ἐκεῖνο.

Τὸ λεγόμενον τοιοῦτόν ἐστιν. ἐὰν αἱ τῆς αὐτοδυάδος μονάδες καὶ τῆς αὐτοτριάδος καὶ τῶν λοιπῶν οὐχ ἅμα γεννῶνται ἀλλ' ἡ μὲν πρότερον ἡ δ' ὕστερον γεννᾶται ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, θετέον ὅτι ἡ μὲν μία μονὰς τῆς μελλούσης γενέσθαι αὐτοδυάδος γέγονεν, ἡ δὲ λοιπὴ οὔπω. ἀλλ' εἰ τοῦτο, συμβαίνει μονάδας μὲν εἶναι δύο, τό τε ἀρχικὸν ἓν καὶ αὐτὴν τὴν ἤδη γεγονυῖαν μονάδα καὶ μέρος γενέσθαι μέλλουσαν τῆς γενησομένης αὐτοδυάδος, δυάδα δὲ μὴ εἶναι. οὔπω γάρ, ὡς ἡ ὑπόθεσις, γέγονεν ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος καὶ ἡ ἑτέρα μονάς, ἵνα συντεθεῖσα μετὰ τῆς προγεγονυίας ἀποτελέσωσι τὴν αὐτοδυάδα. ἀλλὰ κἂν τῆς λοιπῆς γεγονυίας μονάδος καὶ τῆς αὐτοδυάδος ἀπαρτισθείσης εἶναι μὲν τρεῖς μονάδας ἀναγκαῖον, τό τε πρῶτον ἓν καὶ τὰς λοιπὰς δύο, αἳ μέρος εἰσὶ τῆς αὐτοδυάδος, αὐτοτριάδα δὲ μὴ εἶναι· οὔπω γὰρ κἀνταῦθα ἐκ τοῦ πρώτου ἑνὸς καὶ τῆς ἀορίστου δυάδος ἕτεραι τρεῖς μονάδες γεγόνασιν, ἀσύμβλητοι μὲν οὖσαι διὰ τὴν ὑπόθεσιν πρὸς τὰς τῆς αὐτοδυάδος μονάδας, γεννητικαὶ δὲ τῆς αὐτοτριάδος. ἀλλ' ἄτοπον καὶ ἀδύνατον τὸ τρία μὲν εἶναι λέγειν, τριάδα δὲ μὴ εἶναι. τὰ αὐτὰ δὲ συμβήσεται καὶ ἐπὶ τῶν λοιπῶν ἀριθμῶν. ἀλλ' ἡ μὲν τῶν λεγομένων διάνοια τοιαύτη τίς ἐστι· τὰ δὲ κατὰ τὴν λέξιν ὧδε ἂν ἔχοι. ἐπειδή ἐστι πρῶτον μὲν αὐτὸ τὸ ἕν (λέγει δὲ αὐτὸ τὸ ἓν τὸ ἀρχικὸν ἕν, μεθ' οὗ καὶ τῆς ἀορίστου δυάδος γεννᾶται κατ' αὐτοὺς ἡ αὐτοδυὰς καὶ οἱ λοιποὶ ἀριθμοί), μετὰ τὸ ἕν, ὃ πρῶτον καλεῖ, ἔσται καὶ δεύτερον ἕν, ὃ δεύτερον τοῦ πρώτου καὶ ἀρχικοῦ ἑνὸς λέγει, τὴν τῆς αὐτοδυάδος, ὡς ἡ ὑπόθεσις, προγεγονυῖαν μο|νάδα· αὕτη 729 γὰρ τοῦ μὲν ἀρχικοῦ καὶ πρώτου ἑνός ἐστι δευτέρα, τῆς δὲ μελλούσης γενέσθαι μονάδος, μεθ' ἧς ἂν καὶ ἀπαρτίσοι τὴν αὐτοδυάδα, πρώτη· τρίτον δὲ ἓν τὸ δεύτερον μὲν μετὰ τὸ δεύτερον, τρίτον δὲ μετὰ τὸ πρῶτον, λέγει τὴν μήπω γεγονυῖαν τῆς γενησομένης αὐτοδυάδος μονάδα. ταύτης γὰρ τῆς αὐτοδυάδος τὸ μὲν προγεγονὸς ἕν ἐστι δεύτερον τοῦ ἀρχικοῦ ἑνός, τὸ δὲ δεύτερον αὐτῆς ἓν τοῦ μὲν προγεγονότος τῆς αὐτοδυάδος ἑνός ἐστι δεύτερον, τοῦ δὲ πρώτου καὶ ἀρχικοῦ ἑνὸς τρίτον. ὥστε ἔσονται τρεῖς μονάδες, τρία δὲ οὐκ ἔσται ἐξ ὧν ἡ τριὰς συμπλέκεται καὶ συνίσταται· ὅπου γὰρ τρία, εὐθὺς κατὰ τὸ ἀληθὲς καὶ τριάς. ἀλλὰ κἂν πάλιν τῶν τῆς αὐτοδυάδος δύο μονάδων καὶ τοῦ πρώτου ἑνὸς οὐσῶν ὑπονοήσωμεν ὅτι ἐκ τοῦ πρώτου ἑνὸς καὶ τῆς ἀορίστου δυάδος γέγονε καὶ ἕτερον, μεθ' οὗ καὶ τῶν ὑπονοουμένων λοιπῶν τριῶν μονάδων ἡ αὐτοτριὰς γενέσθαι ὀφείλει, ἔσονται μὲν τέτταρες μονάδες, τό τε πρῶτον καὶ ἀρχικὸν ἓν καὶ αἱ δύο τῆς αὐτοδυάδος καὶ ἡ ἤδη γεγονυῖα, ἥτις μέρος ὀφείλει γενέσθαι τῆς γενησο-

---

22. 23 μετὰ — δεύτερον ἕν M¹: τὸ δὲ πρῶτον καλεῖ A: τί δὲ πρῶτον καλεῖ LM² 36 λοιπῶν L: λοιπὸν A τριῶν libri: "lege δύο" Bonitz

μένης αὐτοτετράδος· εἰ δὴ τοῦτο ὑπονοήσομεν, τέτταρα μὲν ἔσται, τετρὰς δὲ οὐδαμῶς· οὔπω γὰρ γεγόνασι καὶ αἱ λοιπαὶ τρεῖς μονάδες τῆς γενέσθαι μελλούσης αὐτοτετράδος. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. ταῦτα εἰπὼν ἐπάγει οὐδεὶς τῶν περὶ ἀριθμοὺς εἰρηκότων ἀσυμβλήτους τὰς μονάδας εἴρηκεν· ὅμως δὲ κατὰ μὲν τὰς ἐκείνων ὑποθέσεις εὔλογον ἀσυμβλήτους εἶναι τὰς μονάδας, κατὰ δὲ τὴν ἀλήθειαν ἀδύνατον. τίς γὰρ διαφορὰ μονάδος πρὸς μονάδα; καὶ δείκνυσιν ὅπως εὔλογόν ἐστι κατὰ τὰς ἐκείνων ὑποθέσεις ἀσυμβλήτους εἶναι τὰς μονάδας τοῦτον τὸν τρόπον· εἰ γὰρ ἔστιν ἓν πρῶτον κατ' αὐτοὺς καὶ πρώτη μονάς, ἐξ ἧς μονάδος καὶ ἄλλης, ὡς εἴρηται, γίνεται ἡ αὐτοδυάς, ἔστι δὲ κατ' αὐτοὺς καὶ πρώτη δυάς, πᾶσα ἀνάγκη καὶ δεύτερον ἓν εἶναι καὶ δευτέραν μονάδα καὶ δευτέραν δυάδα· εἰ γὰρ πρώτη, ἀνάγκη καὶ δευτέραν· τὰ γὰρ πρῶτα δευτέρων ἐστὶ πρῶτα, καὶ ταῦτα τρίτων. ἀλλὰ μὴν εἰ ταῦθ' οὕτως ἔχει, ἀνάγκη καὶ τὰς μονάδας διαφόρους εἶναι καὶ ἀσυμβλήτους· ἄλλη γὰρ ἡ τρίτη καὶ ἄλλη ἡ δευτέρα καὶ αἱ λοιπαὶ ὁμοίως. εἰ γάρ εἰσιν ἀδιάφοροι καὶ συμβληταί, τί μᾶλλον αὕτη πρώτη ἐστὶν ἀλλ' οὐχ αὕτη τοῦ πρωτείου τετύχηκε, καὶ διὰ τί αὕτη μὲν ἀτυχής ἐστι τοῦ πρώτου ἐκείνη δὲ τούτου τετύχηκε; τὸ δὲ ἅμα δὲ ἀμφότερα λέγειν, μονάδα τε μετὰ τὸ ἓν πρώτην εἶναι καὶ τὰ ἑξῆς διὰ μέσου παρέρριπται σκωπτικὸν ὂν ὡς καὶ τῶν περὶ τὰς ἀρχὰς ἀνακολούθως ἑαυτοῖς γινομένων. | εἰ γάρ ἐστιν ἡ μονὰς πρώτη, πῶς ἔσται καὶ ἡ δυὰς 730
πρώτη κατὰ τὸν αὐτὸν λόγον; εἰ γὰρ τὴν πρώτην τάξιν καὶ τὸ κυρίως πρῶτον ἡ μονὰς ἐκληρώσατο, πῶς καὶ ἡ δυὰς τοῦ αὐτοῦ ἂν μετάσχοι πρώτου; ἢ γὰρ τοῦ κυρίως πρώτου τὸ ἓν εὐμοίρηκε καὶ ἐστέρηται τούτου ἡ δυὰς καὶ οἱ λοιποὶ ἀριθμοί, ἢ ἡ δυὰς τούτου τέτευχε καὶ τὸ ἓν οὐκ ἔσται πρῶτον. τὸ δὲ οἱ δὲ ποιοῦσι μονάδα μὲν καὶ ἓν πρῶτον, δεύτερον δὲ καὶ τρίτον οὐκέτι συνεχές ἐστι τῷ ἐστὶ δὲ κατὰ μὲν τὰς ἐκείνων ἀρχὰς εὔλογον καὶ οὕτω, καὶ εἴη ἂν λέγων ὅτι κατὰ μὲν τὰς ἐκείνων ἀρχὰς εὔλογον δεύτερόν τι εἶναι καὶ τρίτον, οἱ δὲ μονάδα μὲν καὶ ἓν πρῶτον ποιοῦσι, δεύτερον δὲ καὶ τρίτον οὐκέτι, καὶ δυάδα πρώτην, δευτέραν δὲ καὶ τρίτην οὐκέτι.

p. 1081b10 Φανερὸν δὲ ὅτι οὐκ ἐνδέχεται, εἰ ἀσύμβλητοι πᾶσαι αἱ μονάδες, δυάδα εἶναι αὐτὴν καὶ τριάδα.

Οὐ δύναται, φησίν, εἶναι ὁ εἰδητικὸς ἀριθμός, τουτέστιν ἡ αὐτοδυὰς καὶ ἡ αὐτοτριάς, ἀσυμβλήτων ὑποτεθεισῶν τῶν μονάδων· ᾧ ἕπεται τὸ μὴ εἶναι τὸν εἰδητικὸν ἀριθμόν. ἀλλὰ τοῦτο μὲν ἀφῆκεν, ἐπήνεγκε δὲ ὅτι κἄν τε συμβληταὶ ὦσι κἄντε ἀσύμβλητοι αἱ μονάδες, δεῖ μὴ εἶναι τὴν αὐτοτριάδα, τῷ πάντα μὲν ἀριθμὸν κατὰ πρόσθεσιν ἀριθμεῖσθαι καὶ ἀποτελεῖ-

---

1 et 3 αὐτοτετράδος libri: "lege αὐτοτριάδος" Bonitz 2 τρεῖς libri: "lege δύο" Bonitz 5 κατὰ μὲν L: μὲν om. A 17 δὲ (post τὸ) L: om. A 18 πρώτην M: πρῶτον AL 23 τούτου A: τοῦ πρώτου L 31 φανερὸν δὲ καὶ ὅτι Metaph.

σθαι, οἷον τὴν δυάδα προσλαβοῦσαν μονάδα τριάδα γενέσθαι· τούτων δὲ ὄντων ἀδύνατον τὴν τῶν ἀριθμῶν γένεσιν εἶναι, ὥς φασιν, ἐκ τῆς ἀορίστου δυάδος καὶ τοῦ ἑνός, ἀλλὰ κατὰ πρόσθεσιν· ὥστε ἀναγκαῖον πολλάς τε διὰ τοῦτο εἶναι δυάδας ἔν τε τῇ ἑξάδι καὶ ὀκτάδι καὶ δωδεκάδι, μόριόν τε εἶναι τὴν δυάδα, τριάδος μὲν τὸ ἥμιστον, τετράδος δὲ τὸ ἥμισυ· τοῦ δὲ εἰδητικοῦ ἀριθμοῦ μηδὲν εἶναι τοιοῦτον· γεννᾶται γὰρ κατ' αὐτοὺς ἐκ τῆς μονάδος καὶ τῆς ἀορίστου δυάδος, καὶ ἕκαστος αὐτῶν εἷς ἐστι καὶ οὐδεὶς αὐτῶν κατ' αὐτοὺς ἄλλου μόριον γίνεται, οὔτε ἡ αὐτοδυὰς τῆς αὐτοτριάδος, οὔτε ἄλλη ὁποιαοῦν ἄλλης ὁποιασοῦν. ταῦτα εἰπὼν ἔνστασίν τινα πρὸς ἑαυτὸν ἐπάγει διὰ τοῦ ἀλλ' ἐκ τῆς δυάδος τῆς πρώτης καὶ τῆς ἀορίστου δυάδος ἐγίνετο ἡ τετράς. ὃ δέ φησι τοιοῦτόν ἐστιν. ἀλλ' ἐκεῖνοι ἐκ τῆς αὐτοδυάδος (ταύτην γὰρ καλεῖ πρώτην δυάδα) καὶ τῆς ἀρχικῆς δυάδος, ἣν ἀόριστον καλεῖ δυάδα, ἀπετέλουν τὴν τετράδα, οὐ συντιθέντες αὐτὰς οὐδὲ κατὰ πρόσθεσιν αὔξοντες, ἀλλὰ τῆς ἀορίστου δυάδος διπλασιασάσης τὴν αὐτοδυάδα καὶ οὕτως ἀποτελούσης τὴν τετράδα. ὥστε οὐκ ἂν τὸν ἐκεῖ ἀριθμὸν κατὰ πρόσθεσιν ἀποτελοῖεν. ταῦτα ἑαυτῷ ὥσπερ ἔνστασιν κομίσας λύει τὴν ἔνστασιν γοργῶς καὶ ἀσαφῶς διὰ τοῦ δύο δυάδες | παρ' αὐτὴν τὴν δυάδα. λέγει δ' αὐτὴν τὴν δυάδα τὴν αὐτοδυάδα. δύο οὖν, φησίν, εὑρίσκονται ἐν τῇ αὐτοτετράδι δυάδες παρ' αὐτὴν τὴν δυάδα, τουτέστι παρὰ τὴν αὐτοδυάδα. ἀλλὰ τὸ μὲν τῆς λέξεως τοιοῦτον· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ἀλλὰ χρὴ προσυπακούειν τοῦ ἀλλ' εἰ καὶ μὴ κατὰ πρόσθεσιν αἱροῦνται τὸν ἀριθμὸν ἀποτελεῖν, ἀλλ' οὖν ἐν τῇ αὐτοτετράδι δύο δυάδας ὁμολογήσουσιν εἶναι παρὰ τὴν αὐτοδυάδα· ὥστε ἔσονται τρεῖς εἰδητικαὶ δυάδες καὶ οὐ μία· μία μὲν ἡ αὐτοδυὰς καὶ αἱ ἕτεραι δύο αἱ ἐν τῇ αὐτοτετράδι. εἰ δὲ μή, μόριον ἔσται αὕτη ἡ δυάς, τουτέστιν εἰ δὲ τοῦτο φεύγοιεν καὶ οὐχ ὁμολογοῖεν ἄλλας εἶναι τὰς ἐν τῇ αὐτοτετράδι δυάδας παρὰ τὴν αὐτοδυάδα, ἐπειδὴ ὅλως δυάδες εὑρίσκονται ἐν τῇ αὐτοτετράδι, ἔσται μόριον ἡ αὐτοδυὰς τῆς αὐτοτετράδος, καὶ κατὰ πρόσθεσιν ἔσται ὁ ἀριθμὸς ἑτέρας δυάδος τῇ αὐτοδυάδι προστεθείσης καὶ οὕτως ἀποτελεσάσης τὴν αὐτοτετράδα. εἰ δὲ ἡ αὐτοτετράς ἐστιν ἐκ τῆς αὐτοδυάδος καὶ ἄλλης δυάδος, κατὰ τὴν αὐτὴν ἀναλογίαν καὶ ἡ αὐτοδυὰς ὑποστήσεται ἐκ τοῦ ἀρχικοῦ ἑνὸς καὶ ἄλλου ἑνός· τούτου γάρ ἐστι δηλωτικὸν τὸ καὶ ἡ δυὰς ἔσται ἐκ τοῦ ἑνὸς αὐτοῦ καὶ ἄλλου ἑνός. εἰ δὲ τοῦτο, οὐχ οἷόν τε τὴν ἑτέραν ἀρχὴν ἀόριστον εἶναι δυάδα· τὸ γὰρ γεννώμενον ὑπὸ τῆς ἀορίστου δυάδος δυὰς ὤφειλεν εἶναι· νῦν δὲ οὐ δυὰς γεννᾶται ἀλλὰ μονάς, ἥτις σὺν τῷ ἑνὶ τὴν ὡρισμένην ἀποτελεῖ δυάδα, τουτέστι τὴν αὐτοδυάδα. εἰ οὖν μὴ δέξονται ἐν τῇ αὐτοτετράδι δύο εἶναι δυάδας παρὰ τὴν αὐτοδυάδα, ἕπεται αὐτοῖς κατὰ πρόσθεσιν εἶναι τὸν ἀριθμὸν

1 γίνεσθαι L 4 ἔν τε e Syriano Bonitz: ὥστε libri 5 μὲν M Syr.: τε AL post ἥμισυ add. καὶ ἑξάδος μὲν τὸ τρίτον, ὀκτάδος δὲ τὸ τέταρτον, δωδεκάδος δὲ τὸ ἕκτον M¹ Bonitz: om. ALM² Syr. 9 ἄλλης ὁποιασοῦν L: ἄλλης om. A 17 ἀσαφῶς AL: σαφῶς M 24 δυάδες A: δυνάμεις L 25 αὕτη libri: αὐτὴ coni. Bonitz 29 τῇ] τῆς L 30 ἡ L: om. A 35 δυάδος L Syr.: om. A

καὶ ἀνῃρῆσθαι τὴν ἑτέραν τῶν ἀρχῶν. ἐν δὲ τῇ λέξει τῇ μονάδα γὰρ μίαν γεννᾷ ἀλλ' οὐ δυάδα ὡρισμένην ὑπερβατῶς ἀναγνωστέον οὕτως· 'μονάδα γὰρ ὡρισμένην γεννᾷ ἀλλ' οὐ δυάδα'.

Ταῦτα εἰπὼν λέγει ἔτι παρὰ τὴν αὐτοτριάδα καὶ τὴν αὐτοδυάδα πῶς ἔσονται ἄλλαι τριάδες καὶ δυάδες; εἴτε οὖν εἰσιν ἄλλαι τριάδες αἱ ἐν τῇ ἑξάδι παρὰ τὴν αὐτοτριάδα, οὐκ ἔσται μία ἡ εἰδητικὴ τριὰς ἀλλὰ πλείους, εἴτε οὖν αἱ αὐταί εἰσί πως καὶ ὁμοειδεῖς ταῖς ἐν τῇ αὐτοτριάδι, κατὰ πρόσθεσιν ἔσονται οἱ ἀριθμοὶ καὶ ἀναιρεῖται ἡ ἀόριστος δυάς. ἀλλὰ καὶ τίνα τρόπον δυνατὸν ἐκ προτέρων μονάδων καὶ ὑστέρων συγκεῖσθαι τοὺς ἀριθμούς; τὸ γὰρ πρότερον καὶ ὕστερον κατὰ εἰδοποιούς, ὡς πολλάκις εἴρηται, ὁρᾶται διαφοράς· μονὰς δὲ μονάδος τίνι ἂν διαφέροι; ἴσως αὐτοὶ ἂν ἴδοιεν, ἡμεῖς γὰρ οὐχ ὁρῶμεν. ὥστε εἰ πάντα ταῦτα ἀδύνατα καὶ πλασματώδη, ἀδύνατον εἶναι πρώτην τὴν αὐτοδυάδα, εἶτα τὴν αὐτοτριάδα. ἀλλὰ κατὰ μὲν τὴν ἀλήθειαν ἀδύνατον τοῦτο· ἀναγκαῖον | δὲ πάλιν πρώτην εἶναι τὴν αὐτοδυάδα, καὶ εἶτα τὴν τριάδα καὶ ἐφεξῆς, 732
εἴπερ εἰσὶν ἀρχαὶ καὶ στοιχεῖα τὸ ἓν καὶ ἡ ἀόριστος δυάς. ἐπεὶ δὲ πάλιν ἀδύνατα πολλὰ συμβαίνει τούτων ὑποκειμένων ὡς ἀρχῶν καὶ στοιχείων, ἀδύνατον ἀρχὰς εἶναι αὐτάς. καὶ συμπεραίνεται λέγων εἰ μὲν οὖν διάφοροι αἱ μονάδες ὁποιαισοῦν, τοιαῦθ' ἕτερα συμβαίνει ἐξ ἀνάγκης.

p. 1081b35 Εἰ δὲ αἱ μὲν ἐν ἄλλῳ διάφοροι, αἱ δ' ἐν τῷ αὐτῷ ἀριθμῷ ἀδιάφοροι ἀλλήλαις μόναι, καὶ οὕτως οὐθὲν ἐλάττω συμβαίνει τὰ δυσχερῆ.

Δείξας ὅτι οὔτε πᾶσαι αἱ ἐν τοῖς εἰδητικοῖς ἀριθμοῖς μονάδες ἀσύμβλητοί εἰσιν οὔτε πάλιν πᾶσαι συμβληταί, ἐνίσταται πρὸς τὸ λοιπὸν καὶ τρίτον τῆς διαιρέσεως τμῆμα, τὸ λέγον ὡς αἱ μὲν ἐν τῇ αὐτοτριάδι μονάδες ἔσονται συμβληταὶ πρὸς ἑαυτάς, ὁμοίως καὶ αἱ ἐν τῇ αὐτοδυάδι καὶ αὐτοτετράδι καὶ ἐν τοῖς λοιποῖς ἀριθμοῖς, αἱ δὲ ἐν τῇ αὐτοδυάδι πρὸς τὰς ἐν τῇ αὐτοτριάδι καὶ αὗται πρὸς τὰς ἐν τῇ αὐτοτετράδι καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ἀσύμβλητοι καὶ ἀνομοειδεῖς. εἰ δὴ οὖν, φησίν, αἱ μονάδες αἱ ἐν ἄλλῳ ἀριθμῷ, οἷον φέρε εἰπεῖν τῇ αὐτοτριάδι, ἀσύμβλητοί εἰσι καὶ ἀνομοειδεῖς πρὸς τὰς ἐν ἄλλῳ (τούτου γὰρ ὑπακουστέον) ἀριθμῷ μονάδας, οἷον τὰς ἐν τῇ αὐτοτετράδι, αἱ δὲ ἐν τῷ αὐτῷ καὶ ἑνὶ ἀριθμῷ οὖσαι μονάδες τῇ αὐτοτετράδι ὁμοειδεῖς καὶ ἀδιάφοροι, πολλὰ ἕψεται ταύτῃ τῇ ὑποθέσει ἀδύνατα καὶ δυσχερῆ. εἰ γὰρ δυνατὸν τὰς ἐν ἑκάστῳ ἀριθμῷ συγκατατεταγμένας εἶναι ὁμοειδεῖς, τὰς δ' ἐν ἄλλῳ πρὸς τὰς ἐν ἄλλῳ ἀνομοειδεῖς, ἐπειδὴ ἐν τῇ αὐτοδεκάδι (ταύτην γὰρ εἶπεν αὐτὴν δεκάδα) ἔνεισι

2 δυάδα M¹: δυάδων ALM² 7 exspectes ὁμοειδεῖς ἐν αὐταῖς μονάδες ταῖς κτλ. 12 ἂν M: om. AL 17 ἀρχῶν L: ἀρχαὶ A 19 ὁποιαιοῦν ὁποιαισοῦν ταῦτα καὶ τοιαῦθ' ἕτερα Metaph. 22 ἀδιάφοροι] διάφοροι AL; sed cf. 34 et p. 755,9 35 δυνατὸν τὰς L: δυνατὰ τὰ A

δέκα μονάδες, καὶ σύγκειται καὶ ἡ αὐτοδεκὰς ἐκ τῶν δέκα μονάδων, ἀλλὰ καὶ ἐκ δυοῖν πεντάδοιν (δὶς γὰρ τὰ πέντε δέκα), καὶ οὐχ ὁ τυχὼν ἀριθμὸς οὐδ' αἱ τυχοῦσαι κατ' αὐτοὺς μονάδες ποιοῦσι τὴν αὐτοδεκάδα, ἀλλ' αἱ ἐκ τῆς ἀορίστου δυάδος καὶ τοῦ ἑνὸς γινόμεναι· εἰ δὴ οὖν ταῦθ' οὕτως ἔχει, συμβήσεται τὰς ἐν τῇ αὐτοδεκάδι δέκα μονάδας καὶ συμβλητὰς εἶναι καὶ ἀσυμβλήτους. εἰ δὲ τοῦτο ἀδύνατον, ἀδύνατον καὶ ᾧ τοῦτο ἠκολούθηκε. πῶς δὲ τὸ καὶ συμβλητὰς εἶναι καὶ ἀσυμβλήτους συμβαίνει, ὧδε ἔσται δῆλον. ἐπειδὴ γὰρ ὑπόκειται ὅτι αἱ ἐν τῷ αὐτῷ καὶ ἑνὶ ἀριθμῷ οὖσαι μονάδες ἀδιάφοροί εἰσι καὶ ὁμοειδεῖς, πρὸς δὲ τὰς ἐν ἄλλῳ ἀνομοειδεῖς, καὶ οὐ μόνον ὑπόκειται ἀλλὰ καὶ ὡμολόγηται τοῖς τὰς ἰδέας τιθεμένοις, κατὰ δὴ τοῦτο ἔσονται ὁμοειδεῖς αἱ ἐν τῇ αὐτοδεκάδι μονάδες. ἐπειδὴ δὲ πάλιν ἐν αὐτῇ εἰσι καὶ δύο πεντάδες, ἔτι δὲ καὶ δυάς ἐστι καὶ τριάς ἐστι καὶ ἑξὰς καὶ ἑπτὰς καὶ ὀκτὰς καὶ ἐννάς, ὑπόκειται δὲ ὅτι αἱ ἐν τῇ ὀκτάδι διάφοροί εἰσι πρὸς τὰς ἐν τῇ ἐννάδι καὶ αὗται πρὸς τὰς ἐν τῇ ἑπτάδι καὶ αἱ ἄλλαι ὁμοίως, κατὰ δὴ τοῦτο πάλιν ἔσονται ἀνομοειδεῖς καὶ ἀσύμβλητοι αἱ ἐν τῇ αὐτοδεκάδι μονάδες. ὥστε ὡς μὲν εἰς ἀριθμὸς 733 ἡ δεκὰς ἕξει πάσας ὁμοειδεῖς, ὡς δὲ ἄλλης μὲν τῆς ἐν αὐτῇ πρώτης πεντάδος καὶ ἄλλης τῆς δευτέρας, ὁμοίως καὶ ἄλλης τῆς ἑξάδος καὶ ἄλλης τῆς ἐννάδος καὶ τῶν λοιπῶν, ἔσονται ἀνομοειδεῖς. τὸ δὲ τὰς αὐτὰς καὶ ὁμοειδεῖς εἶναι καὶ ὁμοφυεῖς, καὶ πάλιν ἀνομοειδεῖς, ἀδύνατον. καὶ ᾗ ἄρα τοῦτο ὑποθέσει ἠκολουθήκει ἀδύνατός ἐστιν. ἀλλ' ἡ μὲν τῶν λεγομένων διάνοια οἶμαι αὕτη ἐστίν, τὰ δὲ κατὰ τὴν λέξιν τοιαῦτα. ἀνάγκη, φησί, τὰς ἐν τῇ αὐτοδεκάδι μονάδας διαφέρειν, καὶ προσυπακουστέον τοῦ τοῦτο δὲ ἀδύνατον δειχθήσεται. καὶ εἰπὼν ὅτι ἀνάγκη διαφέρειν, τὴν αἰτίαν τῆς ἀνάγκης ἐπάγει λέγων εἰ γὰρ μὴ διαφέρουσιν, οὐδ' αἱ δύο πεντάδες διοίσουσιν, ἐξ ὧν ἡ αὐτοδεκάς. τῶν γὰρ ἐν αὐταῖς μονάδων ἀδιαφόρων οὐσῶν πῶς ἂν αὗται διαφέροιεν; ἀλλ' εἰ μὴ αἱ τῶν πεντάδων, ἐξ ὧν ἡ δεκάς, μονάδες διαφέροιεν. οὐδὲ αἱ ἐν τῇ ἑξάδι καὶ τετράδι καὶ τριάδι καὶ ἑπτάδι, ἐξ ὧν ἡ δεκάς. ὡς γὰρ ἐκ τοῦ δὶς πέντε δέκα, οὕτω καὶ ἐκ τοῦ τρία καὶ ἑπτὰ καὶ ἓξ καὶ τέτταρα. ἀλλὰ μὴν τὸ τὰς ἐν τοῖς ἄλλοις ἀριθμοῖς μονάδας πρὸς τὰς ἐν τοῖς ἄλλοις διαφέρειν, μᾶλλον παντὸς ἄλλου ἤγηνται. ἀνάγκη μὲν οὖν διαφέρειν τὰς πεντάδας· εἰ δὲ τοῦτο, καὶ τὰς μονάδας. ἀλλὰ μὴν ὑπόκειται μὴ διαφέρειν. αὐτὸς δὲ πρὸς τοῦτο καὶ ἄλλο τι ἐρωτᾷ λέγων εἰ δὲ διαφέρουσιν αἱ πεντάδες (ἀνάγκη γάρ, ὡς δέδεικται, διαφέρειν). πότερον οὐκ ἔσονται καὶ ἄλλαι πεντάδες, εἰ μὴ αὗται μόναι αἱ δύο ἐξ ὧν ἡ αὐτοδεκάς, ἢ ἔσονται καὶ ἄλλαι; εἴτε δὴ μὴ ἔσονται, ἀδύνατον· δῆλον γὰρ ὅτι καὶ ἐν τῇ αὐτοεξάδι καὶ αὐτοεννάδι καὶ αὐτοοκτάδι εἰσὶ πεντάδες, εἴτε δὲ ἔσονται πολλαὶ πεντάδες

1 ἐκ τῶν A: καὶ ἐκ τῶν L 7 εἶναι L: om. A 11 δὴ M¹: δὲ ALM² 12 ἔτι δὲ M: ἔστι AL 17 ἡ LM: ὁ A 18 τῆς ἑξάδος L: τῆς om. A 19 τῆς L: om. A 20 ἀδύνατον LM²: οὐ δύναται AM¹ 21 ἡ LM: ὁ A 33 μὴ LM: om. A καὶ LM: κἂν A 35. 37. 38 ἐνέσονται Metaph. vulg. 37 δὴ A: δὲ LM et Metaph. vulg.

ἕτεραι τῶν ἐν τῇ αὐτοδεκάδι, ὥσπερ καὶ εἰσί, καὶ διάφοροι καὶ ἀνομοειδεῖς, πρῶτον ἔσονται πολλαὶ δεκάδες καὶ οὐ μία ὡς αὐτοὶ βούλονται· οὗτοι γὰρ μίαν φασὶν εἶναι δεκάδα. ἔπειτα ἐρωτητέον ποία δεκὰς ἐκ τῶν πεντάδων τῶν τε ἐν τῇ αὐτοεξάδι καὶ αὐτοεπτάδι καὶ αὐτοεννάδι καὶ τῶν λοι-
5 πῶν εὑρισκομένων ἔσται· εἰ γὰρ δύο πεντάδες, ἀνάγκη καὶ δεκάδα εὑρί- 25
σκεσθαί τε καὶ λέγεσθαι· τῆς μὲν γὰρ αὐτοδεκάδος οὐκ ἔστιν ἄλλη τις ἐντὸς δεκάς. ἑξὰς μὲν γὰρ καὶ τετρὰς καὶ ἑπτὰς καὶ οἱ λοιποὶ ἀριθμοί εἰσι, δεκὰς δὲ οὐκ ἔστιν, ὥστε δύνασθαι λέγειν ὅτι ἡ ἐντὸς τῆς αὐτοδεκάδος δεκάς ἐστιν ἐκ τῶν ἐν τῇ αὐτοεξάδι καὶ αὐτοεπτάδι εὑρισκομένων
10 πεντάδων. ἀλλὰ μὴν οὐδὲ βούλονται ἄλλην δεκάδα εἶναι πλὴν αὐτὴν τὴν 30
αὐτοδεκάδα. ὥστε ἢ ἔσονται δύο πεντάδες αἱ ἐν τῇ αὐτοεξάδι καὶ αὐτοεπτάδι καὶ ἄλλαι δύο αἱ ἐν τῇ αὐτοοκτάδι καὶ αὐτοεννάδι, καὶ δεκὰς ἄλλη οὐκ ἔσται πλὴν τῆς αὐτοδεκάδος, ἢ εἴπερ πεντάδων οὐσῶν ἀνάγκη εἶναι καὶ δεκάδας, οὐκ ἔσται μία ἡ εἰδητικὴ δεκάς, ὡς αὐτοί | φασιν, ἀλλὰ 734
15 πλείους. τὸ δὲ ἐν τῇ λέξει τῇ οὐ γάρ ἐστιν ἑτέρα δεκὰς ἐν τῇ δεκάδι παρ' αὐτὴν τοιοῦτόν ἐστιν· οὐκ ἔστιν ἐντὸς τῆς αὐτοδεκάδος ἑτέρα δεκὰς παρ' αὐτὴν τὴν αὐτοδεκάδα, ἵνα αὕτη εἴη ἐκ τῶν ἐν τῇ αὐτοεξάδι καὶ αὐτοεπτάδι καὶ ταῖς λοιπαῖς εὑρισκομένων ἀριθμῶν. ἐπειδὴ δὲ ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος πρῶτον ἔλεγον γίνεσθαι τὴν αὐτοδυάδα, εἶτα 5
20 πάλιν τὴν ἀόριστον δυάδα παραλαβοῦσαν τὴν αὐτοδυάδα ποιεῖν ἄλλας δύο δυάδας εὐθύς, ἐξ ὧν τὴν αὐτοτετράδα εἶναι λέγουσιν, ὁμοίως πάλιν τὴν ἀόριστον δυάδα παραλαβοῦσαν τὴν αὐτοτετράδα ποιεῖν ἄλλας δύο τετράδας ἐξ ὧν ἡ αὐτοοκτάς (τοῦ γὰρ ληφθέντος παντὸς ταύτην εἶναι δυοποιόν, τουτέστι διπλασιαστικὴν ἔλεγον εἶναι τὴν ἀόριστον δυάδα· ὃ γὰρ ἄν, φασίν, ἡ 10
25 ἀόριστος δυὰς λάβοι, διπλασιάζει), ἐπεὶ οὖν ταῦτ' εἴωθε παρ' αὐτοῖς λέγεσθαι, λέγει ὁ Ἀριστοτέλης ὅτι ἡ αὐτοτετρὰς οὐκ ἐκ τῶν τυχουσῶν δυάδων συγκείσεται, ἀλλ' ἐκ τῶν ἃς ἡ ἀόριστος δυὰς παραλαβοῦσα τὴν αὐτοδυάδα καὶ διπλασιάσασα πεποίηκε. τοῦτο εἰπὼν τὰ συμβαίνοντα ἐναντιώματα τῇ δόξῃ αὐτῶν οὐκ ἐπήγαγεν. ἐστὶ δ' ἓν μὲν τὸ πολλὰς εἶναι 15
30 εἰδητικὰς δυάδας, ἄλλο δὲ ὅτι οὐκ ἔσται, ὡς οὗτοι βούλονται, πρώτη ἡ αὐτοδυὰς καὶ δευτέρα ἡ αὐτοτριὰς καὶ τρίτη ἡ αὐτοτετρὰς καὶ ἐφεξῆς, ἀλλὰ πρῶτον ἡ αὐτοδυάς, εἶτα ἡ αὐτοτετρὰς καὶ οὕτως ἡ αὐτοτριάς. ἐπειδὴ γάρ, ὥς φασιν, ἡ ἀόριστος δυὰς μετὰ τῆς αὐτοδυάδος ἅτε δυοποιὸς οὖσα τοὺς εἰς δύο ἴσα διαιρουμένους ἀριθμοὺς πρῶτον ποιεῖ καὶ οὕτω τὸ ἓν
35 προστιθέμενον αὐτοῖς ποιεῖ τοὺς περιττούς, ἔσονται κατὰ τὴν τοιαύτην αὐ- 20
τῶν ἀπόφασιν πρῶτοι οἱ ἄρτιοι, καὶ οὕτως οἱ περιττοί, ὥστε καὶ ἡ αὐτοτετρὰς προτέρα τῆς αὐτοτριάδος. καθὸ δὲ πάλιν πρώτην λέγουσι τὴν αὐτοδυάδα, δευτέραν τὴν αὐτοτριάδα, τρίτην τὴν αὐτοτετράδα καὶ ἐφεξῆς, ἔσται ἡ αὐτοτριὰς πρώτη τῆς αὐτοτετράδος.

40 Ἔτι, φησί, τὸ λέγειν ὅτι ἡ αὐτοδυὰς καὶ ἡ αὐτοτριὰς φύσις τίς ἐστιν 25
ἑτέρα, ἡ μὲν παρὰ τὰς δύο μονάδας ἡ δὲ τριὰς παρὰ τὰς τρεῖς, ἄτοπον.

4 τε L: om A  19 γίνεσθαι A: δείκνυσθαι L  25 ἐπειδὴ L

ἢ γὰρ ὡς ὁ λευκὸς ἄνθρωπος ἐξ οὐσίας μὲν τοῦ ἀνθρώπου καὶ συμβεβη-
κότος τοῦ λευκοῦ ὢν ἕτερός ἐστι τοῦ ἀνθρώπου τῷ λόγῳ, ἀλλ' οὐ τῷ
ὑποκειμένῳ, οὕτως ἔσται καὶ ἡ δυὰς ἑτέρα οὖσα τῶν δύο μονάδων, ὡς
εἶναι οὐσίαν καὶ ὑποκείμενον τὰς μονάδας, συμβεβηκὸς δὲ τὴν δυάδα, ἢ
ἔμπαλιν ὑποκείμενον μὲν τὴν δυάδα συμβεβηκότα δὲ τὰς μονάδας· ἢ οὐν
οὕτως, ἢ ὅτι ὡς ὁ ἄνθρωπος ἐκ ζῴου καὶ δίποδος, τοῦ μὲν ὡς ἐκ γένους,
τοῦ δὲ δίποδος ὡς ἐκ διαφορᾶς, ὧν ἀμ|φοτέρων ἕτερος καὶ τοῦ ζῴου καὶ 735
τοῦ δίποδος, οὕτως ἀνάγκη λέγειν ὅτι καὶ ἡ δυὰς ἑτέρα ἐστὶ τῶν μονά-
δων, τῆς μὲν οὔσης γένους τῆς δὲ διαφορᾶς· ὅπερ ἐστὶ καταγέλαστον.
οὔτε γὰρ ἡ δυὰς συμβέβηκε ταῖς μονάσιν (ἠδύνατο γὰρ ἂν καὶ μὴ οὐσῶν
δύο μονάδων εἶναι) οὔτε αὐται τῇ δυάδι, οὔτε τὸ μὲν γένος εἶναι τὴν δὲ
διαφοράν· ἀδιάφοροι γὰρ ὑπόκεινται αἱ ἐν τῇ αὐτοδυάδι μονάδες, τὸ δὲ γένος τῆς διαφορᾶς κατὰ πολλὰ διαφέρει. ἔτι, φησίν, ἐπειδὴ ἡ δυὰς καθὸ
δυὰς ἕν τί ἐστιν, εἴ τι δὲ ἕν, ἢ τῇ ἁφῇ ἐστιν ἓν ὡς ἡ δέσμη τῶν ξύλων,
ἢ τῇ μίξει ὡς τὸ οἰνόμελι (μῖξιν δὲ εἶπε νῦν τὴν κρᾶσιν), ἢ τῇ θέσει ὡς
οἱ λίθοι ἐξ ὧν ἡ οἰκία· ὧν τριῶν τρόπων κατ' οὐδένα ἐνδέχεται τὴν δυ-
άδα ἓν εἶναι ἢ τὴν τριάδα. οὔτε γὰρ ἅπτεσθαι δύνανται αἱ εἰδητικαὶ μο-
νάδες ἀσώματοι οὖσαι κατ' αὐτοὺς καὶ ἀμερεῖς. τὰ δὲ ἁπτόμενα πάντα
σώματα (ὅτι δὲ τὰ ἀμερῆ οὐχ ἅπτεται δέδεικται ἐν τῇ Φυσικῇ)· ἀλλὰ
μὴν οὐδὲ μίγνυσθαι δύνανται αἱ μονάδες καὶ κεράννυσθαι (τῆς ὑγρᾶς γὰρ
τοῦτο φύσεως) οὔτε παρακεῖσθαι· οὐδὲ γὰρ αὐτοὶ βούλονται κατὰ παρά-
θεσιν καὶ σωρηδὸν κειμένων τῶν μονάδων εἶναι τὴν αὐτοδυάδα καὶ τοὺς
λοιπούς εἰδητικοὺς ἀριθμούς· ἀλλ' ὥσπερ, φησίν, ἐκ τῶν δύο ἀνθρώπων,
τῶν μονάσιν ἀναλογούντων, οὐ γίνεται εἷς τις ἄνθρωπος, ἕτερος ὢν αὐτῶν
καὶ δυάδος λόγον ἐπέχων πρὸς αὐτούς (καὶ γὰρ ἡ δυὰς ἡ δυὰς ἕν ἐστιν,
ὡς εἴρηται), ἀλλ' ἡ δυὰς αὐτοὶ οἱ δύο ἄνθρωποί εἰσιν, οὕτως ἀνάγκη καὶ
τὴν δυάδα αὐτὰς εἶναι τὰς μονάδας καὶ οὐκ ἄλλην τινὰ παρ' αὐτὰς φύσιν.
εἰ δέ τις λέγοι ὅτι παρὰ μὲν τοὺς δύο ἀνθρώπους οὐ δύναται ἄλλη τις
εἶναι φύσις δυάδος πρὸς αὐτοὺς ἐπέχουσα λόγον, διότι διαιρετοί εἰσι, παρὰ
δὲ τὰς δυάδας δύναται (ἀμερεῖς γάρ εἰσι καὶ ἀσώματοι), εἴ τις τοῦτο λέ-
γει, ψεῦδος ἐρεῖ· οὐ γὰρ διότι ἀδιαίρετοί εἰσιν αἱ μονάδες τῆς δυάδος, καὶ
αὕτη τῶν μονάδων· οὕτω γὰρ ἂν καὶ ἡ τῶν στιγμῶν δυὰς ἑτέρα ἂν ἦν
τῶν στιγμῶν· ἀμερεῖς γὰρ καὶ αὗται· ἀλλ' ὅμως οὐκ ἔστιν ἡ τῶν στιγμῶν
δυὰς ἑτέρα παρ' αὐτάς, ὡς καὶ αὐτοὶ λέγουσιν, ἀλλ' ἡ τῶν στιγμῶν δυὰς
αὐταὶ αἱ στιγμαί εἰσιν.

---

6 ὁ L: om. A 7 διαφορᾶς M¹: διαφορῶν A: διαφόρων LM² 8 ἀνάγκη M¹: om. AL: ind. M² 11 τὸ M: om. AL 12 "post διαφοράν adde δυνατόν" Bonitz αὐτοδυάδι M¹: αὐτοδεκάδι ALM² 19 ἐν τῇ Φυσικῇ] Z 1 26 δύο L: om. A 27 τινὰ AM¹: om. L: ind. M² παρ' αὐτὰς M: παρ' αὐταῖς AL 30 δυάδας] legendum δύο μονάδας 32 "post αὕτη adde ἑτέρα" Bonitz 35 αὐταὶ M: αὗται AL

p. 1082a26 Ἀλλὰ μὴν οὐδὲ τοῦτο λανθάνειν δεῖ ὅτι συμβαίνει προτέρας καὶ ὑστέρας εἶναι δυάδας.

Ἐλλιπῶς εἴρηται διὰ βραχυλογίαν, ἐστὶ δὲ τὸ τέλειον τοῦ λόγου τοιοῦτον. ἀλλὰ μὴν οὐδὲ τοῦτο δεῖ λανθάνειν ὅτι συμβαίνει κατὰ ταύτην τὴν ὑπόθεσιν δυάδας δυάδων προτέρας εἶναι (τούτου γάρ ἐστι δη- 30
λωτικὸν τὸ προτέρας καὶ ὑστέρας εἶναι δυάδας), καὶ ἄλλους πάλιν ἀριθμοὺς ἄλλων, οἷον τριάδας τριάδων προτέρας φαίνεσθαι, ὅπερ οὗτοι οὐ | βούλονται· μίαν γὰρ δυάδα φασὶ καὶ μίαν τριάδα καὶ ἐπὶ τῶν ἄλλων οὕ- 736
τως. εἰπὼν δὲ ὅτι συμβαίνει δυάδας δυάδων εἶναι προτέρας δείκνυσιν αὐτὸ διὰ τοῦ αἱ μὲν γὰρ ἐν τῇ τετράδι δυάδες ἔστωσαν ἀλλήλαις ἅμα. τὸ δὲ λεγόμενον τοιοῦτον. ἐπειδὴ γὰρ ἡ ἀόριστος δυὰς δυοποιὸς οὖσα καὶ παραλαβοῦσα τὴν αὐτοδυάδα καὶ διπλασιάσασα αὐτὴν πεποίηκε τὰς ἐν τῇ αὐτοτετράδι δυάδας, αἱ τῆς αὐτοτετράδος ἔστωσαν ἅμα. ἀλλὰ τῶν ἐν τῇ αὐτοοκτάδι εὑρισκομένων δυάδων πάντως πρότεραί εἰσιν· ὡς γὰρ ἡ δυὰς ταύτας, ἤτοι ὥσπερ γὰρ ἡ ἀόριστος δυὰς μετὰ τῆς αὐτοδυάδος ταύτας τὰς ἐν τῇ αὐτοτετράδι ἐγέννησε δυάδας, οὕτως αὕτη ἡ ἀόριστος δυὰς διπλασιάσασα τὰς ἐν τῇ αὐτοτετράδι δυάδας πεποίηκε τὰς ἐν τῇ ὀκτάδι τετράδας καὶ τὰς συστατικὰς τῶν τοιούτων τετράδων δυάδας· ὥστε καὶ ἡ αὐτοτετρὰς προτέρα ἔσται τῶν τῆς ὀκτάδος τετράδων, ὁμοίως δὲ καὶ αἱ δυάδες αὐτῆς τῶν ἐν τῇ ὀκτάδι δυάδων. καὶ πρὸς τούτοις ἐπειδὴ τὰ ἀπὸ τῶν ἀρχῶν γενόμενα, ὡς αὐτοί φασιν, ἰδέαι εἰσί, πεποίηκε δὲ τὰς τετράδας ταύτας καὶ τὰς δυάδας ἡ ἑτέρα τῶν ἀρχῶν, ἡ ἀόριστος δυάς, ἔσονται καὶ αἱ τῆς αὐτοτετράδος δυάδες ἰδέαι καὶ αἱ τῆς αὐτοοκτάδος τετράδες, καὶ συγκείσεται ἡ ἰδέα ἐξ ἰδεῶν. διὰ τί γὰρ ἡ πρώτη δυὰς ἤτοι ἡ αὐτοδυὰς ἐκ τῆς ἀρχῆς τῆς ἀορίστου γεγονυῖα δυάδος ἰδέα ἐστίν, αἱ δὲ ἄλλαι οὐκ ἔσονται; ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν μονάδων. ἐπειδὴ γὰρ αἱ ἐν τῇ πρώτῃ δυάδι μονάδες μετὰ τῆς ἀορίστου δυάδος ἐγέννησαν τὰς ἐν τῇ αὐτοτετράδι μονάδας καὶ αὗται πάλιν μετὰ τῆς ἀρχῆς τῆς εἰρημένης τὰς ἐν τῇ αὐτοοκτάδι, ἔσονται πᾶσαι αἱ μονάδες ἰδέαι καὶ συγκείσεται ἡ ἰδέα ἐξ ἰδεῶν, ὥστε εἰ ἔσται ἡ αὐτοδυὰς αὐτοάνθρωπος, ἡ δὲ αὐτοτριὰς ὁ αὐτοῖππος, ἡ δὲ αὐτοτετρὰς αὐτοβοῦς, ἔσται ἡ αὐτοοκτὰς συγκειμένη ἐξ ἀνθρώπου καὶ ἵππου καὶ βοός. καὶ ἐπεὶ αἱ ἰδέαι παραδείγματά ἐστι τῶν ἐνταῦθα ζῴων, ἔσται κἀνταῦθα ζῷον ἐξ ἀνθρώπου καὶ ἵππου καὶ βοὸς συγκείμενον· τούτου γάρ ἐστι δηλωτικὸν τὸ ὥστε δῆλον ὅτι κακεῖνα, ὧν ἰδέαι αὗται τυγχάνουσιν οὖσαι, συγκείμενα ἔσται, οἷον εἰ τὰ ζῷα φαίη τις συγκεῖσθαι ἐκ ζῴων. ἀλλ' ἐπειδὴ ἔχει τινὰ ἀσάφειαν ἡ λέξις, σαφηνιστέον καὶ ἔτι αὐτήν. οἷ-

3 τέλειον M¹ Syr.: τέλος ALM² 9 προτέρας M¹: om. AL: ind. M² 15 ταύτας M: ταύτης AL 20 δὲ A: δὴ L 21 ἀρχῶν—φασιν A: ἀρχῶν ὡς αὐτοί φασι γινόμενα L 30 εἰ LM²: om. A 32 αὐτοοκτὰς] αὐτοεννὰς coni. Bonitz 33 ἐνταῦθα LM²: ἐνταῦτα A

μαι δὴ χρῆναι ὑποστίζειν εἰς τὸ τὰ ζῷα, εἶτα ἐπάγειν τὸ φαίη τις συγκεῖσθαι ἐκ ζῴων. καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον· ὥστε εἰ ἰδέαι ἐξ ἰδεῶν σύγκεινται, καὶ τὰ ἐνταῦθα πράγματα, ὧν φασιν εἶναι τὰς ἰδέας, 30 συγκείμενα ἔσται. οἷον εἰ τῶν ζῴων εἰσὶν αἱ ἰδέαι, ἐστὶ δὲ σύνθετος ἡ
5 ἰδέα, ὁ τοῦτο ἀκούσας | φαίη ἂν ὅτι καὶ ἐνταῦθα ζῷον ἔσται σύνθετον 737
ἐκ ζῴων. διὰ τί γὰρ ἰδέας οὔσης συνθέτου καὶ συνωνύμου τοῖς ὧν ἐστιν ἰδέα, οὐκ ἔσται καὶ ζῷον ἐνταῦθα σύνθετον; εἰ γὰρ ὁ αὐτοίππος σύγκειται ἐκ τῆς τοῦ ἀνθρώπου καὶ κυνὸς ἰδέας, ἔσται καὶ ὁ ἐνταῦθα ἵππος ἐκ τῶν τῇδε ἀνομοίων φύσεων τοῦ ἀνθρώπου καὶ κυνὸς συγκείμενος. 5

10 p. 1082b1 Ὅλως δέ, φησί, τὸ ποιεῖν τὰς μονάδας διαφόρους ὁπωσοῦν, εἴτε τῷ ποιῷ εἴτε τῷ ποσῷ, πλασματῶδες.

Καὶ ὁρίζεται τὸ πλασματῶδες τί ποτέ ἐστι λέγων πλασματῶδές ἐστι τὸ πρὸς ὑπόθεσιν βεβιασμένον. εἰ γάρ τις λέγοι ὅτι ὁ ἄνθρωπος φυτοκεῖ ἐπεὶ ἵπταται, συμβήσεται τὸ τὸν ἄνθρωπον φυτοκεῖν, ἐὰν ἵπταται· 10
15 ἀλλ' ἡ ὑπόθεσις, ἐξ ἧς συμβαίνει τὸ φυτοκεῖν τὸν ἄνθρωπον (ἐστὶ δὲ τὸ ἵπτασθαι αὐτόν) βεβιασμένη, ἤτοι ἀδύνατος καὶ ψευδής ἐστιν. ὡς οὖν ἐπὶ τούτου, οὕτω καὶ ἐπὶ τῶν ἀριθμῶν, ἂν δοίη τις ἐκ τῆς ἀορίστου δυάδος καὶ τοῦ ἑνὸς γίνεσθαι τοὺς ἀριθμούς, καὶ ἄλλην μὲν εἶναι τὴν αὐτοδυάδα, ἄλλην δὲ τὴν αὐτοτριάδα, διὰ τὸ μὴ κατὰ πρόσθεσιν γίνεσθαι τοὺς
20 ἀριθμοὺς ἀλλ' ἐκ τῶν ἀρχῶν τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, εἴ τις δὴ 15
ταῦτα θήσει, συμβήσεται τὰ ὑπ' αὐτῶν λεγόμενα καὶ ἔσονται ἀριθμοὶ εἰδητικοί· ἀλλ' ἡ τοιαύτη ὑπόθεσις πλασματώδης καὶ βεβιασμένη καὶ ἀδύνατός ἐστι. τίς γὰρ ἂν ὑπονοήσειεν ὡς διαφέρει μονὰς μονάδος, ἐξ οὗ καὶ τῶν προρρηθέντων ὑποθέσεων ἃ λέγουσι συνάγουσιν. εἰ γὰρ διαφέρει
25 μονὰς μονάδος, ἢ τῷ ποσῷ ἢ τῷ ποιῷ διαφέροι ἄν· κατ' οὐδένα δὲ τρό- 20
πον ἐνδέχεται τοῦτο· ἄποσοι γάρ εἰσι καὶ ἀσώματοι καὶ διὰ τοῦτο καὶ ἄποιοι. εἰπὼν δὲ ὅτι πῶς οἷόν τε διαφόρους τὰς μονάδας λέγειν, δείκνυσιν ὅτι ἀδιάφοροί εἰσι καὶ συμβληταί, καίτοι ἀνωτέρω γενναίως ἐκ διαιρέσεως τοῦτο δείξας. δείκνυσιν οὖν τοῦτο λέγων· ἀνάγκη γάρ, φησίν, ἢ ἴσον
30 εἶναι ἢ ἄνισον πάντα ἀριθμὸν καὶ μάλιστα τὸν μοναδικὸν καὶ ἀσώματον· τὸν γὰρ φυσικὸν οὐκ ἀνάγκη, οἷον εἰ εἶεν τρία καὶ τρία ξύλα, οὐκ 25
ἀνάγκη ἴσα εἶναι. ὡς μὲν οὖν τρία καὶ ὅλως ἀριθμητὰ ἴσα εἰσὶν ἐξ ἀνάγκης, ὡς δὲ ποσὰ οὐκ ἀνάγκη. ἐνδέχεται γὰρ τῶν ἐν τῇ ἑτέρᾳ τριάδι διπήχεων ὄντων τὰ ἐν τῇ ἑτέρᾳ εἶναι τριπήχη. ἀνάγκη δὴ ἴσον εἶναι
35 τὸν μοναδικὸν ἀριθμὸν ἢ ἄνισον. εἰ μὲν γὰρ μήτε πλείων μήτε ἐλάττων ἐστὶ θάτερος θατέρου, ὡς ὁ τέσσαρα καὶ τέσσαρα, οὗτοι ἐξ ἀνάγκης 30
εἰσὶν ἴσοι· εἰ δὲ θάτερος θατέρου πλείων ἐστὶν ἢ ἐλάττων, οὗτοι τοὐναν-

4 ἡ om. L 5 τοῦτο M: τούτου AL post καὶ addendum τὸ coni. Bonitz
10. 11 ὁπωσοῦν ἄτοπον καὶ πλασματῶδες Metaph. 13 ὑπόθεσιν L: τὴν ὑπόθεσιν A 14 ἐπεὶ A: ἐπειδὴ L 17 τούτου L: τούτων A δοίη M: δώη A: δώει L fort. θείη 34 διπηχέων — ἑτέρᾳ L: πηχυαίων ὄντων τὰ ἕτερα A

τίον ἄνισοί εἰσιν. ἀλλὰ μὴν τὰ ἴσα καὶ ἀδιάφορα τὰ αὐτὰ καὶ συμβλητὰ καὶ μηδεμίαν ἐν αὐτοῖς διαφορὰν εἶναι ὑπολαμβάνομεν ἐν τοῖς ἀριθμοῖς· ὥστε εἰ ὁ τέσσαρα ἀριθμὸς ὁ μοναδικὸς τοῦ τοιούτου τέσσαρα οὔτε πλείων ἐστὶν οὔτε ἐλάττων, δῆλον ὅτι ἴσος αὐτῷ ἐστιν. ἀλλ' εἰ ἴσος, καὶ ὁ | αὐτὸς καὶ ἀδιάφορος. εἰ δ' οὗτοι ἀδιάφοροι, καὶ αἱ ἐν αὐτοῖς 738
μονάδες. ὥστε δῆλον ὅτι καὶ τῶν ἄλλων ἁπάντων. δύο γὰρ ἀριθμῶν, τοῦ τέσσαρα καὶ τέσσαρα, ἑτέρων ὄντων τῷ ἀριθμῷ, τῷ δὲ εἴδει τῶν αὐτῶν, συμβλητὰς ἐχόντων τὰς μονάδας, καὶ οἱ ἄλλοι πάντες οὕτως αὐτὰς ἕξουσιν. εἰ δέ, φησί, λέγοι τις ὅτι τὰ ἴσα καὶ διάφορα καὶ ἕτερά ἐστιν ἀλλ' οὐ τὰ αὐτά. οὐδὲ αἱ ἐν τῇ δεκάδι δυάδες ἴσαι οὖσαι ἀδιάφοροι ἔσονται, ἀλλὰ διάφοροι καὶ ἀνομοειδεῖς, ὅπερ οὐ βούλονται οἱ τὰς ἰδέας τιθέμενοι· τὸ γὰρ σύνταγμα τῶν ἐν τῷ ἑνὶ ἀριθμῷ μονάδων ἀδιάφορόν φασι. τίνα γάρ, φησίν, αἰτίαν ἕξει λέγειν ὁ φάσκων ἀδιαφόρους εἶναι, τουτέστιν ἂν οἱ ἴσοι ἀριθμοὶ οὐκ εἰσὶν οἱ αὐτοὶ καὶ ἀδιάφοροι, ὡς ἡμεῖς φαμεν, ἀλλὰ διάφοροι καὶ ἕτεροι, ἔσονται καὶ αἱ ἐν τῇ δεκάδι δυάδες ἴσαι οὖσαι διάφοροι. εἰ δέ τις εἴποι ὅτι αἱ ἐν τῇ αὐτοδεκάδι δυάδες εἰσὶ μὲν ἴσαι καὶ ἀδιάφοροι, αἱ δὲ ἄλλαι, οἷον αἱ ἐν τῇ τριάδι καὶ πεντάδι (ἔνεισι γὰρ καὶ ταύταις δυάδες) ἴσαι μέν, διάφοροι δὲ καὶ ἀσύμβλητοι. ὁ τοῦτο λέγων τίνα αἰτίαν ἕξει λέγειν δι' ἣν αἱ μὲν ἐν τῇ δεκάδι δυάδες ἴσαι οὖσαι ἀδιάφοροί εἰσιν, αἱ δὲ ἄλλαι ἴσαι μὲν διάφοροι δέ. ὥστε τὸ τίνα γὰρ αἰτίαν ἕξει λέγειν ὁ φάσκων ἀδιαφόρους εἶναι περὶ τῶν ἐν τῇ δεκάδι δυάδων εἴρηται, ἐλλιπῶς δέ, καὶ εἴη ἂν τὸ πλῆρες τοιοῦτον 'τίνα γὰρ αἰτίαν ἕξει λέγειν ὁ φάσκων ἀδιαφόρους εἶναι τὰς ἐν τῇ αὐτοδεκάδι δυάδας ἴσας οὔσας ἀλλήλαις'; καὶ τότε προσυπακουστέον τοῦ 'τὰς δὲ ἐν τοῖς ἄλλοις ἀριθμοῖς ἴσας μὲν διαφόρους δέ'.

p. 1082b11 Ἔτι εἰ ἅπασα μονὰς καὶ μονὰς ἄλλη δύο.

Ὃ λέγει τοιοῦτόν ἐστιν. ἐπειδὴ πᾶσα μονὰς μετὰ τῆς ἄλλης μονάδος δυάδα ποιεῖ, ἂν ἐκ τῆς δυάδος αὐτῆς καὶ τῆς τριάδος αὐτῆς, τουτέστιν ἂν ἐκ τῆς αὐτοδυάδος καὶ τῆς αὐτοτριάδος ἀφέλῃ τις ἀνὰ μίαν μονάδα καὶ συνθεὶς ποιήσει δυάδα, πρῶτον μὲν ποιήσει δυάδα ἐκ διαφερουσῶν μονάδων· αἱ γὰρ τῆς αὐτοδυάδος μονάδες πρὸς τὰς ἐν τῇ αὐτοτριάδι διάφοροι κατ' αὐτούς· πρῶτον μὲν οὖν ἔσται δυὰς ἐκ διαφερουσῶν μονάδων, ὅπερ οὐ βούλονται. ὅτι δὲ δύο οὐσῶν μονάδων ἀνάγκη δυάδα εἶναι, οὐ χρὴ καὶ λέγειν. ἔπειτα οὐ μόνον τοῦτο ἔσται, ἀλλὰ καὶ ἕτερον ἕψεται, ὅπερ διὰ τοῦ τέ συνδέσμου ἠνίξατο. καὶ τί τὸ ἑπόμενον ἐπάγει λέγων καὶ πότερον προτέρα τῆς τριάδος ἢ ὑστέρα; ἤτοι ἡ ἐκ τῶν τῆς αὐτοτριάδος καὶ αὐτοδυάδος μονάδων γεγονυῖα δυὰς

5 αἱ L: om. A 10 ἴσαι οὖσαι AM¹: om. L: ind. M² 15 τῇ L: τῇδε A
17. 18 πεντάδι—ταύταις AL: πεντάδι οὔ· εἰσὶ γὰρ καὶ αἱ ἐν ταύταις c. M Bonitz, qui parenthesin usque ad ἀσύμβλητοι producit 22 καὶ M¹: om. AL: ind. M² 29 τῆς αὐτοτριάδος M: τῆς om. AL 30 συνθεὶς ποιήσῃ coni. Bonitz

πότερον προτέρα ἐστὶ τῆς αὐτοτριάδος ἢ ὑστέρα; ᾗ μὲν γὰρ φύσει προτέρα ἡ δυὰς τῆς τριάδος, ταύτῃ προτέρα· ᾗ | δὲ πάλιν ἐκ τῶν μονάδων τῶν 739
ἅμα τῇ αὐτοτριάδι καὶ τῇ αὐτοδυάδι συνόντων γέγονε, ταύτῃ δὴ πάλιν ὑστέρα ἔσται τῆς αὐτοτριάδος· ἐκ γὰρ τοῦ μέρους αὐτῆς ἐγεγόνει. καὶ
5 ἡμεῖς μέν, φησίν, ἂν λάβωμεν οἷον φέρε ξύλον ἓν καὶ ἕν, εἴτε ἴσα εἴτε ἄνισα ὄντα, δυάδα εἶναί φαμεν (αὐτὸς δὲ τὸ ἀγαθὸν καὶ κακὸν καὶ ἄν- 5
θρωπον καὶ ἵππον ἔλαβεν εἰς ὑπόδειγμα)· καὶ ἡμεῖς μὲν οὕτως· οὗτοι δ' οὐδὲ τὰς μονάδας τὰς ἀμερεῖς φασι δυάδα ποιεῖν, ἀλλὰ μόνας ἃς ἡ ἀόριστος δυὰς καὶ τὸ ἀρχικὸν ἓν γεγεννήκασι.

10 Τοῦτο εἰπὼν πάλιν ἐρωτᾷ πότερον ὁ τῆς αὐτοτριάδος ἀριθμὸς πλείων ἐστὶ τῆς αὐτοδυάδος ἢ οὐκ ἔστι πλείων. εἴτε γὰρ μή ἐστι πλείων ἡ τριὰς τῆς δυάδος, θαυμαστὸν καὶ παντελῶς ἄλογον· εἴτε ἐστὶ πλείων, δῆλον ὅτι 10
ἐστὶν ἐν αὐτῇ καὶ ἴσον· ἀπὸ γὰρ τοῦ πλείονος δυνάμεθα τῷ ἐλάττονι ἴσον ἀφελεῖν· ὥστε ἴση ἔσται ἡ αὐτοδυὰς τῇ ἐν τῇ αὐτοτριάδι δυάδι. τὰ δὲ
15 ἴσα δέδεικται ἀδιάφορα· ἀδιάφορος ἄρα καὶ ἡ αὐτοδυὰς πρὸς τὴν ἐν τῇ αὐτοτριάδι δυάδα· ὥστε κατὰ τοῦτο ἀνάγκη ἀδιαφόρους αὐτὰς εἶναι καὶ συμβληταί. πάλιν δὲ οὐκ ἐνδέχεται τοιαύτας εἶναι αὐτάς, ἀλλὰ διαφόρους 15
καὶ ἀσυμβλήτους, εἴπερ ἐστίν, ὡς αὐτοὶ βούλονται, πρῶτός τις ἀριθμὸς καὶ δεύτερος. οὐδὲ ἔσται, φησίν, ἰδέα, εἰ ἀδιάφοροι οἱ ἀριθμοί· τὴν
20 γὰρ τῶν ἰδεῶν ὕπαρξιν κατὰ τὰς διαφορὰς τῶν ἀριθμῶν συνιστῶσι. καὶ τοῦτο μὲν ὀρθῶς καὶ ἀκολούθως ἑαυτοῖς φασιν οἱ τὸν ἀριθμὸν τῶν ἰδεῶν ἐκ διαφερουσῶν μονάδων συνεστάναι λέγοντες, ἵνα μὴ ἐκ διαφόρων ἰδεῶν 20
τὴν ἰδέαν ποιεῖν ἀναγκασθῶσιν. ἕκαστον γὰρ εἶδος ἕν ἐστι κατ' αὐτοὺς καὶ ἁπλοῦν· εἰ δ' ἦσαν αἱ μονάδες ἀδιάφοροι, τῆς αὐτῆς ἐννοίας καὶ ἀκο-
25 λουθίας καὶ τοῦ αὐτοῦ λόγου εἶναι καὶ τὰς δυάδας καὶ τὰς τριάδας ἀδιαφόρους· ὥστε εἰ ἦν ὁ αὐτοάνθρωπος ἡ αὐτοτετράς, ὁ δὲ αὐτοΐππος ἡ αὐτοδυάς, καὶ ἀδιάφορος ἡ τοῦ ἵππου δυὰς πρὸς τὴν τοῦ ἀνθρώπου, συνέβαινεν εἶναι τὸν αὐτοάνθρωπον ἐξ ἵππου καὶ ἀνθρώπου· καὶ πάντα τὰ ἐντὸς τῆς 25
αὐτοδεκάδος εἴδη, ἥ τε αὐτοδυὰς καὶ ἡ αὐτοτριὰς καὶ τὰ λοιπά, ὑπάρχειν
30 μέρη τῆς αὐτοδεκάδος· ὥστε εἰ ἦν ἡ αὐτοδεκὰς ὁ αὐτοελέφας, ἦν ἂν ὁ αὐτοελέφας ἐξ ἵππου καὶ ἀνθρώπου καὶ τῶν λοιπῶν. τοσοῦτον δὲ ἑτεροιοῦσι τὰς μονάδας καὶ διαφόρους ποιοῦσιν, ὥστε οὐδὲ προστιθέντες τῇ δυάδι μονάδα τὴν τριάδα ποιοῦσιν καὶ ταύτῃ ἄλλην μονάδα τὴν τετράδα· τοῦτο 30
γὰρ ἄν, φασίν, ἐγίνετο, εἰ ἀδιάφοροι ἦσαν αἱ μονάδες καὶ συμβληταί. οὐ
35 κατὰ πρόσθεσιν οὖν τὸ μέτρον ποιοῦνται, ἀλλὰ χωρίζουσιν ἕκαστον τῶν ἀριθμῶν καὶ μετὰ τὸ ἓν ὡς ἀπ' ἄλλης ἀρχῆς μεταβαίνουσιν ἐπὶ τὰ δύο μὴ προστιθέντες τῷ προτέρῳ ἑνὶ ἄλλο ἕν. οὐ γὰρ ἡ γένεσις τῶν | ἀριθ- 740
μῶν ἐκ τῆς ἀορίστου δυάδος ἦν, εἰ τῷ ἑνὶ προστεθὲν ἄλλο ἓν ὁ δύο ἐγένετο καὶ τούτῳ ἄλλο ἓν ὁ τρία καὶ ἐφεξῆς. ἀλλὰ μὴν οὐδὲ ἰδέαν ἐνδέχε-

---

1 γὰρ A: οὖν L 3 καὶ τῇ A: τῇ om. L 5 λάβωμεν L: ἐλάβομεν A ξύλον A: ξύλα L 6. 7 καὶ ἄνθρωπον L: om. A 8 οὐδὲ L: om. A 24 ἦσαν L: ἴσος A: εἰσὶν M Bonitz 27 ἀδιάφορος L: ἀδιάφοροι A 34 ἐγίνετο L: om. A 38. 39 ὁ δύο — ἄλλο ἓν LM: om. A

ται εἶναι· ἐνυπάρξει γὰρ ἡ ἑτέρα ἰδέα οἷον ἡ αὐτοδυὰς ἐν τῇ ἑτέρᾳ ἰδέᾳ τῇ αὐτοτριάδι, εἴπερ οἱ ἀριθμοὶ ἀδιάφοροι ὄντες κατὰ πρόσθεσιν μετρούμενοι εἰδητικοί εἰσιν. εἰ οὖν οἱ ἀριθμοὶ ἰδέαι, αἱ δὲ ἰδέαι οὐ περιέχονται ὑπ' ἄλλων ἰδεῶν ὥστε μέρος εἶναι τῶν περιεχουσῶν, οὐδ' ἂν οἱ ἀριθμοὶ μέρη εἶεν ἄλλων ἀριθμῶν. ὑπάρξει δὲ αὐτοῖς τὸ μὴ μέρη εἶναι ἄλλων ἀριθμῶν, εἰ διάφοροί εἰσιν αἱ ἐν αὐτοῖς μονάδες. ταῦτα οὖν, φησίν, εἰ καὶ σώζει τὴν αὐτῶν ὑπόθεσιν, ἀλλ' ἀνατρέπει πολλὰ τῶν ἀριθμητικῶν θεωρημάτων· οὔτε γὰρ σωρεία ἔσται κατὰ τοῦτο τῶν τυχουσῶν μονάδων ὁ ἀριθμός, οὔτε οὖν διαιρεθήσεται εἰς τὰς τυχούσας, οὔτε πρὸς ἀλλήλας λόγον ἕξουσι τὸν ἡμιόλιον τὸν ἐπίτριτον ἢ ἄλλον τινά. ἀλλὰ πρὸς μὲν τὴν ἑαυτῶν ὑπόθεσιν ὀρθῶς λέγουσιν, ἁπλῶς δὲ οὐκ ὀρθῶς. τὸ δὲ διὸ καὶ τὸ ἀριθμεῖσθαι οὕτως ὑπερβατῶς ἀναγνωστέον ὧδε· διὸ καὶ τὸ ἀριθμεῖσθαι ἀναγκαῖον αὐτοῖς οὕτω λέγειν ἓν δύο, μὴ προσλαμβανομένου πρὸς τῷ ὑπάρχοντι ἑνὶ ἢ ἀριθμῷ ἄλλου ἑνός· καὶ γὰρ καὶ τοῦτο δεῖ προσυπακούειν.

p. 1082b34 Ἐπεὶ τοῦτό γ' αὐτὸ ἔχειν τινὰ φήσουσιν ἀπορίαν.

Τοῦτο ἴσον ἐστὶ τῷ εἰώθασιν ἀπορεῖν πρὸς ἑαυτοὺς οἱ διαφόρους τὰς μονάδας λέγοντες· τὸ δ' ἀπορούμενον τοιοῦτον, πότερον ἀπὸ τοῦ δύο ἐπὶ τὸν τρία δεῖ μεταβαίνειν καὶ τέσσαρα καὶ πέντε καὶ ὅλως κατὰ σύνθεσιν ἀριθμεῖν, ἢ κατὰ μερίδας, τουτέστι κατὰ διαίρεσιν ἀπὸ τῆς δεκάδος λαμβάνειν καὶ λέγειν ὅτι τόδε μὲν τὸ μέρος αὐτῆς ἐστι δύο, τόδε δὲ τρία, καὶ οὕτως ἐπὶ τῶν ἄλλων. οὐδέτερον δὲ τούτων αὐτοῖς ἤρεσκεν, ἀλλ' εἴτε κατὰ πρόσθεσιν, φασίν, ἀριθμεῖν φήσομεν, ἔσονται αἱ μονάδες ἀδιάφοροι καὶ συμβληταί, εἴτε κατὰ διαίρεσιν, ἔσται ἡ δεκὰς ἐκ τῆς αὐτοδυάδος, αὐτοτριάδος καὶ τῶν λοιπῶν. εἰ δὴ δεῖ, φασίν, ἀμφότερα φυγεῖν τὰ ἄτοπα, θετέον οὐσιώδεις τοὺς τοιούτους ἀριθμοὺς καὶ εἰδητικούς· ἓν γὰρ ὧν ἕκαστος αὐτῶν καὶ ἄλλο οὔτε προστεθήσονται ἀλλήλοις οὔτε διαίρεσιν ὑποστήσονται· ταῦτα γὰρ τῷ μαθηματικῷ ἁρμόζει. ἀλλ' ἐκεῖνοι μὲν οὕτως· ἡμεῖς δέ, φησίν, ἀμφοτέρως ποιοῦμεν· ὡρισμένου γὰρ ὄντος τοῦ ἀριθμοῦ, οἷον τοῦ ὀκτὼ ἢ τοῦ ἓξ ἢ ἄλλου | οὑτινοσοῦν, διαιροῦμεν αὐτοὺς 741
εἰς τὰ οἰκεῖα μέρη· ἀορίστου δὲ προστίθεμεν ταῖς μονάσι μονάδας, ἕως ἂν καταντήσωμεν εἰς τὸν ἀριθμόν, ὃν ὁρίσαι καὶ περατῶσαι βουλόμεθα. ἀλλὰ πῶς ἀόριστον εἶπε τὸν ἀριθμόν; ἢ ἐπειδὴ καὶ ὁ δύο καὶ ὁ τρία καὶ οἱ λοιποὶ ὅλη εἰσὶ τοῦ εἴκοσιν, εἰ εἰς τοῦτον βουλόμεθα καταντῆσαι, πρὸς τὸ τοῦ εἴκοσιν εἶδος ἀόριστοι οἱ ἐντὸς ἅπαντές εἰσι καὶ ὕλαι. διό, φησί, γε-

1 γὰρ M¹: δὲ ALM² 3 ἰδέαι αἱ δὲ — ἀριθμοὶ (4) L: om. A 4 ὑπ' ἄλλων Syr.: ὑπὸ τῶν ἄλλων LM² ἰδεῶν e Syriano Bonitz: ἀριθμῶν LM² περιεχουσῶν L Syr.: περιουσῶν M² 6 εἰσὶν] εἶεν Syr. 14 ἄλλου ἑνός M: ἄλλο ἕν AL τούτου M Bonitz 18 τὸ δ' L: τὸ A 22 τούτων L Syr.: om. A 27 ἄλλο M: ἄλλοι AL 30 αὐτοὺς A: αὐτὰ L 32. 33 ἀλλὰ — ἀριθμόν cf. ὡρισμένου (29) — βουλόμεθα (32)] apud Aristotelem nihil tale legimus

λοῖον ταύτην εἰς τηλικαύτην τῆς οὐσίας ἀνάγειν διαφοράν, τουτέστι γελοῖόν ἐστιν ἐκ τῆς οὕτως ἐπιπολαίου αὐτῶν ἀπορίας ἕκαστον τῶν ἀριθμῶν ποιεῖν ἰδέαν καὶ οὐσίαν καθ' αὑτήν.

Τοῦτο εἰπὼν ἐπάγει 'πρὸ πάντων δὲ τῶν ῥηθησομένων καλῶς ἔχει διαπορῆσαι καὶ ζητῆσαι, εἰ αἱ μονάδες διάφοροί εἰσι κατ' αὐτοὺς τῶν εἰδητικῶν ἀριθμῶν, πότερον τῷ ποσῷ διαφέρουσιν ὥστε τὴν μὲν τούτων εἶναι μείζονα τὴν δὲ ἐλάττονα, ἢ τῷ ποιῷ'. καὶ δείκνυσιν ὅτι κατ' οὐδέτερον τούτων ἐνδεχόμενόν ἐστι λέγειν τὰς μονάδας διαφέρειν· οὐδέτερον γάρ, φησί, τούτων ἐνδεχόμενον ὑπάρχειν φαίνεται ταῖς μονάσιν ἢ τοῖς ἀριθμοῖς. ἀλλ' ὁ μὲν ἀριθμὸς καθὸ ἀριθμὸς τοιοσδί, οἷον μείζων ἢ ἐλάττων, διαφέρει κατὰ τὸ ποσόν· εἰ δὲ καὶ αἱ μονάδες κατὰ τὸ ποσὸν διαφέρουσι, καὶ ἀριθμὸς ἀριθμοῦ διαφέροι ἂν ὁ ἴσος τοῦ ἴσου τῷ πλήθει, τουτέστι τῷ μεγέθει τῶν μονάδων. ἀντὶ γὰρ τοῦ εἰπεῖν τῷ μεγέθει εἶπε τῷ πλήθει· εἰ γὰρ κατὰ τὸ πλῆθος διέφερον, πῶς ἂν ἴσοι ἦσαν; ὥστε τῷ πλήθει ἀντὶ τοῦ μεγέθους ἐχρήσατο. ἀλλ' εἰ τοῦτο, ἔστωσαν δύο τετράδες· πότερον αἱ τῆς πρώτης τετράδος πρῶται δύο μονάδες εἰσὶ μείζους καὶ αἱ δεύτεραι ἐλάττους καὶ τῆς δευτέρας τετράδος ὁμοίως, ἢ ἀνάπαλιν, ἢ ἄλλως πως; καὶ πότερον ἅμα τῷ γενέσθαι σμικρόταταί εἰσιν, ὕστερον δὲ αὔξονται καὶ εἰς μείζονα ὄγκον καὶ μέγεθος ἐπιδιδόασιν, ὥσπερ τὰ ζῷα καὶ τὰ φυτὰ καὶ πᾶν τὸ αὐξόμενον, ἢ τοὐναντίον πρότερον μέν εἰσι μεγάλαι ὕστερον δὲ μειοῦνται καὶ σμικρύνονται; ταῦτα δὴ πάντα ἄλογα καὶ ἀδύνατά ἐστι· τὰ γὰρ αὐξανόμενα τρέφεται, αἱ δὲ μονάδες εἰ τρέφεσθαι λέγονται, τίς οὐκ ἂν γελάσοι; οὕτω μὲν οὖν δείξας τὸ ἀδύνατον τῆς κατὰ τὸ ποσὸν διαφέρειν τὰς μονάδας λεγούσης ὑποθέσεως εὐθύνει καὶ τὴν τῇ ποιότητι τὸ διάφορον αὐταῖς ἀπορρίπτουσαν. οὐδὲν γάρ, φησίν, οἷόν τε ταῖς μονάσιν ὑπάρχειν πάθος ἀμερέσιν οὔσαις, ὅπερ, φημὶ δὴ τὸ τὰ | ἀμερῆ μὴ ἔχειν πάθος, κάλλιστα ἐν τῷ τρίτῳ τῆς Περὶ οὐρανοῦ δέδεικται πραγματείας· ἐν γὰρ ταῖς μονάσι ποιότητα οὐχ οἷόν τε εἶναι, ἐν δὲ τοῖς ἀριθμοῖς ὑπάρχει μὲν ποιόν, ἀλλ' ὕστερον τοῦ ποσοῦ. πρότερον γὰρ ἡ τοσήδε τῶν μονάδων συντίθεται ποσότης, καὶ οὕτως ἐπιγίνεται τὸ ποιόν, ἤτοι αὐτὸ τὸ τοῦ ἀριθμοῦ εἶδος· ὥστε ἀριθμὸς ἀριθμοῦ τῷ εἴδει καὶ τῷ ποιῷ διαφέρει, μονὰς δὲ μονάδος οὐδαμῶς. ἔτι, φησίν, οὔτε ἀπὸ τοῦ ἀρχικοῦ ἑνὸς οὔτε ἀπὸ τῆς ἀρχικῆς δυάδος (αὕτη δέ ἐστιν ἡ ἀόριστος) ταῖς μονάσι τὸ κατὰ ποιότητα διαφέρειν γένοιτο· τὸ μὲν γὰρ ἓν ἄποιον, ἡ δὲ ἅμα ποσοῦ καὶ ποιοῦ αἰτία. ἐπειδὴ γὰρ ὃ ἂν λάβοι διπλασιάζει, δῆλον

---

13 οἶμαι κακῶς τὴν λέξιν συνέταξεν. ἔδει γὰρ οὕτω συντάξαντα ὅτι κἂν ἀριθμὸς ἀριθμοῦ διέφερεν ὁ ἴσος τοῦ ἴσου αὐτῷ κατὰ τὴν πλῆθυν τῶν μονάδων, μηδὲ τὸ τῷ πλήθει εἰς τὸ τῷ μεγέθει μεταλαβεῖν. συντακτέον οὖν τὸ μὲν πλῆθος τῶν μονάδων πρὸς τὸν ἴσον ἀριθμὸν καὶ μὴ πρὸς τὸ διέφερον, ἵν' ᾖ ὁ ἴσος τῷ πλήθει τῶν μονάδων καὶ μὴ ὅτι διέφερον τῷ πλήθει ἤτοι τῷ μεγέθει τῶν μονάδων A mrg. 16 μονάδες Bonitz: δυάδες libri 20 πρότερον L: πότερον A 20. 21 μεγάλαι L: μεγάλα A 24. 25 τῇ ποιότητι AL: κατὰ τὴν ποιότητα M Bonitz 27 ἐν τῷ τρίτῳ τῆς Περὶ οὐρανοῦ] c. 8 34 τὸ (ante κατὰ) L: om. A

ὡς καὶ ποσὸν καὶ ποιὸν περιτίθησι τῷ ἐκ τῆς διπλασιάσεως ἀποτελεσθέντι· αἱ δὲ μονάδες ἄποσοι. ὥστε εἰ ἡ μονὰς ἄποσος, ἡ δὲ ἀόριστος δυὰς τῷ ἐξ αὐτῆς ἅμα τῷ ποιῷ καὶ τὸ ποσὸν περιτίθησιν, οὐκ ἂν σχοῖεν ἐκ τῆς ἀρχικῆς δυάδος τὸ ποιόν· εἴρηται δὲ ὅτι οὐδὲ ἐκ τοῦ ἑνός. ἄποιον ἄρα ὅλως αἱ μονάδες. ὅτι δὲ ἡ δυὰς τῷ διπλασιασθέντι σὺν τῷ ποσῷ καὶ ποιὸν περιτίθησι καὶ ἔμπαλιν σὺν τῷ ποιῷ καὶ ποσόν, δῆλον. διπλασιάσασα γὰρ τὴν αὐτοδυάδα πεποίηκε τὴν αὐτοτετράδα, ἡ δὲ τετρὰς καὶ ποσότης τις καὶ ποιότης καὶ εἶδος ἕτερον τῆς δυάδος· τὴν δὲ τετράδα διπλασιάσασα πεποίηκε τὴν ὀκτάδα, ποσὸν ἅμα καὶ ποιὸν ἕτερον ὂν τοῦ τῆς τετράδος ποιοῦ καὶ ποσοῦ· ὥστε τοῖς μὲν ἀριθμοῖς τὸ ποιὸν καὶ τὸ τοιονδὶ εἶδος ἡ ἀόριστος ἐπιτίθησι δυάς, ταῖς δὲ μονάσιν οὐδαμῶς. εἰ γάρ, φησί, μὴ σὺν τῷ ποσῷ καὶ ποιότητα καὶ εἶδος ἐπετίθει, οὐκ ἂν ἦσαν πολλὰ τὰ ὄντα. τὰ γὰρ πράγματα κατὰ τὸ εἶδος ἔχει τὴν διαφορὰν ἀλλ' οὐ κατὰ τὴν ὕλην· ὥστε εἰ μὴ τὸ τῆς τετράδος εἶδος καὶ ἡ τοιαδὶ ποιότης ἑτέρα ἦν τοῦ τῆς πεντάδος εἴδους καὶ ποιότητος καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ἡ αὐτὴ ἂν ἦν ἡ τετρὰς τῇ πεντάδι καὶ αἱ ἄλλαι ὁμοίως καὶ οὐκ ἂν εἶεν πολλὰ τὰ ὄντα. ὄντα δὲ εἶπε τὰς ἰδέας· ὄντα γὰρ κυρίως τὰς ἰδέας εἶναι ἔλεγον οἱ τῶν ἰδεῶν προστάται· τὰ γὰρ ἐνταῦθα ὁμωνύμως ὄντα καὶ κατὰ συμβεβηκὸς ὄντα καλέσειεν ἄν τις, φασίν. ταῦτα εἰπὼν ἐπιφέρει εἰ δὲ ἄλλως πως ἔχει τὰ περὶ τὰς μονάδας καὶ μὴ ὡς ἡμεῖς φαμεν (λέγομεν δ' αὐτὰς ἀδιαφόρους), λεκτέον ἐν ἀρχῇ καὶ πρώτως καὶ μάλιστα τοῦτο. καὶ σαφηνίζων τί ποτέ ἐστιν ὅπερ εἰπεῖν αὐτοὺς ἀπαιτεῖ, ἐπάγει καὶ διοριστέον περὶ τῆς τῶν μονάδων διαφορᾶς τίς ἐστιν αὕτη· εἰ γὰρ ἡμεῖς ἀδιαφόρους λέγοντες αὐτὰς ἄλλως ἔχειν αὐτὰς λέγει τις, δῆλον ὡς διαφόρους ἐρεῖ. ῥητέον οὖν αὐτῷ τίς ἡ τῶν μονάδων διαφορὰ καὶ 743
οὐχ ἁπλῶς οὕτως καὶ ἀναιτίως βοάτω ὡς διαφέρουσιν, ἀλλὰ καὶ τὴν αἰτίαν, δι' ἣν αὐτὰς ἀνάγκη διαφέρειν, λεγέτω· εἰ δὲ μὴ τὴν αἰτίαν τῆς διαφορᾶς εἰπεῖν δύνανται, ἁπλῶς καὶ ἀναιτίως εἰπάτωσαν τίνα λέγουσιν εἶναι τὴν τῶν μονάδων διαφοράν. καὶ συμπεραίνεται λέγων ὅτι μὲν οὖν, εἴπερ εἰσὶν ἀριθμοὶ αἱ ἰδέαι οὔτε συμβλητὰς πάσας ἐνδέχεται τὰς μονάδας εἶναι, οὔτε πάσας ἀσυμβλήτους, οὔτε τὰς μὲν συμβλητὰς τὰς δ' ἀσυμβλήτους, φανερόν.

p. 1083a20 Ἀλλὰ μὴν οὐδ' ὡς ἕτεροι λέγουσι περὶ τῶν ἀριθμῶν λέγεται καλῶς.

Ἐλέγξας τοὺς τὰς ἰδέας ἀριθμοὺς λέγοντας μέτεισι καὶ ἐπὶ τοὺς μήτε τὰς ἰδέας ἀριθμοὺς λέγοντας μήτε ὅλως ἰδέας εἶναι βουλομένους, ἀλλὰ μόνον τὸν μαθηματικὸν ἀριθμόν, ὃν καὶ οὗτοι χωριστὸν φασι καὶ πρῶτον

---

2. 3 τῷ ἐξ L: τῶν ἐξ A 3 τὸ LM²: om. AM¹ 12 ἦσαν A: εἶεν L 17 κυρίως A: καὶ κυρίως L 18 καὶ κατὰ A: om. L 19 ἂν M: om. AL 26 καὶ (post οὕτως) AM¹: οὐδ' LM² 33 ἕτεροί τινες λέγουσι Metaph.

πάντων τῶν ὄντων. λέγουσι δὲ καὶ οὗτοι τοῦ μαθηματικοῦ καὶ χωριστοῦ κατ' αὐτοὺς ἀρχὴν τὸ ἕν, οὐχὶ τὸ ἀρχικὸν ὅπερ οἱ τὰς ἰδέας εἶναι βουλόμενοι λέγουσιν, ἀλλ' ἄλλο τι. ἡμεῖς γὰρ τὸ τυχὸν ἓν ἀρχήν φαμεν, καὶ δεύτερον τὸ ἐφεξῆς· ἐπὶ γὰρ τῆς τριάδος οὐδὲν διαφέρει τὴν πρώτην αὐτῆς μονάδα ἀρχὴν ποιῆσαι ἢ τὴν ἐσχάτην ἢ τὴν μέσην· ἐκεῖνοι δὲ οὐχ οὕτως, ἀλλά τι ὑπετίθεντο ἀρχικὸν ἓν καὶ τοῦτο ἀρχὴν καὶ πρώτην τῶν ἄλλων ἔλεγον μονάδων. ὥστε καθὸ μὲν καὶ οὗτοι ἀρχικὸν ἓν λέγουσι, συνῳδὰ φθέγγονται τοῖς τὰς ἰδέας τιθεμένοις, καθὸ δὲ οὐ τὸ αὐτὸ ὅπερ ἐκεῖνοι ἀλλ' ἕτερον, διαφέρουσι· καὶ οὐ μόνον κατὰ τοῦτο, ἀλλ' ὅτι καὶ οἱ τὰς ἰδέας λέγοντες καὶ πρώτην δυάδα καὶ πρώτην τριάδα καὶ τετράδα καὶ ἑξῆς ἐδόξαζον, οὗτοι δὲ πρώτην δυάδα καὶ πρώτην τριάδα ἢ ἄλλον τινὰ ἀριθμὸν οὔ φασιν, ἀλλ' ἓν πρῶτον καὶ μίαν ἀρχὴν τὸ πρῶτον παρ' αὐτοῖς ἓν εἶναι ἀποφαίνονται. διὸ καὶ ἐγκαλεῖ αὐτοῖς λέγων ἄτοπον γὰρ τὸ ἓν μὲν εἶναι πρῶτον τῶν ἑνῶν, τουτέστι τῶν μονάδων (τὸ γὰρ ἑνῶν ἐκ τοῦ ἕν, ἑνός, ἡ εὐθεῖα τῶν πληθυντικῶν τὰ ἕνα καὶ ἡ γενικὴ τῶν πληθυντικῶν τῶν ἑνῶν εἴληπται), ἄτοπον μὲν οὖν, φησίν, ἓν μὲν εἶναι πρῶτον τῶν ἑνῶν, δυάδα δὲ πρώτην τῶν δυάδων καὶ τριάδα τῶν τριάδων μὴ εἶναι. τίς γὰρ ἡ αἰτία τοῦ ἓν μὲν εἶναι πρῶτον, δυάδα δὲ καὶ τριάδα καὶ ἑξῆς πρώτας μὴ εἶναι; εἰ μὲν γὰρ ὡς οὗτοι λέγουσι, φησίν, ἔχοι τὰ περὶ τοὺς ἀριθμούς, ὡς μόνον τὸν μαθηματικὸν εἶναι, οὐκ ἔσται τὸ ἓν ἀρχή. εἰ γάρ ἐστιν ἀρχή, ἀνάγκη διαφέρειν τῶν ἄλλων μονάδων· πᾶσα γὰρ ἀρχὴ διαφέρει τῶν μετὰ τὴν ἀρχήν· εἰ δὲ ἔστιν ἕν, ἀνάγκη καὶ δυάδα εἶναι πρώτην καὶ τριάδα καὶ τοὺς ἄλλους ἀριθμούς· ὥστε εἰ ἔσται τὸ ἓν ἀρχή, καὶ ἕτερον τῶν μονάδων ἀνάγκη, καὶ μᾶλλον ἀνάγκη ὥσπερ ὁ Πλάτων ἔλεγεν ἔχειν τὰ περὶ τοὺς ἀριθμούς, καὶ εἶναι πρώτην δυάδα καὶ τριάδα | καὶ ἀσυμβλήτους 744
τὰς ἐν αὐτοῖς μονάδας πρὸς ἀλλήλας. διὰ τί γὰρ ὄντος πρώτου ἑνὸς οὐκ ἔσται καὶ πρώτη δυὰς καὶ ὅλως πᾶς ὁ εἰδητικὸς ἀριθμός; εἰ δὲ πάλιν θείη τις καὶ ὁμολογήσει ὡς ἀληθῆ τὰ ὑπὸ τῶν τὰς ἰδέας τιθεμένων λεγόμενα, εἴρηται καὶ δέδεικται ὅτι πολλὰ τούτοις συμβαίνει ἀδύνατα. ὥστε εἰ, εἴπερ ἔστιν ἀριθμὸς χωριστός, ἀνάγκη ἢ ὡς Πλάτων λέγει ἔχειν, ἢ ὡς οἱ τὸν μαθηματικὸν μόνον, κατ' οὐδέτερον δὲ τρόπον εἶναι δύναται, οὐκ ἔστιν οὖν ὅλως χωριστὸς ἀριθμός. καὶ ἔστιν ἡ συναγωγὴ τοῦ λόγου τοιαύτη· εἰ ὁ μαθηματικὸς μόνος ἐστὶν ἀριθμός, οὐκ ἂν εἴη τὸ ἓν ἀρχὴ πάντων· εἰ δέ ἐστι τὸ ἓν ἀρχή, κρατεῖ ὁ Πλάτων καὶ ἔστιν ὁ εἰδητικὸς ἀριθμός, καὶ διαφέρει ἕτερος ἑτέρου τῇ οὐσίᾳ· ἀλλὰ μὴν δέδεικται καὶ τοῦτο ἀδύνατον· οὐκ ἄρα ἔστιν ἀριθμὸς χωριστός.

---

20 μαθηματικὸν M: ἀριθμὸν AL 21 et 24 ἔσται] ἔστι Metaph. 27 αὐτοῖς A: αὐταῖς L 29 θείη A: θῇ L ὁμολογήσειεν coni. Bonitz 31 ὥστε εἰ M: om. AL Πλάτων A: ὁ Πλ. L 35 τῶν πάντων Syr. ὁ (post ἔστιν) e Syriano add. Bonitz

p. 1083b 1 Φανερὸν δ' ἐκ τούτων καὶ ὅτι χείριστα λέγεται ὁ τρίτος τρόπος τὸ εἶναι τὸν αὐτὸν ἀριθμὸν τὸν τῶν εἰδῶν καὶ τὸν μαθηματικόν.

Τῶν περὶ ἀριθμοὺς εἰπόντων οἱ μὲν δύο ἐποίουν αὐτοὺς καὶ διέκρινον, ὥσπερ ὁ Πλάτων (σαφῶς γὰρ οὗτος τὸν μαθηματικὸν ἕτερον εἶναι λέγει τοῦ εἰδητικοῦ), οἱ δὲ ἕνα τὸν μαθηματικόν, ὥσπερ τινὲς τῶν Πυθαγορείων· οἱ δὲ ἐγίνωσκον μὲν ἀμφοτέρους καὶ τὸν εἰδητικὸν καὶ τὸν μαθηματικόν, ἕνα δὲ ἐποίουν, ὥσπερ Σπεύσιππος καὶ Ξενοκράτης. τούτων οὕτως περὶ τοῦ ἀριθμοῦ λεγόντων χείριστόν φησιν εἶναι τὸν τρίτον τρόπον τὸν τὸν μαθηματικὸν καὶ εἰδητικὸν ἀριθμὸν συναιροῦντα καὶ ἕνα ἀποφαινόμενον τοῦ δόγματος τοῦ Πλατωνικοῦ καὶ τῆς τῶν Πυθαγορείων δόξης· καὶ τὴν αἰτίαν ἐπάγει λέγων ἀνάγκη γὰρ εἰς μίαν δόξαν δύο συμβαίνειν ἁμαρτίας. ὅσα γὰρ ἰδίως ἑκατέρᾳ δόξῃ, τῇ τε τοῦ Πλάτωνος καὶ τῇ τῶν Πυθαγορείων, ταῦτα πάντα τῇ τοῦ Ξενοκράτους καὶ Σπευσίππου ἕπεται δόξῃ· ὥστε διπλασίονά ἐστι τὰ συμβαίνοντα ἄτοπα ταύτῃ τῇ δόξῃ· ᾗ δὲ πλείονα ἐπακολουθεῖ τὰ ἄτοπα, ἐκείνη χειρίστη ἐστὶ τῆς ᾗ τὰ ἐλάττονα ἕπεται. οὔτε γὰρ μαθηματικὸν ἀριθμὸν ἐνδέχεται εἶναι τὸν τρόπον τοῦτον, καθ' ὃν Ξενοκράτης καὶ Σπεύσιππος λέγουσιν (εἴρηται δὲ ὅτε καὶ οὗτος τοὺς τρόπους, καθ' οὓς δυνατὸν εἶναι τὸν ἀριθμόν, ἱστόρει ἐν τῷ παρόντι βιβλίῳ, ὅπως τὰ περὶ τοὺς ἀριθμοὺς τώδε τὼ ἄνδρε ἐλεγέτην), οὔτε οὖν τὸν μαθηματικὸν ἐνδέχεται εἶναι, ἀλλ' ἰδίας ὑποθέσεις πλασματώδεις ὑποθέμενοι μηκύνουσι τὰ περὶ τοὺς ἀριθμούς, καὶ ὅσα τοῖς ὡς εἴδη τοὺς ἀριθμοὺς λέγουσιν ἕπεται, ἀνάγκη λέγειν ὡς καὶ αὐτοῖς ἕπεται.

Ὁ δὲ τῶν Πυθαγορείων, φησί, τρόπος τῇ μὲν ἐλάττους ἔχει τὰς δυσχερείας, τῇ δὲ ἰδίας. ᾗ μὲν γὰρ τοὺς ἀριθμοὺς οὐ χωρίζουσιν, ἀλλ' ἐν τοῖς αἰσθητοῖς εἶναι λέγουσι, ταύτῃ ἥττονα τὰ ἑπόμενα αὐτοῖς δυσχερῆ· καθὸ δέ | φασι συγκεῖσθαι καὶ δημιουργεῖσθαι τὰ σώματα ἐξ 745
ἀριθμῶν μαθηματικῶν, ταύτῃ πολλὰ τὰ ἑπόμενα αὐτοῖς ἀδύνατα. ᾗ γὰρ ἀδιαίρετα μεγέθη εἰσὶν αἱ μονάδες, ἐξ ὧν φασι τὰ σώματα συγκεῖσθαι καὶ δημιουργεῖσθαι, ᾗ αὐτὸ τοῦτο μονάδες. ἀλλὰ τὸ λέγειν ἄτομα μεγέθη ψεῦδος· πολλὰς γὰρ εὐθύνας δέδωκεν ἡ τὰ ἄτομα μεγέθη εἰσάγουσα δόξα. ἀλλὰ καὶ ἡ Ξενοκράτους ἀπόφασις ἡ τὰς ἀτόμους εἰσάγουσα γραμμὰς αὐτάρκως καὶ αὕτη τῷ Ἀριστοτέλει ἤλεγκται. κἂν δῶμεν, φησίν, εἶναι ἄτομα μεγέθη (τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ εἴ τε ὅτι μάλιστα τοῦτον ἔχει τὸν τρόπον), ἀλλ' οὐχ αἵ γε μονάδες μέγεθος ἕξουσι· τουτέστι καὶ εἰ σωμάτιά τινα μέγεθος μὲν ἕξει ἄτομα δὲ ἔσται, ἀλλ' οὐχ αἵ γε μονάδες ἕξουσι μέγεθος, οὐδὲ δυνατὸν ὅλως αὐτὰς μονάδας μεμεγεθυσμένας

---

4 ἀριθμοὺς AM¹: ἀριθμῶν LM² 9 τὸν τὸν L: alterum τὸν om. A 10 ἀριθμὸν L: τρόπον A 19 ἱστόρει A: ἱστορεῖ M¹: ἱστορήσει LM² 26 γὰρ A: om. L 35 ὅτι A: om. L 37 καὶ εἰ M: om. AL

λέγειν. εἰ οὖν ἀδύνατον τὸ μονάδας μέγεθος ἔχειν (ἀδιαίρετοι γὰρ καὶ ἀμεγέθεις εἰσίν), οὐχ οἷόν τε ἐξ ἀδιαιρέτων καὶ ἀμεγεθῶν μέγεθος εἶναι. ὅτι δὲ ὁ μαθηματικὸς ἀριθμὸς μοναδικὸς καὶ ἀσώματος καὶ ἀμεγέθης ἐστί, δέδεικται. τούτου γάρ ἐστι μηνυτικὸν τὸ ἀλλὰ μὴν ὅ γε ἀριθμητικὸς
5 ἀριθμὸς μοναδικός ἐστι, καὶ προσυπακουστέον ἐν τῷ ἀλλὰ μὴν τοῦ 15
δέδεικται· τὸ δὲ ἀριθμητικὸς ἀντὶ τοῦ μαθηματικός. εἰπὼν δὲ ἀνωτέρω ὅτι τὸν ἀριθμὸν αἴτιον τῶν αἰσθητῶν φασι, πάλιν μνείαν τούτου ποιεῖται καὶ δείκνυσι τοῦτο λέγων ἐκεῖνοι δὲ τὸν ἀριθμὸν τὰ ὄντα λέγουσι. πίστις δὲ τούτου· τὰ γὰρ θεωρήματα καὶ τὰ συμβαίνοντα τοῖς ἀριθμοῖς
10 προσάπτουσι τοῖς σώμασιν, ὡς ἐκ τῶν ἀριθμῶν ὄντων τῶν σωμάτων· 20
ὑπολαμβάνοντες γὰρ ὅτι ἐκ τῶν ἀριθμῶν εἰσιν (ἐκ γὰρ τοῦ βωμίσκου τοῦ διακόσια δέκα τὸ ἁπλῶς σῶμα εἶναι ἔλεγον, ἐκ δὲ τοῦ ἕνδεκα τὸ πῦρ, ἐκ δὲ τοῦ τρισκαίδεκα τὸν ἀέρα καὶ ἐκ τοῦ ἐννέα τὸ ὕδωρ), ὑπολαμβάνοντες δὴ τοῦτο οὐδὲν ἔφασκον διαφέρειν τὰ τῷ βωμίσκῳ καθ' αὑτὸ ὑπάρχοντα
15 ἐπ' αὐτοῦ θεωρεῖν ἢ ἐπὶ τοῦ ἐξ αὐτοῦ σώματος· ὁμοίως καὶ ἐπὶ τῶν 25
ἄλλων. εἰ γάρ, φασί, συνέβη τῷ ἐννέα ἀριθμὸν εἶναι τετράγωνον πρῶτον μέσον ἔχοντα (τὸ δὲ μέσον ἔχοντα πρόσκειται διὰ τὴν τῆς μονάδος μεσιτείαν τὴν ἐν παντὶ περισσῷ εὑρισκομένην). εἰ δὴ ὁ ἐννέα τετράγωνός ἐστι πρῶτος ἔχων μέσον, καὶ τὸ ὕδωρ τοιοῦτόν ἐστι, καὶ μᾶλλον ἐπὶ τοῦ ὕδα-
20 τος τοῦτο χρὴ θεωρεῖν ἢ ἐπὶ τοῦ ἐννέα· ὥστε δέδεικται ὅτι ἐξ ἀριθμῶν 30
τὰ αἰσθητὰ ἐποίουν. δείξας οὖν τοῦτο, λέγω δὴ ὅτι ἐξ ἀριθμῶν τὰ αἰσθητὰ ἐποίουν, λέγει, εἰ ὄντος ἀριθμοῦ χωριστοῦ ἀνάγκη τινὰ τούτων τῶν εἰρημένων εἶναι τρόπων, κατ' οὐδένα δὲ τούτων εἶναι δύναται, φανερὸν ὅτι οὐκ ἔστι τις φύσις ἀριθμοῦ οἵαν κατα|σκευάζουσιν 746
25 οἱ τιθέντες αὐτὸν χωριστόν· οὔτε γὰρ ὡς εἰδητικὸς οὔτε ὡς μαθηματικὸς εἶναι δύναται.

p. 1083ᵇ23 Ἔτι πότερον ἑκάστη μονὰς ἐκ τοῦ μεγάλου καὶ μικροῦ ἰσασθέντων ἐστὶ καὶ τὰ ἑξῆς.

Τὴν ἀρχικὴν δυάδα ποτὲ μὲν ἀόριστον δυάδα λέγοντες [ἐλέγξας] ποτὲ
30 δὲ μέγα καὶ μικρόν (ἐν αὐτῇ γὰρ εἶναι τὸ μέγα καὶ μικρὸν ἀνευφήμουν), 5
ἀπορεῖ λέγων 'ἐπειδὴ ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος ἤτοι τοῦ μεγάλου καὶ μικροῦ αἱ μονάδες γίνονται, πότερον ἑκάστη μονὰς τῶν ἐν τῇ αὐτοτριάδι (ἐρωτάσθω γὰρ ἐπ' αὐτῆς) ἐξ ἀμφοῖν ἐγένετο τῶν ἐν τῇ ἀορίστῳ δυάδι, λέγω δὴ τοῦ μεγάλου καὶ μικροῦ, ἢ αἱ μὲν ἐκ τοῦ μεγάλου αἱ δὲ
35 ἐκ τοῦ μικροῦ.' εἰ μὲν γὰρ δὴ οὕτω, τουτέστιν εἰ μὲν γὰρ αἱ μὲν ἐκ τοῦ 10
μεγάλου αἱ δὲ ἐκ τοῦ μικροῦ, οὐκ ἀπὸ πάντων ἑκάστη τῶν στοιχείων ἐστίν, ἀλλ' ἡ μὲν ἐκ τοῦ μεγάλου ἡ δὲ ἐκ τοῦ μικροῦ· ὥστε οὔτε ἴσαι

---

1 τὸ A: τὰς L 12 διακόσια δέκα e Syriano scripsi; cf. Usener ad Syr. p. 913ᵃ1: διακόνου δέκα AL: δέκα M¹ Bonitz: διακόνου M² 14 αὐτὸ A: αὐτὸν L 16 φασί A: φησι L 27 τοῦ L: om. A 29 ἐλέγξας del. Bonitz, sed ne sic quidem verba sana sunt 33 ἐγένετο M: ἐγένοντο AL 34 τοῦ (post δὴ) L: om. A

ἔσονται οὔτε συμβληταί, ἀλλὰ πρὸς τῷ διάφοροι εἶναι καὶ ἐναντιώσεις ἕξουσι πρὸς ἀλλήλας, εἴ γε αἱ μὲν μεγάλαι ἔσονται διὰ τὸ ἐκ τοῦ μεγάλου εἶναι, αἱ δὲ μικραὶ διὰ τὸ ἐκ μικροῦ. τούτου γάρ ἐστι δηλωτικὸν τὸ οὔτε ἀδιάφοροι αἱ μονάδες· ἐν τῇ μὲν γὰρ τὸ μέγα ἐν τῇ δὲ τὸ 15
5 μικρὸν ὑπάρχει, ἐναντίον τῇ φύσει ὄν. ἀλλὰ καὶ ἐν τῇ τριάδι αὐτῇ, φησί, πῶς; μία γάρ ἐστι περιττή. ἐστὶ δὲ οἶμαι τὸ λεγόμενον τοιοῦτον. ἥ τε τριὰς ἐὰν τὴν πρώτην τυχὸν ἔχῃ μονάδα ἐκ τοῦ μεγάλου, τὴν δὲ δευτέραν ἐκ τοῦ μικροῦ, τὴν τρίτην (ταύτην γὰρ εἶπε περιττήν) πόθεν ἕξει; ἀπὸ τοῦ μεγάλου ἢ ἀπὸ τοῦ μικροῦ; τοῦτο ἐρωτήσας ὑπερα-
10 πολογεῖται τούτων λέγων· ἀλλ' ὡς ἔοικε, φησί, συνεωρακότες ταύτην τὴν 20
ἀπορίαν τὸ ἓν μέσον ποιοῦσι τοῦ τρία καὶ ἁπλῶς παντὸς ἀριθμοῦ, ἵνα ἴσαι ὦσιν αἵ τε ἐκ τοῦ μεγάλου γινόμεναι καὶ μικροῦ μονάδες· τὸ γὰρ ἕν, φασί, μέσον κείμενον τὴν ὑπερβολὴν τῆς μιᾶς μονάδος, ἣν ἔχει πρὸς τὴν λοιπήν, ἀφαιρεῖται καὶ ἐν τῇ δεούσῃ προστεθὲν ἰσάζει αὐτάς. ταῦτα δὲ
15 ὅτι πλασματώδη καὶ ψευδῆ δῆλον. ἀλλ' εἰ μέν, ὡς εἴρηται, αἱ μέν εἰσιν 25
ἐκ τοῦ μεγάλου αἱ δὲ ἐκ τοῦ μικροῦ, ταῦτα· εἰ δ' ἑκατέρα τῶν μονάδων ἐξ ἀμφοτέρων ἐστὶν ἰσασθέντων, τουτέστιν εἰ δὲ ἑκάστη μονὰς ἐκ τοῦ μεγάλου καὶ μικροῦ ἐστιν ἴσων ἀλλήλοις γινομένων ἐν τῇ κράσει (κραθῆναι γὰρ ἀνάγκη τὸ μέγα καὶ τὸ μικρόν, εἰ ἐξ ἀμφοτέρων αὐτῶν
20 εἰσιν αἱ μονάδες), πρῶτον μὲν ἡ αὐτοδυὰς πῶς ἔσται μία καὶ ἁπλῆ φύσις ἐκ δυοῖν οὖσα τοῦ μεγάλου καὶ μικροῦ; δῆλον γὰρ ὅτι εἰ καὶ 30
ἡνώθη τὸ μέγα καὶ τὸ μικρὸν ὕστερον ὑπὸ τοῦ ἑνὸς ἰσασθέντα, ἀλλὰ πρὸ τῆς ἑνώσεως δύο ἦν, ὥσπερ | καὶ τὰ ἐν ἡμῖν στοιχεῖα πρὸ τῆς ἑνώσεως 747
τέτταρα. ἔπειτα τί διοίσει ἡ δυὰς τῆς μονάδος; ἐπεὶ γὰρ καὶ ἐν
25 ἑκάστῃ μονάδι δυάς ἐστιν ἰσασθεῖσα, καὶ ἡ δυὰς αὐτὸ τοῦτο δυὰς εἶναι λέγεται, τί διοίσουσιν ἀλλήλων; ἀλλὰ καὶ ὅτι, φησίν, ἡ μονὰς προτέρα τῆς δυάδος δῆλον· ἀναιρουμένης γὰρ τῆς μονάδος ἀναιρεῖται καὶ ἡ δυάς· 5
τὸ δὲ συναναιροῦν πρότερον τοῦ συναναιρουμένου. ὥστε ἐὰν ἡ μονὰς προτέρα τῆς αὐτοδυάδος, ἡ δὲ αὐτοδυὰς ἰδέα, καὶ ἡ πρεσβυτέρα αὐτῆς, ἡ
30 μονάς, ἰδέα ἐστίν. καὶ γὰρ καὶ οὗτοι τὴν αὐτοτριάδα ἰδέαν λέγοντες τὴν πρεσβυτέραν αὐτῆς, τὴν αὐτοδυάδα, ἰδέαν εἶναι οὐκ ἀποδοκιμάζουσιν, ἀλλὰ καὶ μᾶλλον οὕτως ἔχειν αὐτὴν προσκυνοῦσιν· ἐστὶν οὖν καὶ ἡ μονὰς ἰδέα. ἀλλ' εἰ τοῦτο, ἐκ τίνος προῆλθεν; οὐ γὰρ δὴ ἐκ τῆς ἀορίστου δυάδος· 10
ἐκείνη γὰρ δυοποιὸς οὖσα καὶ τὰ ἁπλᾶ διπλασιάζει.

35 p. 1083b36 Ἔτι ἀνάγκη ἤτοι ἄπειρον τὸν ἀριθμὸν εἶναι ἢ πεπερασμένον.

Ἄφυκτος ἡ διαίρεσις· ἀνάγκη γὰρ τὸν εἰδητικὸν ἀριθμὸν ἢ ἄπειρον

---

3 αἱ δὲ μικραὶ A : ἡ δὲ μικρὰ L 5 ἐναντίον — ὄν M: ἐναντίοις τῇ φύσει AL 6 αὐτῇ, φησί L : φησίν, αὐτῇ A 11 "post ἀριθμοῦ adde περισσοῦ" Bonitz 12 αἵ τε L: τε om. A 14 προστεθὲν L: προστιθὲν A 18 ἀλλήλοις LM²: ἀλλήλων AM¹ 19 et 22 καὶ τὸ A: τὸ om. L 24 δυὰς A: αὐτοδυὰς L εἰ γὰρ Syr. 32 αὐτὴν προσκυνοῦσιν ALM²: αὐτοὶ ὁμολογοῦσιν M¹ Bonitz 33 δὴ L Syr.: om. A 37 ἢ LM²: om. AM¹

ἢ πεπερασμένον εἶναι. ἐπειδὴ γὰρ οὐ κατὰ τὴν ἐπ' ἄπειρον τῆς γενέσεως πρόοδον ὁ ἀριθμὸς ὡς οἱ ἄνθρωποι καὶ τὰ λοιπὰ ζῷα τὰ ἐν γενέσει τὸ εἶναι ἔχει, ἀλλ' ἅπαξ ἀπὸ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος προελθών, ὡς οὗτοί φασιν, ἐν στάσει καὶ μονῇ καὶ παντελεῖ ἀκινησίᾳ ἵδρυται, ἀναγκαῖον ἢ ἄπειρον ἐνεργείᾳ εἶναι ἢ πεπερασμένον. εἰ τοίνυν δειχθείη ὡς οὐδέτερον τμῆμα τῆς διαιρέσεως ὑγιαίνει, δῆλον ὅτι ἀριθμὸς εἰδητικὸς ὅλως οὐκ ἔστιν. καὶ ὅτι μὲν ἄπειρος εἶναι οὐκ ἐνδέχεται δείκνυσι συλλογιζόμενος ὧδε. πᾶς ἀριθμὸς ἢ ἄρτιός ἐστιν ἢ περιττός, ὥστε καὶ ὁ εἰδητικός, εἴπερ ἀριθμός ἐστιν· οὐδὲν ἄπειρον ἢ ἄρτιόν ἐστιν ἢ περιττόν· οὐδεὶς ἄρα ἀριθμὸς ἄπειρός ἐστιν. ἐν δευτέρῳ σχήματι ὁ συλλογισμός. τούτων τῶν προτάσεων ἡ μὲν μία ἡ λέγουσα ὅτι οὐδὲν ἄπειρον ἢ ἄρτιόν ἐστιν ἢ περιττὸν δήλη· εἰ γὰρ ἄρτιον ἢ περιττόν ἐστι, πεπερασμένον. τὴν δὲ λοιπὴν τὴν λέγουσαν ὅτι πᾶς ἀριθμὸς ἢ ἄρτιός ἐστιν ἢ περιττός, δείκνυσι λέγων, πᾶσα γένεσις ἀριθμοῦ ἢ ἀρτιάκις ἐστὶν ἀρτία, ἢ ἀρτιοπέρισσος ἢ περισσάρτιος, ἢ πρώτη καὶ ἀσύνθετος, ἢ δευτέρα καὶ σύνθετος, ἢ καθ' ἑαυτὴν μὲν δευτέρα καὶ σύνθετος πρὸς ἄλλον δὲ πρώτη καὶ ἀσύνθετος. πᾶς δὲ τοιοῦτος ἀριθμὸς ἢ ἄρτιος ἢ περισσός. ὁ μὲν γὰρ ἀρτιάκις ἄρτιος καὶ ὁ ἀρτιοπέρισσος καὶ ὁ περισσάρτιος ἄρτιοι· οἱ δὲ λοιποὶ τρεῖς περιττοί. καὶ τὸ συμπέρασμα δῆλον· πᾶς ἄρα ἀριθμὸς | ἢ ἄρτιός ἐστιν ἢ περιττός. 748 αὐτὸς δὲ τοῦ ἀρτιάκις ἀρτίου μνησθεὶς καὶ τοῦ ἀρτιοπερίσσου καὶ τοῦ πρώτου καὶ ἀσυνθέτου, τοὺς λοιποὺς διὰ βραχυλογίαν παρείασε. καταλέγει οὖν τὴν γένεσιν τοῦ ἀριθμοῦ καὶ πῶς οἱ προειρημένοι γίνονται λέγων ὡδὶ μὲν τοῦ ἑνὸς εἰς τὸν ἄρτιον πίπτοντος, τουτέστι τοῦ μὲν ἑνὸς ἐμπεσόντος τῇ δυάδι γίνεται ὁ τρία, οὗτος δὲ πρῶτός ἐστι καὶ ἀσύνθετος. ὥστε διὰ τοῦ ὡδὶ μὲν τοῦ ἑνὸς εἰς τὸν ἄρτιον πίπτοντος τὴν τοῦ πρώτου καὶ ἀσυνθέτου γένεσιν ᾐνίξατο· διὰ δὲ τοῦ ὡδὶ δὲ τῆς μὲν δυάδος ἐμπιπτούσης ὁ ἀφ' ἑνὸς διπλασιαζόμενος τῆς τοῦ ἀρτιάκις ἀρτίου γενέσεως μέμνηται. ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον. τῆς δυάδος ἐπὶ τὸ ἓν πολλαπλασιασθείσης γίνεται πάλιν ὁ δύο (δὶς γὰρ μία δύο), τῆς δὲ δυάδος εἰς ἑαυτὴν ὁ τέτταρα· πάλιν δὲ τῆς αὐτῆς δυάδος εἰς τὸν τέτταρα ὁ ὀκτώ, εἰς δὲ τὸν ὀκτὼ ὁ ἑκκαίδεκα· καὶ ὁμοίως ὁδεύουσα τὸν ἀρτιάκις ἄρτιον γεννᾷ· τοῦτον γὰρ εἶπεν ἀφ' ἑνὸς διπλασιαζόμενον. πάντες γάρ, ἡ δυάς, ἡ τετράς, ὁ ὀκτώ, ὁ ἑκκαίδεκα, ὁ τριάκοντα δύο καὶ οἱ λοιποὶ εἰς ἕνα τὴν δυάδα διπλασιαζόμενοι τοὺς ἐφεξῆς καὶ συνεχεῖς ἀρτιάκις ἀρτίους γεννῶσι. διὰ δὲ τοῦ ὡδὶ δὲ τῶν περιττῶν ὁ ἄλλος ἄρτιος τοῦ ἀρτιοπερίσσου τὴν γένεσιν ὑπεμφαίνει· λέγει δὲ τῷ δὲ τρία καὶ τοῖς ἄλλοις ἀπὸ μονάδος περιττοῖς πολλαπλασιαζομένη ἡ δυὰς τὸν ἀρτιοπέρισσον ἀπο-

---

3 ἔχει L: ἔχειν A 4 παντελεῖ M: παντελῆ AL 5 εἰ τοίνυν M¹: ἐπειδὴ γὰρ κατὰ τὴν εἰ ALM² 8 ὁ L: om. A 15 σύνθετος AM¹: ἀσύνθετος LM² 18 ὁ utrobique L: om. A 30 αὐτῆς L: αὐτοῦ A 31 ὁ ἑκκαίδεκα M¹: ὁριστὸν ALM², "corruptum ex ὁ ις'" Bonitz 32 τοῦτον A: τοῦτο L 33 ὁ τριάκοντα δύο A: ὅλους L, corruptum ex ὁ λβ' 36 τοῖς ἄλλοις A: τῆς ἄλλης L

γεννᾷ. ὥστε εἰ πᾶσα γένεσις ἀριθμοῦ ἢ ἀρτιοπέρισσος ἢ ἄλλη τις τῶν ἀπηριθμημένων οὖσα ἢ ἀρτία ἢ περισσή ἐστιν, οὗτοι δὲ πεπερασμένοι, γεγόνασι δὲ καὶ οἱ εἰδητικοὶ ἀριθμοί, ἀνάγκη πᾶσα κἀκείνους ἢ ἀρτίους εἶναι ἢ περισσούς, ταὐτὸν δὲ εἰπεῖν πεπερασμένους. ἄλλως τε, φησίν, εἰ οἱ ἀριθμοὶ ἰδέαι, πᾶσα δὲ ἰδέα τινός ἐστιν, εἰ ἔστιν ὁ εἰδητικὸς ἀριθμὸς ἄπειρος, ἔσται καὶ ἄπειρόν τι, ἵν' ἐκείνου εἴη τὸ εἰδητικὸν ἄπειρον ἰδέα, καὶ τοῦτο ἢ αἰσθητὸν ἢ ἄλλο τι. καίτοι οὔτε κατὰ λόγον ἐνδέχεται ἄπειρόν τι εἶναι, ὡς πολλαχοῦ δέδεικται, οὔτε κατὰ τὴν αὐτῶν θέσιν τε καὶ δόξαν. μέχρι γὰρ δεκάδος αὐτοῖς ἡ τῶν εἰδῶν πρόοδος· τοῦτο γὰρ ἐμήνυσε διὰ τοῦ τάττουσι δὲ οὕτω τὰς ἰδέας.

p. 1084a10 Εἰ δὲ πεπερασμένος, μέχρι πόσου· τοῦτο γὰρ δεῖ λέγεσθαι.

Δείξας ὅτι ἀδύνατον ἄπειρον εἶναι τὸν εἰδητικὸν ἀριθμόν, δείκνυσιν ὅτι οὐδὲ πεπερασμένον οἷόν τε αὐτὸν εἶναι, ὥστε ὅλως οὐκ ἔστιν. εἰ γάρ ἐστι πεπερασμένος, λεγέτωσαν μὴ μόνον οὕτως ἁπλῶς καὶ χωρὶς αἰτίας ὅτι πεντήκοντα ἢ ἑκατὸν ἢ ἄλλος ὁστισοῦν ἀριθμός, ἀλλὰ καὶ τὴν αἰτίαν προστιθέτωσαν διὰ τί τοσοῦτοι καὶ οὐ πλείονες ἢ ἐλάττονες. εἰ δὲ μέχρι τῆς δεκάδος καὶ ὁ εἰδητικὸς καὶ ὁ μαθηματικός (μέχρι γὰρ αὐτῆς ἀνιόντες, 749
φασί, πάλιν ἀνακάμπτομεν ἐπὶ τὸ ἓν καὶ τὰ δύο, ἕνδεκα λέγοντες καὶ δυοκαίδεκα καὶ ἑξῆς), εἰ δὴ μέχρι τῆς δεκάδος ὁ ἀριθμός, ἐπιλείψουσι τὰ εἴδη καὶ ἔσονται ζῷα ὧν εἴδη οὐκ ἔσται. εἰ γάρ ἐστιν ἡ αὐτοτριὰς εἶδος τὸ ἀνθρώπου, ὁ αὐτοίππος ἔσται τις τῶν ἐντὸς τῆς δεκάδος ἀριθμῶν ἢ αὐτοτετρὰς ἢ ἄλλος τις. ἐπεὶ γὰρ αὐτοέκαστος ἀριθμός, τουτέστιν ὁ εἰδητικὸς ἀριθμός, μέχρι δεκάδος, ἔστι δὲ ὁ αὐτοάνθρωπος ἡ αὐτοτριάς, ἀνάγκη δὴ τὸν αὐτοίππον τινὰ εἶναι τῶν ἐν τούτοις ἀριθμῶν. τουτέστι τινὰ τῶν ἐν τούτοις τοῖς εἰδητικοῖς ἀριθμοῖς συγκατατεταγμένων ἀριθμῶν, οἵτινες ἐντός εἰσι τῆς δεκάδος· ἅπαντες γὰρ οἱ ἐντὸς τῆς δεκάδος οὐσίαι κατ' αὐτοὺς καὶ ἰδέαι. ὥστε ἐπιλείψουσιν αἱ ἰδέαι καὶ πολλῷ ἐλάττους ἔσονται τῶν ἐνταῦθα ζῴων, ὅσῳ τὰ ἐνταῦθα ζῷα ὑπερεκπίπτει τὴν δεκάδα. ἄλλως τε εἰ ἔστιν ἡ αὐτοτριὰς ὁ αὐτοάνθρωπος καὶ αἱ ἄλλαι τριάδες τῆς αὐτοεξάδος καὶ τῶν λοιπῶν αὐτοάνθρωποι ἔσονται· ὅμοιαι γὰρ αἱ ἐν τῇ αὐτοεξάδι τριάδες ἀλλήλαις. ὥστε ἄπειροι ἔσονται ἄνθρωποι, καὶ εἰ μὲν πᾶσαι αἱ τριάδες ἰδέαι, αὐτοάνθρωποι ἄπειροι, εἰ δὲ ἡ μὲν αὐτοτριὰς ἰδέα, αἱ δὲ ἐν τῇ αὐτοεξάδι καὶ αἱ ἄλλαι οὐκ ἰδέαι, αὐτοάνθρωποι μὲν πολλοὶ οὐκ ἔσονται, ἄνθρωποι δὲ ἕτεροι παρὰ τὸν αὐτοάνθρωπον καὶ τοὺς αἰσθητοὺς ἀνθρώπους. ἀλλὰ κἂν εἰ ἔστιν ὁ ἐλάττων ἀριθμὸς μέρος τοῦ μείζονος ἀριθμοῦ, συμβήσεται δὲ καὶ αἱ ἐν τῷ αὐτῷ ἀριθμῷ μονάδες, ἐπειδὴ ἐν τῇ αὐτοτετράδι τέσσαρές εἰσι μονάδες καὶ συμ-

---

1 ἀρτιοπέρισσος ἢ M¹: ante ἢ add. ἐστιν ALM² 2 οὖσα M¹: om. AL: ind. M² 18 ἀνιόντες L: ἐνιόντες A 23 αὐτὸ ἕκαστος L 28 οὐσίαι L: οὐσία A 36 εἰ M: om. AL

βληταὶ ἀλλήλαις, εἰ ἔστιν ἡ αὐτοτετρὰς ὁ αὐτοίππος ἢ τὸ αὐτολευκόν, ὁ δὲ αὐτοάνθρωπος ἡ αὐτοδυάς, ἐστὶ δὲ ἐν τῇ αὐτοτετράδι τῷ αὐτοίππῳ δυάς, ἔσται ὁ αὐτοάνθρωπος μέρος τοῦ ἵππου, εἰ δυὰς ὁ ἄνθρωπος.

Ταῦτα εἰπὼν ἐπάγει ἄτοπον δὲ καὶ τὸ τῆς μὲν δεκάδος εἶναι ἰδέαν, ἑνδεκάδος δὲ μή, μηδὲ τῶν ἐχομένων ἀριθμῶν, ὃ ἴσον ἐστὶ τῷ ἄτοπον μὲν αὐτοδεκάδα εἶναι, αὐτοενδεκάδα δὲ καὶ αὐτοδωδεκάδα καὶ ἐφεξῆς μὴ εἶναι. ὅλως δὲ ἐπειδὴ πολλὰ ἔστι καὶ γίνεται ὧν εἴδη οὐκ εἰσιν, ὡς αὐτοί φασιν, γενήσεται καὶ ἄνθρωπος καὶ ἰδέας αὐτοῦ μὴ οὔσης καὶ ἵππος καὶ βοῦς καὶ τἆλλα πάντα, καὶ οὐκ ἔστι τὰ εἴδη αἴτια.

p. 1084a29 Ἔτι ἄτοπον εἰ ὁ ἀριθμὸς μέχρι τῆς δεκάδος μᾶλλόν τι ὂν καὶ εἶδος αὐτῆς τῆς δεκάδος.

Ἐλλιπῶς ἀπήγγελται· ἦν δ' ἂν τὸ τῆς λέξεως τέλειον, εἰ οὕτω πως ἦν γεγραμμένον 'ἔτι ἄτοπον εἰ ὁ ἀριθμὸς μέχρι τῆς δεκάδος, καὶ ταῦτα τὸ ἓν κατ' αὐτοὺς μᾶλλόν τι ὂν καὶ εἶδος τῆς δεκάδος'· ὥστε λείπει τὸ καὶ ταῦτα ἓν κατ' αὐτοὺς καὶ ἀγέννητον. τὸ γὰρ ἓν ἢ ἓν οὗτοί φασιν ἀγέννητον, ἡ δὲ δεκὰς γέγονεν· ὥστε εἰ τὸ ἓν καὶ εἶδος τῆς δεκάδος ἐστὶ καὶ ἀγέννητον, ἡ δὲ δεκὰς γέγονεν, ἔσται καὶ ἑνδεκὰς ὡς ἐξ εἴδους μὲν τοῦ ἑνός, ὕλης δὲ τῆς δεκάδος. εὐλόγως δὲ τὸ ἓν μᾶλλόν τι εἴρηκε· τὸ γὰρ εἶδος μᾶλλόν τι καὶ τόδε τί ἐστιν ἤπερ ἡ ὕλη. ἀλλ' οὗτοι, φησί, μέχρι τῆς δεκάδος πειρῶνται τὴν γένεσιν τοῖς ἀριθμοῖς ποιεῖν, ὡς ὑστάτης τελειότητος οὔσης τῆς δεκάδος, τὰ δ' ἄλλα ἐντὸς αὐτῆς γεννῶσι καὶ θεωροῦσι καὶ τίθενται, οἷον παράδειγμα κενοῦ, παράδειγμα ἀναλογιῶν, παράδειγμα περιττοῦ. τὴν μὲν γὰρ μεταξὺ τῶν ἀρτίων χώραν τετράδος ἑξάδος καὶ τῶν ὁμοίων, ὁμοίως καὶ τὴν τῶν περιττῶν, εἰκόνα φέρειν ἔλεγον καὶ παράδειγμα τοῦ κενοῦ. εἶναι γὰρ κενὸν ἐτίθεντο ἔξω τοῦ οὐρανοῦ οἱ Πυθαγόρειοι καὶ ἀναπνεόμενον ὑπὸ τοῦ παντὸς ἐπεισιέναι καὶ διακρίνειν ἀπ' ἀλλήλων τὰ τῇδε, ὡς ἐν τῇ Φυσικῇ εἴρηται ἀκροάσει. ἀλλὰ ῥητέον ὅπως τὰς μεταξὺ τῶν ἀρτίων χώρας κενὰς καὶ μὴ ἀναπεπληρωμένας ὑπὸ τῶν περιττῶν ἔλεγον. ἐπειδὴ γάρ, φασίν, ἡ ἀόριστος δυὰς ὡς δυοποιὸς μετὰ τῆς αὐτοδυάδος τοὺς ἀρτίους γεγέννηκεν, ἀναγκαῖον αὐτοὺς καθ' αὐτοὺς εἶναι χωρὶς τῶν περιττῶν, καὶ ἀμήχανον ὅλως ἐστὶ διὰ τοῦτο περιττὸν εὑρεθῆναι μεταξὺ δύο ἀρτίων κείμενον. εἰ δὲ τοῦτο, ἀναγκαῖον κενὰς εἶναι τὰς μεταξὺ χώρας αὐτῶν. πάλιν ἐπεὶ τὸ ἀρχικὸν ἓν μετὰ τῆς ἀορίστου δυάδος πεποίηκε τοὺς περιττούς, τὸν τρία τὸν πέντε τὸν ἑπτὰ τοὺς ὁμοίους, ἔσονται καὶ οὗτοι καθ' αὑτοὺς χωρὶς τῶν ἀρτίων, κενὰς καὶ οὗτοι ἔχοντες τὰς μεταξὺ χώρας αὐτῶν. καὶ ἐπεὶ οὐδὲν ἐν ἐκείνοις μάτην ἐστὶν ὅπου οὐδ' ἐνταῦθα, ἔνθα ὁ τῆς κακίας ἐστὶ πόντος, οὐκ ἂν εἴη τὸ ἐν ἐκείνοις κενὸν μάτην, ἀλλ' εἰκὼν ἔσται καὶ παράδειγμα κενοῦ. τὴν μὲν οὖν μεταξὺ

2 αὐτοτετράδι M¹: αὐτοτριάδι ALM² 10 μέχρι] ὁ μέχρι Metaph. 26 ἀναπνεόμενον A: ἀναπνεομένου L 27 ἐν τῇ Φυσικῇ εἴρηται ἀκροάσει] Δ 6 p. 213b22 28 τὰς LM: τὰ A

τῶν εἰδητικῶν ἀριθμῶν τῶν τε ἀρτίων τῶν τε περιττῶν χώραν οὕτως ἔλεγον καὶ διὰ ταῦτα κενὴν καὶ φέρειν εἰκόνα ἄλλου κενοῦ. τὴν δὲ δυάδα καὶ τετράδα καὶ ὀκτάδα παράδειγμα φέρειν τῆς ἀριθμητικῆς ἀναλογίας, δυάδα δὲ καὶ τριάδα καὶ ἑξάδα καὶ ἐννάδα τῆς γεωμετρικῆς, καὶ αὐτὰς τετράδας καὶ αὐτὰς ἑξάδας ἔλεγον ἀναλογίας. ἀλλὰ τὴν μὲν τετράδα φέρε εἰπεῖν αὐτοΐππον ἔλεγον καὶ τὴν ἑξάδα αὐτοβοῦν, τὸν δὲ λόγον τῆς ἑξάδος πρὸς τὴν τετράδα εἰκόνα καὶ παράδειγμα εἶναι τῆς ἀναλογίας. ταῦτα μὲν οὕτως. τὸ δὲ ἐντὸς τῆς δεκάδος ἓν εἰκόνα φέρειν τοῦ περιττοῦ λέγοντες ἔφασκον, ὅτι τὸ ἕν ἐστι τὸ περιττὸν ἤτοι ἡ εἰκὼν τοῦ περιττοῦ, καὶ τὸ εἰδοποιοῦν αὐτὸ τὸ ἕν ἐστιν. ἀλλὰ ταῦτα μὲν τούτοις, τὰ δ' ἄλλα πάντα, οἷον κίνησιν στάσιν ἀγαθὸν κακὸν τὰ ὅμοια ταῖς ἀρχαῖς ἀπεδίδοσαν τῇ μονάδι καὶ δυάδι, στάσιν μὲν καὶ τὸ ἀγαθὸν τῇ μονάδι, κίνησιν | δὲ 751
καὶ τὸ κακὸν τῇ δυάδι. τὸ δὲ εἰ γὰρ ἐν τῇ τριάδι, πῶς ἡ πεντὰς περιττόν; πάνυ βραχέως καὶ ἐλλιπῶς καὶ διὰ τοῦτο λίαν ἀσαφῶς εἴρηται. ἀναγνωστέον δὲ αὐτὸ ὑπερβατῶς οὕτως 'εἰ γὰρ ἐν τῇ τριάδι τὸ περιττόν, πῶς ἡ πεντάς'; καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον· εἰ γὰρ ἐν τῇ τριάδι τὸ ἓν τὸ περιττόν, ἤτοι εἰ διὰ τὸ ἓν ἡ τριὰς τὸ εἶναι τριὰς ἔχει, καὶ αὐτό ἐστι τὸ εἰδοποιοῦν αὐτήν, εἰ οὖν τῇ τριάδι τὸ εἶναι τριάδι τὸ ἕν ἐστι τὸ διδόν, πῶς οὐχὶ καὶ διὰ τὴν τριάδα ἡ πεντὰς καὶ πᾶς ὁ περιττὸς ἀριθμὸς τὸ εἶναι πεντὰς ἕξει καὶ ἑπτὰς καὶ οἱ λοιποί, ὥσπερ ὁ ἄρτιος πᾶς διὰ τὴν δυάδα; ἀναγκαῖον γὰρ τὴν δυάδα ἀρχὴν οὖσαν τῶν ἀρτίων καὶ τὴν τριάδα εἶναι τῶν περιττῶν. ἔτι τὰ μεγέθη καὶ ὅσα τοιαῦτα μέχρι πόσου. ἔτι, φησί, καὶ ἐκ τῶν μεγεθῶν δεικνύειν ἐπειρῶντο ὅτι μέχρι τῆς δεκάδος (ταύτης γάρ ἐστι δηλωτικὸν τὸ μέχρι πόσου) προάγειν χρὴ τὸν ἀριθμόν· ἔλεγον γὰρ ὅτι ἡ μονὰς ποιεῖ τὸ σημεῖον, ὅπερ οὗτος ἄτομον καλεῖ γραμμήν, ἡ δυὰς τὴν γραμμήν, ἡ τριὰς τὸ ἐπίπεδον, ἡ τετρὰς τὸ σῶμα, καὶ τούτοις ἀρκεῖται τὸ πᾶν· ὥστε εἰ ταῦτα τῆς δεκάδος οὐσία (συντεθέντα γὰρ ἀποτελεῖ τὴν δεκάδα), τὸ πᾶν ἀρκεῖται τῇ δεκάδι.

p. 1084b2 Ἔτι εἰ ἔστι χωριστὸς ὁ ἀριθμός, ἀπορήσειεν ἄν τις.

Ὁ διὰ τούτων ζητεῖ καὶ λύει τοιοῦτόν τί ἐστιν. εἰ ἔστιν, ὥς φασιν, ὁ ἀριθμὸς χωριστὸς καὶ καθ' αὑτόν, ἀπορήσειεν ἄν τις πότερον τὸ ἕν ἐστι πρότερον ἢ ἡ τριὰς καὶ ἡ δυάς· καὶ λύει λέγων ὅτι καθὸ μὲν ἐκ μονάδων ἐστὶ πᾶς ἀριθμός, ἡ μονάς ἐστι πρότερον, ὥσπερ καὶ τὰ τέτταρα στοιχεῖα πῦρ ἀὴρ καὶ τὰ ἐφεξῆς τῶν ἐξ αὐτῶν σωμάτων· καθὸ δὲ πάλιν τὸ καθόλου καὶ τὸ εἶδος πρότερόν ἐστι τῶν ὑπὸ τὸ εἶδος, καὶ ἔστιν ὁ ἀριθμὸς εἶδος, ἡ δὲ μονὰς ὕλη, ὑστέρα τοῦ ἀριθμοῦ. καὶ σαφηνίζει ὅπως ἡ μονὰς τῇ μὲν γενέσει προτέρα τῆς τριάδος καὶ ὅλως

---

3 "post τετράδα adde καὶ ἑξάδα" Bonitz 12 καὶ δυάδι — μονάδι in mrg. add. $L^2$ 18 τὸ (ante διδόν) om. L 21. 22 τῶν περιττῶν $LM^2$: τῶν om. A 22 ποσοῦ coni. Bonitz 23 δεκάδος L Syr.: δυάδος A 24 ποσοῦ Brandis 30 τί A: om. L

τοῦ ἀριθμοῦ, τῷ λόγῳ δὲ καὶ τῇ οὐσίᾳ ὑστέρα δι' ὑποδείγματος. ἡ γὰρ ὀρθή, φησί, προτέρα τῆς ὀξείας ὅτι ὥρισται· τῇ γὰρ ὑπερβολῇ αὐτῆς καὶ τῇ ἐλλείψει ἡ ἀμβλεῖα καὶ ἡ ὀξεῖα κρίνεται· ἐστὶ γὰρ ἡ ἀμβλεῖα γωνία ἡ μείζων ὀρθῆς καὶ ὀξεῖα ἡ ἐλάττων ὀρθῆς, ὥστε ὅρος καὶ κανὼν καὶ μέτρον τῆς τε ἀμβλείας καὶ τῆς ὀξείας. ἄλλως τε δὲ ἐπεὶ ἀμβλεῖαν ἀμβλείας μείζονα καὶ ἐλάττονα δυνάμεθα λαβεῖν καὶ ὀξεῖαν ὀξείας, ὀρθὴν δὲ ἧττονα καὶ ἐλάττονα οὐδαμῶς (ἡ γὰρ ὀρθὴ ᾗ ὀρθὴ ἀνεπίδεκτός ἐστιν ὑπερβολῆς τινος καὶ ἐλλείψεως), κἂν οὕτως ὥρισται ἡ ὀρθή. οὐ μόνον οὖν ἡ ὀρθὴ τῆς ὀξείας τῷ ὡρισμένῳ ἐστὶ προτέρα, ἀλλὰ καὶ τῷ λόγῳ, φησίν· ἔνεστι γὰρ ἐν τῷ τῆς ὀξείας λόγῳ ἡ ὀρθή· ὀξεῖα γάρ ἐστι γωνία 752 ἡ ἐλάττων ὀρθῆς. οὕτω μὲν οὖν καὶ διὰ ταῦτα προτέρα ἡ ὀρθὴ τῆς ὀξείας, τρόπον δέ τινα ἄλλον ἡ ὀξεῖα τῆς ὀρθῆς, τῇ γενέσει. τὰ γὰρ μέρη τῇ γενέσει πρότερα τῶν ὅλων, ἡ δ' ὀξεῖα μέρος τῆς ὀρθῆς· διαιρεῖται γὰρ εἰς αὐτήν. ὅτι δὲ τὰ μέρη πρότερα τοῦ ὅλου τῇ γενέσει δῆλον. τούτων γὰρ πρότερον γενομένων ἐπιγίνεται αὐτοῖς τὸ εἶδος, καὶ ἔνεισιν ἐν τῷ ὅλῳ, ὡς δυναμένῳ τῷ ὅλῳ εἰς αὐτὰ διαιρεθῆναι· ὥστε, φησίν, ὡς μὲν ὕλη ἡ ὀξεῖα τῆς ὀρθῆς· τὰ γὰρ μέρη ὕλη τοῦ ὅλου καὶ προγίνονται τοῦ ὅλου, ἐπιγίνεται δ' αὐτοῖς αὐτό. ἀλλὰ καὶ τὸ στοιχεῖον τοῦ ἐξ αὐτοῦ ὕλη καὶ ἡ μονὰς τοῦ ἀριθμοῦ. ὡς μὲν δὴ ὕλαι πρότερα καὶ ἡ ὀξεῖα τῆς ὀρθῆς καὶ τὸ στοιχεῖον τοῦ ἐξ αὐτοῦ καὶ ἡ μονὰς τοῦ ἀριθμοῦ. τῷ εἴδει δὲ καὶ τῷ λόγῳ καὶ τῇ φύσει πρότερα ἡ ὀρθὴ τῆς ὀξείας· ἡ γὰρ φύσις τοῦ ὅλου στοχαζομένη καὶ τοῦτο οἷον σκοπὸν ἔχουσα πρὸς αὐτὸ πάντα ὅσα ποιεῖ, δημιουργεῖ. ὡς οὖν ἡ ὀρθὴ τῷ εἴδει καὶ τῇ φύσει πρότερα τῆς ὀξείας, οὕτω καὶ ὁ ἀριθμὸς τῆς μονάδος· διὰ γὰρ τὸν ἀριθμὸν καὶ αἱ μονάδες. ἀλλὰ καὶ τὸ ὅλον, φησί, τὸ ἐξ ὕλης καὶ εἴδους πρότερον τῷ λόγῳ τῆς οἰκείας ὕλης. καὶ κατασκευάζει τοῦτο λέγων ἐγγύτερον τοῦ εἴδους καὶ οὗ ὁ λόγος τὸ ἄμφω, τουτέστι μᾶλλον ἐγγίζει καὶ πλησιαίτερόν ἐστι τῷ εἴδει τὸ σύνθετον ἤπερ ἡ ὕλη· μακρότερον γὰρ ἀφίσταται ἡ ὕλη ὡς ἄκοσμος τοῦ εἴδους ἤπερ τὸ σύνθετον, τὸ δὲ μᾶλλον ἐγγίζον καὶ πλησιάζον τῷ προτέρῳ πρότερον. τὸ ἄμφω οὖν, ἤτοι τὸ συναμφότερον τὸ ἐξ ὕλης καὶ εἴδους, ἐγγύτερόν ἐστι τοῦ εἴδους καὶ οὗ ὁ λόγος· τοῦ γὰρ εἴδους ἐστὶν ὁ λόγος καὶ ὁ ὁρισμὸς ἀλλ' οὐ τῆς ὕλης, οὐδὲ τοῦ συναμφοτέρου. ὡς μὲν δὴ ἐγγύτερον τὸ σύνθετον τῷ εἴδει πρότερον τῆς ὕλης, τῇ δὲ γενέσει ὕστερον. προϋπαρχούσης γὰρ τῆς ὕλης ἐξ αὐτῆς καὶ τοῦ ἐπιγινομένου αὐτῇ εἴδους γίνεται τὸ σύνθετον. δείξας οὖν πῶς ἡ ὀξεῖα καὶ ἡ μονὰς ἡ μὲν τῆς ὀρθῆς προτέρα καὶ ὑστέρα ἡ δὲ μονὰς τοῦ ἀριθμοῦ. ἐρωτᾷ κατὰ ποῖον δὴ τῶν εἰρημένων τρόπων τὸ ἀρχικὸν ἓν ἀρχὴ καὶ πρότερόν ἐστι, καὶ ἐρωτήσας ἀποκρίνεται λέγων διότι οὐ διαιρετόν. ἀλλ' ἀδιαίρετον καὶ τὸ καθόλου ἕν, ἤτοι τὸ περι-

15 γενομένων A: γινομένων L 18 τὸ στοιχεῖον L: τὸ om. A 20 καὶ τὸ στοιχεῖον A: καὶ ἡ ὀξεῖα στοιχεῖον L 23 ὅσα L: om. A 25 τὸ ὅλον A: τὸ om. L 28 μακρότερον A: μακρῶ L 35. 36 δείξας οὖν LM: δείξομεν A 38 ἓν apud Aristotelem non legitur

ληπτικὸν πολλῶν καὶ ὡς εἶδος ὄν, καὶ τὸ συγκατατεταγμένον τοῖς καθ' ἕκαστα· τοῦτο γὰρ ἐπὶ μέρους ἓν εἶπεν. διότι οὖν ἀδιαίρετόν ἐστιν ἀρχὴν αὐτό φασι· τὸ δὲ ἀλλὰ τρόπον ἄλλον αὐτὸς ἐπήγαγεν, οὐχ ὡς 30 ἐκείνων τοῦτο λεγόντων, ἀλλ' ἑρμηνεύων ὅπως τὸ καθόλου καὶ τὸ ἐπὶ μέ-
5 ρους ἀδιαίρετον, δυνάμει λέγων ὅτι ἐκεῖνοι μὲν οὐκ | εἶπον ὅπως ἀδιαί- 753
ρετον καὶ τὸ καθόλου καὶ τὸ ἐπὶ μέρους, ἐγὼ δέ φημι ὅτι ἄλλον μὲν τρόπον τὸ καθόλου ἐστὶν ἀδιαίρετον καὶ ἄλλον τὸ ἐπὶ μέρους. τὸ μὲν γὰρ καθόλου κατὰ λόγον ἐστὶν ἀδιαίρετον· οὐ γὰρ διαιρεῖται τὸ ζῷον πεζὸν δίπουν εἰς ἄλλους λόγους καὶ εἴδη, ὡς τὸ ζῷον εἰς ἄνθρωπον καὶ ἵππον·
10 τὸ δὲ ἐπὶ μέρους κατὰ χρόνον ἀδιαίρετον· οὐ γὰρ πρότερον τὸ ἐν ἐμοὶ 5
εἶδος τῷ χρόνῳ ἐμοῦ, ἵνα διαιρῆται ὁ χρόνος εἰς πρότερον μέν, καθ' ὃν τὸ ἐμὸν εἶδος ἦν μήπω ἐμοῦ ὄντος, καὶ ὕστερον, καθ' ὃν ἐγώ, ἀλλ' ἅμα τῷ γενέσθαι τὸ ἐμὸν εἶδος (γέγονε δ' ἐν ἀτόμῳ νῦν) κἀγὼ ἦν. ὥστε ἐν ἀδιαιρέτῳ τῷ νῦν ἐγώ τε καὶ τὸ ἐμὸν εἶδος· οὐδὲν γὰρ ἄλλο εἰμὶ ἐγὼ ἢ
15 τὸ ἐμὸν εἶδος γέγονα. σαφηνίσας οὖν οὕτως ὅπως τὸ καθόλου ἐστὶν ἀδιαί- 10
ρετον καὶ τὸ ἐκ μέρους, πάλιν ἐρωτᾷ ποτέρως οὖν τὸ ἓν ἀρχὴ καὶ πρότερον; ἆρα ὡς ἡ ὀξεῖα ἢ ἡ ὀρθή; καὶ ἐρωτήσας πάλιν ὑπομιμνήσκει ἡμᾶς τῶν περὶ τῆς ὀρθῆς καὶ ὀξείας λέγων· ὥσπερ γάρ, φησίν, εἴρηται ὅτι ἡ ὀρθή, ἡ αὐτὴ καὶ μία, καὶ προτέρα καὶ ὑστέρα ἐστὶ τῆς ὀξείας,
20 ὁμοίως καὶ ἡ ὀξεῖα, ἡ αὐτὴ καὶ μία (τούτου γάρ ἐστι δηλωτικὸν τὸ ἑκα- 15
τέρα μία), προτέρα καὶ ὑστέρα τῆς ὀρθῆς, τῷ μὲν λόγῳ ὑστέρα τῇ δὲ γενέσει προτέρα (πρότερα γὰρ τὰ μέρη τῇ γενέσει τοῦ ὅλου), ὥσπερ οὖν ἐπὶ τούτων εἴρηται, καὶ προσυπακουστέον τοῦ ἀνάγκη καὶ ἐπὶ τῶν ἀριθμῶν οὕτως ἔχειν· εἰ δὲ τοῦτο, συμβαίνει αὐτοῖς ἀμφοτέρως τὸ ἓν ἀρχὴν ποιεῖν
25 καὶ πρῶτον, καὶ ὡς ὅλην καὶ ὡς εἶδος. ἐπειδὴ γὰρ αὐτὸ πρότερον πάντων φασὶ καὶ εἰδικὴν ἀρχήν, κατὰ τοῦτο πρότερον ἔσται. ἡ δὲ εἶδος μὲν ἡ δυὰς ἡ τριὰς καὶ ἁπλῶς πᾶς ἀριθμός, ὕλη δὲ αὐτῶν αἱ ἑνάδες, ταύτῃ 20 ὕστερον τὸ ἓν τοῦ ἀριθμοῦ. ἀλλ' ἀδύνατον τὸ αὐτὸ ἓν τοῦ αὐτοῦ καὶ ἑνὸς καὶ ὕλην εἶναι καὶ εἶδος.

30 p. 1084b20 Ἔστι γάρ πως ἓν ἑκάτερον τῇ μὲν ἀληθείᾳ δυνάμει.

Ἀσαφῶς καὶ τὰ προρρηθέντα καὶ τὰ νῦν λεγόμενα ἀπήγγελται· δοκεῖ γὰρ τὸ ἔστι γάρ πως ἓν ἑκάτερον διὰ τὸν γάρ σύνδεσμον ὅτι κατα- 25
σκευαστικόν ἐστί τινος τῶν πρὸ αὐτοῦ· οὐκ ἔστι δὲ ἀλλὰ μηνυτικὸν τοῦ πῶς ἔχουσιν αἱ μονάδες ἐν τοῖς ἀριθμοῖς τὸ εἶναι. καὶ ἦν ἂν σαφὴς ἡ
35 λέξις εἰ οὕτω πῶς ἦν γεγραμμένη 'δεῖ δὲ μὴ λανθάνειν ὅπως ἑκάτερον ἓν καὶ ἑκατέρα μονὰς ἔχουσιν ἐν τῇ δυάδι καὶ ἐν τῇ τριάδι καὶ ἐν τοῖς λοιποῖς ἀριθμοῖς'. καὶ τὸ μὲν ἑκάτερον ἓν ἐπὶ τῶν τῆς δυάδος λέγει μονά-

---

5 ὅπως L: οὕτως A 7 μέρους LM²: μέρος A 11 διαιρῆται M: διαιρεῖται AL
16 ἐπὶ μέρους coni. Bonitz 17 ἢ ἡ L: ἡ om. A 18 λέγων] λόγων coni. Bonitz 22 τῇ γενέσει L: om. A 25 ὕλην LM²: ὅλον A

δων, τὸ δὲ λεγόμενον τοιοῦτον ἂν εἴη· καθ' ἑαυτὴν ἀπολῃφθεῖσα τούτων 30
τῶν τῆς δυάδος | μονάδων ἑκατέρα δυνάμει μέν ἐστι κατὰ ἀλήθειαν, ἀλλ' 754
οὐκ ἐνεργείᾳ· εἰ γὰρ μή ἐστι σωρὸς μονάδων ὁ ἀριθμός, ἀλλ' ἕκαστος ἐξ
ὑποκειμένων μέν ἐστι τῶν τοσῶνδε μονάδων, ἐξ ἄλλων μέντοι καὶ ἄλλων
5 (ἀσύμβλητοι γὰρ αἱ τῆς δυάδος πρὸς τὰς τῆς τριάδος κατ' αὐτοὺς μονάδες
μονάδας), κατὰ τὸ εἶδος δὲ συνέστηκε τὸ ἑαυτοῦ, οὐκ ἂν εἴη ἡ ἐν τῇ δυάδι 5
μονὰς ἐνεργείᾳ, ὡς οὗτοι βούλονται, ἀλλὰ δυνάμει (δυνάμει γὰρ τὰ μόρια),
πρὶν ἂν κοσμηθῇ τῷ εἴδει τῷ οἰκείῳ. αἰνίττεται δὲ διὰ τούτων ὅτι τὸ
δυνάμει οὐ γενέσει μόνῃ καὶ χρόνῳ τοῦ ἐνεργείᾳ καὶ εἰδοποιημένου προ-
10 τιθέασιν, ἀλλὰ καὶ λόγῳ καὶ οὐσίᾳ.

p. 1084b23 Αἴτιον δὲ τῆς συμβαινούσης ἁμαρτίας ὅτι ἅμα ἐκ τῶν μαθημάτων ἐθήρευον καὶ τῶν λόγων τῶν καθόλου.

Τοῦ τὰ τοιαῦτα ἁμαρτάνειν καὶ εἶδος τοῦ αὐτοῦ καὶ ἑνὸς ἀριθμοῦ 10
λέγειν τὴν μονάδα καὶ ὅλην, καὶ προτέραν καὶ ὑστέραν, καὶ τὰ λοιπὰ ὅσα
15 ἁμαρτάνειν αὐτοὺς ἔδειξεν, αἴτιον, φησίν, ἐστὶ τὸ ἐκ τῶν μαθημάτων
καὶ τῶν καθόλου λόγων ζητεῖν καὶ θηρεύειν τὰ πράγματα. καθόλου
δὲ λόγους εἶπε τὰ μαθήματα, ὅτι οὐ τοῦ μερικοῦ τριγώνου τὰ συμπτώ-
ματα ὁ μαθηματικὸς θεωρεῖ, οὐδὲ τοῦ μερικοῦ κύβου ἢ τοῦδε τοῦ ἀριθμοῦ,
ἀλλὰ τῶν καθόλου· παντὸς γάρ, φησί, τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν 15
20 ὀρθαῖς ἴσαι εἰσίν, καὶ πᾶς ἄρτιος ἀριθμὸς εἰς δύο ἴσα καὶ εἰς δύο ἄνισα
διαιρεῖται, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. καθόλου μὲν οὖν διὰ τοῦτο εἶπε
τὰ μαθήματα. ἀλλὰ καὶ λόγους δι' αὐτὸ τοῦτο· οὐδὲν γὰρ τῶν καθόλου
ἐν ὑπάρξει ἐστὶ καὶ πρᾶγμά τι, ἀλλὰ λόγος. ἐκ τῶν τοιούτων οὖν τὰς
τῶν πραγμάτων ἐθήρευον ἀρχάς· διὰ γὰρ τὸ τὴν μονάδα ἀρχὴν εἶναι τῶν 20
25 μαθηματικῶν ἀριθμῶν, ὅθεν τὸ αὐτοὲν καὶ εἰδητικοὺς ἀριθμοὺς καὶ τἆλλα
πάντα ὅσα λέγειν αὐτοῖς συνέβη, ἐκάλουν τὴν ἀρχικὴν οὗτοι μονάδα οἷον
στιγμήν· τὴν γὰρ μονάδα μηδενὶ ἄλλῳ διαφέρειν στιγμῆς ἢ τῷ μὴ κεῖ-
σθαί που ἔλεγον. ὥσπερ οὖν, φησίν, οἱ περὶ Δημόκριτον ἐκ τῶν ἐλαχί-
στων καὶ ἀτόμων σωμάτων τὰ πράγματα συνετίθουν, οὕτως καὶ οὗτοι ἐκ
30 τῆς ἀμεροῦς μονάδος καὶ τῆς ἀορίστου δυάδος ἢ τῆς στιγμῆς καὶ τοῦ 25
πλήθους. ὥστε συμβαίνει αὐτοῖς ἐξ ὧν λέγουσι τὴν μονάδα ὅλην εἶναι
τῶν ἀριθμῶν, εἴ γε ἐκ μονάδων ὡς ἐξ ὅλης ὁ ἀριθμός, καὶ προτέραν τῆς
δυάδος καὶ πάλιν ὑστέραν. ᾗ μὲν γὰρ ἀρχικὴ καὶ εἰδοποιὸς κατ' αὐτοὺς
ἡ μονάς, ταύτῃ προτέραν αὐτὴν ἀνάγκη τῆς δυάδος εἶναι· ᾗ δὲ πάλιν
35 ὅλον τι καὶ εἶδός ἐστιν ἡ δυάς, ὅλη δὲ | αὐτῆς ἡ μονάς, ταύτῃ ὑστέρα 755
τῆς δυάδος. τὸ δὲ διὰ τὸ καθόλου ζητεῖν τὸ κατηγορούμενον ἓν
καὶ οὕτως ὡς μέρος ἔλεγον ἴσον ἐστὶ τῷ συμβαίνει αὐτοῖς τὸ ἓν καθό-

1 καθ' ἑαυτὴν Syr.: καθ' ἣν αὐτὴν ALM² ἀποδιαληφθεῖσα Syr. 4 τῶν om. Syr. 6 οὐκ] οὐδὲν Syr. 9 ἐνεργείᾳ] ὅλου Syr. 12 καὶ ἐκ τῶν λόγων Metaph. 23 πρᾶγμά τι Bonitz: πράγματι libri 24 τῶν (post εἶναι) L: om. A 25 εἰδητικοὺς M: εἰδικοὺς AL 28 ἔλεγον A: ἔφασκον LM² 29 ἀτόμων L Syr.: αὐτομάτων A

λου τε λέγειν καὶ μέρος· καθὸ μὲν γὰρ τὸ ἓν περιληπτικὸν ἔλεγον πάντων τῶν ἀριθμῶν, ταύτῃ καὶ καθόλου αὐτὸ ἀπεφαίνοντο· ᾗ δὲ πάλιν μέρος ἐστὶ τῆς δυάδος, οὐκ ἔστι καθόλου ἀλλὰ μέρος. ἀλλ' ἀδύνατον τὴν αὐτὴν καὶ μίαν μονάδα πάντων τε τῶν ἀριθμῶν εἶναι περιληπτικὴν καὶ διὰ τοῦτο καθόλου, καὶ μόριον τῆς δυάδος καὶ τριάδος καὶ ἑκάστου τῶν ἀριθμῶν τὸ ἐλάχιστον.

p. 1084b32 Εἰ δὲ τὸ ἓν αὐτὸ δεῖ μόνον ἄθετον εἶναι· οὐθενὶ γὰρ διαφέρει ἢ ὅτι ἀρχή.

Ἓν αὐτὸ λέγει τὸ ἀρχικὸν ἕν. ὃ δέ φησι τοιοῦτον ἂν εἴη. εἰ δεῖ τὸ ἓν αὐτὸ ἄθετον εἶναι (οὐδενὶ γὰρ τῆς στιγμῆς διαφέρει εἰ μὴ δυσί, τῷ τε ἄθετον εἶναι καὶ τῷ ἀρχήν), ἀθέτου δὴ ὄντος αὐτοῦ ἐπειδὴ αὐτῷ τῷ ἑνί (ταὐτὸν δὲ εἰπεῖν τῇ ἀρχικῇ μονάδι) ὁμοιοτέρα ἐστὶν ἡ ἐν τῇ δυάδι μονὰς ἤπερ ἡ δυάς (ἡ μὲν γὰρ δυὰς διαιρετή, ἡ δὲ μονὰς ἡ ἐν αὐτῇ ἀδιαίρετος, τὸ δὲ ἀδιαίρετον τῷ ἀδιαιρέτῳ ὁμοιότερον ἤπερ τὸ διαιρετόν), ἐπεὶ οὖν ὁμοιοτέρα ἡ ἐν τῇ δυάδι μονὰς τῇ ἀρχικῇ μονάδι, τὸ δὲ τῇ ἀρχῇ ὁμοιότερον πρότερον, προτέρα ἂν εἴη ἡ μονὰς ἡ ἐν τῇ δυάδι τῆς δυάδος. οὔ φασι δὲ τοῦτο ἐκεῖνοι, ἀλλ' εὐθὺς μετὰ τὴν ἀρχικὴν μονάδα τὴν δυάδα τάττουσιν. ἔτι, φησίν, ἐπειδὴ ἡ αὐτοδυὰς ἓν τι ἐστὶν ὥσπερ ὁ Σωκράτης καὶ ἡ αὐτοτριὰς ὁμοίως ἕν τι, ἔσονται ἀμφότεραι δυάς. ὅπου γὰρ δύο ἕνα, δυὰς ἐκεῖσε ἐξ ἀνάγκης. ἐκ τίνος οὖν ἔσται αὕτη ἡ δυάς; οὐ γὰρ δὴ ἐκ τοῦ ἀρχικοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος· ἐξ αὐτῶν γὰρ ἡ αὐτοδυὰς ἦν καὶ ἡ αὐτοτριάς.

p. 1085a3 Ἀπορήσειε δ' ἄν τις καὶ ἐπεὶ ἀφὴ μὲν οὐκ ἔστιν ἐν τοῖς ἀριθμοῖς, τὸ δ' ἐφεξῆς.

Ὅτι μὲν ἐν τοῖς ἀριθμοῖς ἀφὴ οὐκ ἔστιν, οὐδ' ἅπτεται μονὰς μονάδος οὐδ' ὅλως ἀμερὲς ἀμεροῦς, μόνον δ' ἐφεξῆς εἰσι, δέδεικται ἐν τῇ Φυσικῇ ἀκροάσει. ὃ δὲ ἐνταῦθα λέγει τοιοῦτόν ἐστιν. ἐπειδὴ αἱ μονάδες τῆς δυάδος οὐχ ἅπτονται, οὐδὲ ἔστι μεταξὺ τῶν τοιούτων δύο μονάδων οὐδὲν ἀλλ' ἐφεξῆς εἰσιν, ὁμοίως ἐπὶ τῶν ἐν τῇ αὐτοτριάδι, πότερον, φησίν, ἐφεξῆς τῷ ἑνὶ αὐτῷ ἢ οὔ; ὃ βραχέως μὲν καὶ διὰ τοῦτο ἀσαφῶς εἴρηται, ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον· πότερον τῷ ἑνὶ τῷ πρώτῳ καὶ ἀρχικῷ τὴν πρώτην τῆς αὐτοδυάδος μονάδα τακτέον ἐφεξῆς ἢ οὔ; εἴτε γὰρ τάξαιμεν, ἔσται ἐκ τοῦ πρώτου ἑνὸς καὶ τῆς ἐφεξῆς αὐτῷ μονάδος δυὰς πρὸ τῆς αὐτο|δυάδος, καὶ πρώτη αὐτῆς, ὅπερ οὗτοι οὐ βούλονται· εἴτε 756

---

1 γὰρ M: om. AL 3 οὐκ ἔστι A: οὐκέτι L 4 περιληπτικὴν L: περιληπτικὸν A
11 εἶναι M¹: om. AL: ind. M² 16 ἀρχῇ L: ἀρχικῇ A 17 δυάδος A: μονάδος LM²
19 ἀμφότεραι AM¹: ἀμφότερα LM² 24 τὸ δ' ἐφεξῆς M: δ' om. AL
26. 27 ἐν τῇ Φυσικῇ ἀκροάσει] E 3 p. 227a20 30 αὐτῷ Bonitz: αὐτῶν libri
31 τῷ ἑνὶ L: om. A

μὴ τάξαιμεν, τίς ἂν εἴη τούτου αἰτία; καὶ πότερον ἡ δυὰς προτέρα τῷ ἐφεξῆς; τουτέστι καὶ πότερον τὴν δυάδα φήσομεν αὐτὴν ἐφεξῆς εἶναι τῷ πρώτῳ ἑνί, ἢ τὴν ἐν τῇ δυάδι μονάδα ὡς ὁμοιοτέραν οὖσαν τῷ ἑνί; εἰ μὲν δὴ τὴν δυάδα, ἔσται ἐκ τοῦ ἀρχικοῦ ἑνὸς καὶ τῆς δυάδος αὐτῆς τριὰς πρὸ τῆς αὐτοτριάδος καὶ πρώτη αὐτῆς· εἰ δὲ τὴν μονάδα, ὁ πρότερος ἥξει λόγος· δυὰς γὰρ ἔσται πρὸ δυάδος αὐτῆς.

p. 1085a7 Ὁμοίως δὲ καὶ περὶ τῶν ὑστέρων γενῶν τοῦ ἀριθμοῦ συμβαίνει τὰ δυσχερῆ.

Τίνα ἐστὶ τὰ ὕστερα γένη τοῦ ἀριθμοῦ, αὐτὸς ἐκτίθεται, τὸ μακρὸν λέγων καὶ βραχύ, καὶ πλατὺ καὶ στενόν, καὶ βαθὺ καὶ ταπεινόν. λέγει δὲ ὅτι βουλόμενοι καὶ τὰ μεγέθη παράγειν ἀπὸ τῶν δύο ἀρχῶν, τοῦ τε ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, ἐκ μὲν τῆς δυάδος φασὶ τήν τε γραμμὴν τὸ μακρὸν καὶ βραχὺ λαβεῖν, τό τε ἐπίπεδον τὸ πλατὺ καὶ στενόν, τό τε στερεὸν τὸ βαθὺ καὶ ταπεινόν· ταῦτα γὰρ τὸ μακρὸν καὶ βραχὺ καὶ τὰ λοιπὰ εἴδη ἐκάλουν τοῦ μεγάλου καὶ μικροῦ τοῦ ἐν τῇ ἀορίστῳ δυάδι. τὴν δὲ κατὰ τὸ ἕν, φησίν, ἀρχὴν οὐχ ὁμοίως εἰσῆγον ἅπαντες, ἀλλ' οἱ μὲν αὐτοὺς τοὺς ἀριθμοὺς τὰ εἴδη τοῖς μεγέθεσιν ἔλεγον ἐπιφέρειν, οἷον δυάδα μὲν γραμμῆ, τριάδα δὲ ἐπιπέδῳ, τετράδα δὲ στερεῷ (τοιαῦτα γὰρ ἐν τοῖς Περὶ φιλοσοφίας ἱστορεῖ περὶ Πλάτωνος, δι' ὃ καὶ ἐνταῦθα βραχέως καὶ συντόμως τὴν τούτων ἐξέθετο διάνοιαν), οἱ δὲ μεθέξει τοῦ ἑνὸς τὸ εἶδος ἀπετέλουν τῶν μεγεθῶν. ἀλλὰ καὶ ἐν τούτοις, φησί, μυρία ἕπεται τὰ ἀδύνατα καὶ πλασματώδη. καὶ ἐπάγει ἐκ τῶν πολλῶν ὀλίγα λέγων. εἰ μὴ σύνεισιν ἀλλήλαις αἱ ἀρχαὶ μηδὲ συνακολουθεῖ ἐν τῷ μακρῷ καὶ βραχεῖ τὸ πλατὺ καὶ στενὸν καὶ βαθὺ καὶ ταπεινόν, καὶ πάλιν τῷ πλατεῖ καὶ στενῷ τὸ βαθὺ καὶ ταπεινὸν καὶ μακρὸν καὶ βραχύ, ὁμοίως καὶ τῷ βαθεῖ καὶ ταπεινῷ ἐκεῖνα· εἰ οὖν μὴ ἀκολουθοῖεν ἀλλήλοις ἀλλὰ κεχωρισμένα ἐστὶν ἀπ' ἀλλήλων καὶ πάντῃ ἀκοινώνητα, καὶ αἱ ἐξ αὐτῶν γινόμεναι διαστάσεις ἥ τε γραμμὴ καὶ τὸ ἐπίπεδον καὶ τὸ στερεὸν ἀπολελυμέναι καὶ κεχωρισμέναι ἔσονται (τὰ γὰρ ἐκ διαφόρων ἀρχῶν ὑποστάντα οὐκ ἀναγκάζεται ἅμα εἶναι), ὥστε ἔσται ἐπίπεδον ἄνευ γραμμῆς καὶ στερεὸν χωρὶς ἐπιπέδου, ὅπερ ἐστὶν ἀδυνατώτατον. εἴτε σύνεισιν ἀλλήλοις τὸ μακρὸν καὶ τὸ πλατὺ καὶ τὰ λοιπά, ταὐτὸν ἔσται τῇ γραμμῇ καὶ τῷ στερεῷ τὸ ἐπίπεδον καὶ ταῦτα ἐκείνῳ, ὥστε ἔσται τὸ ἐπίπεδον γραμμὴ καὶ τὸ στερεὸν ἐπίπεδον καὶ γραμμή. ἑπομένων γὰρ τῶν ἀρχῶν καὶ συνουσῶν ἀλλήλαις καὶ μηδὲν διαφερουσῶν καὶ τὰ ἐξ αὐτῶν οὕτως ἕξει. ἀλλ' ἡ μὲν τῶν λεγομένων διάνοια εἴρηται. κατὰ δὲ τὴν λέξιν ὧδε

---

1 τούτου L Syr.: τούτων A 2 τῶν ἐφεξῆς Metaph. 10 καὶ στενὸν καὶ πλατὺ L 12 ἐκ—δυάδος A: om. L: ind. M² 13 τὸ στενὸν καὶ πλατύ L 18 γραμμῇ A: γραμμήν L 22 τὰ ἀδύνατα L: τὰ om. A 26 βαθεῖ καὶ ταπεινῷ M¹: πλατεῖ καὶ στενῷ ALM² 28 γινόμεναι A: γενόμεναι L 30 ἀναγκάζεται ALM² Syr.: ἀνάγκη M¹ Bonitz 31 ἀδυνατώτατον A: ἀδύνατον LM²

ἔχει· ἀπολελυμένα τε γὰρ συμβαίνει, εἰ μὴ συνακολουθοῦσι καὶ 757
αἱ ἀρχαί, τουτέστιν εἰ μὴ συνακολουθοῦσιν ἀλλήλαις αἱ ἀρχαὶ οὕτως ὥστε εἶναι τὸ πλατὺ καὶ στενὸν καὶ μακρόν, ἤτοι ὥστε συνεῖναι καὶ ταὐτὸν ὑπάρχειν τὸ στενὸν τῷ μακρῷ καὶ πλατεῖ, ἀπολελυμένα
5 καὶ κεχωρισμένα ἀπ' ἀλλήλων ἔσται καὶ τὰ μεγέθη, καὶ οὐκ ἔσται ἐν τῷ 5
ἐπιπέδῳ γραμμή. τὸ δὲ εἰ δὲ τοῦτο ἀντὶ τοῦ εἰ δὲ σύνεισιν ἀλλήλαις αἱ ἀρχαί, συμβαίνει τὰ εἰρημένα. ἔτι δέ, φησίν, αἱ γωνίαι καὶ τὰ σχήματα καὶ τὰ τοιαῦτα πῶς ἀποδοθήσεται κατὰ λόγον καὶ πῶς ἐκ τῶν πολυθρυλήτων αὐτῶν ἀρχῶν δυνήσονται ποιεῖν; τί γὰρ ἐν τούτοις
10 τὸ ὑπερέχον καὶ τί τὸ ἐλλεῖπον; τὴν μὲν γὰρ ὀρθὴν γωνίαν ἔλεγον εἶναι κατὰ τὴν μονάδα, ὀξεῖαν δὲ καὶ ἀμβλεῖαν κατὰ τὴν ἀόριστον δυάδα, ἀφ' 10
ἧς αὐταῖς τό θ' ὑπερέχειν καὶ ὑπερέχεσθαι. ἀλλὰ καὶ τῶν σχημάτων τὰ μὲν ἐν ἰσότητι καὶ ταυτότητι θεωρούμενα, ὡς τὰ τετράγωνα καὶ τοὺς κύβους, ἐκ τῆς μονάδος ἔλεγον, τὰ δὲ ἀνισότητι καὶ ἑτερότητι κατεχόμενα
15 ἐκ τῆς δυάδος. ταῦτα δὲ πάντα πλασματώδη καὶ ἀδύνατα. ταῦτα εἰπὼν λέγει ὅτι ὥσπερ τὸ περιττὸν καὶ ἄρτιον πάθη εἰσὶν ἀριθμοῦ, ταὐτὸ τοῦτο 15
συμβαίνει καὶ ἐπὶ τούτων, καί εἰσι μήκους μὲν πάθη τὸ περιφερὲς καὶ εὐθύ, πλάτους δὲ τὸ στενὸν καὶ πλατύ, βάθους δὲ τὸ ταπεινὸν καὶ ὑψηλόν· οὐ μὴν ἐκ τούτων, τῆς τε ἀορίστου φημὶ δυάδος καὶ τοῦ ἑνός, ἔστι τὸ
20 μέγεθος, ὥσπερ οὐδὲ ἐξ εὐθέος καὶ καμπύλου τὸ μῆκος καὶ τὰ λοιπὰ ἃ σαφῶς αὐτὸς καταλέγει.

p. 1085a23 Πάντων δὲ κοινὸν τούτων ὅπερ ἐπὶ τῶν εἰδῶν τῶν ὡς 20
γένους συμβαίνει διαπορεῖν καὶ τὰ ἑξῆς.

Πᾶσι τούτοις, φησί, τοῖς χωριστοὺς τιθεμένοις τοὺς ἀριθμοὺς καὶ πρὸς
25 τούτοις καὶ τὰ μεγέθη κοινὸν ἕπεται ἁμάρτημα, ὅπερ ἂν εἴπετο καὶ τοῖς τὸ καθόλου ζῷον χωριστὸν καὶ καθ' αὑτὸ ὑποτιθεῖσιν, ἀλλὰ μὴ ἐννοηματικὸν καὶ μόνῳ τῷ νοεῖσθαι τὸ εἶναι ἔχον. ὥσπερ γὰρ ἐπὶ τῶν εἰδῶν τῶν ὡς γένους, ἤτοι τῶν ἅμα καὶ γενῶν καὶ εἰδῶν ὄντων πρὸς ἄλλο μέντοι καὶ ἄλλο, συμβαίνει διαπορεῖν εἴ τις αὐτὰ χωριστὰ θείη, τὸ 25
30 ἆρα τὸ καθόλου καὶ χωριστὸν καὶ καθ' αὑτὸ ὂν ζῷόν ἐστι τὸ ἐν τοῖς καθ' ἕκαστα ζῴοις εὑρισκόμενόν τε καὶ συγκατατεταγμένον αὐτοῖς. ἢ ἄλλο μὲν αὐτὸ ἄλλο δὲ τὸ συνὸν τοῖς καθ' ἕκαστα. τοῦτο γὰρ οὐδεμίαν ποιήσει ἀπορίαν μὴ χωριστοῦ ὄντος τοῦ καθόλου ἀλλὰ ψιλῆς ἐπινοίας ὄντος. εἰ μὲν γὰρ ἦν καθ' αὑτὸ τὸ ζῷον, ὥσπερ ἐγώ, τότ' ἂν ἦν ἄλυ- 30
35 τος ἡ ἀπορία, εἴτε ταὐτὸν τῷ συνόντι τοῖς καθ' ἕκαστα εἴτε ἕτερον ἔλεγον. εἰ μὲν γὰρ ταὐτὸν ἔφησαν, εἰκὸς | ἦν ζητεῖν, πῶς ἡ μία φύσις εἰς ἄπειρα 758

1 γὰρ ἀλλήλων συμβαίνει Metaph. 4 πλατεῖ L: στενῷ A 5 οὐκ A: om. L 16 ἀριθμοῦ L: ἀριθμῶν A 20 εὐθέος AM¹: εὐθείας LM² 24 χωριστοὺς AM¹: om. L: ind. M² 25 ὅπερ A: ὅπως L 29 μέντοι L: μέν τι A 31 τε LM: τι A 35 ἡ ἀπορία LM: ἡ om. A ἔλεγον M: ἔλεγεν AL 36 μὲν L: μὴν A

κατακερματισθεῖσα ἀπαράλειπτός ἐστι καὶ ὅλη καὶ ἐν ἐμοὶ καὶ ἐν Σωκράτει καὶ ἐν ἵππῳ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν· ὥσπερ γὰρ ὁ Σωκράτης ἐν πλείοσιν οἰκίαις ὅλος ἅμα εἶναι οὐ δύναται, ἀλλ' εἴπερ ἄρα, ἡ μὲν χεὶρ αὐτοῦ ἐν τῇδε τῇ οἰκίᾳ καὶ ὁ πούς αὐτοῦ ἐν ἄλλῃ καὶ τὰ ἄλλα, οὕτως οὐδὲ ἡ τοῦ ζῴου φύσις καὶ οὐσία εἰ καθ' αὑτὴν ἦν, ἐν ἐμοὶ τελεία καὶ ἀπαράλειπτος εἶναι ἠδύνατο. ἀλλ' εἰ μὲν ταὐτόν τις τοῦτο τῷ συνόντι τοῖς καθ' ἕκαστα ἔλεγε, ταῦτα καὶ ἄλλα μυρία· εἰ δὲ ἕτερον, ἐπειδὴ τὸ συνὸν ἡμῖν οὐσία ἐστὶν ἔμψυχος αἰσθητική, τίς ἡ φύσις αὐτοῦ ἐστιν ἠναγκάσθη ἂν λέγειν. ἀχωρίστου δὲ καὶ ψιλῇ ἐπινοίᾳ τὸ εἶναι ἔχοντος (τὰ δὲ ἐν ἐπινοίᾳ τὸ εἶναι ἔχοντα μὴ ὄντα ἐστίν) οὐδεμίαν ἕξει χώραν ἡ ἀπορία. ὕπαρξιν γὰρ μὴ ἔχοντος τοῦ καθόλου καὶ μὴ ὄντος ὑπάρχοντος, πῶς ἂν ζητοῖμεν εἰ ταὐτόν ἐστι τῷ συνόντι τοῖς καθ' ἕκαστα; ὡς οὖν ἐπὶ τοῦ ζῴου, οὕτω καὶ ἐπὶ τοῦ ἑνὸς καὶ τῶν ἀριθμῶν καὶ τῶν διαστάσεων ἀχωρίστων μὲν ὄντων οὐχ ἕξει ἀπορίαν, χωριστῶν δέ, ὡς οἱ ταῦτα λέγοντες λέγουσιν, οὐ ῥᾴδιον διαλῦσαι τὰς ἐπαχθησομένας αὐτοῖς ἀπορίας, εἰ μὴ ῥᾴδιον δεῖ λέγειν τὸ ἀδύνατον, τουτέστιν εἰ δεῖ οὐ ῥᾴδιον λέγειν ἀλλὰ μὴ ἀδύνατον, τουτέστι κρεῖττόν ἐστι λέγειν ὅτι ἀδύνατόν ἐστι λῦσαι αὐτὰς ἤπερ λέγειν μὴ ῥᾴδιον. τὸ γὰρ μὴ ῥᾴδιον κἂν γενήσεται, τὸ δ' ἀδύνατον οὐδαμῶς. τοῦτ' εἰπὼν πάλιν ἐρωτᾷ λέγων ὅταν γὰρ ἐννοῇ τις ἐν τῇ αὐτοδυάδι καὶ ὅλως ἐν ἀριθμοῖς τὸ ἕν, πότερον αὐτὸ νοεῖ τι, τουτέστι τὸ ἀρχικὸν ἓν ἐν αὐτῇ νοεῖ, ἢ ἄλλο τι; εἰ μὲν γὰρ τὸ ἀρχικόν, ἔσται μέρος, ὡς πρὸ ὀλίγου εἴρηται, ὡς ἐν αὐτῇ ὄν, ἀλλὰ καὶ καθόλου, ὡς πολλῶν περιληπτικόν· εἰ δὲ ἕτερον, πότερον αὐτὸ θήσομεν ἐφεξῆς τῷ ἀρχικῷ ἑνί, ἢ τὴν δυάδα ἐν ᾗ ἐστι· καὶ πάλιν ἥξουσιν οἱ προρρηθέντες λόγοι.

Ταῦτα εἰπὼν ἐπάγει οἱ μὲν οὖν αὐτῶν τὰ μεγέθη γεννῶντες ἦσαν, ὥσπερ εἴρηται, ἐκ τοιαύτης ὕλης, ἤτοι τῆς ἀορίστου δυάδος, τὸ μακρὸν καὶ βραχύ, καὶ πλατὺ καὶ στενόν, καὶ ταπεινὸν καὶ ὑψηλόν, ἐκ δὲ τούτων γραμμήν, ἐπίπεδον, στερεόν· ἕτεροι δὲ οὐ τὰς ἀριθμητικὰς ἀρχὰς καὶ τῶν μεγεθῶν ἀρχὰς ἔλεγον, ἀλλ' ἀνάλογον ταῖς ἀριθμητικαῖς ἀρχαῖς ἵστασαν τὰς γεωμετρικάς, στιγμὴν ἀντὶ τοῦ ἑνὸς παραλαμβάνοντες, οὐκ οὖσαν μὲν ὅπερ τὸ ἓν ἀλλ' ἀνάλογον τῷ ἑνὶ ταττομένην, καὶ ἄλλο τι οὐκ ὂν μὲν ὅπερ ἡ δυάς, ἀνάλογον δὲ τῇ ἀρχῇ ταύτῃ παραλαμβανόμενον ὑπ' αὐ- 759
τῶν, ὅπερ οἷον πλῆθος ἐκάλουν. ἡ δὲ λέξις ἡ καὶ ἄλλης ὕλης οἵας τὸ πλῆθος, ἀλλ' οὐ πλήθους σαφεστέρα ἂν ἦν, εἰ οὕτως εἶχεν 'καὶ ἄλλης ὕλης οἷον τὸ πλῆθος, ἀλλ' οὐ πλῆθος', ἵν' ἦν ἀντὶ μὲν τοῦ οἵας τὸ οἷον, ἀντὶ δὲ τοῦ πλήθους, ὅπερ ἐστὶ γενικὴ τῶν ἑνικῶν, πλῆθος εὐ-

---

1 ἀπαράληπτος L 2 ἐν ἵππῳ L: ἐν om. A 5 οὐσία εἰ L: εἰ post οὐδὲ (4) transponit A 6 τῷ L: τὸ A 8 αἰσθητική, τίς L coni. Bonitz: αἰσθητική τις A 9 εἶναι LM: om. A τὰ δὲ ἐν ALM²: ἐπειδὴ τὰ M¹ Bonitz 15 ῥᾴδιον λῦσαι Metaph. vulg. 16 τὸ L: ὅτι A 19. 20 ἐννοῇ] νοῇ Metaph. 21 νοεῖ τι] sic AL; cf. Bonitz ad Met. p. 1085a31 30 ἔλεγον εἶναι Syr. ἵστασαν e Syriano Bonitz: ἱστᾶσι AL 32 ὅπερ ἓν et 33 ὅπερ δυὰς Syr. 36 ἀλλ' οὐ πλῆθος om. L: in margine add. L²

θεῖα τῶν ἑνικῶν. ἐκ μὲν οὖν τῆς στιγμῆς καὶ τοῦ οἷον πλήθους οὗτοι ταῦτα γεννῶντες οὐδὲν ἧττον τοῖς ἐκ τῆς δυάδος καὶ τοῦ ἑνὸς γεννῶσιν εἰσῆγον αὐτοὶ δυσχερῆ ὅτι μὴ καὶ μᾶλλον. καὶ τίνα τὰ δυσχερῆ, λέγει· εἰ μὲν γὰρ μία, φησίν, ὕλη ἐστὶ τῆς γραμμῆς καὶ ἐπιπέδου καὶ στερεοῦ καὶ ἀδιάφορος, ἐπειδὴ καὶ τὸ εἰδητικὸν ἡ στιγμὴ ἓν καὶ τὸ αὐτό, ἔσται καὶ ἡ γραμμὴ ἡ αὐτὴ τῷ ἐπιπέδῳ, καὶ ἔσται τὸ ἐπίπεδον γραμμὴ καὶ ἡ γραμμὴ ἐπίπεδον· τὰ δὲ αὐτὰ καὶ ἐπὶ τοῦ στερεοῦ λέγειν ἀνάγκη. εἰ δὲ πλείους αἱ ὕλαι καὶ ἑτέρα μὲν ἡ τῆς γραμμῆς ἑτέρα δὲ ἡ τοῦ ἐπιπέδου καὶ ἑτέρα ἡ τοῦ στερεοῦ, ἤτοι ἀκολουθοῦσι καὶ σύνεισιν ἀλλήλαις ἢ οὔ. εἰ μὲν οὖν σύνεισι, ταὐτὸν ἔσται τὸ ἐπίπεδον τῇ γραμμῇ καὶ τῷ στερεῷ, εἰ δὲ μὴ σύνεισιν, οὐχ ἕξει τὸ ἐπίπεδον γραμμήν.

Ἔτι, φησί, πῶς δυνατὸν ἐκ τοῦ πλήθους καὶ τοῦ ἑνὸς εἶναι τὸν ἀριθμόν; οἱ δὲ ἐκ τοῦ πλήθους καὶ τοῦ ἑνὸς κἂν δὴ ἐπιχειρήσωσι, φησίν, εἰπεῖν ὁπωσοῦν, τὰ αὐτὰ αὐτοῖς ἕψεται δυσχερῆ, ἅπερ καὶ τοῖς ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος εἶναι λέγουσιν εἵπετο. καὶ ἄλλος μέν τις, φησί, τῶν Πυθαγορείων ἐκ τοῦ κατηγορουμένου καθόλου ἤτοι τοῦ καθόλου πλήθους, ἀλλ' οὐ τινὸς πλήθους, καὶ τοῦ ἑνὸς γεννᾷ τὸν ἀριθμόν, ὁ δὲ Πλάτων ἐκ τοῦ τινὸς πλήθους τοῦ πρώτου δὲ καὶ τοῦ ἑνός. λέγει δὲ τὶ πλῆθος καὶ πρῶτον τὴν ἀόριστον δυάδα· πρώτη γὰρ τοῦ ἐν τρισὶ καὶ τέτρασι καὶ τοῖς ἐφεξῆς θεωρουμένου πλήθους αὕτη. ὥστε, φησίν, οὐδὲν διαφέρει, ἀλλ' αἱ ἐκείνοις ἑπόμεναι ἀπορίαι καὶ τούτοις ἕψονται. καὶ ἐπάγει ἀπορίαν λέγων μῖξις ἢ κρᾶσις ἢ θέσις ἢ γένεσις. τουτέστι μίξει ἢ κράσει ἢ γενέσει τὴν συνέχειαν οἱ ἀριθμοὶ ἔχουσι. κατ' οὐδένα γὰρ τούτων τῶν τρόπων, ὡς πολλάκις εἴρηται, ἐνδέχεται συνεχῆ εἶναι τὸν ἀριθμόν.

p. 1085b12 Μάλιστα δ' ἄν τις ἐπιζητήσειεν, εἰ μία ἑκάστη μονάς, ἐκ τίνος ἐστίν.

Ὁ ζητεῖ τοιοῦτόν ἐστιν. ἐπειδὴ ἑκάστη μονὰς τῆς αὐτοδυάδος καὶ αὐτοτριάδος καὶ τῶν λοιπῶν μία καὶ ἀμερὴς καὶ ἀδιαίρετός ἐστιν, ἐκ τίνος γέγονεν; οὐ γὰρ δὴ ἡ ὑλικὴ μονὰς ἡ ἐν τῇ δυάδι ἡ ἀρχικὴ μονὰς ἐστι κατ' αὐτούς, ἵνα φῶσιν ὡς οὐκ ἔκ | τινος γέγονεν. ἀντὶ δὲ τοῦ εἰπεῖν 760
ἀρχικὴν μονάδα εἶπεν αὐτὸ τὸ ἕν. ἐπειδὴ οὖν ἡ ὑλικὴ μονὰς οὐκ ἔστιν ἡ ἀρχική, ἐκ τίνος αὕτη γέγονεν; ἢ ἂν ἐκ τοῦ καθόλου πλήθους καὶ τοῦ ἑνός, ἢ μορίου τοῦ πλήθους ἤτοι τῆς ἀορίστου δυάδος καὶ τοῦ ἑνός. ἀλλὰ τὸ μὲν πλῆθός τι εἶναι τὴν ὑλικὴν μονάδα καὶ ὅλως ἐκ τῆς ἀορίστου δυάδος αὐτὴν γεννᾶν ἄτοπον· ἡ μὲν γὰρ ὑλικὴ μονάς, ὡς καὶ αὐτοί

---

1 πλήθους ex πλῆθος corr. L 2 ante τοῖς fort. addendum ταὐτὰ 3 τὰ δυσχερῆ L: τὰ om. A 5 εἰδητικὸν AM¹: εἰδικὸν LM² 7 τοῦ στερεοῦ L: τοῦ om. A 9 ἀκολουθοῦσι L: ἀκολουθοῦσαι A ἀλλήλαις L: ἀλλήλοις A 13 οἱ AL: εἰ M Bonitz 18 post ἑνός add. γεννᾷ LM² 19 τὶ A: τὸ L 20 τοῖς Brandis: τῶν A: τοῦ LM² 21 οὐδὲν L: οὐδὲ A 23 post γενέσει add. ἢ θέσει M¹

φασιν, ἀδιαίρετος, ἡ δὲ ἀόριστος δυὰς δυοποιός (καὶ τοῦτο γὰρ προσκυνοῦσι) καὶ δυναμένων διαιρεῖσθαι γεννητική. οὔτε οὖν ἐκ τῆς ἀορίστου δυάδος δυνατὸν αὐτὴν εἶναι, οὔτε ἐκ μορίου τῆς ἀορίστου δυάδος· τὸ γὰρ ἐκ μορίου τῆς ἀορίστου δυάδος τὴν τῆς αὐτοδυάδος λέγειν μονάδα ἄλλας πάλιν ἔχει δυσχερείας. καὶ ἐπάγει αὐτὰς λέγων 'ἕκαστον γὰρ τῶν μορίων τοῦ ἀριθμοῦ, τοῦτο δ' ἐστὶν ἡ μονάς, ἀνάγκη ἀδιαίρετον εἶναι ἢ πλῆθος, τουτέστι διαιρετόν.' ἐπειδὴ γὰρ πᾶν πλῆθος διαιρετόν ἐστιν ἀντὶ τοῦ εἰπεῖν διαιρετὸν εἶπε πλῆθος, καὶ σαφηνίζων ἐπήγαγε καὶ τὴν μονάδα διαιρετήν. καὶ εἴη ἂν τὸ τῆς λέξεως καὶ πᾶν καὶ σαφὲς τοιοῦτον· ἕκαστον γὰρ τῶν μορίων τοῦ ἀριθμοῦ ἢ ἀδιαίρετον ἀναγκαῖον εἶναι ἢ πλῆθος καὶ διαιρετὴν εἶναι τὴν μονάδα, ἤτοι ἢ πλῆθος εἶναι τὴν μονάδα· τί δὲ τοῦτό ἐστι; διαιρετήν. ἀλλὰ τὸ μὲν διαιρετὴν αὐτὴν εἶναι ἀδύνατον· ἀδιαίρετον δ' οὖσαν οὐκ ἂν εἴη τὸ στοιχεῖον τῶν μονάδων καὶ ὅλως τῶν ἀριθμῶν, ὡς αὐτοί φασι, τὸ πλῆθος καὶ τὸ ἕν, οὐδὲ ἔσται ἐκ πλήθους καὶ ἑνὸς ἡ μονάς· τὸ γὰρ ἐκ πλήθους καὶ ἑνὸς πλῆθος καὶ διαιρετόν, ἀλλ' οὐκ ἀμερὲς καὶ ἀδιαίρετον.

p. 1085ᵇ23 Ἔτι ζητητέον καὶ περὶ τοὺς οὕτω λέγοντας.

Καὶ τοὺς ἐκ τοῦ πλήθους καὶ τοῦ ἑνός, φησί, τοὺς ἀριθμοὺς ποιοῦντας ζητεῖν ἄξιον ὥσπερ καὶ τοὺς ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος γεννῶντας, πότερον ὁ ἀριθμὸς ἄπειρός ἐστιν ἢ πεπερασμένος. οὐ περὶ τοῦ ἀριθμοῦ δὲ ζητεῖ νῦν εἴτε ἄπειρός ἐστιν εἴτε πεπεράτωται (τοῦτο γὰρ προὔτεινε πρότερον), ἀλλὰ περὶ τοῦ πλήθους τοῦ ἐν τῇ δυάδι, ὃ καὶ τὶ πλῆθος εἴρηκεν, οὗ τῷ μερισμῷ γεννᾶσθαι τὰς μονάδας ὑπέθετο. καὶ εἴη ἂν τὸ πότερον ἄπειρος ὁ ἀριθμὸς ἢ πεπερασμένος ἴσον τῷ πότερον ἄπειρόν τι πλῆθος τὸ ἐν τῇ δυάδι ἢ πεπερασμένον. καὶ ὅτι μὲν ἄπειρον οὐκ ἂν εἴη πρόδηλον. ἔσται γὰρ καὶ σῶμά τι ἄπειρον, οὗ ἔσται τὸ ἄπειρον πλῆθος ἰδέα. ὅτι δὲ πεπερασμένον, εἴπερ ἔστιν, ἐνδέχεται εἶναι, συνίστησι λέγων ὑπῆρχε γάρ, ὡς ἔοικε, καὶ πεπερασμένον πλῆθος, ὃ ἴσον ἐστὶ τῷ ἐπειδὴ γὰρ ἐκ τοῦ πλήθους καὶ τοῦ ἑνός εἰσιν αἱ μονάδες, πεπερασμένον ἂν εἴη τὸ πλῆθος· καὶ γὰρ καὶ αἱ ἐξ αὐτοῦ μονάδες καὶ τοῦ ἑνὸς πεπερασμέναι ἤτοι ἀμερεῖς εἰσιν, ἐκ τοῦ ἀπείρου δὲ | ἀμερὲς γενέσθαι 761
οὐκ ἐνδέχεται. ἀλλὰ μὴν οὐδὲ τοῦτο δυνατὸν τὸ ἐκ πλήθους ὁποιουοῦν γίνεσθαι μονάδα. ἔτι τε, φησίν, ἕτερόν ἐστι τὸ πλῆθος καὶ τὸ ἄπειρον πλῆθος, ὥσπερ καὶ τὸ ζῷον καὶ τὸ ἄλογον ζῷον. ὡς γὰρ τὸ ζῷον διαιρεῖται εἰς λογικὸν ζῷον καὶ ἄλογον ζῷον, οὕτω καὶ τὸ πλῆθος εἰς ἄπειρον καὶ πεπερασμένον πλῆθος. ἐπεὶ οὖν ἕτερον τὸ πλῆθος καὶ τὸ ἄπειρον

---

1 δὲ A: καὶ L 1. 2 προσκυνοῦσι] προσφιλονεικοῦσι coni. Bonitz 8. 9 διαιρετήν M: διαιρετόν AL 12. 13 exspectes ἀδιαιρέτου δ' οὔσης 17 περὶ] παρὰ Metaph. 20. 21 τοῦ ἀριθμοῦ M¹: τῶν ἀριθμῶν ALM² et Syrianus, qui pergit εἴτε πεπεράτωνται εἴτε μή 25 τι A: τὸ L 32 ὁποιουοῦν L: ὁποιονοῦν A

πλῆθος, ποῖον πλῆθος στοιχεῖόν ἐστι τῶν μονάδων καὶ ποῖον ἕν, τὸ ἀρχικὸν ἢ ἡ στιγμή; οὐδὲν γὰρ ἐκ τούτων στοιχεῖον τῶν μονάδων εἶναι δύναται, ὡς δέδεικται.

p. 1085ᵇ27 Ὁμοίως δὲ καὶ περὶ τῆς στιγμῆς ζητήσειεν ἄν τις ⟨καὶ⟩ τοῦ στοιχείου ἐξ οὗ ποιοῦσι τὰ μεγέθη.

Ἡ στιγμὴ καὶ τὸ στοιχεῖον ἐκ παραλλήλου κεῖται, καὶ ἔστιν ἴσον τῷ ὁμοίως δὲ καὶ περὶ στιγμῆς, ἣν στοιχεῖον ποιοῦσι τῶν μεγεθῶν, ζητήσειεν ἄν τις πότερον αὕτη μόνη ἐστὶν ἢ καὶ ἄλλαι χωρισταὶ στιγμαί. ἀλλ' ὅτι μὲν καὶ ἄλλαι εἰσὶ στιγμαὶ παρὰ τὴν πρώτην χωριστὴν στιγμὴν καὶ οὗτοι βοῶσι· λεγέτωσαν οὖν ἐκ τίνος αὗται καὶ πόθεν. οὐ γὰρ δὴ ἀμερεῖς οὖσαι ἐκ τῆς ἀρχικῆς στιγμῆς ἔσονται καὶ διαστήματος ἤτοι πλήθους τινός, ὥσπερ οὐδὲ αἱ μονάδες. ἀλλὰ μὴν οὐδὲ τὰ μόρια τοῦ διαστήματος, ἀφ' ὧν καὶ τῆς πρώτης στιγμῆς γεγονέναι τις φήσει τὰς στιγμάς, ἀδιαίρετα δυνατὸν λέγειν, ἵνα εἰ ἐξ αὐτῶν καὶ τῆς πρώτης λέγοι τις γενέσθαι τὰς στιγμάς, μηδὲν κωλύῃ διὰ τοῦτο ἀδιαιρέτους εἶναι. οὐ δυνατὸν οὖν τὰ τοῦ διαστήματος μόρια ἀδιαίρετα λέγειν ὥσπερ τὰ τοῦ ἀριθμοῦ. τὰ μὲν γὰρ τοῦ ἀριθμοῦ μόρια ἀδιαίρετα (μονάδες γάρ), τὰ δὲ τοῦ διαστήματος οὐκ ἀδιαίρετα, ὡς ἐν τῇ Φυσικῇ εἴρηται καὶ δέδεικται ἀκροάσει.

Καὶ συμπεραίνεται λέγων πάντα δὴ τὰ ῥηθέντα καὶ πρὸς τούτοις καὶ ἄλλα τοιαῦτα φανερὸν ποιεῖ καὶ δεικνύει ὡς οὐκ ἔστιν ἀριθμὸς καὶ μεγέθη χωριστά. καὶ πρὸς τούτοις φησὶ τὸ διαφωνεῖν τοὺς 'τρόπους' ἢ 'πρώτους'. καὶ εἰ μὲν εἴη γεγραμμένον τρόπους, λέγοι ἂν τοὺς τῆς διαιρέσεως, οὓς ἐξέθετό τε καὶ ἐγύμνασεν· εἰ δὲ πρώτους, ὃ καὶ μᾶλλον, λέγοι ἂν τοὺς ἐνδοξοτέρους τῶν τὰς ἰδέας δοξασάντων. πρὸς τοῖς ἄλλοις οὖν ἅπασι καὶ τὸ διαφωνεῖν αὐτοὺς περὶ τὴν τῶν ἀριθμῶν θέσιν καὶ μὴ τὰ αὐτὰ πάντας λέγειν ἀλλὰ ἄλλους ἄλλα καὶ ἐναντία καὶ ἀσύμφωνα ἀλλήλοις τεκμήριον ἱκανόν, ὅτι τὰ πράγματα καὶ οἱ ἀριθμοὶ μὴ ὄντα ἀληθῆ τὴν ἀπορίαν αὐτοῖς παρέχει. εἰ μὲν γὰρ ἦσαν ἀληθῆ, οὐκ ἂν ἕκαστος αὐτῶν ἐναντία ἑαυτῷ καὶ ἀνακόλουθα καὶ ἀσύμφωνα τοῖς ἄλλοις ἔλεγεν. ταῦτα εἰπὼν λέγει ὅτι οἱ μὲν τοὺς μαθηματικοὺς ἀριθμοὺς μόνους ποιοῦντες, ὡς οἱ περὶ Ξενοκράτην καὶ Σπεύσιππον, χωριστοὺς δὲ τῶν αἰσθητῶν καὶ ἄλλους παρὰ τὰ αἰσθητά, ἰδόντες τὴν περὶ τὰς ἰδέας δυσχέρειαν καὶ τὴν ἑπομένην ἅπασιν αὐτοῖς ἀτοπίαν καὶ πλάσματα, μόνον διανοίας ἀλλ' οὐ πράγματα αὐτὰς εἶναι ὑπειληφότες ἀπέστησαν τοῦ λέγειν 762 εἰδητικοὺς ἀριθμοὺς καὶ τὸν μαθηματικὸν μόνον ἐποίησαν. τινὲς δὲ τῶν

---

1 στοιχεῖον A: στοιχείων L 4 περὶ στιγμῆς Metaph.; cf. v. 7 5 καὶ addidi coll. l. 6 10 ἐκ τίνος δὴ αὗται L 15 τὰς στιγμάς A: τὰς om. L κωλύῃ Bonitz: κωλύει libri 18. 19 ἐν τῇ Φυσικῇ — ἀκροάσει] Z 1 21 ἀριθμὸς L: ἀριθμοὶ A 22 τοὺς A: τὰ L 30 ἀσύμφωνα A: om. L 34 αὐτοῖς L: αὐταῖς A

περὶ Πλάτωνα τιθέμενοι τὰς ἰδέας καὶ πρὸς τῷ ἰδέας εἶναι ὁμολογεῖν καὶ ἀριθμοὺς αὐτὰς λέγοντες, ἐζήτουν ὡς εἴπερ εἰσὶν αἱ ἰδέαι καὶ ἀριθμοὶ καὶ ἀρχαὶ τῶν αἰσθητῶν πάντων, καὶ τοῦτό τις θήσει, λέγω δὴ τὸ καὶ ἀρχὰς καὶ ἀριθμοὺς εἶναι ἢ μᾶλλον τὸ ἀριθμοὺς αὐτὰς εἶναι, πῶς ἔσται ὁ μαθηματικὸς ἀριθμὸς παρὰ τὸν εἰδητικόν, καὶ τίνι ἂν διαφέροιεν οἱ εἰδητικοὶ ἀριθμοὶ τῶν μαθηματικῶν· τοῦτο οὖν ζητοῦντες καὶ διαφοράν τινα πρὸς τὸν εἰδητικὸν τοῦ μαθηματικοῦ συνιδεῖν μὴ δυνηθέντες, τὸν αὐτὸν εἰδητικὸν καὶ μαθηματικὸν ἐποίησαν ἀριθμόν· καὶ ὥσπερ ὁ βροτὸς καὶ ὁ ἄνθρωπος οἱ αὐτοί εἰσιν, οὕτω καὶ ὁ εἰδητικὸς καὶ ὁ μαθηματικὸς ἀριθμός. ἀλλὰ τῷ λόγῳ, φησί, καὶ τῇ ἀποφάσει καὶ ταῖς οἰκείαις ἀρχαῖς, αἷς χρῶνται, συμβαίνει τὸν εἰδητικὸν καὶ τὸν μαθηματικὸν ἀριθμὸν τὸν αὐτὸν εἶναι, ἐπεὶ ἔργῳ καὶ τῇ ἀληθείᾳ ἀνῄρηται ὁ εἰδητικὸς ἀριθμός, καὶ δέδεικται ὅτι οὐδὲν τῶν ὄντων ἐστὶν οὐδὲ μετέχει ὀντότητός τινος. εἰ δή, ὡς δέδεικται, ὁ εἰδητικὸς ἀριθμὸς οὐκ ἔστιν, ὁ δὲ μαθηματικὸς ἔστιν, οὐκ ἂν εἴη ὁ μαθηματικὸς ὁ αὐτὸς τῷ εἰδητικῷ, ὥσπερ οὐδὲ τὸ ὂν τῷ ὅλως μὴ ὄντι. εἰπὼν δὲ ὅτι τὸν μαθηματικὸν τὸν αὐτὸν ἐποίησαν τῷ εἰδητικῷ τῷ λόγῳ καὶ τῇ οἰκείᾳ αὐτῶν ὑποθέσει, τὴν αἰτίαν ἐπήγαγεν ἰδίας γὰρ καὶ οὐ μαθηματικὰς ὑποθέσεις λέγουσιν, ὃ ἴσον ἐστὶ τῷ τῇ οἰκείᾳ αὐτῶν ὑποθέσει συμβαίνει τὸν μαθηματικὸν τὸν αὐτὸν εἶναι τῷ εἰδητικῷ, κατὰ δὲ τὰς μαθηματικὰς ὑποθέσεις οὐδαμῶς. ἀλλὰ τινὲς μέν, ὥσπερ εἴρηται, τῶν Πλατωνικῶν τὸν μαθηματικὸν καὶ τὸν εἰδητικὸν τὸν αὐτὸν λέγουσιν· ὁ δὲ Πλάτων ὁ πρῶτος εἶναι εἴδη θέμενος καὶ ἀριθμοὺς αὐτοὺς λέγων, θέμενος δὲ εἶναι καὶ τὰ μαθηματικά, ἐχώρισεν εὐλόγως, καὶ ἄλλους μὲν ἔλεγε τοὺς εἰδητικοὺς ἀριθμοὺς ἄλλους δὲ τοὺς μαθηματικούς. καὶ πάντες, φησί, κατά τι λέγουσιν ὀρθῶς. οἱ μὲν γὰρ χωρίζοντες τὸν εἰδητικὸν τοῦ μαθηματικοῦ καὶ ἄλλην τὴν ἑκατέρων τούτων φύσιν λέγοντες ὀρθολεκτοῦσι κατ' αὐτὸ τοῦτο τὸ χωρίζειν· ἀδύνατον γὰρ τὸν μαθηματικόν, ὡς δέδεικται, τὸν αὐτὸν εἶναι τῷ εἰδητικῷ. ἀλλὰ καὶ οἱ τὸν μαθηματικὸν μόνον τιθέμενοι καὶ οὗτοι κατά τι ὀρθῶς λέγουσιν· εἰδητικὸς γὰρ ἀριθμὸς οὐκ ἔστι· πάντως δὲ ἁμαρτάνουσι, καθὸ ὅλως χωρίζειν τολμῶσι τὸν ἀριθμὸν ἀπὸ τῶν αἰσθητῶν. ἀλλὰ καὶ αὐτοί, φησίν, ὁμολογοῦσιν ὡς οὐ καλῶς λέγουσι διὰ τὸ μὴ τὰ αὐτὰ λέγειν, ἀλλ' ἐναντία ἀλλήλοις, ὥστ' εἰ καλῶς ἔλεγον, οὐκ ἂν τοσαῦτα ἀλλήλοις τε καὶ ἑαυτοῖς ἠναντιώθησαν. αἴτιον δὲ τοῦ ἐναντιολογεῖν ἑαυτοῖς καὶ ἀλλήλοις τὸ ψευδεῖς | ἀρχὰς καὶ ὑποθέσεις λαμβάνειν· χαλεπὸν δ' ἐκ ψευδῶν καὶ 763
μὴ καλῶς ἐχόντων, κατ' Ἐπίχαρμον, λέγειν ἀληθῶς καὶ καλῶς. 'ἀρτίως τε γὰρ λέλεκται', τουτέστιν ἅμα γὰρ τῷ ῥηθῆναί τι βοήθειαν ἐπάγον ταῖς

---

8 ἐποίησαν ἀριθμόν L: ante ἐποίησαν add. ἀριθμὸν A 11 καὶ τὸν A: τὸν om. L 12. 13 ὁ μαθηματικὸς Metaph. 18 ἰδίας L Metaph. vulg., cf. 19. 20: ἰδέας A et Metaph. codd. tres 19 τῷ L: om. A συμβαίνει A: συμβαίνειν L 26 γὰρ M: om. AL ἑκατέρων L: ἑκατέραν A 30 πάντως A: πάντες L 36. 37 ἀρτίως—λέλεκται] cf. Epicharmi fragm. v. 259 p. 144 Mullach 37 τε A: om. L τῷ L: τὸ A ἐπάγον L: ἐπάγων A

ἰδέαις εὐθὺς φαίνεται μὴ καλῶς ἔχον· τοσοῦτον γὰρ ἔχει περιφανὲς τὸ ψεῦδος ἡ τῶν ἰδεῶν ὑπόθεσις, ὥστε μηδὲ χρόνου δεῖσθαι τὰς ὑπὲρ αὐτῶν ἐπιφερομένας βοηθείας πρὸς τὸ φωραθῆναι ὅτι ψευδεῖς εἰσιν.

p. 1086ᵃ18 Ἀλλὰ περὶ μὲν τῶν ἀριθμῶν ἱκανὰ τὰ διηπορημένα καὶ διωρισμένα· μᾶλλον γὰρ ἐκ πλειόνων πεισθείη τις πεπεισμένος, πρὸς δὲ τὸ πεισθῆναι μὴ πεπεισμένος οὐδὲν μᾶλλον.

Δύο τινῶν προσδιαλεγομένων οἷον φέρε εἰπεῖν περὶ τοῦ ἡλίου, τοῦ μὲν λέγοντος ὅτι μείζων ἐστὶν ὁ ἥλιος τῆς γῆς, τοῦ δὲ ὅτι ἐλάττων, καὶ δυνηθέντος τοῦ προϊσταμένου τοῦ ὅτι ὁ ἥλιος μείζων ἐστὶ τῆς γῆς παντάχόθεν περιφράξαι τε καὶ στενῶσαι τοῖς ἐπιχειρήμασι τὸν προσδιαλεγόμενον ὥστε μηδὲ δύνασθαι φθέγγεσθαι, ἀλλὰ ἄφωνον ὥσπερ ἰχθὺν πάντῃ ἵστασθαι· εἰ μὲν ὁ τοιοῦτος πρὸς τὸ μὴ δύνασθαι ἀντιλέγειν μηδ' ὅλως φθέγγεσθαι πιστεύσει ὅτι μείζων ἐστὶ τῆς γῆς ὁ ἥλιος, λέγεται πεπεισμένος, ἤτοι ὅτι πεπίστευκεν οὕτως ἔχειν τὸν ἥλιον πρὸς τὴν γῆν ὡς ὁ δεικνύων ἀπέδειξεν. εἰ δὲ ἀντιλέγειν μὲν μὴ δύναται, οὐ πιστεύει δέ (πολλοὶ γὰρ θέσεις φυλάττοντες ὡς οἱ λέγοντες μὴ εἶναι κίνησιν καὶ οἱ τὴν ἀντίφασιν συναληθεύειν λέγοντες ἀντειπεῖν πρὸς τοὺς ἀναιροῦντας αὐτοὺς λόγους οὐ δύνανται, καὶ ὅμως οὐ πιστεύουσιν ὅτι τὸ μὴ συναληθεύειν καὶ εἶναι κίνησιν ἀληθές ἐστιν, ἀλλὰ καταφρονοῦσι τῆς ἀποδείξεως καὶ ἐμμένουσι τῇ ὑφ' ἧς κεκράτηνται προλήψει), ὁ οὖν μήτε ἀντιλέγειν δυνάμενος μήτε πιστεύων, πεπεισμένος ἅμα καὶ μὴ πεπεισμένος ἂν λέγοιτο δικαίως, ὡς μὲν μὴ δυνάμενος ἀντιλέγειν πεπεισμένος, ὡς δὲ μὴ πιστεύσας ὅτι μείζων ὁ ἥλιος τῆς γῆς μὴ πεπεισμένος. τούτων οὕτως ἐχόντων λέγει ὁ Ἀριστοτέλης ὅτι τὰ ῥηθέντα καὶ διορισθέντα περὶ τῶν ἀριθμῶν τῶν τε εἰδητικῶν καὶ τῶν ὡς χωριστῶν μαθηματικῶν ἱκανὰ πεῖσαι τὸν πεπεισμένον καὶ πιστεύσαντα τοῖς ἡμῶν λόγοις, καὶ ἔτι ἐκ πλειόνων ἄλλων, ὧν ἐν τῷ ἐφεξῆς μέλλομεν λέγειν βιβλίῳ. πεισθείη ἄν. ὁ δὲ πεπεισμένος μὲν καθὸ μὴ δύναται ἀντιλέγειν, μὴ πεπεισμένος δὲ καθὸ οὐχ ἥλω οὐδὲ πεπίστευκε τοῖς λεγομένοις, πρὸς δὴ τὸ τοῦτον πεισθῆναί τε καὶ πιστεῦσαι καὶ συνθέσθαι τοῖς ὑφ' ἡμῶν λεγομένοις καὶ τῇ ἀληθείᾳ οὐδὲν μᾶλλον, τουτέστιν οὐδαμῶς τὰ ῥηθέντα καὶ ῥηθησόμενα ἰσχύσαιεν ἂν αὐτὸν πεῖσαι καὶ ἐξελέσθαι τῆς ὑφ' ἧς κεκράτηται προλήψεως ἐκτετυφλωμένον ὄντα τὰς τῆς διανοίας κόρας. |

p. 1086ᵃ21 Περὶ δὲ τῶν πρώτων ἀρχῶν καὶ τῶν πρώτων αἰτίων καὶ στοιχείων καὶ τὰ ἑξῆς. 764

Εἰπὼν ὅτι δεῖ θεωρῆσαι εἴτε εἰσὶν ἀριθμοὶ χωριστοὶ εἴτε καὶ μή,

---

1 τοσοῦτον A: τοσούτω L 5 πλειόνων ἂν ἔτι πεισθείη Metaph.; cf. v. 26. 27 10 τε καὶ L: τε om. A 19 τῇ L: τῆς A 20 κεκράτηνται A (cf. v. 32): προκεκράτηνται L προλήψει L: ὑπολήψει A 20. 21 πιστεύων A: πιστεύειν L 29 δὴ A: δὲ L 30 τοῖς A: καὶ τοῖς L

καὶ δείξας τότε ἐκ διαιρέσεως ὅτι οὔκ εἰσι, μηδαμῶς προσλογιζόμενος εἴτε στοιχεῖον τῶν ὄντων εἰσὶν εἴτε καὶ μή, δείκνυσι νῦν ὅτι οὐδὲ ὡς στοιχεῖον τῶν ὄντων εἶναι δύνανται· ὥστε πρότερον μὲν ἐζήτει εἰ ὅλως εἰσί, νῦν δὲ θεωρεῖ, εἰ ἐάν τις καὶ συγχωρήσῃ αὐτοὺς εἶναι, δύνανται στοιχεῖον εἶναι τῶν ὄντων. λέγει οὖν ὅτι περὶ μὲν τῶν πρώτων ἀρχῶν καὶ πρώτων αἰτίων καὶ στοιχείων ὅσα μὲν λέγουσιν οἱ περὶ μόνης τῆς ⟨αἰσθητῆς⟩ οὐσίας διορίζοντες καὶ τὰς ἀρχὰς αὐτῆς ζητοῦντες τὰ μὲν ἐν τοῖς Περὶ φύσεως εἴρηται. ἐν γὰρ τῇ Φυσικῇ ἀκροάσει εἴρηκε περὶ τῶν πρώτων ἀρχῶν, ὑλικοῦ εἰδικοῦ ποιητικοῦ καὶ τελικοῦ· ἀλλὰ καὶ περὶ στοιχείων ἐν τοῖς Περὶ γενέσεως καὶ φθορᾶς, ὅτι τέσσαρά ἐστι καὶ ὅτι γίνονται ἐξ ἀλλήλων καὶ φθείρονται εἰς ἄλληλα. περὶ μὲν οὖν τούτων ἐν τοῖς Περὶ φύσεως εἴρηται. τὰ δὲ περὶ τῶν ἠθικῶν ἀρχῶν ἢ λογικῶν οὐ τῆς παρούσης ἐστί, φησίν, εἰπεῖν προθέσεως. ὅσα δὲ αἴτια λέγουσι καὶ τίνα (εἴρηται δὲ ὅτι δύο· τὸ γὰρ ἀρχικὸν ἓν καὶ τὴν ἀόριστον δυάδα λέγουσιν), οἵ φασιν οὐσίας εἶναι χωριστὰς ἑτέρας παρὰ τὰς αἰσθητάς, ἐχόμενόν ἐστι καὶ οἰκειότατον τῶν εἰρημένων εἰπεῖν. ἐπεὶ δὲ τὰς χωριστὰς οὐσίας καὶ ἑτέρας τῶν αἰσθητῶν τὰς ἰδέας εἶναι λέγουσι καὶ τοὺς ἀριθμούς, ἀλλὰ καὶ τὰ τῶν ἰδεῶν καὶ ἀριθμῶν στοιχεῖα καὶ τῶν ὄντων πάντων εἶναι στοιχεῖα προσφιλονεικοῦσι, σκεπτέον, φησί, τί περὶ τούτων λέγουσι καὶ πῶς λέγουσι. καὶ τοὺς μὲν ἀριθμοὺς μόνους ποιοῦντας καὶ τούτους μαθηματικοὺς ὕστερον ἐπισκεπτέον, φησί· περὶ δὲ τῶν τὰς ἰδέας λεγόντων ἅμα τῷ θεάσασθαί τινα τὸν τρόπον καθ' ὃν αὐτὰς εἶναι λέγουσιν, εὐθὺς ἔστι καὶ τὴν συμβαίνουσαν αὐτοῖς ἀπορίαν εὑρεῖν. καὶ τίθησι τὴν ἑπομένην αὐτοῖς ἀπορίαν, μᾶλλον δὲ εἰπεῖν ἀτοπίαν, διὰ τοῦ ἅμα τε γὰρ καθόλου ὡς οὐσίας ποιοῦσι, τουτέστιν ἅμα γὰρ καθόλου οὐσίας τὰς ἰδέας ποιοῦσι καὶ χωριστὰς ἤτοι μερικάς· καθόλου μὲν διότι καὶ οἱ τὰς ἰδέας τιθέμενοι καθόλου λέγουσι διὰ τὸ περιεκτικὰς εἶναι πλειόνων καὶ ἐν πλείοσιν εὑρίσκεσθαι, τὸν μὲν αὐτοάνθρωπον ἐν τοῖς καθ' ἕκαστα ἀνθρώποις, τὸν δὲ αὐτοῖππον ἐν τοῖς καθ' ἕκαστα ἵπποις καὶ τὰς ἄλλας ὁμοίως· μεθέξει γὰρ τοῦ αὐτοανθρώπου οἱ τῇδε ἄνθρωποι καὶ τοῦ αὐτοίππου οἱ ἵπποι, ὡς οὗτοι λέγουσι. καθόλου μὲν οὖν διὰ τοῦτο· μερικὰς δὲ ὡς χωριστὰς καὶ καθ' αὑτὰς οὔσας· τοῦτο γὰρ ἴδιον τῶν ἀτόμων. οὐδὲν γὰρ μὴ ἄτομον ὂν καὶ μερικὸν δύναται χωριστὸν καὶ καθ' αὑτὸ εἶναι, ἀλλ' ἐν ἄλλῳ τὸ εἶναι ἔχει. ὅτι δὲ τὰ αὐτὰ καὶ καθόλου | εἶναι καὶ μερικὰ οὐκ ἐνδέχεται, δέδεικται πρότερον διὰ πλειόνων ἐν τῇ παρούσῃ πραγματείᾳ. αἴτιον δὲ γέγονεν αὐτοῖς τοῦ καθόλου καὶ μερικὰς γίνεσθαι τὰς ἰδέας τὸ μὴ ποιεῖν τὰς τοιαύτας οὐσίας, λέγω δὴ τὰς ἰδέας, τὰς αὐτὰς τοῖς αἰσθητοῖς ἤτοι αἰσθητάς,

765

---

3 πρότερον A: πρῶτον L 4 δύνανται στοιχεῖον A: δύνωνται στοιχεῖα L 6. 7 αἰσθητῆς add. Bonitz 8. 9 ἐν γὰρ τῇ Φυσικῇ ἀκροάσει — τελικοῦ] B 3; sed cf. Bonitz comm. p. 566 9 εἰδικοῦ L: εἰδητικοῦ A 10 ἐν τοῖς Περὶ γενέσεως καὶ φθορᾶς] B 5 13 εἰπεῖν L Syr.: om. A 20 ἀριθμοὺς L: τοὺς ἀριθμοὺς A 24 μᾶλλον δὲ εἰπεῖν L: εἰπεῖν δ' A 27 πλειόνων A: πολλῶν L 31 μερικὰς L: μεριστὰς A 36 μὴ LM²: om. AM¹

μηδὲ ἐν τούτοις λέγειν ἔχειν τὸ εἶναι, ὡς ἡμεῖς τὰ καθόλου, ἀλλὰ χωριστὰς καὶ καθ' αὑτάς. καὶ ταῦτα μὲν οὕτως ἔχειν οἶμαι, ἡ δὲ λέξις ἡ αἴτιον δὲ τοῦ συνάψαι ταῦτα εἰς ταὐτὸν τοῖς λέγουσι τὰς ἰδέας καθόλου καὶ τὰ ἑξῆς οὕτως ἂν ἀναγινώσκοιτο καὶ νοοῖτο· τοῖς λέγουσι τὰς ἰδέας καθόλου οὐσίας αἴτιον γέγονε τοῦ συνάψαι ταῦτα ἤτοι ἅμα καὶ καθόλου καὶ μερικὰ τὰ εἴδη ποιεῖν, τὸ μὴ ποιεῖν τὰς τοιαύτας οὐσίας, λέγω δὴ τὰς εἰδητικάς, τὰς αὐτὰς τοῖς αἰσθητοῖς.

p. 1086a37 Τὰ μὲν οὖν ἐν τοῖς αἰσθητοῖς καθ' ἕκαστα ῥεῖν ἐνόμιζον.

Τὴν αἰτίαν λέγει ἐξ ἧς ὡρμήθησαν χωρίσαι τὰ εἴδη, καὶ λέγει ὅτι διὰ τὸ νομίζειν τὰ καθ' ἕκαστα καὶ τὰ αἰσθητά, ὥσπερ Ἡράκλειτος, ποταμὸν εἶναι καὶ ἐν συνεχεῖ ῥοῇ καὶ διὰ τοῦτο μὴ ὄντα, τὰς δὲ ἐπιστήμας ὄντων τε καὶ ἐν ταυτότητι ὑπαρχόντων, τὰ καθόλου παρὰ ταῦτα τὰ αἰσθητὰ καὶ εἶναι καὶ ἕτερα τούτων εἶναι ἐνόμισαν, ὧν καὶ τὰς ἐπιστήμας εἶναί φασιν. ἀλλὰ τὸ μὲν εἶναι καθόλου καὶ ἕτερον τῶν καθ' ἕκαστα ἐκίνησε μὲν καὶ εἰς φῶς ἤγαγεν ὁ Σωκράτης, ὡς πρότερον εἴρηται, διὰ τὸ ζητεῖν ὁρίζεσθαι, τοὺς ὁρισμοὺς δ' εἶναι τῶν καθόλου· οὐ μὴν ἐχώρισεν αὐτὸ ἀπὸ τῶν καθ' ἕκαστα. καὶ τοῦτο ὀρθῶς ἐνόησε μὴ χωρίσας, τουτέστι καὶ τὸ καθόλου μὲν εἰπεῖν καὶ ἕτερον ἑνὸς ἑκάστου τῶν καθ' ἕκαστα, μὴ χωρίσαι δὲ ἀπὸ τῶν καθ' ἕκαστα ὀρθῶς ἐνόησε. καὶ ὅτι, φησί, καλῶς ἔλεγε καθόλου λέγων, μὴ χωρίζων δὲ ἀπὸ τῶν καθ' ἕκαστα, δῆλον ἐξ αὐτοῦ τοῦ ἔργου καὶ τῆς ἀληθείας. ᾗ μὲν γὰρ ἄνευ τῶν καθόλου οὐκ ἔστιν ἐπιστήμη, ταύτῃ καλῶς λέγει ποιήσας τὸ καθόλου· ᾗ δὲ τοῖς χωρίζουσι τὸ καθόλου καὶ ἰδέαν ποιοῦσιν ἕπεται πάμπολλα τὰ δυσχερῆ, καὶ ταύτῃ κάλλιστα λέγει λέγων τὸ καθόλου ἀχώριστον. ὥστε δῆλός ἐστιν ὡς καὶ ἡ ἐπιστήμη ἐστὶ λέγειν καθόλου λέγων καὶ ὅτι τὰ ἑπόμενα τοῖς τὰς ἰδέας λέγουσι δυσχερῆ ἐκφεύγει μὴ χωρίζων, ὡς εἴρηται, τὰ καθόλου ἀπὸ τῶν αἰσθητῶν. οἱ δὲ περὶ Πλάτωνα, φησίν, ὥσπερ ἀναγκαῖον ὄν ὡς, εἴπερ εἰσὶν οὐσίαι τινὲς παρὰ τὰς αἰσθητὰς καὶ ῥεούσας, ἀνάγκη αὐτὰς χωριστὰς εἶναι καὶ καθ' αὑτάς, ἀλλ' οὐκ ἐν τοῖς αἰσθητοῖς, ἄλλας μὲν παρὰ τὰς ἃς ὁ Σωκράτης εἶπεν εἰπεῖν οὐκ εἶχον, ταύτας δὲ ἃς ὁ Σωκράτης ἔλεγέ τε καὶ οὐκ ἐχώριζεν ἐξέθεσαν, ἤτοι μερικὰς ἐποίησαν· τοιαύτη γὰρ ἡ ἔκθεσις. εἰ γὰρ πᾶν χωρι|στὸν καὶ καθ' αὑτὸ καὶ οὐκ ἐν ἄλλῳ τὸ εἶναι ἔχον μερικόν, 766 τοιαύτας δὲ τὰς ἰδέας εἶναι λέγουσι, φανερὸν ὅτι μερικὰς αὐτὰς ποιοῦσιν· ὥστε συμβαίνει τὰς αὐτὰς φύσεις εἶναι καθόλου τε καὶ μερικάς. καὶ αὕτη μὲν ἡ δυσχέρεια καὶ τοῦτο τὸ ἄτοπον, τὸ τὰ αὐτὰ καθόλου καὶ

---

3 ταῦτα A: ταύτας L 3. 4 τοῖς λέγουσι — νοοῖτο L: om. A 12 μὴ ὄντα A: ante μὴ add. καὶ L 13 τε L: om. A 15 μὲν LM²: om. AM¹ 26 λέγειν omittendum coni. Bonitz; sed vitium latius patere videtur 27 ὅτι M¹: ὁ A: εἰ LM² τοῖς A: καὶ τοῖς L 32 εἶπεν — Σωκράτης LM²: om. AM¹

μερικὰ εἶναι, καθ' αὑτὴν ἂν εἴη καὶ μόνοις ἑπομένη τοῖς τὰς ἰδέας λέγουσιν.

p. 1086b14 Ὁ δὲ καὶ τοῖς λέγουσι τὰς ἰδέας ἔχει τινὰ ἀπορίαν καὶ τοῖς μὴ λέγουσιν.

Ἡ μὲν ῥηθεῖσα δυσχέρεια καθ' αὑτὴν ἂν εἴη, φησί, καὶ μόνοις ἑπομένη τοῖς τὰ εἴδη τιθεμένοις· ὁ δὲ καὶ τοῖς τὰς ἰδέας λέγουσι καὶ ἡμῖν τοῖς μὴ τιθεμένοις αὐτὰς ἀπορήσειεν ἄν τις καὶ νῦν λέγωμεν, καίτοι περὶ τούτου εἰπόντες καὶ ἐν τοῖς ἀπορήμασιν. αἰνίττεται δὲ τὸ B ταύτης τῆς πραγματείας· διαπορητικὸν γὰρ ἐκεῖνο ἅπαν τὸ βιβλίον. καὶ τίθησιν ὃ ἄν τις ἀπορήσειε λέγων εἰ μὲν γὰρ μὴ θήσει τις τὰς οὐσίας εἶναι κεχωρισμένας, καὶ σαφηνίζων ὅπως ἄν τις αὐτὰς χωριστὰς θήσει ἐπάγει καὶ τοῦτον τὸν τρόπον ὡς λέγεται τὰ καθ' ἕκαστα· τουτέστιν εἰ μή τις τὰς εἰδητικὰς οὐσίας χωριστὰς θήσει ὥσπερ καὶ τὰ καθ' ἕκαστα καὶ ἄτομα (χωριστὰ δὲ καὶ καθ' αὑτὰ τὰ καθ' ἕκαστά φαμεν, διότι οὐκ ἐν ἄλλοις ἔχει τὸ εἶναι ὡς τὰ καθόλου καὶ κοινά), εἰ δὴ τὰς εἰδητικὰς οὐσίας μὴ θῇ τις κεχωρισμένας ὡς τὰ ἄτομα, ἀλλ' ἐν ἄλλοις φήσει, ὡς τὰ καθόλου καὶ κοινά, ἀναιρήσει τὴν οὐσίαν τῶν ὄντων, καὶ οὐδὲν ἔσται οὐσία ἀλλὰ πάντα συμβεβηκότα. εἰ γὰρ τὰ καθόλου, ὡς ἐν τῷ Z τῆς παρούσης δέδεικται πραγματείας, ὁμοιώματά εἰσι τῶν καθ' ἕκαστα καὶ οὐκ οὐσίαι, εἰ καὶ αἱ ἰδέαι καθόλου, ἔσονται μὴ οὐσίαι καὶ συμβεβηκότα· ὥστε εἰ αὗται συμβεβηκότα, καὶ τὰ τῇδε, ὧν αὗταί εἰσιν ἰδέαι, συμβεβηκότα ἔσονται. εἰ γὰρ τῇ τοῦ αὐτοανθρώπου μεθέξει οἱ καθ' ἕκαστα καὶ αἰσθητοὶ ἄνθρωποι τὸ εἶναι ἄνθρωποι ἔχουσιν, εἰ μὴ εἴη ὁ αὐτοάνθρωπος οὐσία, οὐδὲ τὰ κατὰ μέθεξιν ὄντα εἶεν ἂν οὐσίαι· ὥστε ἀναιρεῖται τῶν ὄντων ἡ οὐσία, ὅπερ οὐ βουλόμεθα. εἰ μὲν οὖν μὴ θῇ τις τὰς εἰδητικὰς οὐσίας χωριστάς, ταὐτὸν δὲ εἰπεῖν μερικάς, ἀλλὰ καθόλου, ταῦτα συμβαίνει. ἂν δέ τις πάλιν θῇ τοιαύτας οὐσίας χωριστάς, πῶς θήσει τὰ στοιχεῖα καὶ τὰς ἀρχὰς αὐτῶν, τό τε ἀρχικὸν ἓν καὶ τὴν ἀόριστον δυάδα; πότερον χωριστόν ἐστι τὸ ἀρχικὸν ἓν καὶ ἡ ἀόριστος δυὰς ἢ καθόλου τινὲς φύσεις; εἰ μὲν οὖν καθ' ἕκαστον καὶ μὴ καθόλου, πᾶν δὲ καθ' ἕκαστον ἐν πλείοσιν εἶναι οὐ δύ|ναται οὐδὲ ἐνταῦθά τε καὶ ἄλλοθι 767 (Σωκράτης γὰρ ἐν Λυκείῳ ὢν ἐν στοᾷ οὐκ ἔστι), συμβαίνει ὅσα ἂν εἴη τὰ στοιχεῖα, τοσαῦτα εἶναι καὶ τὰ ὄντα, δύο δηλονότι. καὶ πρὸς τούτοις οὐδὲ ἐπιστητὰ ἔσται τὰ στοιχεῖα· τῶν γὰρ καθ' ἕκαστα οὐκ ἔστιν ἐπιστήμη. πῶς δὲ μερικῶν ὄντων τῶν στοιχείων συμβαίνει τὰ ὄντα τοσαῦτα εἶναι, ὅσα καὶ τὰ στοιχεῖα, σαφηνίζει ἐπὶ τῶν στοιχείων τῆς φωνῆς. ἔστω γάρ, φησίν, ὑποθέσεως χάριν αἱ ἐν τῇ φωνῇ συλλαβαὶ οὐσίαι καὶ

---

7 λέγωμεν A: λέγομεν L 8 τὸ B] c. 6 p. 1003a6 18 ἐν τῷ Z] c. 13 24 οὐσίαι M: οὐσία AL 25 ὅπερ οὐ βουλόμεθα] ὡς βουλόμεθα λέγειν Metaph. 31 τε L: om. A ἄλλοθι A: ἄλλοθεν L 33 καὶ τὰ ὄντα L: καὶ om. A

ἰδέαι, τὰ δὲ τῶν συλλαβῶν στοιχεῖα τό τε ἄλφα καὶ βῆτα καὶ τὰ λοιπὰ στοιχεῖα ἀναλογοῦντα τοῖς τῶν ἰδεῶν στοιχείοις τῷ αὐτοενὶ καὶ τῇ ἀορίστῳ δυάδι, καὶ ἔστω τὸ ἄλφα μὴ καθόλου τις φύσις ἐν πλείοσι θεωρουμένη ἄλφα, ἀλλὰ μερικὴ καὶ ἄτομος. εἰ οὖν τὸ α μετὰ τοῦ β συντεθὲν ποιήσει τὴν βα συλλαβήν, μία μόνη ἔσται βα συλλαβὴ καὶ οὐ πολλαί. ὥσπερ γὰρ εἰ ἦσαν ἐν τῷ παντὶ κόσμῳ μόνοι δύο ἄνθρωποι καὶ οὐ πλείους, οἷον ὅ τε Σωκράτης καὶ ὁ Πλάτων, μία ἂν ἦν ἀνθρώπειος δυὰς ἡ ἐκ τοῦ Σωκράτους καὶ Πλάτωνος, οὕτω καὶ ἐπὶ τῆς βα συλλαβῆς συνέπεσεν ἂν εἰ ἦν ἓν βῆτα καὶ ἓν ἄλφα. αὐτὸς μέντοι οὐκ ἀπὸ τῶν στοιχείων κατασκευάζει τὰς συλλαβάς, ἀλλ' ἔμπαλιν ἀπὸ τῶν συλλαβῶν καὶ τὰ περὶ τῶν στοιχείων σαφηνίζει λέγων 'ἀνάγκη τὴν βα συλλαβὴν καὶ ἑκάστην τῶν ἄλλων μίαν εἶναι, εἴπερ μὴ καθόλου ἐστὶν ἥ τε βα καὶ ἡ δε συλλαβή, ἀλλὰ χωριστὴ καὶ καθ' αὑτὴν καὶ τόδε τι', ἤτοι αἰσθητὴ καὶ εἰς δεῖξιν πίπτουσα· τὰ γὰρ καθόλου οὐκ αἰσθητὰ οὐδὲ ἔστι δεῖξαι αὐτὰ τῷ δακτύλῳ. τὸ δὲ ὁμώνυμον ἀντὶ τοῦ συνωνύμως κατηγορούμενον. ὃ γὰρ μήτε συνωνύμως μήτε μὴν ὁμωνύμως κατὰ πολλῶν λέγεται, μερικὸν καὶ ἄτομον. τὸ δὲ εἴπερ μὴ καθόλου καὶ τῷ εἴδει αἱ αὐταὶ ἴσον ἐστὶ τῷ εἴπερ μὴ καθόλου αἱ συλλαβαί, ὥστε τὰς ὑπ' αὐτὰς ἀπείρους εἶναι τῷ ἀριθμῷ, τῷ δὲ εἴδει τὰς αὐτάς. ἀλλὰ καὶ τὸ ἔτι δ' αὐτὸ ὅ ἐστιν ἓν ἕκαστον τιθέασιν οὕτως ἐπῆκται ὡς εἰ ἔλεγεν 'οὐκ ἐγὼ τοῦτο ὑποτίθεμαι ὡς ἡ βα συλλαβή, εἴπερ ἀναλογεῖ τινι τῶν ἰδεῶν, μία ἔσται τῷ ἀριθμῷ, ἀλλὰ ταῖς ἐκείνων ἕπεται τοῦτο ὑποθέσεσι· χωριστὸν γὰρ καὶ καθ' αὐτὸ λέγοντες αὐτὸ ὅ ἐστι, τουτέστι τὸν αὐτοάνθρωπον καὶ αὐτοῖππον, ἐξ ἀνάγκης καὶ ἕνα τῷ ἀριθμῷ λέγουσι'. πᾶν γάρ, ὡς ἀπειράκις εἴρηται, τὸ καθ' αὐτὸ ὂν ἄτομον καὶ μερικόν. ὥστε καὶ ἡ βα συλλαβή, εἰ ἦν ἰδέα, ἄτομος ἂν ἦν καὶ μία τῷ ἀριθμῷ. τὴν δὲ λέξιν ὑπερβατῶς ἀναγνωστέον ὧδε· ἕκαστον αὐτὸ ὅ ἐστιν ἓν τιθέασι τῷ ἀριθμῷ. δείξας δὲ ὅτι ἀνάγκη ἑκάστην τῶν συλλαβῶν μίαν εἶναι καὶ ἄτομον ἐπάγει εἰ δὲ αἱ συλλαβαὶ οὕτω, τουτ|έστιν εἰ δὲ αἱ συλλαβαὶ ἄτομοι καὶ μία ἑκάστη τῷ ἀριθμῷ, 768 ἀνάγκη καὶ τὸ ἄλφα καὶ βῆτα καὶ τὰ λοιπὰ στοιχεῖα, ἐξ ὧν αἱ συλλαβαί, ἄτομα εἶναι καὶ ἓν τῷ ἀριθμῷ· ὥστε οὐκ ἔσονται πολλὰ ἄλφα ἀλλ' ἓν μόνον, ὁμοίως οὐδὲ πολλὰ βῆτα οὐδὲ ἄλλο οὐδὲ ἓν τῶν λοιπῶν στοιχείων κατὰ τὸν αὐτὸν λόγον, ὥσπερ οὐδὲ τῶν συλλαβῶν ἡ αὐτὴ καὶ μία, οἷον ἡ βα, ἄλλη καὶ ἄλλη ἤτοι πολλαὶ δύνανται εἶναι. ἀλλ' εἰ τοῦτο, φησίν, οὐκ ἔσται παρὰ τὰ στοιχεῖα ἄλλα τινά, ἀλλ' αὐτὰ μόνον τὰ κδ' στοιχεῖα. ἡμεῖς μὲν γὰρ τέσσαρα λέγοντες τὰ στοιχεῖα κρᾶσίν τε αὐτῶν καὶ ἀλλοίωσιν δυνάμεθα λέγειν, ὡς ἐκ τῆς κράσεως αὐτῶν καὶ ἀλλοιώσεως δύνασθαι γίνεσθαι ἄλλα τινὰ παρὰ ταῦτα. ἐπὶ δὲ τῶν στοιχείων τῶν συλλαβῶν ἀσωμάτων ὄντων καὶ μήτε μίγνυσθαι δυναμένων μήτε πολλῷ μᾶλλον

7 post ἦν add. ἡ LM² 8 οὕτω καὶ LM²: καὶ om. A ἂν M¹: om. AL: ind. M² 10 post ἔμπαλιν add. ἀλλ' L 17 τῷ (post ἐστὶ) A: om. L 20 ἡ L: om. A 27 ἀνάγκη A: om. L 30 καὶ τὸ β L 32 ὁμοίως post βῆτα ponit L 34 πολλαὶ L: πολλὰ A

ἀλλοιοῦσθαι, οὐκ ἔσται τι παρ' αὐτὰ ἄλλο οὐδέν. τὸ γὰρ β ἓν ὂν τῷ ἀριθμῷ, ὡς ἡ ὑπόθεσις, συντεθὲν μετὰ τοῦ ἄλφα οὐκ ἠλλοίωται (ἀσώματον γάρ), ἀλλὰ καὶ τὸ βῆτα, ὥσπερ πρὸ τῆς συνθέσεως ἦν βῆτα, οὕτω καὶ μετὰ τὴν σύνθεσιν, καὶ τὸ ἄλφα ὁμοίως. ἓν οὖν ὂν τὸ βῆτα τῷ ἀριθμῷ καὶ συνὸν τῷ ἄλφα οὐκ ἂν καὶ μετὰ τοῦ ἰῶτα συντεθείη. εἰ γὰρ μέλλει συντεθῆναι τὸ βῆτα τῷ ἰῶτα ἄτομον ὄν, πᾶσα ἀνάγκη ἀποστῆναι τοῦ α· ὥστε ἡ γένεσις τῆς βι συλλαβῆς ἔσται φθορὰ τῆς βα, καὶ οὔσης τῆς βα οὐκ ἔσται ἡ βι συλλαβή, ταύτης δὲ οὔσης οὐκ ἔσται ἡ βα. ὥστε εἰ τὸ βῆτα μετὰ τοῦ α πεποίηκε τὴν βα συλλαβήν, τὸ γάμμα μετὰ τοῦ ε ποιείτω τὴν γε καὶ τὸ δέλτα μετὰ τοῦ η ποιείτω τὴν δη, καὶ τὸ ζ μετὰ τοῦ ἰῶτα τὴν ζι καὶ τὸ θῆτα μετὰ τοῦ ο τὴν θο, τὸ κάππα μετὰ τοῦ ω τὴν κω, τὸ λάβδα μετὰ τοῦ υ τὴν λυ, καὶ οὐκ ἔσται ἄλλη τις συλλαβὴ πλὴν τῆς βα καὶ γε καὶ δη καὶ ζι καὶ θο καὶ κω καὶ λυ. ἡ δὲ δε συλλαβὴ ἤ πε ἤ ἄλλη τις οὐκ ἔσται· τοῦ γὰρ ε ἑνὸς ὄντος τῷ ἀριθμῷ καὶ συνόντος τῷ γάμμα καὶ πεποιηκότος τὴν γε συλλαβὴν οὐκ ἂν καὶ μετὰ τοῦ π συνέλθοι. εἰ δὴ ταῦτα ἀληθῆ, συμβαίνει μηδὲν εἶναι παρὰ τὰ στοιχεῖα ἕτερον τῶν στοιχείων ὄν. νενοήσθω γὰρ ὅτι ἐν ὅλῳ τῷ κόσμῳ κδ' ἄνδρες εἰσὶ μόνοι, καὶ ἐν μὲν τῇ στοᾷ ἔστωσαν δύο ἀναλογοῦντες τῇ βα συλλαβῇ, καὶ ἐν Ἀκαδημίᾳ δύο εἰκόνα φέροντες τῆς γε συλλαβῆς, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, τί οὖν ἕτερον παρὰ τοὺς κδ' ἄνδρας νοεῖν δυνάμεθα γενέσθαι; πάντως οὐδέν, ἀλλὰ πάλιν αὐτοὺς τοὺς κδ' ἄνδρας. ὡς οὖν ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τῶν τῆς φωνῆς στοιχείων συμβαίνει, ἑνὸς τῷ ἀριθμῷ ὄντος τοῦ ἄλφα καὶ τοῦ βῆτα καὶ τῶν λοιπῶν, καὶ οὐδὲν ἕτερον ἔσται παρὰ αὐτά, εἴτε συντεθειμένα σωρηδόν τις αὐτὰ νοεῖ, εἴτε δύο δύο, εἴτε καὶ ἀπολελυμένα ἀπ' ἀλλήλων. καὶ πάλιν ὡς ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τῶν στοιχείων τῶν ἰδεῶν ἔχειν ἀνάγκη· καὶ ἢ οὐδὲν ἔσται παρὰ τὸ ἀρχικὸν ἓν καὶ τὴν ἀόριστον δυάδα, οὐκ αὐτοάνθρωπος οὐκ αὐτοΐππος οὐκ ἄλλο οὐδέν, ἢ εἴ γε συγχωρήσει τις εἶναι αὐτο- 769
ἄνθρωπον, οὗτος μὲν ἔσται, ἄνθρωποι δὲ πολλοὶ οὐκ ἔσονται, ὥσπερ οὐδὲ πολλαὶ βα συλλαβαί. καὶ πρὸς τούτοις, φησίν, εἴπερ εἰσὶ τὰ στοιχεῖα τό τε ἀρχικὸν ἓν καὶ ἡ ἀόριστος δυὰς ἓν τῷ ἀριθμῷ, οὐκ ἔσονται ἐπιστητά, ὅτι ἡ μὲν ἐπιστήμη τῶν καθόλου, ταῦτα δὲ οὐ καθόλου. ὅτι δὲ αἱ ἐπιστῆμαι τῶν καθόλου δῆλον, φησίν, ἔκ τε τῶν ἀποδείξεων καὶ τῶν ὁρισμῶν. καὶ οἱ ὁρισμοὶ γὰρ τῶν καθόλου, ὡς ἐν τῷ Ζ τῆς παρούσης δείκνυται πραγματείας, καὶ αἱ ἀποδείξεις ὁμοίως, ὡς ἐν τοῖς Ὑστέροις ἐμάθομεν ἀναλυτικοῖς. οὐ γὰρ γίνεται ὁ ὁρισμὸς ἢ ὁ συλλογισμὸς καὶ ἡ ἀπόδειξις περὶ τοῦδε τοῦ μερικοῦ τριγώνου, ὅτι τόδε τὰς τρεῖς γωνίας δυσὶν

---

1 αὐτὰ ex αὐτὸ corr. L: αὐτὸ A 4 ὂν L: om. A 12 τὸ λάβδα — λυ $M^1$: om. AL: ind. $M^2$ 13. 14 ἡ δὲ δε συλλαβὴ scripsi: τῇ δὲ πε συλλαβὴ A: τῇ δὲ δη συλλαβῇ $LM^2$ 14 ἤ πε $LM^2$: ἤ πη A 16 τοῦ π $LM^2$: τοῦ τι A 23 τοῦ post καὶ om. L 25 πάλιν ὡς A: ὡς πάλιν L 33 ἔκ τε τῶν L: τε om. A 34 ἐν τῷ Ζ] c. 15 35. 36 ἐν τοῖς Ὑστέροις — ἀναλυτικοῖς] A 4 36 γίνεται L: γίνονται A

ὀρθαῖς ἴσας ἔχει, ἀλλὰ παντὸς τριγώνου, οὐδ' ὅτι ὅδε ὁ μερικὸς ἄνθρωπος ζῷόν ἐστιν, ἀλλὰ πᾶς ἄνθρωπος.

p. 1086b37 Ἀλλὰ μὴν εἴ γε καθόλου αἱ ἀρχαὶ ἢ καὶ ἐκ τούτων οὐσίαι καθόλου.

Ὑποθέμενος μερικὰς τὰς ἰδέας καὶ τὰς τούτων ἀρχὰς τό τε αὐτοὲν καὶ τὴν ἀόριστον δυάδα καὶ δείξας ἀπὸ τῶν συμβαινόντων ταῖς συλλαβαῖς καὶ τοῖς στοιχείοις αὐτῶν ὅτι ἀδύνατον μερικὰς εἶναι τὰς ἰδέας καὶ τὰ στοιχεῖα αὐτῶν, ὑποτίθεται αὐτὰ καθόλου λέγων ἀλλὰ μὴν εἴ γε καθόλου αἱ ἀρχαὶ τό τε αὐτοὲν καὶ ἡ ἀόριστος δυάς, ὁμοίως δὲ καὶ αἱ ἐκ τούτων οὐσίαι καθόλου, ἤτοι αἱ ἰδέαι, ἔσται ἡ μὴ οὐσία προτέρα τῆς οὐσίας, ὅπερ ἀδύνατον. ἐπειδὴ γὰρ τὰ καθόλου οὐκ οὐσίαι ἀλλ' ὁμοιώματα τῶν καθ' ἕκαστα, εἰ ἔστι καὶ τὸ αὐτοὲν καὶ ἡ ἀόριστος δυὰς καθόλου, ὁμοιώματα καὶ συμβεβηκότα ἔσονται καὶ πρότερα τῶν ἰδεῶν, ἤτοι κατ' αὐτοὺς τῶν οὐσιῶν. εἰ γὰρ πρότερα τὰ στοιχεῖα τῶν ὧν εἰσι στοιχεῖα, τὸ δὲ ἀρχικὸν ἓν καὶ ἡ δυὰς στοιχεῖα τῶν ἰδεῶν, πρότερα ἂν εἶεν τῶν ἰδεῶν. ταῦτα δέ, τό τε πρότερα γίνεσθαι τὰ συμβεβηκότα τῶν οὐσιῶν καὶ τὰ λοιπά, εὐλόγως συμβαίνει τοῖς ποιοῦσι τὰς ἰδέας ἐκ στοιχείων καὶ πρὸς τούτῳ ἀξιοῦσιν ἕν τι εἶναι ἕτερον τῶν καθ' ἕκαστα καὶ αἰσθητῶν ἀνθρώπων καὶ ἵππων καὶ τῶν ἄλλων. ὥστε εἰ μηδὲν κωλύει, ὡς ἐπὶ τῶν τῆς φωνῆς στοιχείων, ἀλλὰ καὶ πᾶσα ἀνάγκη πολλὰ εἶναι τὰ ἄλφα καὶ τὰ βῆτα, καὶ πρὸς τούτοις εἰ μηδέν ἐστιν αὐτοάλφα καὶ αὐτοβῆτα παρὰ τὰ καθ' ἕκαστα καὶ πολλὰ α καὶ πολλὰ β, ἀνάγκη καὶ πολλοὺς εἶναι ἵππους καὶ ἀνθρώπους μὴ ὄντος αὐτοανθρώπου καὶ αὐτοίππου. τοῦτο γὰρ ἦν ἀκόλουθον ἐπαγαγεῖν, ἐπεὶ καὶ διὰ τὰς ἰδέας τὰ τῆς φωνῆς παρείληπται στοιχεῖα. ὁ δὲ τοῦτο μὲν οὐκ ἐπήγαγεν ἀλλὰ τὸ ἔσονται ἕνεκά γε τούτου ἄπειροι συλλαβαί. καὶ προσυπακουστέον τοῦ εἰ δὲ ἄπειροι βα συλλαβαὶ εἶναι δύνανται μὴ οὔσης αὐτοβα συλλαβῆς, καὶ ἄνθρωποι ἄρα μὴ ὄντος αὐτοανθρώπου. ὥστε ἐπειδὴ τὰ στοιχεῖα ἀνάγκη ἢ καθόλου εἶναι ἢ μερικά, αἱ δὲ ἰδέαι καὶ τὰ στοιχεῖα αὐτῶν δέδεικται ὅτι οὔτε καθόλου εἶναι δύνανται οὔτε μερικαί, δῆλον ὅτι οὐδὲ ὡς στοιχεῖα δύνανται εἶναι οἱ εἰδητικοὶ ἀριθμοί. ἀλλ' ἡ μὲν τῶν λεγομένων οἶμαι διάνοια τοιαύτη, κατὰ δὲ τὴν λέξιν τὴν καὶ παρὰ τὰς τὸ αὐτοεῖδος ἐχούσας οὐσίας ἕν τι ἀξιοῦσιν εἶναι κεχωρισμένον ἢ τοῦτο λέγοι ἄν, ὃ καὶ πρότερον εἴπομεν, ὅτι εὐλόγως συμβαίνει τὰ εἰρημένα ἄτοπα τοῖς ἀξιοῦσι παρὰ τὰς καθ' ἕκαστα οὐσίας τὰς ἐχούσας κατ' αὐτοὺς ἐν ἑαυταῖς τὰς ἰδέας (μεθέξει γὰρ

---

2 ἀλλὰ πᾶς M Bonitz: ἀλλ' ὁ πᾶς AL 9 καὶ [αἱ ἐκ A Metaph. cod. Ab: καὶ ἐκ L Metaph. vulg. 13. 14 κατ' αὐτοὺς L: κατ' αὐτὰ A 15 πρότερα A: πρότερον L 16 πρότερα M: πρότερον AL 17. 18 πρὸς τούτῳ L: πρὸ τούτων A 21 καὶ βῆτα L μηδέν A: μὲν L 25. 26 ἕνεκά γε A Metaph. vulg.: γε ἕνεκα L Metaph. liber unus 32 αὐτοεῖδος A: αὐτὸ εἶδος L Metaph. οὐσίας A: om. L: ind. M²

τῶν ἰδεῶν τὰ τῇδε εἶναι βούλονται), τοῖς δὴ ἀξιοῦσι παρὰ τὰ καθ' ἕκαστα ἕν τι εἶναι αὐτοεῖδος κεχωρισμένον ταῦτα συμβαίνει. καὶ δεῖ τὴν λέξιν οὕτως ἀναγινώσκειν 'καὶ ἀξιοῦσιν ἕν τι εἶναι κεχωρισμένον αὐτοεῖδος ἕτερον παρὰ τὰς οὐσίας τὰς αἰσθητὰς καὶ ἐχούσας ἐν ἑαυταῖς τὰς ἰδέας'. μεθέξει γὰρ τῶν ἰδεῶν ὄντων ἡμῶν, πῶς οὐκ ἂν εἶεν ἐν ἡμῖν; ἢ τὸ καὶ παρὰ τὰς τὸ αὐτοεῖδος ἐχούσας οὐσίας καὶ ἰδέας ἕν τι ἀξιοῦσιν εἶναι κεχωρισμένον εἴρηται ἀντὶ τοῦ εὐλόγως συμβαίνει αὐτοῖς ταῦτα, ὅταν ἀξιῶσιν ἕν τι αὐτοεῖδος εἶναι κεχωρισμένον (λέγων αὐτοεῖδος τὸ ἀρχικὸν ἕν) παρὰ τὰς οὐσίας, αὐτὰς δὴ τὰς ἰδέας καὶ ἐχούσας τὸ ἀρχικὸν ἓν ἤτοι τὸ αὐτοεῖδος· εἶδος γὰρ ὂν τὸ ἀρχικὸν ἓν κατ' αὐτοὺς τῶν ἰδεῶν. εὔδηλον δ' ὡς ἔχουσιν αὐτὸ αἱ ἰδέαι· ὥστε εἰ λέγοι αὐτοεῖδος τὸ ἀρχικὸν ἕν, καὶ οὐσίας ἐχούσας τὸ αὐτοεῖδος μὴ τὰς τῇδε καὶ αἰσθητάς, ἀλλὰ τὰς ἰδέας, δεῖ κατὰ ταύτην τὴν ἐπιβολὴν οὕτωσὶ τῆς λέξεως ἀκούειν 'ὅταν ἀξιῶσιν εἶναι ἕν τι αὐτοεῖδος, τουτέστιν ἀρχικὸν ἕν, ἕτερον παρὰ τὰς εἰδητικὰς οὐσίας τὰς ἐχούσας κατ' αὐτοὺς τὸ ἀρχικὸν ἕν, ταῦτα συμβαίνει'.

p. 1087a10 Τὸ δὲ τὴν ἐπιστήμην εἶναι καθόλου πᾶσαν, ὥστε ἀναγκαῖον εἶναι καὶ τὰς τῶν ὄντων ἀρχὰς καθόλου εἶναι.

Δείξας ὅτι τὰ καθόλου οὔκ εἰσι κεχωρισμένα καὶ καθ' αὑτά, ἔχων δὲ καὶ ὅτι αἱ ἐπιστῆμαι τῶν καθόλου εἰσίν, ἐπειδὴ παντὸς ἦν ζητεῖν ὡς εἴπερ αἱ ἐπιστῆμαι τῶν καθόλου, τὰ δὲ καθόλου μὴ ὄντα, αἱ ἐπιστῆμαι ἄρα τῶν μὴ ὄντων εἰσί, λέγει οὖν ὅτι τὸ λέγειν ὡς πᾶσα μὲν ἐπιστήμη τῶν καθόλου ἐστὶ καὶ διὰ τοῦτο ἀνάγκη καὶ τὰς τῶν ὄντων ἀρχὰς καθόλου εἶναι καὶ οὐσας, πᾶν δὲ ὂν κεχωρισμένον καὶ καθ' αὑτό, καὶ αἱ τῶν ὄντων ἀρχαὶ ἄρα, ὧν εἶναι καὶ τὰς ἐπιστήμας φαμέν, καὶ καθόλου καὶ κεχωρισμέναι, ἢ εἰ μὴ τοῦτο, συμβαίνει τὰς ἐπιστήμας εἶναι μὴ ὄντων, τὸ δὴ τοῦτο λέγειν, φησίν, ἔχει μὲν μάλιστα πάντων τῶν ῥηθέντων ἀπορίαν (αὕτη δὲ ἦν ἡ τὰς ἐπιστήμας μὴ ὄντων εἶναι λέγουσα)· τοῦτο δέ, φησί, τὸ τὴν ἐπιστήμην εἶναι μὴ ὄντων τρόπον μέν τινα ἀληθές ἐστι, τρόπον δέ τινα οὐκ ἀλη|θές· ἔστι γὰρ ἡ ἐπιστήμη καὶ ὄντος καὶ μὴ ὄντος. καὶ 771 πῶς ἐπάγει· ἡ γὰρ ἐπιστήμη, ὥσπερ καὶ τὸ ἐπίστασθαι διττόν. ὡς γὰρ ἐπίστασθαι λέγομεν τὸν ἔχοντα μὲν τὴν ἐπιστήμην, μὴ ἐνεργοῦντα δὲ κατ' αὐτὴν δυνάμενον δ' ἐνεργῆσαι, καὶ τὸν ἔχοντα ἤδη καὶ ἐνεργοῦντα, ὡς οὖν τὸ ἐπίστασθαι τὸ μὲν λέγεται κατὰ δύναμιν τὸ δὲ κατ' ἐνέργειαν, οὕτω καὶ ἡ ἐπιστήμη δυνάμει καὶ ἐνεργείᾳ, δυνάμει μὲν ἡ ἐν ἡμῖν ἕξις καθ' ἣν δυνάμεθα πᾶν ὃ ἂν ἡμῖν προτεθῇ τρίγωνον, εἴτε ξύλινον εἴτε χαλκοῦν ἢ ἄλλο ὁτιοῦν, δεικνύναι ὅτι τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχει, ἥτις ἕξις καθόλου ἐπιστήμη λέγεται· ἐνεργείᾳ δὲ ἐπιστήμη λέγεται

---

1 δὴ L: δὲ A 5 παρὰ L: περὶ A 6 αὐτοεῖδος A: αὐτὸ εἶδος L 7 τοῦ εὐλόγως A: post τοῦ add. καὶ L 9 παρὰ — ἓν A: in margine add. L² ἰδέας A: οὐσίας L² 10 ἓν M: om. AL 19 καὶ ὅτι A: καὶ om. L 23 οὔσας AL: οὐσίας M Bonitz 24. 25 κεχωρισμέναι L: κεχωρισμένα A 25 μὴ εἶναι ὄντων L

ἡ τοιάδε ἐν ἡμῖν γινομένη κίνησις, ὅταν δείκνυμεν ὅτι τοῦδε τοῦ τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ἥτις καὶ μερικὴ (περὶ γὰρ τόδε τὸ μερικὸν τρίγωνόν ἐστι) λέγεται. καὶ ἔοικεν ἡ μὲν καθόλου ἐπιστήμη τῇ ὀπτικῇ ἡμῶν δυνάμει, ἣν καὶ ὑπνώττοντες καὶ ἐγρηγορότες ἔχομεν, ἡ δὲ μερικὴ ἐπιστήμη τῇ ὁράσει, ἥτις ὅρασις γίνεται. ὅταν ἡ ὄψις ἐνεργῇ περὶ τὰ χρώματα καὶ ὁρᾷ αὐτά. καὶ τούτῳ διαφέρει ἡ ἐνεργείᾳ καὶ μερικὴ ἐπιστήμη τῆς καθόλου καὶ ὡς ἕξεως λεγομένης, ὅτι ἡ μὲν μερικὴ τοῦδέ ἐστι τοῦ τριγώνου ὃ νῦν δείκνυσιν, ἡ δὲ καθόλου καὶ ὡς ἕξις καὶ ἄλλων ἀπείρων. τὸ δὲ καθόλου τρίγωνον διαφέρει τοῦ μερικοῦ, ὅτι τὸ μὲν καθόλου ἀόριστον (οὐ γὰρ ἐν χαλκοῖς τριγώνοις ὁρίζεται ἡ φύσις αὐτοῦ ἢ ἐν ξυλίνοις ἢ γηΐνοις, ἀλλ' ἐν ἅπασιν αὐτὸ εἶναί τε καὶ εὑρίσκεσθαι δύναται, ὥστε καὶ ὡς ἀόριστον καὶ ἐννοηματικὸν μὴ ὂν αὐτό φαμεν· τὸ γὰρ ἀόριστον καὶ μὴ ἐπερεῖδον ἡμῶν τὴν διάνοιαν κατ' οὐδὲν ἀπέοικε τοῦ μὴ ὄντος), τὸ δὲ μερικὸν τρίγωνον ἐπειδὴ αἰσθητόν ἐστι καὶ κείμενόν που, ὡρισμένον καὶ ὄν ἐστι. τούτων οὕτως ἐχόντων ὅταν λέγωμεν ὅτι ἡ ἐπιστήμη τῶν καθόλου ἐστὶ καὶ ὄντων, καθόλου μὲν λέγομεν τὴν καθόλου καὶ ὡς ἕξιν οὖσαν, ὄντων δὲ τὴν μερικὴν καὶ ἐνεργείᾳ καὶ περὶ μερικὰ οὖσαν. ἔστιν οὖν ἡ ἐπιστήμη καὶ τῶν καθόλου καὶ τῶν κατὰ μέρος καὶ ὄντων καὶ μὴ ὄντων, ἡ μὲν καθόλου καὶ ὡς ἕξις τῶν καθόλου τε καὶ μὴ ὄντων (ἐν ἐπινοίᾳ γὰρ μόνῃ αὐτοῖς τὸ εἶναι), ἡ δὲ μερικὴ καὶ ἐνεργείᾳ ὄντος. καὶ κυρίως μὲν καὶ προηγουμένως διὰ τὴν μερικὴν καὶ τὴν καθόλου διώκομεν· διὰ γὰρ τὸ δύνασθαί με δεικνύναι πᾶν ὃ ἄν μοι δοθῇ τρίγωνον ὅτι τὰς τρεῖς γωνίας δύο ὀρθαῖς ἴσας ἔχει καὶ τὴν καθόλου ζητῶ τε καὶ ἀσπάζομαι, ἐπεὶ αὐτὴν καθ' αὑτὴν οὐδεὶς ἂν ἔχειν ἐθελήσειεν. ἡ μὲν οὖν δύναμις, φησί, λέγων δύναμιν τὸν ἐν ἡμῖν | νοῦν· οὗτος γὰρ δυνάμει τὰ 772 καθόλου· γραμματείῳ γὰρ ἀγράφῳ ἐν τῇ Περὶ ψυχῆς αὐτὸν ἀπείκασεν. οὗτος οὖν ὁ νοῦς ὕλη ἐστὶ τῶν καθόλου, ταῦτα δὲ εἴδη· καὶ ἐπεὶ ὡς ὕλη ἐστί, καὶ ἀόριστός ἐστι· πᾶσα γὰρ ὕλη ὑπὸ εἴδους ὁρίζεταί τε καὶ κοσμεῖται. ἔστιν οὖν ὁ νοῦς ὁ δυνάμει ὕλη ἀόριστος εἴδους ἀορίστου· τοῦ γὰρ καθόλου· ταῦτα γάρ, ὡς εἴρηται, ἀόριστα. ἡ δὲ ἐνεργείᾳ δύναμις, τουτέστιν ὁ κατ' ἐνέργειαν νοῦς, ἡ μερικὴ ἐπιστήμη ἐστίν, ὡρισμένη καὶ ὡρισμένου τινός (τοῦ γὰρ αἰσθητοῦ τριγώνου) τόδε τι καὶ μερικὴ οὖσα τοῦδέ τινος καὶ μερικοῦ ἐστι. δύναται διὰ τοῦ ἡ μὲν οὖν δύναμις ὡς ὕλη τοῦ καθόλου οὖσα καὶ τῶν ἑξῆς δύναμιν λέγειν τὴν ἐν ἡμῖν ἕξιν, ἣν καὶ καθόλου φαμὲν ἐπιστήμην. καὶ εἴη ἂν λέγων ὅτι ἡ μὲν δύναμις ἤτοι ἡ ἐν ἡμῖν ἕξις ἤτοι ἡ καθόλου ἐπιστήμη, τοῦ καθόλου οὖσα, ὕλη ἐστὶ τῆς μερικῆς ἐπιστήμης· εἰδοποιεῖται γὰρ ὑπ' αὐτῆς. καὶ οὐ μόνον ὕλη ἐστὶν αὐτῆς, ἀλλὰ καὶ ἀόριστός ἐστι τοῦ καθόλου καὶ ἀορίστου οὖσα. εἰ γὰρ ἡ καθόλου ἐπιστήμη οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ καθόλου εἶδος, τοῦτο δὲ ἀόριστον, ἀόριστος ἄρα καὶ αὕτη. πάλιν ἐπεὶ ἡ μερικὴ καὶ ἐνερ-

---

7 μὲν LM²: om. AM¹ 10 τριγώνοις L: τρίγωνον A 14 αἰσθητόν L: ἀόριστον A 25 οὗτος scripsi: οὕτω libri 26 ἐν τῇ Περὶ ψυχῆς] Γ 4 p. 430a1
37 αὐτῆς A: αὐτοῦ L

γείᾳ ἐπιστήμη ἡ αὐτή ἐστι τῷ μερικῷ τριγώνῳ, ὡρισμένον δὲ τοῦτο, ὡρισμένη ἄρα καὶ αὕτη καὶ ὡρισμένου τινός. ὅτι δὲ ἡ καθόλου ἐπιστήμη διὰ τὴν μερικήν ἐστι καὶ ταύτης χάριν καὶ τὴν καθόλου ἀσπαζόμεθα, δείκνυσι τῇ παραθέσει τῆς αἰσθήσεως. ὡς γὰρ ἡ ὄψις προηγουμένως μὲν τοῦδέ τινος τοῦ ἀτόμου χρώματός ἐστι, κατὰ συμβεβηκὸς δὲ καὶ τοῦ ἐν τῷ ἀτόμῳ κοινοῦ (τὸ γὰρ καθ' ἕκαστον ὁρῶν τις τρόπον τινὰ καὶ τὸ ἐν αὐτῷ καθόλου ὁρᾷ), ὁμοίως καὶ ὥσπερ τις προηγουμένως μὲν τόδε τὸ ἄλφα θεωρεῖ εἰ χρὴ δασύνεσθαι ἢ ψιλοῦσθαι, ἐκτείνεσθαί τε ἢ βραχύνεσθαι, κατὰ συμβεβηκὸς δὲ καὶ τὸ ἐν αὐτῷ κοινόν, οὕτω καὶ ἡ ἐπιστήμη προηγουμένως μὲν μερική ἐστιν, ἡ τὰ ἐπιστητὰ δεικνύουσα (πᾶν γὰρ ὃ ἂν εἰς δεῖξιν ληφθείη μερικόν), κατὰ συμβεβηκὸς δὲ ἐν αὐτῷ θεωρεῖ τὸ καθόλου καὶ δείκνυσιν. εἰ οὖν ταῦτ' ἀληθῆ, οὐκ ἔσται χωριστὸν οὐδὲν οὐδ' οὐσία καθόλου καθ' αὑτήν, ἵν' ᾖ ταύτης ἡ ἐπιστήμη· ἀλλὰ δῆλον ὅτι τρόπον μέν τινά ἐστιν ἡ ἐπιστήμη τοῦ καθόλου καὶ μὴ ὄντος, ἡ καθόλου δηλονότι καὶ δυνάμει, τρόπον δέ τινα οὐκ ἔστι τοῦ καθόλου, ἀλλὰ τοῦ μερικοῦ, ἡ ἐνεργείᾳ δηλονότι. τὸ δὲ ἐπεὶ εἰ ἀνάγκη τὰς ἀρχὰς καθόλου εἶναι, ἀνάγκη καὶ τὰ ἐκ τούτων καθόλου συνεχές ἐστι τοῖς ἐπάνω, ἐν οἷς ἐδείκνυεν ὅτι ἀδύνατόν ἐστι τὸ ἀρχικὸν ἓν καὶ τὴν ἀόριστον δυάδα καθόλου εἶναι. ἔστι δὲ τὸ λεγόμενον ὡς εἴπερ αἱ ἀρχαί, τὸ αὐτοὲν δηλονότι καὶ ἡ ἀόριστος δυάς, καθόλου εἰσίν, ἀνάγκη καὶ τὰς ἐξ αὐτῶν ἰδέας καθόλου εἶναι, ταὐτὸ δὲ εἰπεῖν | συμβεβηκότα, ὥσπερ ἐπὶ τῶν 773
ἀποδείξεων· καὶ γὰρ ἐπὶ τούτων ὅταν ὦσιν αἱ προτάσεις καθόλου, καὶ τὰ ἐξ αὐτῶν συμπεράσματα καθόλου ἐστίν.

Ὧδε μὲν οὖν πεπεράτωται τὸ Μ τῆς Μετὰ τὰ φυσικὰ πραγματείας.

3 ἀσπαζόμεθα M: ἀσπαζομένη AL 7 μὲν M¹: om. AL: ind. M²

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Ν ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΑΡΙΣΤΟΤΕΛΟΥΣ

Ἐν τῷ πρὸ τούτου βιβλίῳ ζητήσας εἰ δυνατὸν εἶναι τὰ μαθηματικὰ χωριστὰ καὶ καθ' αὑτά, καὶ δείξας ὅτι χωριστὰ μὲν οὔκ εἰσιν, ὡς οἱ ταῦτα τιθέμενοι λέγουσιν, ἐξ ἀφαιρέσεως δέ, εἶτα ζητήσας περὶ τοῦ εἰδητικοῦ ἀριθμοῦ καὶ δείξας ὅτι ἀδύνατόν ἐστι τοιούτους ἀριθμοὺς εἶναι, ἐν τῷ παρόντι βιβλίῳ, Ν μὲν ἐπιγραφομένῳ, τεσσαρεσκαιδεκάτῳ δὲ κατὰ τὸν ἀριθμὸν καὶ τελευταίῳ τῆς ὅλης πραγματείας ὄντι, δείκνυσιν ὅτι οὐδ' ὡς ἀρχὰς τῶν ὄντων δυνατόν ἐστι λέγειν ἢ τοὺς εἰδητικοὺς ἀριθμοὺς ἢ τὰ μαθηματικά, ὡς οἱ ταῦτα κομίσαντες βούλονται. καί φησι περὶ μὲν οὖν τῆς οὐσίας τῆς νοητῆς ὅσα τε ἡμεῖς ὡς οἰκεῖα εἰρήκαμεν, ὅσα τε οἱ Πυθαγόρειοι καὶ ὁ Πλάτων, μέχρι τοσούτου εἰρήσθω. ἡμεῖς μὲν γὰρ ἐνέργειαν τὸν πρῶτον νοῦν πάντῃ πάντως ἀμοιροῦσαν τοῦ δυνάμει εἰρήκαμεν, εἶτα καὶ ἐκ τοῦ τῶν σφαιρῶν πλήθους συνελογισάμεθα πόσοι οἱ δεύτεροι νοῖ τυγχάνουσιν ὄντες. ἡμεῖς μὲν οὖν τὴν νοητὴν οὐσίαν ταύτην εἶναι εἰρήκαμεν, τούτων δὲ ὁ μὲν εἰδητικοὺς ἀριθμοὺς οἱ δὲ τὰ μαθηματικὰ τὴν οὐσίαν εἶναι λέγουσι τὴν νοητήν. ὥστε περὶ μὲν τῆς τοιαύτης οὐσίας τοσαῦτα εἰρήσθω. πάντες δὲ καὶ οἱ τῶν ἰδεῶν προστάται καὶ οἱ τῶν μαθηματικῶν ἐφευρεταὶ ἀρχὰς τῶν εἰδῶν καὶ τῶν μαθηματικῶν (ταῦτα γὰρ εἴρηκεν ἀκινήτους οὐσίας) τὰ ἐναντία τίθενται παραπλησίως τοῖς φυσικοῖς. δέδεικται γὰρ ἐν τῷ Α τῆς Φυσικῆς ἀκροάσεως ὅτι τὰ ἐναντία ἥ τε στέρησις καὶ τὸ εἶδός εἰσιν ἀρχαὶ τῶν φυσικῶν πάντων, ὑποκείμενον δὲ αὐτοῖς ἡ ὕλη. ἀλλ' ὅτι μὲν αἱ τῶν φυσικῶν ἀρχαὶ τὰ ἐναντία δέδεικται ἐκεῖσε· ὅτι δὲ τῶν νοητῶν καὶ πάντῃ ἀκινήτων ἀδύνατον εἶναι ἐναντίας τὰς ἀρχάς, δείκνυσι νῦν προλαβὼν ὡς ἐναργέστατόν τε καὶ δεδειγμένον ὅτι τῆς πρώτης πάντων ἀρχῆς οὐκ ἐνδέχεται πρότερόν τι εἶναι. εἰ γὰρ ἔστι τις προτέρα ἀρχή, ἐκείνη ἂν εἴη πρώτη· ἀλλ' ὑπόκειται ταύτην εἶναι τὴν πρωτίστην. τοῦτο

---

1 Tit. σχόλαια (sic) εἰς τὸ Ν—Ἀριστοτέλους A: om. L: Ἀριστοτέλους om. M 6 τεσσαρεσκαιδεκάτῳ L: τεσσαρισκαιδεκάτῳ A: τρισκαιδεκάτῳ corr. A 11 μέχρι τοσούτου εἰρήσθω Brandis Bonitz: om. ALM 14 ταύτην εἶναι AL: τοιαύτην Brandis Bonitz 14. 15 ὁ μὲν M Brandis Bonitz: οἱ μὲν AL 17 μαθηματικῶν A: μαθημάτων L 18 εἴρηκεν A: εἰρήκαμεν L 20 ἐν τῷ A τῆς Φυσικῆς ἀκροάσεως] c. 7

δὴ προλαβὼν συλλογίζεται δυνάμει | ὧδε· τὰ ἐναντία ἐν ὑποκειμένοις τὸ 774
εἶναι ἔχοντα ὕστερά εἰσι τοῦ ἐν ᾧ εἰσιν· ἡ τῶν νοητῶν καὶ πάντων ἀρχὴ
τῶν ὄντων οὐδενός ἐστιν ὕστερα· ἡ τῶν ὄντων ἄρα πάντων ἀρχὴ οὐκ ἔστι
τὰ ἐναντία, ἀλλὰ δηλονότι ὁ πολυτίμητος νοῦς, ᾧ ἐναντίον τι ἐννοεῖν μὴ
5 λίαν εἴη τῶν ἀσεβεστάτων. καὶ κατασκευάζει τὴν πρότασιν τὴν λέγουσαν 5
ὅτι ἡ τῶν ὄντων πάντων ἀρχὴ οὐκ ἔστιν ἐν ὑποκειμένῳ τινὶ διὰ τοῦ εἰ
δὲ τῆς τῶν ὄντων πάντων ἀρχῆς μὴ ἐνδέχεται πρότερόν τι εἶναι.
ἔστι δὲ ὁ συλλογισμὸς τοιοῦτος· τοῦ ἐν ὑποκειμένῳ ὄντος ἔστι τι πρότερον,
τὸ ὑποκείμενον αὐτῷ· τῆς τῶν ὄντων πάντων ἀρχῆς οὐκ ἔστι τι πρότερον·
10 ἡ τῶν ὄντων ἄρα πάντων ἀρχὴ οὐκ ἔστιν ἐν ὑποκειμένῳ. ἢ οὕτως· εἰ 10
ἔστιν ἡ τῶν ὄντων πάντων ἀρχὴ ἐν ὑποκειμένῳ, ἔσται τι αὐτῆς πρότερον·
ἀλλὰ μὴν οὐκ ἔστι τι πρότερον αὐτῆς· οὐκ ἄρα ἐν ὑποκειμένῳ ἐστίν. ἀδύ-
νατον οὖν τὴν πρώτην ἀρχὴν ἕτερόν τι οὖσαν, ἤτοι ἐν ὑποκειμένῳ
οὖσαν, εἶναι ἀρχήν· πᾶν γὰρ ἐν ὑποκειμένῳ ὂν ἕτερόν τι ὄν ἐστιν ὃ λέ-
15 γεται. τὸ γὰρ λευκὸν ἕτερόν τι ὄν, οἷον ξύλον ἢ ἄνθρωπος, ἐστὶ λευκόν· 15
ὥστε καὶ ἡ τῶν ὄντων ἀρχή, εἰ ἦν ἐν ὑποκειμένῳ, ἕτερόν τι οὖσα ἦν ἂν
ὃ εἶναι ἐλέγετο. αὐτὸς δὲ καὶ σαφηνίζει ὅπως εἰ ἔστιν ἡ τῶν ὄντων ἀρχὴ
ἐν ὑποκειμένῳ, ἀνάγκη ἑτέραν εἶναι καὶ ὑστέραν τοῦ ἐν ᾧ ἐστι, λέγων
οἷον εἴ τις λέγοι τὸ λευκὸν εἶναι ἀρχήν, μὴ λέγοι δὲ αὐτὸ ἀρχὴν
20 καθὸ ἕτερόν τί ἐστιν, οἷον καθὸ ἀὴρ ἢ καθὸ ὕδωρ, ἀλλὰ καθὸ λευκόν· 20
εἰ δή τις τοῦτο λέγοι, λέγοι δὲ ὅτι καὶ τὸ λευκὸν πρὸς τῷ ἀρχὴ εἶναι καὶ
καθ' ὑποκειμένου, τουτέστιν ἐν ὑποκειμένῳ ἐστίν, ἔσται τὸ ὑποκείμενον,
ἐν ᾧ τὸ λευκὸν ἤτοι ἡ ἀρχή ἐστι, πρότερον τοῦ λευκοῦ καὶ τῆς ἀρχῆς, ὅπερ
ἀδύνατον. τοῦτο δὴ ἀνάγκη λέγειν καὶ ἐπὶ τῆς τῶν ἁπάντων ἀρχῆς, εἴπερ
25 ἐν ὑποκειμένῳ ἐστίν. ἐπειδὴ δέ τις ἔμελλε λέγειν ὅτι ἐναντιότητα μὲν ἕξει
ἡ πρώτη ἀρχή, οὐκ ἔσται δὲ ἐν ὑποκειμένῳ, ὥστε ἐκ τούτου συνάγεσθαι
τὸ πρότερόν τι αὐτῆς εἶναι, ἀλλ' ἔστι τὰ ἀρχικὰ ἐναντία αὐτὰ καθ' αὑτὰ 25
χωρὶς ὑποκειμένου τινός, ἐπήγαγε τὸ ἀλλὰ μὴν γίνεται πάντα ἐξ ἐν-
αντίου ὡς ἐξ ὑποκειμένου τινός, ἴσον λέγων τῷ ἀδύνατον τὰ ἐναντία
30 ἐξ ἀλλήλων γίνεσθαι· δέδεικται γὰρ καὶ τοῦτο, λέγω δὴ ὡς ⟨οὐ⟩ γίνεται
τὰ ἐναντία ἐξ ἀλλήλων. ἀδύνατον οὖν τὰ ἐναντία ἐξ ἀλλήλων γίνεσθαι μὴ
ὄντος ὑποκειμένου τινός· οὐ γὰρ ἡ ψυχρότης θερμαίνεται, ἀλλὰ τὸ τῇ 30
ψυχρότητι ὑποκείμενον. εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη τὰ ἀρχικὰ ἐναντία καθ'
αὑτὰ καὶ χωριστά, ἀλλὰ καθ' ὑποκειμένου, τουτέστιν ἐν ὑποκειμένῳ. ἀλλὰ
35 μήποτε δυνατὸν λέγειν τὰ ἀρχικὰ ἐναντία οὐσίας καὶ διὰ τοῦτο οὐκ ἐν
ὑποκειμένῳ· οὐδεμία γὰρ οὐσία ἐν ὑποκειμένῳ. ἤ, φησί, φαίνεταί τε καὶ
ὁ λόγος μαρτυρεῖ ὅτι οὐδεμιᾷ οὐσίᾳ καθ' αὑτὴν οὔσῃ καὶ ἐν ὑπάρξει
ἔστι τι ἐναν|τίον. τῷ γὰρ εἴδει κἂν εἴη ἐναντία ἡ στέρησις οὐσίᾳ ὄντι. 775
ἀλλ' οὐκ ἔστι καθ' αὑτὸ ἀλλ' ἐν τῇ ὕλῃ. πῶς δὲ ἐν αὐτῇ τὸ εἶναι ἔχει

---

6 ὄντων πάντων] ἁπάντων Metaph. 12 πρότερον L: πρῶτον A 13 οὖν L: ἄρα A 21 ἀρχὴ L: ἀρχῇ A 28. 29 ἐναντίου A: ἐναντίας L ἐναντίων ὡς ὑποκειμένου Metaph. 29 τὰ L: τὸ A 30 οὐ add. Bonitz 35 οὐκ A: om. L 37 αὐτὴν — ὑπάρξει A: οὔσῃ post ὑπάρξει ponit L

εἴρηται ἐν ἄλλοις. φανερὸν ἄρα ὅτι ἀδύνατον τὰ ἐναντία εἶναι πρώτην τῶν ὄντων ἀρχήν. τὸ δὲ ἀνάγκη ἄρα τοῖς μάλιστ' ἐναντίοις τοῦθ' ὑπάρχειν διὰ μέσου τεθὲν τοιοῦτόν ἐστιν· εἰ δεῖ τὰ ἐναντία λέγειν ἀρχάς, ἀνάγκη τὰ μάλιστα καὶ πρῶτα καὶ καθολικώτατα ἐναντία τῶν ὄντων ἀρχὰς λέγειν· καθολικώτατα δὲ τὸ ὑπερέχον καὶ ὑπερεχόμενον· ταῦτα ἄρα καὶ ἀρχὰς λεκτέον. ἀλλὰ μὴν καὶ τὸ τὸ ὑπερέχον καὶ ὑπερεχόμενον ἀρχὰς λέγειν τῶν ἀδυνάτων μετ' ὀλίγον δειχθήσεται. ὅλως ἄρα ἀδύνατόν ἐστι τὰ ἐναντία τῶν ὄντων πάντων λέγειν ἀρχάς.

p. 1087b4 Οἱ δὲ τὸ ἕτερον τῶν ἐναντίων ὕλην ποιοῦσι.

Δεῖ συντομώτατα πρὸ τῆς τῶν λεγομένων σαφηνείας εἰπεῖν ὅπως οἱ τὰ ἐναντία ἀρχὰς τῶν ἰδεῶν καὶ πάντων τῶν ὄντων λέγοντες τὴν ἐναντιότητα παρελάμβανον, καὶ οὕτως ἐπ' αὐτὰ χωρῆσαι. οἱ λέγοντες τὸ ἄνισον καὶ τὸ ἓν ἀρχήν, ἢ τὸ ἓν καὶ τὸ μέγα καὶ μικρόν, ἢ τὸ ἓν καὶ τὸ ὑπερέχον καὶ ὑπερεχόμενον, τὸ ἓν ταὐτὸν λέγοντες τῷ ἴσῳ καὶ τὸ ἴσον τῷ ἑνί, τὸ μὲν ἄνισον ὕλην ἔλεγον, τὸ δὲ ἓν ἤτοι τὸ ἴσον εἶδος, καὶ ἐναντίον ἀλλήλοις τὸ μὲν ἓν ἢ τὸ ἴσον τῷ ἀνίσῳ καὶ τὸ ἄνισον τῷ ἑνί. πάλιν τὸ μέγα καὶ μικρὸν οὐκ ἔλεγον ἐναντία, ἀλλ' ὡς μίαν τινὰ φύσιν καὶ ὑλικὴν αἰτίαν παραλαμβάνοντες ὡς εἶδος καὶ ἐναντίον αὐτοῖς τὸ ἓν ἐλάμβανον. ὁμοίως δὴ τούτοις καὶ τὸ ὑπερέχον καὶ ὑπερεχόμενον μίαν τινὰ φύσιν ἀποφαινόμενοι τὸ ἓν ὡς εἶδος αὐτοῖς ἀντετίθουν. ὃ καὶ γελοῖον· οὐ γάρ ἐστιν ἡ ὕλη ἐναντία τῷ εἴδει, ὅπου καὶ συνυπάρχουσιν, ἀλλ' ἡ στέρησις. ταῦτα μὲν οὖν προείρηται πρὸς σαφήνειαν τῶν λεχθησομένων. αὐτὸς δὲ λέγει ὅτι τῶν τὰ ἐναντία ἀρχὰς θεμένων οἱ μέν, ὥσπερ ὁ Πλάτων, τὸ ἕτερον τῶν ἐναντίων ὕλην ποιοῦσι, καὶ τοῦτό ἐστι τὸ ἄνισον, εἶδος δὲ τὸ ἕν, καὶ ἐναντίον ἀλλήλοις τὸ ἄνισον τῷ ἑνὶ καὶ τοῦτο τῷ ἀνίσῳ. εἰπὼν δὲ ὅτι ἐναντίον τὸ ἄνισον λέγουσι τῷ ἑνὶ καὶ ἐπαγαγὼν τὸ τῷ ἴσῳ, οὐκ ἄλλο τι δηλῶσαι βουλόμενος τοῦτο ἐπήγαγεν, ἀλλ' ἐκ παραλλήλου τέθεικεν αὐτό. τὸ γὰρ ἕν, ὡς προείρηται, ταὐτὸν τῷ ἴσῳ νομίζοντες ὁτὲ μὲν ἓν ἐκάλουν αὐτὸ ὁτὲ δὲ ἴσον. εἶτα καὶ τὴν αἰτίαν τίθησι δι' ἣν τῷ ἑνὶ τὸ ἄνισον ἀντετίθουν ἀλλ' οὐ τὸ πλῆθος. ὑπολαμβάνοντες γάρ, φησίν, οἱ περὶ Πλάτωνα τὸ ἄνισον εἶναι τὴν φύσιν καὶ οὐσίαν τοῦ πλήθους, ἀντὶ τοῦ πλήθους τὸ ἄνισον ἀντετίθουν τῷ ἑνί. οἱ δὲ περὶ Πυθαγόραν ὕλην τε καὶ ἐναντίον τῷ ἑνὶ αὐτὸ τὸ πλῆθος ποιοῦσι. ταῦτα εἰπὼν καὶ μέλλων ἐκθέσθαι καὶ ἄλλας δόξας, πάλιν ἐκτίθεται τὴν τοῦ Πυθαγόρου καὶ Πλάτωνος, λέγων γεννῶνται γὰρ οἱ ἀριθμοὶ τοῖς μέν (οὗτοι δ' εἰσὶν οἱ περὶ Πλάτωνα) ἐκ τῆς τοῦ ἀνίσου δυάδος· | αὕτη δ' ἐστὶ τὸ μέγα καὶ 776
μικρόν· ἐμπεριέχεσθαι γὰρ τὴν ἐκ τοῦ μεγάλου καὶ μικροῦ ἀποτελουμένην δυάδα τῷ ἀνίσῳ ἔλεγον, καὶ διὰ τοῦτο ὁτὲ μὲν τὴν ἀόριστον δυάδα ἤτοι

2 τοῖς μάλιστ'] μάλιστα τοῖς Metaph. 14 καὶ (post ἴσῳ) L: ἢ A 15 ἤτοι A: ἢ L 19 τὸ ὑπερέχον καὶ ὑπερεχόμενον Brandis Bonitz: τὸ μέγα καὶ μικρὸν ALM 23 ὅτι L: om. A 36 αὕτη L: αὐτὴ A

τὸ μέγα καὶ μικρὸν ἠναντιῶσθαι καὶ ὡς ὕλην ὑποκεῖσθαι τῷ ἑνὶ ἔλεγον, ὁτὲ δὲ τὸ περιεκτικὸν καὶ καθολικώτερον τοῦ μεγάλου χωρὶς καὶ τοῦ μικροῦ ἰδίως, ἅμα δὲ ἐξισάζον αὐτοῖς, τοῦτο δ' ἐστὶ τὸ ἄνισον. ἠναντιῶσθαι τῷ ἑνί (ὥσπερ γὰρ ὁ ἀριθμὸς τοῦ μὲν περιττοῦ ἰδίως ἐστὶ καθολικώτερος, ὁμοίως δὲ καὶ τοῦ ἀρτίου, ἅμα δὲ τῶν δύο τούτων συνελθόντων οὐκ ἔστι καθολικώτερος ἀλλ' ἐξισάζει, οὕτω καὶ τὸ ἄνισον τοῦ μὲν μεγάλου φασὶ καθολικώτερον καὶ τοῦ μικροῦ ὁμοίως, τῶν δύο δὲ ἅμα οὐδαμῶς)· τοῖς μὲν οὖν περὶ Πλάτωνα γεννῶνται οἱ ἀριθμοὶ ἐκ τῆς τοῦ ἀνίσου δυάδος, τῷ δὲ Πυθαγόρᾳ ἡ γένεσις τῶν ἀριθμῶν ἐστιν ἐκ τοῦ πλήθους. ἀμφότεροι δὲ καὶ ὁ Πυθαγόρας καὶ ὁ Πλάτων εἰ καὶ κατὰ τὴν ὕλην διαφέρονται, ὁ μὲν τὸ ἄνισον λέγων Πυθαγόρας δὲ τὸ πλῆθος, ἀλλὰ κατὰ τὸ εἶδος συμφωνοῦσι· τὸ ἓν γὰρ ἀμφότεροι ἀνυμνοῦσι. ταῦτα εἰπὼν μέμφεται τῷ Πλάτωνι λέγων ὅτι τὸ ἄνισον καὶ τὸ ἓν ὁ Πλάτων λέγων στοιχεῖα τῶν ἀριθμῶν, τὸ δὲ ἄνισον δυάδα καλῶν ἐκ μεγάλου καὶ μικροῦ, ὡς ἓν ὄντα τὸ ἄνισον καὶ τὸ μέγα καὶ μικρὸν λαμβάνει, καὶ οὐ διορίζει ὅτι τῷ μὲν ἀριθμῷ καὶ τῷ ὑποκειμένῳ ἕν εἰσι, τῷ δὲ λόγῳ πολλά. ἔδει δὲ ἓν αὐτὰ λέγοντα διορίζειν πῶς ἓν καὶ πῶς οὐχ ἕν.

p. 1087b12 Ἀλλὰ μὴν καὶ τὰς ἀρχὰς ἃς στοιχεῖα καλοῦσιν οὐ καλῶς ἀποδιδόασιν.

Τὸ μὲν τῆς λέξεως ἀκόλουθον τοιοῦτον. ἀλλὰ μὴν καὶ τὰς ἀρχὰς ἃ στοιχεῖα καλοῦσι τῶν ἀριθμῶν οὐ καλῶς ἀποδιδόασιν, οἱ μὲν τὸ μέγα καὶ μικρὸν λέγοντες μετὰ τοῦ ἑνός, τρία ταῦτα στοιχεῖα. καὶ δεῖ στίξαι τελείαν εἰς τὸ μετὰ τοῦ ἑνός, εἶτα ἐπαγαγεῖν αὐτὸ καθ' αὑτὸ τὸ τρία ταῦτα στοιχεῖα. τὸ ⟨δὲ⟩ λεγόμενον τοιοῦτον. πάντες οὗτοι τὴν μὲν εἰδικὴν ἀρχὴν τῶν ἀριθμῶν τὸ ἓν λέγουσι, τὴν δὲ ὑλικὴν ἄλλοι ἄλλως· οἱ μὲν γὰρ τούτων τὸ μέγα καὶ μικρὸν ὕλην λέγοντες, εἶδος δὲ τὸ ἕν, τὰ τρία ταῦτα στοιχεῖα τῶν ἀριθμῶν ἔλεγον· οἱ δ' ἐπιδιορθούμενοι πολλῷ δικαιότερόν ἐστι, φασί, τὸ πολὺ καὶ ὀλίγον ὑλικὴν ἀρχὴν λέγειν τῶν ἀριθμῶν καὶ μὴ τὸ μέγα καὶ μικρόν· τὸ γὰρ μέγα καὶ μικρὸν ἅνπερ ὅλως εἶεν ἀρχαί, τοῦ μεγέθους ἔστωσαν ἀλλ' οὐ τοῦ ἀριθμοῦ. ἄλλοι δὲ ἐκφεύγοντες τὴν ἔριν ταύτην ὑπέθεντο ὑλικὴν ἀρχὴν τὸ περιέχον καὶ περιεχόμενον· καθολικώτερα γὰρ ταῦτα καὶ γενικώτερα καὶ τοῦ μικροῦ καὶ τοῦ μεγάλου καὶ πολλοῦ καὶ ὀλίγου, ἵνα κἂν μικρὸν καὶ μέγα βούλοιτό τις τὰς ἀρχάς, ὑπερέχον πάντως λέξει καὶ ὑπερεχόμενον, κἂν πολὺ καὶ ὀλίγον, ὁμοίως. ταῦτα εἰπὼν λέγει ὅτι πρὸς τὰ | συμβαίνοντα ἄτοπα τοῖς ὅλως 777

---

7 καθολικώτερον L: καθολικώτερος A 13 τὸ ἓν L: τὸ om. A 20. 21 τὰς ἀρχὰς ἃ] τὰ L 21 ἃ] sic AM et Metaph. cod. T, sed cf. 18 23 καὶ δεῖ L: καὶ om. A 24 δὲ add. Brandis 25 ἀρχὴν A: αἰτίαν L 28 δικαιότερόν Brandis: δίκαιον libri 31. 32 ὑπερέχον καὶ ὑπερεχόμενον Metaph., cf. 34 31 καὶ L: καὶ τὸ A

ἐναντία τὰ αἴτια τῶν ὄντων πάντων ποιοῦσιν οὐδὲν διαφέρει, κἂν μέγα καὶ μικρόν, κἂν πολὺ καὶ ὀλίγον, κἂν ὑπερέχον καὶ ὑπερεχόμενον τὰς ἀρχὰς ποιῇ, οὐδ' ἐκφεύγει τὰ τοιαῦτα ἄτοπα, ἀλλ' ἔνοχός ἐστι τοῖς ἀδυνάτοις τούτοις καὶ δυσχερέσι. μόνον δέ, φησί, πρὸς τὰς λογικὰς καὶ ἐν-
5 δόξους ἐπιχειρήσεις, αἷς προσπίπτειν φυλάττονται διὰ τὸ καὶ αὐτοὺς λογι- 5
κῶς ἐπιχειρεῖν, ὠφελεῖ τὸ τὸ ὑπερέχον καὶ ὑπερεχόμενον ἀρχὰς ὑποθέσθαι. ὁ γὰρ τοῦτο ἀρχὴν θεὶς ἐκφεύγει τὰς κατ' ἀλλήλων ἐπιχειρήσεις ὑπό τε τῶν μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον ἀρχὰς λεγόντων φερομένας· τὰ δὲ μέλλοντα αὐτῷ ἰδίως ἐπάγεσθαι οὐκ ἐκφευξεῖται. καὶ τίθησι
10 τὰ ἑπόμενα ἀδύνατα τῷ τὰ γενικώτερα ἐναντία ἀρχὰς τῶν ὄντων τιθεμένῳ. 10
εἰ γὰρ μή ἐστι, φησίν, ἀρχὴ τὸ μέγα καὶ μικρὸν ἢ τὸ πολὺ καὶ ὀλίγον, ἀλλὰ τὸ ὑπερέχον καὶ ὑπερεχόμενον ὡς καθολικώτερα, τοῦ αὐτοῦ λόγου ἐστὶ καὶ τῆς αὐτῆς αἰτίας τὸ καὶ τὸν ἀριθμὸν ὡς γενικώτερον καὶ καθολικώτερον τῆς αὐτοδυάδος πρῶτον εἶναι αὐτῆς καὶ πρῶτον αὐτὸν γενέσθαι
15 ἐκ τοῦ ἑνὸς καὶ τῆς ὑποκειμένης αὐτοῦ ὕλης (ταῦτα γὰρ εἶπε στοιχεῖα), 15
δεύτερον δὲ τὴν αὐτοδυάδα. εἰ γὰρ τὰ γενικώτερα κατ' αὐτοὺς τῶν εἰδικωτέρων πρότερα, γενικώτερος δὲ ὁ ἀριθμὸς τῆς αὐτοδυάδος, εὔδηλον ὅτι καὶ πρότερος. ὅπερ οὐ βούλονται. οὗτοι δὲ καὶ ἀμφοτέρων μᾶλλον ὄντων καθόλου, τοῦ μὲν ὑπερέχοντος καὶ ὑπερεχομένου τῶν εἰδητικῶν ἀριθμῶν,
20 τοῦ δὲ ἀριθμοῦ τῆς δυάδος, τὸ μὲν ὑπερέχον καὶ ὑπερεχόμενον ὡς γενι- 20
κώτερον πρότερόν φασι τῶν εἰδητικῶν ἀριθμῶν, τὸν δὲ ἀριθμὸν πρότερον εἶναι οὐ συγχωροῦσι, καίτοι γενικώτερον ὄντα καὶ καθολικώτερον αὐτῆς, ἀλλ' ὕστερον. ἀλλ' οὗτοι μὲν τοιαῦτα λέγοντες τοιαῦτα ἀκούουσιν, ἄλλοι δὲ τῶν Πυθαγορείων τὸ ἕτερον καὶ τὸ ἄλλο ὡς μίαν φύσιν. ὑλικὴν δέ.
25 πρὸς τὸ ἕν, τὸ εἶδος, ἀντιτιθέασιν· ἄλλοι δέ (τοῦτο καὶ ἀνωτέρω εἴρηκε) τὸ πλῆθος καὶ τὸ ἓν κατ' ἀλλήλων ὡς ἐναντία ὁπλίζουσι. ταῦτα 25
εἰπὼν κοινῶς πρὸς ἅπαντας ἀπαντᾷ, λέγων εἴπερ εἰσίν, ὡς βούλονται, τὰ ὄντα ἐξ ἐναντίων, τῷ δὲ ἑνὶ ἢ ὅλως οὐδέν ἐστιν ἐναντίον ἤ, εἴπερ ἄρα ἠναντίωταί τι αὐτῷ, τὸ πλῆθος ἂν εἴη ἐναντίον αὐτῷ καὶ
30 οὐ τὸ ἄνισον, ὡς οὗτοι λέγουσιν, οὐδὲ μὴν τὸ ἕτερον οὐδὲ πολλῷ μᾶλλον τὸ ἄλλο. τὸ γὰρ ἕτερον τῷ ταὐτῷ ἐστιν ἐναντίον ἀλλ' οὐ τῷ ἑνί, καὶ τὸ ἄλλο αὐτῷ. ἐπιστῆσαι δὲ χρὴ ἣν παραδίδωσι διαφορὰν ἑτέρου καὶ ἄλλου. 30
τὸ μὲν γὰρ ἕτερον ἀντικεῖσθαι λέγει τῷ ταὐτῷ μετὰ τῆς τοῦ ταῦ προσθήκης τε καὶ προ|ηγήσεως, τὸ δὲ ἄλλο τῷ αὐτῷ χωρὶς τοῦ τῷ ἄρθρου 778
35 καὶ τῆς τοῦ ταῦ προσθήκης τε καὶ προηγήσεως· ὥστε οὕτω χρὴ τὴν τῶν δύο τούτων συζυγιῶν ἐναντιότητα ἐκφωνεῖν· ἕτερον ταὐτό. ἄλλο αὐτό. οἱ μὲν οὖν τῷ ἑνί, ὡς εἴρηται, τὸ πλῆθος ἀντιτιθέντες μᾶλλον ἔχονταί τινος πιθανότητος ἤπερ οἱ τὸ ἄνισον ἢ τὸ ἕτερον, ἀλλ' οὐδὲ οὗτοι, φησίν, 5

---

1 τὰ αἴτια A: om. L post ποιοῦσιν add. ἀρχὰς L 2 καὶ μικρόν Bonitz: κἂν μικρόν libri 3 οὐδ' A: οὐκ L 8 μέγα A: τὸ μέγα L 19 εἰδητικῶν L: εἰδικῶν A 21 εἰδητικῶν Bonitz: εἰδητικωτέρων libri 26 τὸ πλῆθος] πλῆθος Metaph. vulg. 32 et 34 αὐτῷ] sic etiam Metaph. libri quattuor: ταὐτῷ Metaph. vulg. 34 τε καὶ L: τε om. A

ἱκανῶς λέγουσιν· εἰ γάρ ἐστι τῷ πλήθει ἐναντίον τὸ ἕν, ἐστὶ δὲ τῷ πλήθει ἐναντίον καὶ τὸ ὀλίγον, ἔσται τὸ ἓν ὀλίγον. ἀλλὰ μὴν ὥσπερ ἐστὶν ἐλάχιστος τῶν ὑφημιολίων ἡ δυὰς καὶ τῶν ἐπιτρίτων ἡ τριάς, οὕτω καὶ τὸ ἐλαχιστότατον καὶ ἔσχατον τοῦ ὀλίγου μέρος ἡ δυάς· ὥστε τὸ ἕν, εἴπερ ἐστὶν ὀλίγον, ἔσται δυάς· ὅπερ ἀδύνατον. εἰπὼν δὲ ἔσται γὰρ τὸ ἓν ὀλίγον ἐπάγει πλῆθος μὲν γὰρ ὀλιγότητι, τὸ δὲ πολὺ τῷ ὀλίγῳ ἀντίκειται, δυνάμει λέγων ὅτι τὸ πλῆθος οὐ τῷ ἑνὶ ἀλλὰ τῇ ὀλιγότητι ἀντίκειται, ὥσπερ καὶ τὸ πολὺ τῷ ὀλίγῳ.

p. 1087ᵇ33 Τὸ δὲ ἓν ὅτι μέτρον σημαίνει φανερόν.

Τὸ ἀρχικὸν ἓν οἱ τὰς ἰδέας καὶ τοὺς ἀριθμοὺς εἶναι τιθέμενοι οὐχ ἕτερόν τι οἷον πῦρ ἢ ἄλλο τι λέγοντες, οὐδὲ ὅλως οὐδεμίαν αὐτῷ φύσιν ὑποτιθέντες, οὐδὲ ἐν ὑποκειμένῳ τινὶ τὸ εἶναι ἔχειν λέγοντες, ἀλλ' αὐτὸ καθ' αὑτὸ καὶ ἐν τῷ ἓν εἶναι οὐσιῶσθαι αὐτὸ λέγοντες, ἐλέγχονται διὰ τοῦ δαιμονίου τοῦδε ἀνδρὸς ἀποδεικνύντος ὅτι ἀδύνατον εἶναί τι ἓν μὴ νοῦς ὄν, μὴ ἄνθρωπος, μὴ ψυχή, ἀλλ' αὐτὸ τοῦτο ἕν. δείκνυσι δὲ τοῦτο ἐκ τοῦ δεῖξαι ὅτι τὸ ἓν τοῦτο μέτρον ἐστί, καί φησιν ὅτι τὸ ἓν ὅτι μὲν μέτρον ἐστὶ φανερόν, καὶ ἐν παντὶ ἑνὶ ὑπόκειταί τις φύσις. ἐν μὲν γὰρ ἁρμονίᾳ ὑπόκειται τῷ ἑνί, δι' οὗ μετροῦμεν τόνους ἡμιτόνια καὶ ὅλως φθόγγους, ἡ δίεσις. δίεσις δ' ἐστὶν ὁ σμικρότατος φθόγγος καὶ οὗ ἐλάττονος αἰσθέσθαι τις οὐ δύναται. τῷ δὲ ἑνὶ τῷ μετρητικῷ τοῦ μεγέθους ὑπόκειται τὸ δακτυλιαῖον μέγεθος ἢ τὸ ποδιαῖον ἢ ᾧ ἄν τις ὡς ἑνὶ καὶ μέτρῳ χρήσαιτο. ἐν δὲ τοῖς ῥυθμοῖς ὑποβέβληται τῷ ἑνὶ βάσις ἢ συλλαβή, καὶ ἐν βάρει σταθμός τις ὡρισμένος μνᾶ ἢ ἄλλο τι· καὶ κατὰ πάντων δὲ τὸν αὐτὸν τρόπον, ἐν μὲν τοῖς ποιοῖς ποιόν τι καὶ ἐν τοῖς ποσοῖς ποσόν τι τὸ ἓν καὶ τὸ μέτρον. καὶ ἀδιαίρετον τὸ μὲν κατὰ τὸ εἶδος τὸ δὲ πρὸς τὴν αἴσθησιν, κατὰ μὲν τὸ εἶδος ὡς ὁ δάκτυλος· οὐ γὰρ διαιρεῖται εἰς δακτύλους ἀλλ' εἰς ἡμιδακτυλιαῖα, ἕτερα ὄντα τῷ εἴδει τοῦ δακτυλιαίου μεγέθους· κατὰ δὲ τὴν αἴσθησιν ὡς ἡ δίεσις· οὐ γὰρ διαιρεῖται εἰς ἐλάττονα φθόγγον· ὁ γὰρ σμικρότατος καὶ ἐλαχιστότατος τῶν φθόγγων ἡ δίεσίς ἐστι. καὶ κατὰ λόγον δέ, φησί, συμβαίνει μὴ εἶναι τὸ ἓν οὐσίαν τινὰ καθ' αὑτὴν καὶ φύσιν· τὸ γὰρ ἓν οὐδὲν ἄλλο σημαίνει ἢ μέτρον πλήθους, ὥσπερ καὶ ὁ ἄνθρωπος ὅτι ζῷον πεζὸν δίπουν. ἀλλὰ καὶ ὁ ἀριθμὸς οὐδὲν ἄλλο δηλοῖ ἢ ὅτι πλῆθος διῃρημένον ἢ πλῆθος μέτρων ἤτοι ἑνάδων. ἐπειδὴ γὰρ τὸ ἓν μέτρον ἐστὶ τοῦ πλήθους, ἀντὶ τοῦ εἰπεῖν πλῆθος ἑνάδων εἶπε πλῆθος μέτρων. ὥστε 779 εἰ τὸ ἓν μέτρον ἐστὶ τοῦ πλήθους, τὸ δὲ πλῆθος πάλιν ἐστὶ πολλάκις τὸ ἕν, πᾶν δὲ πλῆθος ἢ ἄνθρωποί ἐστιν ἢ ἵπποι ἢ ἄλλη τις φύσις, καὶ πᾶν

---

3 ὑφημιολίων L: ὑφ' ἡμιολίων A: ὑφ' ἡμιόλιον coni. Bonitz fort. τῶν ὑπεπιτρίτων 4 ἐλαχιστότατον A: ἐλάχιστον L 20 τῷ μετρητικῷ L: τῷ om. A 22 τοῖς ῥυθμοῖς L: τῷ ῥυθμῷ A 25 καὶ ἐν] ἐν δὲ Metaph. 30 τῶν φθόγγων A: φθόγγος L

ἄρα ἓν ἢ ἄνθρωπός ἐστιν ἢ ἵππος ἢ νοῦς ἢ ἄλλο τι ὁμοειδὲς τῷ πλήθει. οὗ ἐστι μετρητικόν. καὶ εὐλόγως, φησί, διὰ τὰ εἰρημένα μέτρον ἐστὶν ἀριθμοῦ τὸ ἓν ἀλλ' οὐκ ἀριθμός. καὶ συλλογίζεται δυνάμει οὕτως. τὸ ἓν μέτρον ὂν οὐκ ἔστι μέτρα, πᾶς ἀριθμὸς μέτρα, τὸ ἓν ἄρα οὐκ ἔστιν ἀριθμός. ἐν δευτέρῳ σχήματι ὁ συλλογισμός. αὐτὸς δὲ τὸ συμπέρασμα θεὶς διὰ τοῦ διὸ εὐλόγως οὐκ ἔστι τὸ ἓν ἀριθμός, καὶ τὴν μίαν πρότασιν [διὰ τοῦ] τὴν τὸ ἓν μέτρον ὂν οὐκ ἔστι μέτρα δηλώσας διὰ τοῦ οὐ γὰρ μέτρον μέτρα, τὴν ἑτέραν τὴν πᾶς ἀριθμὸς μέτρα παρείασεν. οὐκ ἔστιν οὖν τὸ ἓν ἀριθμός, ὅτι μηδὲ τὸ μέτρον μέτρα. τὰ γὰρ μέτρα πλῆθος, τὸ δὲ μέτρον οὐ πλῆθος. ἀλλὰ τὸ ἓν καὶ τὸ μέτρον ἀρχὴ μέν εἰσι τὸ μὲν τοῦ ἀριθμοῦ, τὸ δὲ μέτρων, ἀριθμοὶ δὲ ἢ μέτρα οὐδαμῶς. εἰπὼν δὲ ὅτι τὸ ἓν μέτρον ἐστὶ πλήθους καὶ μεταξὺ θεὶς τὰ προσεχῶς ῥηθέντα ἐπάγει 'τὸ ἓν καὶ τὸ μέτρον δεῖ ἀεὶ τὸ αὐτὸ καὶ ὅμοιον εἶναι πᾶσι τοῖς μέτροις, οἷον ἐὰν ὦσιν ἵπποι τὰ μέτρα καὶ τὸ μέτρον αὐτῶν ἵππος ἔσται, καὶ ἔμπαλιν εἰ τὸ μέτρον ἵππος καὶ τὰ μέτρα ἵπποι. εἰ δέ εἰσι τὰ μέτρα ἄνθρωπος ἵππος καὶ θεός, ἔσται ὁ ἀριθμὸς αὐτῶν ζῷα καὶ τὸ μέτρον ζῷον. εἰ δὲ ἄνθρωπος καὶ βαδίζον καὶ λευκόν, πρῶτον μὲν οὐ χρὴ ζητεῖν ἀριθμὸν τούτων καὶ μέτρον τοῦ ἀριθμοῦ· οὐ γάρ εἰσιν ἀπολελυμένα ἀλλ' ἐν τῷ ὑποκειμένῳ καὶ τῷ ἑνὶ κατ' ἀριθμόν, οἷον τῷ Σωκράτει, ὑπάρχειν δύνανται· ἔπειτα λεγέσθω γενῶν ἀριθμὸς ὁ τούτων ἀριθμός.' ἐπεὶ γὰρ τὸ λευκὸν ὑπὸ τὸ ποιόν ἐστιν, ὁ δὲ Σωκράτης ὑπὸ τὴν οὐσίαν, τὸ δὲ βαδίζον ὑπὸ τὴν κίνησιν, καὶ ἄλλο μὲν γένος ἡ οὐσία ἄλλο δὲ τὸ ποιόν, λεκτέον τὸν τούτων ἀριθμὸν γενῶν ἤτοι διαφόρων φύσεων ἀριθμόν. ἢ οὖν, φησίν, ἀριθμὸς γενῶν λεγέσθω ὁ τούτων ἀριθμός, ἢ ἄλλης τινὸς τυγχανέτω προσηγορίας.

p. 1088a15 Οἱ δὲ τὸ ἄνισον ὡς ἕν τι, τὴν δὲ δυάδα ἀόριστον ποιοῦντες, ἕως τοῦ νῦν δὲ τὸ ἕτερον μόνον κατηγορεῖται.

Τὸ ἀρχικὸν ἕν, ὥσπερ εἴρηται, ποτὲ μὲν ἓν λέγοντες ποτὲ δὲ ἴσον, ὁμοίως δὲ καὶ τὴν ἀόριστον δυάδα ἐκ μικροῦ ποιοῦντες καὶ μεγάλου, καὶ εἰς ἕν τι τὸ ἄνισον αὐτὴν συναιροῦντες, πόρρω λίαν καὶ τῶν δοκούντων αὐτοῖς καὶ τῶν δυνατῶν λέγουσιν, ἤτοι λίαν καὶ ἑαυτοῖς ἐναντιοῦνται καὶ ἀδύνατα λέγουσιν, ἀδύνατα μὲν ὅτι τὰ πάθη τοῦ ἀριθμοῦ καὶ τὰ συμβεβηκότα αὐτῷ, ὁμοίως καὶ τὰ τοῦ μεγέθους, ὑποκείμενα καὶ ὑλικὰ αἴτια αὐτῶν λέγουσιν· οὐδὲν δὲ πάθος καὶ συμβεβηκὸς ὕλη ἐστὶ τοῦ οὗ ἐστι πάθος. ὥσπερ δὲ τὸ | περιττὸν καὶ ἄρτιον καὶ τὸ πολὺ καὶ ὀλίγον πάθη 780
εἰσὶ τοῦ ἀριθμοῦ καὶ οὐχ ὕλη, οὕτω καὶ τοῦ μεγέθους πάθη τὸ μέγα καὶ μικρὸν καὶ λεῖον καὶ τραχὺ καὶ εὐθὺ καὶ καμπύλον. ταῦτα μὲν οὖν τὰ

7 διὰ τοῦ ante τὴν del. Bonitz 7. 8 διὰ τοῦ οὐ A: διὰ τοῦ om. L 8 γὰρ τὸ μέτρον Metaph. 17 μέτρον Bonitz: μερικὸν libri 18. 19 ἀπολελυμένα L coni. Bonitz: ἀπολελυμέναι A 22 βαδίζον A: βαδίζειν L 32 πάθη A: πλήθη L 34 πάθος καὶ A: πλῆθος καὶ L

ἀδύνατα· τὰ γὰρ πάθη ἐν ὑποκειμένῳ καὶ οὐχ ὑποκείμενον καὶ ὕλαι. ἐναντία δὲ ἑαυτοῖς λέγουσι διὰ τὸ τὰ πρός τι καὶ ὕστερα πασῶν τῶν κατηγοριῶν (παραφυάσι γὰρ ἐοίκασιν, ὡς πολλάκις εἴρηται) πρότερα ποιεῖν ἐξ ὧν λέγουσι τῶν οὐσιῶν, ὅπερ οὐδὲ οὗτοι βούλονται, λέγω δὴ τὸ πρότερα εἶναι τὰ πρός τι τῶν οὐσιῶν. πῶς δὲ συμβαίνει πρότερα εἶναι δῆλον ἐντεῦθεν. εἰ γὰρ τὸ μέγα καὶ τὸ μικρὸν ἀρχαί εἰσι τῶν εἰδητικῶν ἀριθμῶν, ταὐτὸν δὲ εἰπεῖν τῶν κυριωτάτων κατ' αὐτοὺς οὐσιῶν, αἱ δὲ ἀρχαὶ πρότεραι τῶν ὧν εἰσιν ἀρχαί, τὸ μέγα ἄρα καὶ μικρὸν πρότερα τῶν εἰδητικῶν ἀριθμῶν. πάλιν ἐπεὶ τὸ μέγα καὶ μικρὸν ταὐτόν ἐστι τῷ ἀνίσῳ, ὡς οὗτοι βούλονται, τὸ δὲ ἄνισον τῶν πρός τι, τὸ μέγα ἄρα καὶ τὸ μικρὸν τῶν πρός τι. συλλογιστέον οὖν 'οἱ εἰδητικοὶ ἀριθμοὶ ὕστεροι τοῦ μεγάλου καὶ μικροῦ, ὡς δέδεικται· τὸ μέγα καὶ τὸ μικρὸν τῶν πρός τι· καὶ τοῦτο γὰρ δέδεικται· οἱ εἰδητικοὶ ἄρα ἀριθμοὶ ἤτοι αἱ οὐσίαι ὕστεραι τῶν πρός τι, ὅπερ ἀδύνατον.' πρὸς οὖν τῇ εἰρημένῃ ἁμαρτίᾳ, φησίν, ἀνάγκη καὶ τὰς ἀρχὰς τὸ μέγα καὶ μικρόν, εἴπερ εἰσὶ ταὐτὰ τῷ ἀνίσῳ, πρός τι εἶναι· καὶ οὐ μόνον τὸ μέγα καὶ μικρὸν ἔσται τῶν πρός τι, ἀλλὰ καὶ ὅσα τοιαῦτα, οἷόν ἐστι τὸ ὑπερέχον καὶ ὑπερεχόμενον, τὸ ταὐτὸν καὶ τὸ ἕτερον καὶ τὰ ὅμοια. ἀλλὰ ἀδύνατον τὰ πρός τι ἀρχὰς διὰ τοῦτο καὶ πρότερον τῶν οὐσιῶν εἶναι· ἥκιστα γὰρ τῶν ἄλλων πασῶν κατηγοριῶν φύσις τις καὶ οὐσία τὰ πρός τι. παραφυάδι γὰρ τῶν κατηγοριῶν ἔοικε τὰ πρός τι καὶ πάθος μᾶλλον τὸ διπλάσιον τὸ ἥμισυ τὸ ἐπίτριτον καὶ τὰ ὅμοια τοῦ ποσοῦ, ἀλλ' οὐχ ὕλη ἢ εἶδος ἢ διαφορὰ τῶν οὐσιῶν ἢ ἄλλο τι. ὅτι δὲ οὐ φύσεις τινὲς τὰ πρός τι οὐδὲ οὐσίαι καὶ κυρίως ὄντα δῆλον. τὸ μὲν γὰρ λευκὸν ἔστι τε φύσις τις καὶ λέγεται, διότι, κἂν εἴη τὸ μέλαν ἐν ὑπάρξει κἂν μὴ εἴη, εἶναι δύναται· ὁμοίως καὶ τὸ θερμόν, εἴτε ἔστι που ψυχρὸν εἴτε μὴ ἔστι, δύναται εἶναι. δεξιὸν δὲ μὴ ὄντος ἀριστεροῦ, ἢ δοῦλος μὴ ὄντος δεσπότου εἶναι οὐ δύναται. ὥστε οὐκ ἔσται τις φύσις καθ' αὐτὴν ἀλλὰ σχέσις τοιάδε τῶν οὐσιῶν. πάθος μὲν οὖν, ὥσπερ εἴρηται, τὰ πρός τι τοῦ ποσοῦ εἰσιν, ἀλλ' οὐχ ὕλη τῶν οὐσιῶν. τὸ δὲ καὶ τῷ ὅλως κοινῷ πρός τι καὶ τοῖς μέρεσιν αὐτοῦ καὶ εἴδεσι σαφὲς ἂν ἦν, εἰ ἦν 'καὶ τὸ ὅλως κοινὸν πρός τι καὶ τὰ μέρη αὐτοῦ καὶ τὰ εἴδη.' τὸ γὰρ λεγόμενον τοιοῦτόν ἐστι. πάθος γάρ τι τοῦ ποσοῦ τὸ πρός τι ὑπάρχει καὶ τὸ καθόλου καὶ τὰ μέρη αὐτοῦ. οὐ γὰρ τὰ εἴδη τοῦ πρός τι πάθη εἰσὶ τοῦ ποσοῦ, τὸ δὲ καθόλου πρός τι οὔ, ἀλλὰ καὶ τὸ καθόλου καὶ τὰ εἴδη, τὸ μὲν καθόλου πρός τι τοῦ καθόλου ποσοῦ πάθος, τὰ δὲ εἴδη τῶν εἰδῶν. εἰ δὲ δεῖ | καὶ κατὰ δοτικὴν πτῶσιν αὐτοῦ ἀκούειν, 781
προσυπακουστέον τοῦ συμβαίνει, καὶ ἀναγνωστέον ὑπερβατῶς οὕτως 'καὶ

---

3 παραφυάσι] cf. Eth. Nicom. A 4 p. 1096a21. 22 15 καὶ μικρόν L: καὶ τὸ μικρόν A 19 τῶν πασῶν ἄλλων L 22 ἢ ἄλλο τι] ἤ τι ἕτερον Metaph. libri duo: εἴ τι ἕτερον Metaph. vulg. 23 οὐσίαι Bonitz: οὐσία libri 29 ποσοῦ εἰσιν L: post ποσοῦ add. ὡς πρὶν εἴρηται A 29. 30 καὶ τῷ A: καὶ τὸ L 30 κοινῷ L: om. A 36 αὐτοῦ L: αὐτὴν A 37 συμβαίνει L: συμβαίνοντος A

ὅλως συμβαίνει τῷ κοινῷ καὶ καθόλου πρός τι καὶ τοῖς μέρεσιν αὐτοῦ καὶ εἴδεσι πάθεσιν εἶναι τοῦ ποσοῦ'. εἰπὼν δὲ ὅτι τὰ πρός τι πάθη εἰσὶ τοῦ ποσοῦ παρεμυθήσατο τοῦτο διὰ τοῦ οὐδὲν γάρ ἐστιν οὔτε μικρὸν οὔτε μέγα οὔτε ὀλίγον οὔτε ὅλως πρός τι ὃ οὐχ ἕτερόν τι ὄν, τουτ- 5
5 έστιν ὃ οὐ ποσὸν ὂν πολὺ ἢ ὀλίγον ἐστίν· ἀδύνατον γὰρ πολὺ ἢ ὀλίγον εἶναι μὴ ποσὸν ὄν. εἰπὼν δὲ πρὸ ὀλίγου ὅτι ἥκιστά ἐστι τὰ πρός τι φύσις τις καὶ οὐσία, κατασκευάζει τοῦτο διὰ τοῦ σημεῖον δὲ τοῦ ἥκιστα εἶναι οὐσίαν τινὰ καὶ ὂν τὰ πρός τι, συλλογιζόμενος δυνάμει ὧδε· πᾶσα οὐσία καὶ πᾶν ὂν ὑπὸ σελήνην ὑπάρχον γίνεται καὶ φθείρεται καὶ ὅλως 10
10 μεταβάλλει κατὰ τὴν ἐν ἑαυτῷ μεταβολήν. τὰ πρός τι οὔτε γίνεται οὔτε φθείρεται οὔτε ὅλως μεταβάλλει· τὰ πρός τι ἄρα οὐκ εἰσι φύσεις τινὲς καθ' αὑτὰς θεωρούμεναι, ἀλλὰ σχέσεις μόνον καὶ τὸ εἶναι ἐν τῷ πρός τί πως ἔχειν ἔχουσαι. καὶ ὅτι μὲν τὰ ὑπὸ σελήνην πάντα μεταβάλλει σαφῶς ἐκτίθεται· ὅτι δὲ καὶ τὰ πρός τι οὐ κινεῖται ἐδήλωσεν εἰπὼν ἄνευ
15 γὰρ τοῦ κινηθῆναι ὁτὲ μὲν μεῖζον ὁτὲ δὲ ἧττον ἢ ἴσον ἔσται θατέρου κινηθέντος. εἰ γάρ εἰσι φέρε εἰπεῖν δύο ξύλα διπηχυαῖα καὶ λαβών τις ἄλλο πηχυαῖον προσθῇ τῷ ἑνὶ τῶν διπηχυαίων, γέγονε τὸ ἓν τοῦ ἑτέρου μεῖζον μὴ κινηθὲν μηδ' ὅλως τῶν ἑαυτοῦ κατά τι μεταβαλόν. ἢν δὲ πάλιν ἀφέλῃ τὸ προστεθέν, γέγονεν ἴσον μηδὲ οὕτως κινηθέν. ἀλλὰ
20 καὶ ὅτι τὰ πρός τι πάθη εἰσὶ τοῦ ποσοῦ, εἰπὼν ἀνωτέρω καὶ αὐτό, νῦν κατασκευάζει λέγων 'ἡ ἑκάστου ὕλη δυνάμει ἐστὶν ἐκεῖνο οὗ ἐστιν ὕλη (τὸ γὰρ καταμήνιον ὕλη ὂν σαρκὸς δυνάμει ἐστὶ σάρξ)· τὰ δὲ πρός τι οὔτε δυνάμει εἰσὶν οὐσίαι οὔτε ἐνεργείᾳ· τὰ πρός τι ἄρα οὐκ εἰσιν ὕλη τῆς οὐσίας.' ὅλως δὲ ἄτοπον τὸ πρός τι λέγειν ὕλην τῆς οὐσίας καὶ
25 στοιχεῖον· τὰ γὰρ στοιχεῖα τῆς οὐσίας πρότερα τῆς οὐσίας, τὰ δὲ πρός τι ὕστερα οὐ μόνον τῆς οὐσίας ἀλλὰ καὶ τοῦ ποσοῦ καὶ τοῦ ποιοῦ. ἔτι τὰ στοιχεῖα οὐ κατηγορεῖται ὧν ἐστι στοιχεῖα· οὐ γὰρ λέγεται ὁ ἄνθρωπος πῦρ ἢ ὕδωρ· τὸ δὲ πολὺ καὶ ὀλίγον καὶ χωρὶς καὶ ἅμα κατηγορεῖται τοῦ ἀριθμοῦ, καὶ τὸ μακρὸν καὶ βραχὺ τῆς γραμμῆς, καὶ τὸ πλατὺ καὶ στενὸν
30 τοῦ ἐπιπέδου, ὥστε οὐκ ἂν εἴεν ταῦτα στοιχεῖα τοῦ ἀριθμοῦ καὶ τῆς γραμμῆς καὶ τοῦ ἐπιπέδου, εἴπερ τὰ στοιχεῖα οὐ κατηγορεῖται τῶν ὧν ἐστι στοιχεῖα. ἀλλὰ τί βούλεται ἐν τῇ λέξει τῇ τὸ πολὺ καὶ ὀλίγον καὶ χωρὶς καὶ ἅμα προσκείμενον; ἢ ὅτι τὸ πολὺ καὶ ὀλίγον καὶ κατὰ τοῦ τρία καὶ τῶν λοιπῶν ἅμα κατηγόρουν. ἅμα γάρ, φησίν, ὁ τρία καὶ πολύς
35 ἐστι καὶ ὀλίγος· πρὸς μὲν γὰρ τὸν τέσσαρα ὀλίγος, πρὸς δὲ τὸν δύο 782
πολύς· κατὰ δὲ τῆς δυάδος μόνον τὸ ὀλίγον, οὐ μὴν καὶ τὸ πολύ· πρὸς ὃ καὶ ἐνιστάμενος λέγει εἰ δὲ δὴ καὶ ἔστι τι πλῆθος, λέγων τὶ πλῆθος τὴν δυάδα, καθ' ἧς τὸ ἕτερον μόριον τῆς ἐναντιώσεως κατηγορεῖται,

1 συμβαίνει L: συμβαίνοντος A 1. 2 καὶ εἴδεσι Brandis Bonitz: om. ALM 4 ὃ οὐχ LM: καὶ οὐχ A 7 διὰ τοῦ L: διὰ τούτου A τοῦ Bonitz: τὸ libri 12 μόνον L: μόναι A 15 ἧττον] ἔλαττον Metaph. 20 ἀνωτέρω A: ἀνώτερον L 23 οὐσίαι A: οὐσία L 27 οὐ γὰρ A: οὔτε γὰρ L 30. 31 γραμμῆς L: γραφῆς A 32 ὀλίγον τὸ καὶ coni. Bonitz

οἷον τὸ ὀλίγον, κατ' αὐτούς, θάτερον δέ, οἷον τὸ πολύ, μή. εἶτα πρὸ τοῦ τὸν λόγον ἀποδοῦναι ἐπισυνάπτει τὴν αἰτίαν, καθ' ἣν τὸ πολὺ τῆς δυάδος κατηγορεῖσθαι οὐκ ἐδίδουν, λέγων εἰ γὰρ πολύ, τὸ ἓν ἂν ὀλίγον εἴη. εἰ γάρ, φησί, τὸ πολὺ κατηγορήσομεν τῆς δυάδος, τὸ ἓν ἂν ὀλίγον εἴη· ὅπερ ἀδύνατον. εἰ δή, φησὶν ὁ Ἀριστοτέλης, ἔστι τι πλῆθος καὶ τοῦτό ἐστιν ἡ δυάς, ὅπερ ἁπλῶς ὀλίγον φασίν, εἴη ἂν καὶ ἁπλῶς πολύ· ἔστω δὲ τὸ ἁπλῶς πολὺ ἡ δεκάς, καὶ ἡττάσθωσαν αὐτῆς καθ' ὑπόθεσιν καὶ τὰ μύρια καὶ πᾶς ἄλλος ἀριθμός. εἰ οὖν ταῦθ' οὕτως, πῶς ἐστι δυνατὸν λέγειν ὅτι τὸ πολὺ καὶ ὀλίγον στοιχεῖόν ἐστι τῶν ἀριθμῶν; ὥσπερ γὰρ τὸ πῦρ καὶ ὁ ἀὴρ καὶ τὸ ὕδωρ καὶ ἡ γῆ στοιχεῖα ὄντα τοῦ ἀνθρώπου ἐν παντὶ ἀνθρώπῳ εἰσὶ καὶ οὐδείς ἐστιν ἄνθρωπος ᾧ μὴ τὰ τέσσαρα ταῦτα πρόσεστιν, οὕτως εἰ ἦσαν τὸ πολὺ καὶ ὀλίγον στοιχεῖα τῶν ἀριθμῶν, ἐν παντὶ ἂν ἀριθμῷ εὑρίσκοντο. νῦν δὲ τὸ μὲν ὀλίγον κατ' αὐτοὺς ἔνεστιν ἐν τῇ δυάδι, τὸ δὲ πολὺ οὔ, καὶ πάλιν τὸ μὲν πολὺ ἐν τῇ δεκάδι, τὸ δὲ ὀλίγον οὐδαμῶς. οὐκ ἄρα τὸ πολὺ καὶ ὀλίγον στοιχεῖόν εἰσι τῶν ἀριθμῶν· εἰ γὰρ ἦσαν, ἢ ἀμφοτέρων καὶ τῆς δυάδος καὶ τῆς δεκάδος κατηγορεῖτο ἂν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον, ἢ οὐδενός, καὶ οὐχὶ τὸ μὲν ὀλίγον τῆς δυάδος τὸ δὲ πολὺ τῆς δεκάδος· οὕτω γὰρ συνέβαινε καὶ τὸ πῦρ στοιχεῖον ὂν τοῦ Σωκράτους μὴ εἶναι καὶ τοῦ Πλάτωνος.

p. 1088b14 Ἁπλῶς δὲ δεῖ σκοπεῖν ἆρα δύναται τὰ ἀίδια ἐκ στοιχείων συγκεῖσθαι.

Δείξας ἐν τῷ Α τῆς Περὶ οὐρανοῦ πραγματείας ὅτι τὸ δυνάμει πῦρ ὅταν ἐκβαίῃ εἰς ἐνέργειαν καὶ γένηται πῦρ, οὐκ ἀπώλεσε τὴν δύναμιν ἣν εἶχε πρὸ τοῦ πῦρ γενέσθαι, ἀλλὰ καὶ μετὰ τὸ γεγενῆσθαι πῦρ πάλιν φυλάττει αὐτὴν. καὶ δύναται μεταβαλεῖν εἰς ἐκεῖνο ἐξ οὗ εἰς πῦρ μεταβέβληκεν, ἐνταῦθα ζητεῖ εἰ δυνατὸν τοὺς ἀριθμοὺς ἐκ στοιχείων γεγονότας, δυνάμει ὄντων ἀριθμῶν, ἀιδίους εἶναι. καί φησιν ἆρα δυνατὸν τὰ ἀίδια ἐκ στοιχείων συγκεῖσθαι, τουτέστιν ἆρα δυνατὸν τὰ ἐκ στοιχείων συγκείμενα ἀίδια εἶναι; καὶ ἐρωτήσας ἐπαγαγεῖν τὸ ἀδύνατον αὐτὸς τοῦτο παραλιπὼν τὴν αἰτίαν τοῦ ἀδύνατον εἶναι τὰ στοιχεῖα συγκείμενα ἀίδια εἶναι ἐπήγαγε διὰ τοῦ ὕλην γὰρ ἕξει, καὶ τὴν ἀνάγκην τοῦ τὰ ἐκ στοιχείων ὕλην ἔχειν πάλιν ἐδήλωσε διὰ τοῦ σύνθετον γὰρ πᾶν τὸ ἐκ στοιχείων. καὶ ὅτι μὲν τὰ ἐκ στοιχείων σύνθετα δῆλον· | ὅτι δὲ καὶ τὰ ὕλην ἔχοντα 783 οὐκ ἀίδια μετ' ὀλίγον δείξει. ἀλλὰ μὴν καὶ ὅτι τὰ ἐκ στοιχείων ὕλην ἔχει δῆλον· εἰ γὰρ τὸ ἐκ στοιχείων σύνθετον, πᾶν δὲ σύνθετον ἐξ ὕλης καὶ εἴδους, φανερὸν ὅτι τὸ ἐκ στοιχείων ὕλην ἔχει. συλλογιστέον οὖν ὧδε

---

8 μυρία L 13 ἂν L: ἓν A εὑρίσκοντο L: εὑρίσκονται A 16 κατηγορεῖτο A: κατηγοροῖτο L 20 δύναται] δυνατὸν Metaph., cf. 27 et 28 22 ἐν τῷ A τῆς Περὶ οὐρανοῦ] c. 12 24 γεγενῆσθαι L: γενέσθαι A 29 ante ἐπαγαγεῖν addendum πρὸ τοῦ coni. Bonitz 31 τὰ ἐκ L coni. Bonitz: κατὰ ἐκ A 33 τὰ (ante ἐκ) A: om. L 33 ὅτι δὲ — δῆλον (35) LM: om. A

πῃ. οἱ ἀριθμοὶ ἐκ στοιχείων· τὰ ἐκ στοιχείων σύνθετα· τὰ σύνθετα ὕλην ἔχει· οἱ ἀριθμοὶ ἄρα ὕλην ἔχουσι. τὰ δὲ ἔχοντα ὕλην οὐκ ἀίδια· οἱ ἀριθμοὶ ἄρα οὐκ ἀίδια. καὶ δείκνυσιν ὅτι τὰ ὕλην ἔχοντα οὐκ ἀίδια διὰ τοῦ εἰ τοίνυν ἀνάγκη ἐξ οὗ ἐστιν, εἰ καὶ ἀεί ἐστι κἂν εἰ ἐγίνετο. ὃ δὲ λέγει τοιοῦτόν ἐστι. πᾶν τὸ ἔκ τινος γεγονός, εἴτε γέγονε καὶ ἀρχὴν ἔσχε τοῦ εἶναι τὸ ἐξ οὗ ἐγένετο εἴτε μὴ γέγονεν ἀλλὰ ἀεὶ ἦν, ἀνάγκη ἐκ τούτου ἐξ οὗ ἐστι γίνεσθαι. πᾶν δὲ τὸ ἔκ τινος γενόμενον ἐκ δυνάμει ὄντος τοιούτου γέγονεν· ὁ γὰρ ἀὴρ ἐκ τοῦ δυνάμει ὄντος ἀέρος γέγονεν, ὅλως οὐδέν ἐστιν ὃ ἐκ τοῦ ἀδυνάτου γίνεται. ὥστε καὶ οἱ ἀριθμοί, εἰ ἐκ τοῦ μεγάλου καὶ μικροῦ γεγόνασιν, εἴτε γέγονέ ποτε τὸ μέγα καὶ μικρὸν εἴτε καὶ ἀεὶ ἦσαν, δυνάμει ὄντων ἀριθμῶν τοῦ μεγάλου καὶ μικροῦ γεγόνασιν οἱ ἀριθμοὶ ἐξ αὐτῶν· τὸ δὲ δυνάμενον εἶναι ἀριθμὸς δύναται, κἂν ὅτι μάλιστα δώσομεν ἀεὶ εἶναι τοὺς ἀριθμούς, ὅμως δύνανται μὴ εἶναι, διὰ τὸ τὴν ὕλην, ἐξ ἧς γεγόνασι, τὴν δύναμιν ἔχειν ἣν καὶ πρὸ τοῦ μεταβαλεῖν εἰς τοὺς ἀριθμοὺς εἶχεν. ὥσπερ γὰρ τὸ ἐν μιᾷ ἡμέρᾳ καὶ γεγονὸς καὶ φθαρὲν ζῷον (εἴρηται γὰρ ἐν τοῖς Περὶ ζῴων ὅτι εἰσί τινα ζῷα ὧν ἡ ζωὴ μία ἡμέρα ἐστίν), ὥσπερ οὖν τὸ τοιοῦτον ζῷον τοῦ μακροβιωτάτου κατὰ τὸ δύνασθαι μὴ εἶναι οὐδὲν διαφέρει, ἀλλ' εἰ ἄρα, κατὰ μόνην τὴν ζωήν, ὅτι τοῦ μέν ἐστιν ἡ ζωὴ μακραίων τοῦ δὲ βραχεῖα, οὕτως καὶ τὸ τοσοῦτον χρόνον δυνάμενον εἶναι, οὗ χρόνου πέρας εὑρεῖν τις οὐ δύναται, δύναμιν ἔχει τοῦ μὴ εἶναι. εἰ δὲ τοῦτο, καὶ αἱ ἰδέαι, κἂν ἀεὶ ὦσιν, ἀλλὰ δύναμιν ἔχουσι τοῦ μὴ εἶναι· ἢ οὖν φθαρήσονται, ἐπεὶ τὴν τοῦ φθαρῆναι δύναμιν ἔχουσιν, ἢ εἰς ἄπειρον ἕξουσι τὸ δυνάμει. ἀλλὰ μὴν δέδεικται ἐν τῇ Περὶ οὐρανοῦ ὅτι οὐδεμία δύναμις ἄπειρον χρόνον εἶναι δύναται, ἀλλ' ἐκβαίνει ποτὲ εἰς ἐνέργειαν (ταύτην γὰρ τὴν πραγματείαν ἠνίξατο διὰ τοῦ καθάπερ ἐν ἄλλοις συνέβη πραγματευθῆναι)· φθαρήσονται ἄρα αἱ ἰδέαι. ἔστιν οὖν ἡ συναγωγὴ τοῦ λόγου τοιαύτη· οἱ εἰδητικοὶ ἀριθμοὶ σύνθετοί εἰσι, τὰ σύνθετα ὕλην ἔχει, τὰ ὕλην ἔχοντα δύνανται μὴ εἶναι, τὰ δυνάμενα μὴ εἶναι οὐκ ἀίδια· οἱ ἀριθμοὶ ἄρα οὐκ ἀίδιοι. ὥστε, φησίν, εἰ καθόλου ἀληθὲς τὸ νῦν λεγόμενον ὅτι οὐδεμία οὐσία ἀίδιός ἐστιν, εἰ μὴ εἴη ἐνέργειά τις πάντῃ ἀμοιροῦσα τοῦ δυνάμει καὶ ὕλης, οἱ δὲ εἰδητικοὶ ἀριθμοὶ ὕλην ἔχουσιν, οὐκ ἂν εἴη εἰδητικὴ οὐσία ἀίδιος· αὐτὸς δὲ ἀντὶ τούτου ἐπήγαγε τὸ ἀντιστρέφον πρὸς αὐτὸ | εἰπὼν οὐδεμιᾶς ἂν εἴη 784 ἀιδίου οὐσίας στοιχεῖα. εἰ γὰρ ὧν ἐστι στοιχεῖα ταῦτα οὐκ ἀίδια, ἃ ἂν ἄρα εἴη ἀίδια, τούτων οὐκ ἂν εἴη στοιχεῖα ἐξ ὧν ἔσται ἐνυπαρχόντων αὐτοῖς.

Ταῦτα εἰπὼν λέγει εἰσὶ δέ τινες οἳ πρῶτον μὲν στοιχεῖόν φασι τὸ ἕν, μετὰ δὲ τοῦτο τάττουσι τὴν ἀόριστον δυάδα, τὸ δὲ ἄνισον δυσχεραίνουσι καὶ ἀποδοκιμάζουσι διὰ τὸ δεδιέναι τὰ συμβαίνοντα δυσχερῆ

---

9 post ὅλως addendum τε 12 "δύναται fort. omittendum" Bonitz 15 εἶχεν A: εἶχον L 15. 16 καὶ—ζῷον A: γεγονὸς ζῷον καὶ πάλιν φθαρὲν L 16 ἐν τοῖς Περὶ ζῴων] Histor. anim. E 19 p. 552b 17 sqq. 23. 24 ἐν τῇ Περὶ οὐρανοῦ] A 12 26 ἐν ἄλλοις] sic etiam Metaph. cod. E: ceteri addunt λόγοις 32 εἰδητικὴ L: εἰδητικοὶ A

καὶ ἀδύνατα τοῖς τὸ ἄνισον τιθεμένοις· οἵ τινες (οἱ τὴν ἀόριστον δυάδα δεύτερον μετὰ τὸ ἓν στοιχεῖον λέγοντες) μόνα τὰ συμβαίνοντα δυσχερῆ καὶ ἀδύνατα τοῖς τὸ ἄνισον τιθεμένοις διαδιδράσκουσιν, ὅσα δὲ ἰδίως ἕπεται τῇ δόξῃ ταύτῃ τῇ τὴν ἀόριστον δυάδα λεγούσῃ, τούτοις ἅπασιν ἔνοχοί εἰσι, κἄντε τὸν εἰδητικὸν ἀριθμὸν ἐκ τῆς τοιαύτης δυάδος γεννῶσι κἄντε τὸν μαθηματικόν.

p. 1088b35 Πολλὰ μὲν οὖν τὰ αἴτια τῆς ἐπὶ ταύτης τῆς αἰτίας ἐκτροπῆς.

Τοῦ ἀρχὰς τῶν ὄντων αὐτοῖς ἐπελθεῖν τὸ μέγα καὶ μικρὸν ὑποθέσθαι ἢ τὴν ἀόριστον δυάδα ἢ τὸ ὑπερέχον καὶ ὑπερεχόμενον, πολλὰ μέν, φησί, καὶ ἄλλα ἐστὶ τὰ αἴτια, μάλιστα δὲ τὸ ἀπορῆσαι ἀρχαϊκῶς καὶ εὐήθως. τοῦ γὰρ Παρμενίδου ἓν βοῶντος τὸ ὂν καὶ λέγοντος ὡς εἰ μή ἐστι τὸ ὂν ἓν ἀλλὰ πολλά, ἀνάγκη εἶναι καὶ τὸ παρὰ τὸ ὄν, πᾶν δὲ τὸ παρὰ τὸ ὂν μὴ ὄν ἐστιν, ἀνάγκη ἄρα εἶναι καὶ τὸ μὴ ὄν, ἵνα ἐκ τοῦ ὄντος καὶ μὴ ὄντος πολλὰ εἴη τὰ ὄντα, — ταῦτα τοῦ Παρμενίδου λέγοντος ἐθορυβοῦντο καὶ ὁμόσε χωροῦντες τῇ ἀπορίᾳ ἔλεγον ὡς ἔστι καὶ ἄλλο τι, τοῦτο δέ ἐστι τὸ μὴ ὄν. ἔδοξεν οὖν, φησίν, αὐτοῖς ὡς εἰ μὴ εἴη καὶ ἄλλο τι ἤτοι τὸ μὴ ὄν, ἵνα ἐκ τοῦ ὄντος καὶ τοῦ μὴ ὄντος εἴη πλῆθος, συμβήσεται τὰ ὄντα, αὐτό φημι τὸ ὄν, ἓν εἶναι. ἡ μὲν οὖν διάνοια αὕτη· ἐν δὲ τῇ λέξει τῇ οὐ γὰρ μήποτε τοῦτο μηδαμῇ εἶναι μὴ ἐόντα, ἀλλ' ἀνάγκη εἶναι τὸ μὴ ὄν, τοῦ Παρμενίδου οὔσῃ, αἱ δύο ἀποφάσεις ἀντὶ μιᾶς καταφάσεως κείμεναι καὶ τὸ ἀλλὰ ἀντὶ τοῦ ὥστε πλείστην ἀσάφειαν πεποιήκασι. δεῖ δὲ καὶ ὑπερβατῶς τὴν λέξιν ἀναγινώσκειν 'οὐ γὰρ μήποτε μὴ τοῦτο ἐόντα μηδαμῇ εἶναι, ὥστε ἀνάγκη τὸ μὴ ὂν εἶναι δεῖξαι'. τὸ δὲ λεγόμενον εἴη ἂν τοιοῦτον· οὐ γὰρ μήποτε μὴ τοῦτο, τουτέστιν οὐδαμῶς οὖν οὐδαμῶς συμβήσεται τοῦτο. ποῖον δὴ τοῦτο; τὸ τὰ ἐόντα (καὶ προσυπακουστέον τοῦ τὸ πολλὰ εἶναι) μηδαμῇ εἶναι, ἤτοι μὴ ὄντος τοῦ μηδαμῇ μὴ ὄντος· ὥστε ἀνάγκη ἐστὶ δεῖξαι ὡς ἔστι τὸ μὴ ὄν. οὐδαμῶς οὖν, φησὶν ὁ Παρμενίδης, οὐδαμῶς συμβαίνει πολλὰ εἶναι τὰ ὄντα, μὴ ὄντος τοῦ μηδαμῇ μηδενός· ὥστε δεικτέον ὅτι τὸ μηδαμῇ μὴ ὄν. ἀλλ' ἀδύνατον εἶναι τὸ μηδαμῇ ὄν· ἀδύνατον ἄρα καὶ τὸ πλῆθος λέγειν. θεὶς οὖν τὸν ἀπαιτοῦντα Παρμενίδειον λόγον, ὡς εἰ πολλά | ἐστι τὰ ὄντα, 785 ἀνάγκη δεῖξαι ὡς ἔστι καὶ τὸ μὴ ὄν, ὄν, φησί, καὶ μὴ δυνάμενοι λύειν ὡμολόγουν εἶναι τὸ μὴ ὄν, ὅπερ μὴ ὂν οἱ μὲν μέγα καὶ μικρὸν ἐκάλουν,

---

2 μετὰ τὸ ἓν cf. p. 804,38] μετὰ τοῦ ἑνὸς Metaph. 3 ἕπεται L: om. A 7 ταύτης τῆς] ταύτας τὰς Metaph.: idemque legit Alexander, cf. p. 806,2 10 ὑπερέχον καὶ om. L 11 ἀρχαϊκῶς L: καὶ ἀρχ. A 16 ἀπορίᾳ A: ἀποκρίσει L ὡς— ἄλλο τι om. L 20 οὐ γὰρ κτλ.] Parmen. fragm. v. 52 Mullach μηδαμῇ] δαῇς Metaph. vulg. 27 τοῦ τὸ L: τοῦτο A: τοῦ coni. Bonitz 28 μὴ (post μηδαμῇ) A: om. L 34 ἐκάλουν A: ἐλάλουν L

οἱ δὲ ὑπερέχον καὶ ὑπερεχόμενον, — θεὶς οὖν τὸν τοιοῦτον λόγον καὶ ἐνδειξάμενος τὴν ἐπὶ τὸ τοιαύτας ἀρχὰς τῶν ὄντων αὐτοὺς λέγειν ἐκτροπήν, αὐτὸς πρὸς τὸν Παρμενίδην ἀντιλέγει, ἐκείνων τοῦτο ποιῆσαι μὴ δυνηθέν- 5
τῶν, λέγων καίτοι πρῶτον μέν, ἐπειδὴ τὸ ὂν πολλαχῶς λέγεται (τὸ μὲν γὰρ οὐσία τὸ δὲ ποσὸν καὶ αἱ λοιπαὶ κατηγορίαι), ποῖον τούτων ὁ Παρμενίδης λέγει ὂν ἓν εἶναι, εἰ μὴ θήσομεν εἶναι καὶ τὸ μὴ ὄν; πότερον πάσας τὰς οὐσίας λέγει ἓν εἶναι, εἰ μή ἐστι τὸ μὴ ὄν; ἢ τὰς οὐσίας καὶ τὰ πάθη καὶ τὰ ἄλλα πάντα ἓν εἶναι λέγει, εἰ μή ἐστι τὸ μὴ ὄν; λέγει 10
δὲ τόδε τι τὴν οὐσίαν, τοιόνδε δὲ τὸ ποιόν, τοσόνδε δὲ τὸ ποσόν. ἀλλ' ἄτοπον, φησί, τὸ λέγειν ὡς εἰ γένηται μία τις φύσις (λέγων μίαν φύσιν τὸ μὴ ὄν), ἔσται τοῦ ὄντος τὸ μὲν οὐσία τὸ δὲ ποιὸν τὸ δὲ ποσόν, τουτέστιν ἔσται πολλὰ τὰ ὄντα. ἀδύνατον οὖν ὡς ἀληθῶς τὸ λέγειν ὡς εἰ ἔστι τὸ μὴ ὄν, ἔσονται πολλὰ τὰ ὄντα, εἰ δὲ μή ἐστιν, ἓν ἔσται τὸ ὄν· τίς γὰρ εὖ λέγων ποιητικὸν ἂν εἴποι αἴτιον τὸ μὴ ὂν τοῦ εἶναι πολλὰ τὰ 15
ὄντα; καὶ πρῶτον μὲν τοῦτο. ἔπειτα ἐπειδὴ ὥσπερ τὸ ὂν πολλαχῶς λέγεται, οὕτω καὶ τὸ μὴ ὄν (λέγεται γὰρ καὶ ὁ μὴ ἄνθρωπος μὴ ὂν καὶ σημαίνει ἀπόφασιν ἀνθρώπου, καὶ τὸ μὴ εὐθὺ τὸ μὴ ἔχον ὠδὶ ἀλλ' ὠδί, καὶ τὸ μὴ εἶναι τρίπηχυ τὸ μὴ εἶναι τοσονδί), ἐπεὶ οὖν, ὡς εἴρηται, καὶ τὸ ὂν καὶ τὸ μὴ ὂν πολλαχῶς λέγεται, ἐκ ποίου ὄντος καὶ μὴ ὄντος πολλὰ εἶναι ὁ Πλάτων λέγει τὰ ὄντα; ἐπειδὴ δὲ ὅπερ μὴ ὂν ἔλεγεν ὁ 20
Πλάτων, τοῦτο καὶ ψεῦδος ἐκάλει, βούλεται μὲν ἐκ τοῦ ὄντος καὶ τοῦ ψεύδους πολλὰ τὰ ὄντα ποιεῖν. εἰ γὰρ τὰ ὄντα ἐκ τοῦ ὄντος καὶ μὴ ὄντος, τὸ δὲ μὴ ὂν ψεῦδος, τὰ ὄντα ἄρα ἐκ τοῦ ψεύδους καὶ τοῦ ὄντος. ἐν δὲ τῇ λέξει τῇ καὶ ταύτην τὴν φύσιν λέγει τὸ οὐκ ὂν τὸ λεγόμενον ἴσον ἐστὶ τῷ καὶ τὸ οὐκ ὂν ταύτην τὴν φύσιν λέγει, ἀντὶ τοῦ τὸ οὐκ ὂν ταὐ- 25
τὸν ἡγεῖται τῇ τοῦ ψεύδους φύσει. ἐπεὶ δὲ πάνυ τραχύτατον ἐδόκει τὸ λέγειν ὅτι ἐκ τοῦ ψεύδους γίνεται τὰ ὄντα, ὥσπερ ἀπολογούμενος λέγει 'ὥσπερ γὰρ οἱ γεωμέτραι ψευδῆ λαμβάνοντες ἐν τῷ τὴν μὴ ποδιαίαν λέγειν ποδιαίαν οὐδέν τι ψεῦδος συνάγουσιν, ἀλλὰ πάντῃ ἀληθῆ, τί κωλύει καὶ ἡμᾶς ἐκ τοῦ ψεύδους συνάγειν πολλὰ τὰ ὄντα;' πρὸς οὖν τοῦτο ἀπαντῶν 30
λέγει ὅτι ἀδύνατον τοῦθ' οὕτως ἔχειν. οὔτε γὰρ οἱ γεωμέτραι ψεῦδός τι ὑποτίθενται· οὐ γὰρ ἐν τῇ γραφομένῃ γραμμῇ μὴ οὔσῃ δὲ ποδιαίᾳ τὴν ἀπόδειξιν ποιοῦνται, ἀλλ' ἐν τῇ νοουμένῃ καὶ ὄντως οὔσῃ ποδιαίᾳ, ταύτην δὲ γράφουσι χάριν αἰσθήσεως. τὸ γὰρ οὐ γὰρ ἐν τῷ συλλογισμῷ ἡ πρότασις ἴσον ἐστὶ τῷ οὐ γὰρ ἡ προτεινομένη καὶ γραφομένη γραμμὴ ἐν τῷ | συλλογισμῷ καὶ τῇ ἀποδείξει παραλαμβάνεται, ἀλλ' ἡ 786
νοουμένη. οὔτε δὴ οἱ γεωμέτραι ψεῦδος λαμβάνουσιν, οὔτε ἐκ τοῦ οὕτω μὴ ὄντος τοῦ τῷ ψεύδει ἰσοδυναμοῦντος τὰ ὄντα ἢ γίνεται ἢ εἰς τοῦτο φθείρεται. ἀλλ' ἐπειδὴ τὸ κατὰ τὰς πτώσεις, ἤτοι ἓν ἕκαστον μὴ ὄν (λέγει δὲ τὸ καθόλου μὴ ὄν, κατὰ τὰς πτώσεις δὲ μὴ 5

---

3 ἀντιλέγει A: ἀντιλέγειν L 11 τὸ μὲν οὐσία A: τὸ om. L 24 λέγει] λέγειν Metaph. 29 πάντῃ Bonitz: παντὶ LM: A quid habeat dubium est 37 οὔτε δὴ A: οὔτε δὲ L 40 fort. καθόλου μὲν ὄν

ὄν τὰ καθ' ἕκαστα), ἐπεὶ οὖν τὸ τοιοῦτον μὴ ὂν ἰσαχῶς λέγεται ταῖς κατηγορίαις, ἔστι δὲ παρὰ τὰ ἰσαχῶς λεγόμενα ταῖς κατηγορίαις μὴ ὄντα καὶ τὸ ὡς ψεῦδος μὴ ὂν καὶ τὸ δυνάμει, ἐκ τοῦ δυνάμει, φησί, μὴ ὄντος ἐστὶν ἡ γένεσις· ἐκ τοῦ γὰρ ἐνεργείᾳ μὲν ὄντος σπέρματος, μὴ
5 ὄντος δὲ ἀνθρώπου ὁ ἐνεργείᾳ ἄνθρωπος γίνεται, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, καὶ εἴτε ἕν ἐστι τὸ ὄν, ὡς ὁ Παρμενίδης βούλεται, εἴτε πολλά, 10 ὡς ἡ ἀλήθεια, ἐκ τοῦ δυνάμει μὴ ὄντος τὰ γινόμενα ἀναγκαῖον γίνεσθαι ἀλλ' οὐκ ἐκ τοῦ ψεύδους. ὅτι δὲ τὸ μὴ ὂν ἰσαχῶς ταῖς κατηγορίαις λέγεται δῆλον· καὶ γὰρ ἐν οὐσίᾳ τὸ μὴ ὂν θεωρεῖται (ἡ γὰρ οὐσία οὐκ ἔστι
10 ποσόν) καὶ ἐν ποσῷ (τὸ γὰρ ποσὸν οὐκ ἔστιν οὐσία) καὶ ἐν ταῖς ἄλλαις ὁμοίως.

p. 1089a31 Φαίνεται δὲ ἡ ζήτησις πῶς πολλὰ τὸ ὂν τὸ κατὰ τὰς οὐσίας λεγόμενον.

Τοῦ Παρμενίδου ἓν τὸ ὂν καὶ ἀγέννητον ἀποφαινομένου, τοῦ δὲ Πλά- 15
15 των τοῦτο μὴ ἀποδεχομένου, ἀλλὰ πολλὰ τὰ ὄντα λέγοντος καὶ τὴν αἰτίαν εἰπεῖν ζητοῦντος τοῦ ὅπως πολλά ἐστι τὰ ὄντα καὶ οὐχ ἕν, ὡς ὁ Παρμενίδης βούλεται, λέγει ὁ Ἀριστοτέλης ὅτι οὐ καθόλου περὶ παντὸς ὄντος τοῦ τε ἐν οὐσίᾳ τοῦ τε ἐν ποσῷ τοῦ τε ἐν ποιῷ ὄντος καὶ τοῖς λοιποῖς θεωρουμένου τὴν ζήτησιν ὁ Πλάτων ἐποιεῖτο πῶς τούτων ἕκαστον πολλά 20
20 ἐστιν, ἀλλὰ μόνον τοῦτο ἐζήτει ὅτι πῶς τὸ ὂν τὸ ὡς οὐσία λεγόμενον πολλά ἐστιν, καὶ τὴν αἰτίαν τοῦ πῶς ἐζήτει, διὰ τί πολλαὶ οὐσίαι εἰσί, περὶ δὲ τῶν ἄλλων κατηγοριῶν οὐδένα λόγον ἐποιεῖτο, συντόμως ἐπήγαγεν εἰπὼν ἀριθμοὶ γὰρ καὶ μήκη τὰ γεννώμενά ἐστιν, ὃ ταὐτόν ἐστι τῷ ἃ γὰρ ἐκ τῶν ἀρχῶν τοῦ μεγάλου καὶ μικροῦ καὶ τοῦ ἀρχικοῦ ἑνὸς
25 κατ' αὐτοὺς γίνεται, ἀριθμοὶ καὶ μήκη καὶ σώματά εἰσιν, ἅπερ πάντα τά 25 τε μήκη καὶ οἱ ἀριθμοὶ αἱ κυριώτατα καὶ πρώτως καὶ μάλιστα οὐσίαι, ὡς αὐτός φησιν, εἰσίν. ὥστε εἴπερ τὸ πολλὰ εἶναι τὰ ὄντα κατεσκεύαζε διὰ τοῦ γένεσιν τοῖς οὖσιν εἰσάγειν, τὴν δὲ γένεσιν ἐκ τοῦ μικροῦ καὶ μεγάλου καὶ τοῦ ἑνὸς ἐποίει, πᾶν δὲ τὸ ἐκ μικροῦ καὶ μεγάλου, ὡς αὐτός
30 φησιν, ἢ ἀριθμὸς ἢ μέγεθος, πᾶς δὲ ἀριθμὸς καὶ μέγεθος καὶ μῆκος οὐσία 30 (τοῦτο γὰρ βούλεται καὶ λέγει), εἰ οὖν ταῦθ' οὕτως ἔχοι, δῆλός ἐστιν, ὡς τοῦ πῶς πολλαὶ αἱ οὐσίαι τὴν ζήτησιν ἐποιεῖτο. εἰ γάρ, ὅσα γίνεται, ἐκεῖνα καὶ πολλά ἐστι, γίνονται δὲ μόνοι οἱ ἀριθμοὶ καὶ τὰ μεγέθη, μόνοι ἄρα οἱ ἀριθμοὶ καὶ τὰ μεγέθη ἤτοι αἱ οὐσίαι πολλά εἰσι, καὶ περὶ τούτων
35 μόνων ὁ Πλάτων τὴν ζήτησιν ἐποιεῖτο. ἄτοπον δὲ τὸ ζητεῖν πῶς μὲν 35 πολλὰ τὸ ὂν τὸ τί ἐστι, τουτέστι πῶς μὲν πολλὰ τὸ ὂν τὸ ὡς οὐσία λεγόμενον (ἔθος γὰρ αὐτῷ τὴν οὐσίαν δηλοῦν διὰ τοῦ τί ἐστιν), ἄτοπον 787 οὖν τὸ ζητεῖν πῶς μὲν οὐσίαι πολλαί εἰσι, πῶς δὲ ποσὰ πολλὰ ἢ ποιὰ μὴ

---

3 μὴ ὄν] sic etiam Metaph. cod. T: τὸ μὴ ὂν Metaph. vulg. 14 ἀγέννητον LM: ἀγένητον A 24 καὶ μικροῦ A: καὶ τοῦ μικροῦ L 26 κυριώτατα L: κυριώταται A 30 πᾶς L: πῶς A 32 αἱ οὐσίαι A: αἱ om. L 34 πολλά A: πολλαί L

ζητεῖν. οὐ γὰρ ἂν εἴποιεν οἱ περὶ Πλάτωνα ὅτι τὸ μέγα καὶ μικρὸν ἢ ἡ ἀόριστος δυάς ἐστιν αἰτία τοῦ εἶναι δύο λευκὰ ἢ πολλὰ χρώματα ἢ χυμοὺς πολλοὺς καὶ σχήματα. οὐδὲν γὰρ κατ' αὐτοὺς ἐκ τῆς ἀορίστου δυάδος ἢ τοῦ μεγάλου καὶ μικροῦ γενέσθαι δύναται ἢ χυμὸς ἢ σχῆμα, ἀλλὰ πᾶν τὸ ἐκ τούτων ἀριθμὸς καὶ μέγεθος ἤτοι οὐσία ἐστίν. εἰ δὲ ἦσαν οἱ χυμοὶ καὶ τὰ σχήματα ἐκ τοῦ μεγάλου καὶ μικροῦ, ἀριθμοὶ καὶ οὐσίαι ἂν ἦσαν, ὅπερ, τὸ τοὺς χυμοὺς οὐσίας εἶναι, οὐδὲ οὗτοι βούλονται. εἰπὼν δὲ ὅτι ἀριθμοὶ ἂν ἦσαν, ἐπήγαγε καὶ μονάδες, δηλονότι διὰ τὸ τοὺς ἀριθμοὺς μηδὲν ἄλλο εἶναι ἢ πλῆθος μονάδων. εἰ γὰρ οἱ χυμοὶ ἀριθμοί, οἱ δὲ ἀριθμοὶ μονάδες, οἱ χυμοὶ ἄρα μονάδες. ὥστε εἴπερ ἐζήτει (τοῦτο γὰρ δηλοῖ τὸ ἐπῆλθεν) τὴν αἰτίαν τοῦ πῶς πολλοὶ χυμοὶ καὶ πολλὰ χρώματά εἰσιν, οὐκ ἂν τὸ μέγα καὶ τὸ μικρὸν ᾐτιάσατο τῆς τῶν οὐσιῶν γενέσεως, ἀλλ' εἶδεν ἂν τὸ αἴτιον καὶ τὸ ἐν ἐκείνοις, τουτέστι πρὸς τῷ ἰδεῖν τὴν αἰτίαν δι' ἣν εἰσι πολλοὶ χυμοὶ καὶ χρώματα καὶ σχήματα (τοῦτο γὰρ ἐμφαίνει διὰ τοῦ καί συνδέσμου τοῦ καὶ τὸ ἐν ἐκείνοις), πρὸς οὖν τῷ ἰδεῖν διὰ τί εἰσι πολλοὶ χυμοὶ εἶδεν ἂν καὶ τὸ ἐν ἐκείνοις, ἤτοι τὸ συνὸν ταῖς οὐσίαις καὶ ποιοῦν αὐτὰς πολλάς, τοῦτο δ' ἐστὶν ἡ ἑκάστου ὕλη. εἰπὼν δὲ ὡς εἴπερ ἐζήτει διὰ τί εἰσι πολλοὶ χυμοὶ καὶ πολλὰ χρώματα, πρὸς τῷ γνῶναι τοῦτο ἔγνω ἂν καὶ τὴν κυριωτάτην αἰτίαν τοῦ πῶς εἰσι πολλαὶ οὐσίαι, καὶ οὐκ ἂν τὸ μέγα καὶ μικρὸν ᾐτιᾶτο, λέγει αὐτὸς τί ποτέ ἐστι τὸ αἴτιον τοῦ εἶναι πολλὰς οὐσίας καὶ πολλὰ ποσὰ καὶ ποιὰ καὶ πρός τι διὰ τοῦ τὸ γὰρ αὐτὸ καὶ τὸ ἀνάλογον αἴτιον, τουτέστιν ἡ ἑκάστου ὕλη καὶ τὸ εἶδος, ἅπερ τὰ αὐτὰ τῷ ἀνάλογόν εἰσιν, ὡς ἐν τῷ Λ δέδεικται. τὸ δὴ ἑκάστου εἶδος καὶ ἡ ὕλη αἴτια τοῦ εἶναι καὶ οὐσίας πολλὰς καὶ ποσὰ καὶ ποιὰ καὶ τὰ λοιπά. εἰπὼν δὲ ταῦτα ἐπιφέρει ὅτι ἡ παρέκβασις ἤτοι τὸ παρεκβῆναι καὶ καταλιπεῖν καὶ μὴ ζητῆσαι διὰ τίνα ποτὲ αἰτίαν εἰσὶ πολλοὶ χυμοὶ καὶ χρώματα, πεποίηκεν αὐτοὺς τὸ πρός τι (καὶ σαφηνίζων τί ἐστιν ὅπερ εἴρηκε πρός τι ἐπήγαγε καὶ τὸ ἄνισον) τοῦ εἶναι οὐσιῶν πλῆθος αἴτιον λέγειν, ἀλλὰ καὶ τὸ βούλεσθαι τὴν τῶν ὄντων γένεσιν ἐκ τῶν ἐναντίων εἶναι. βουλόμενοι γὰρ τὴν γένεσιν ἐκ τῶν ἐναντίων ποιεῖν, καὶ λέγοντες ὅτι τὸ εἰδικὸν αἴτιον τὸ ἓν καὶ τὸ ὄν ἐστιν, ἐζήτουν τί ποτέ ἐστι τὸ ἀντικείμενον ὡς τὰ ἐναντία τῷ ἑνὶ καὶ τῷ ὄντι, ἵνα ἐκ τούτων τοῦ ἑνὸς καὶ τοῦ ὄντος καὶ τῶν ἀντικει|μένων 788 τούτοις εἴη τὰ ὄντα. καὶ ζητοῦντες ἀπερισκέπτως εἰρήκασιν ὅτι τὸ ἀντικείμενον τῷ ἑνὶ καὶ τῷ ὄντι ὡς τὰ ἐναντία τὸ ἄνισόν ἐστιν, ὅπερ ἄνισον οὔτε ἐναντίον ἐστὶ τῷ ἑνὶ καὶ τῷ ὄντι οὔτε ἀπόφασις αὐτῶν· τοῦ

---

1 καὶ A: καὶ τὸ L 5 μέγεθος A: μεγέθη L 8 μονάδες Bonitz: μονάδα libri 11 δηλοῖ L: δῆλον A ἐπῆλθεν] sic etiam Metaph. E: ἐπῆλθον Metaph. vulg. καὶ πολλὰ L: post καὶ add. πῶς A 13 εἶδεν A: οἶδεν L: εἶδον Metaph. 14 πολλοὶ—διὰ τί (16) A: om. L 16 πρὸς οὖν τῷ Bonitz: πρὸ οὖν τοῦ A 19 πρὸς τῷ coni. Bonitz: πρὸς τὸ libri αἰτίαν L: οὐσίαν A 21 αὐτὸς L: αὐτὸ A 22 καὶ τὸ L: τὸ om. A 24 ἐν τῷ Λ] c. 4 p. 1070b17 28 καὶ τὸ L, sed καὶ rursus del.: τὸ τὸ A 30 ὄντων L: οὐσιῶν A 34 ζητοῦντες A: ζητοῦντι L 36 καὶ τῷ L: τῷ om. A

γὰρ ἑνὸς ἀπόφασις τὸ οὐχ ἓν ἀλλ' οὐ τὸ ἄνισον, ὁμοίως καὶ τοῦ ὄντος τὸ οὐκ ὄν· ὥστε εἰ πᾶν τὸ γενόμενον ἢ ἐκ τοῦ ἐναντίου αὐτῷ ἢ τοῦ μεταξὺ ἢ ἐκ τῆς οἰκείας ἀποφάσεως γίνεται, τὸ δὲ ἄνισον οὔτε ἐναντίον οὔτε ἀπόφασις τοῦ ἑνὸς καὶ τοῦ ὄντος, ψεῦδος τὸ λέγειν ὅτι διὰ τὸ ἐκ τοῦ ἑνὸς καὶ τοῦ ὄντος καὶ τοῦ ἀνίσου εἶναι τὰ ὄντα εἰσὶ πολλά. τὸ δὲ μία τε φύσις τῶν ὄντων εἴρηται ἀντὶ τοῦ ὥσπερ γὰρ τὸ τί ἤτοι ἡ οὐσία μία τε φύσις ἐστὶ καὶ κατηγορία τῶν ὄντων, ἄλλη δὲ τὸ ποσὸν καὶ ἄλλη τὸ ποιόν, οὕτω καὶ τὸ πρός τι. ἔδει οὖν ζητεῖν πῶς καὶ τὰ πρός τι πολλὰ καὶ οὐχ ἕν. εἰ γὰρ καὶ ὅτι μάλιστα συγχωρήσειέ τις ὅτι διὰ τὰ πρός τι ἤτοι τὸ ἄνισόν εἰσι πολλὰ τὰ ὄντα, ἀλλ' οὐκ ἂν καὶ ἑαυτοῖς αἴτια εἴη τοῦ πολλὰ εἶναι. ἔδει οὖν ζητεῖν πῶς πολλὰ τὰ πρός τι. νῦν δὲ πῶς μὲν πολλαὶ μονάδες παρὰ τὸ πρῶτον ἕν (λέγων πρῶτον ἓν τὸ αὐτοέν) ζητεῖται τοῖς περὶ Πλάτωνα, πῶς δὲ πολλὰ ἄνισα παρὰ τὸ αὐτοάνισον καὶ ὅλως πῶς πολλὰ τὰ πρός τι οὐ ζητεῖται, καὶ ταῦτα χρωμένων καὶ ὁμολογούντων ὡς εἰσι πολλὰ τὰ πρός τι· τὸ γὰρ μέγα καὶ μικρόν, ἐξ ὧν τὰ μεγέθη ποιοῦσιν, ἄνισον, ἀλλὰ καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον, ἐξ ὧν τοὺς ἀριθμούς, ἀλλὰ καὶ τὸ μακρὸν καὶ βραχύ, ἐξ ὧν τὸ μῆκος, ὁμοίως καὶ τὸ πλατὺ καὶ στενόν, ἐξ ὧν τὸ ἐπίπεδον, καὶ τὸ βαθὺ καὶ ταπεινόν, ἐξ ὧν τοὺς ὄγκους. ὅτι ⟨δὲ⟩ ἄνισά ἐστι καὶ πρός τι τὸ πλατὺ τὸ στενόν, τὸ βαθὺ τὸ ταπεινὸν καὶ τὰ λοιπὰ καὶ οὗτοι λέγουσι, καὶ οὐ μόνον ταῦτα ἀλλὰ καὶ ἄλλα πολλὰ εἴδη λέγουσι τοῦ πρός τι, ὧν τὴν αἰτίαν διὰ τί πολλά ἐστιν ἔδει αὐτοὺς ζητεῖν τε καὶ λέγειν. σὺ δέ, ὦ δαιμόνιε, τίνα φῂς αἰτίαν εἶναι τοῦ πολλὰ εἶναι τὰ πρός τι καὶ τὰ ἄλλα πάντα; ἤ, φησίν, ἀνάγκη ἐμὲ ὑποτίθεσθαί τε καὶ λέγειν ὅτι τὸ δυνάμει ὂν ἑκάστῳ, τουτέστι τὸ δυνάμει ποσὸν καὶ τὸ δυνάμει ποιὸν καὶ τὸ δυνάμει ὂν οὐσία καὶ ὅλως ἡ ἑκάστου ὕλη ἐστὶν αἰτία τοῦ πολλὰ εἶναι τὰ εἰρημένα. καὶ τοῦτο, φησί, καὶ ὁ Πλάτων ἐζήτησεν, εἰπὼν τί τὸ δυνάμει τόδε. καὶ σαφηνίζων τί σημαίνει τὸ τόδε, ἐπήγαγε τὸ καὶ οὐσία. ἐζήτησεν οὖν, φησί, καὶ ὁ Πλάτων τί ποτέ ἐστι τὸ δυνάμει ὂν οὐσία, μὴ ὂν δὲ καθ' αὑτὸ τόδε τι, οἷον ἓν καὶ ὄν (οὐσίαν γὰρ καὶ κυρίως οὐσίαν τὸ ἓν καὶ τὸ ὂν ὁ Πλάτων ἐκάλει), καὶ ζητήσας, φησίν, ἀπεφήνατο ὅτι τὸ πρός τι. δέον δὲ εἰπεῖν ὅτι τὸ μέγα καὶ μικρὸν ἢ τὸ ἄνισον ἢ τὴν ἀόριστον δυάδα, εἶπεν ὅτι τὸ πρός τι, διὰ τὸ πάντα ταῦτα ὑπὸ τὸ πρός τι τετάχθαι. ἀπεφήνατο οὖν, φησίν, ὅτι τὸ πρός τι ἐστὶ τὸ δυνάμει ὂν οὐσία, ἤτοι τὸ ὂν καὶ τὸ ἕν, ὥσπερ εἰ εἶπεν ὅτι τὸ ποιόν· ὥσπερ γὰρ τὸ ποιὸν | οὐκ ἔστι δυνάμει τὸ ὂν ἢ τὸ ἓν οὔτε ἀπόφασις τούτων, 789 οὕτως οὐδὲ τὸ πρός τι οὔτε ἐναντίον ἐστὶ τῷ ἑνὶ καὶ τῷ ὄντι οὔτε ἀντίκειται αὐτοῖς ὡς ἀπόφασις, ἀλλ' ἐστὶν ἓν τῶν γενικωτάτων γενῶν· ταῦτα γὰρ εἶπεν ὄντα.

---

8 τὸ (ante πρὸς) A: τὰ L 15. 16 καὶ μικρόν A: post καὶ add. τὸ L 19 δὲ add. Bonitz 25 ἑκάστῳ] ἕκαστον coni. Bonitz 33 πάντα A: om. L 35 τὸ ἕν L: τὸ om. A 36 οὐκ ἔστι L: οὐκέτι A 37 τῷ ἑνὶ A: καὶ τῷ ἑνὶ L

p. 1089ᵇ20 Πολύ τε μᾶλλον, ὥσπερ ἐλέχθη, εἰ ἐζήτει πῶς πολλὰ τὰ ὄντα, μὴ τὰ ἐν τῇ αὐτῇ κατηγορίᾳ ζητεῖν.

Πολὺ κάλλιον ἦν, φησί, ζητεῖν μὴ πῶς πολλὰ τὰ ὄντα τὰ ἐν τῇ αὐτῇ καὶ μιᾷ κατηγορίᾳ περιοριζόμενα, οἷον τὰ ἐν τῇ οὐσίᾳ, τὰ ἐν τῷ ποσῷ, ἀλλ' ἁπλῶς ζητεῖν περὶ πάντων τῶν ὄντων, οὐσιῶν παθῶν, ἤτοι ποιῶν ποσῶν πρός τι, πῶς ἕκαστον τούτων πολλά ἐστι. τοῦτο εἰπὼν λέγει ἐπὶ μὲν οὖν τῶν ἄλλων κατηγοριῶν, ἤτοι τῶν συμβεβηκότων, ἔχει καὶ ἄλλην τινὰ ἐπιστασίαν καὶ ἀπορίαν πῶς πολλά εἰσιν. ἀσάφειαν δὲ πολλὴν ἐνεποίησεν ἐπεμβαλών τινα μεταξὺ καὶ ἐλλιπῶς ἀπηγγελκὼς τὰ ἐπεμβληθέντα. εἴη δ' ἂν οἶμαι τὸ ἑξῆς τῆς λέξεως τοιοῦτον. ἐπὶ μὲν τῶν ἄλλων κατηγοριῶν τῶν παρὰ τὴν οὐσίαν ἔχει καὶ ἄλλην ἐπιστασίαν καὶ ἀπορίαν, πῶς πολλὰ ποσὰ καὶ πολλὰ ποιὰ εἶναι δυνατὸν λέγειν, διὰ τὸ μὴ χωριστὰ εἶναι τῶν ὑποκειμένων. εἶτα συναπτέον τούτοις τὸ τῷ τὸ ὑποκείμενον πολλὰ γίνεσθαι καὶ εἶναι, καὶ προσυπακουστέον τοῦ τῷ λόγῳ γὰρ τῷ ἐκ τοῦ ἀνίσου καὶ τοῦ ἑνὸς συγκεχωρήσθω ἡμῖν νῦν ἀληθῆ λέγειν· ἵν' ᾖ ἡ λέξις τοιαύτη 'τῷ γὰρ λόγῳ τῷ πολλὰ καὶ γίνεσθαι καὶ εἶναι τὸ ὑποκείμενον, ἤτοι τῷ λόγῳ τῷ πολλὰς καὶ γίνεσθαι καὶ εἶναι οὐσίας ἐκ τοῦ ἀνίσου καὶ τοῦ ἑνὸς λέγοντι συγκεχωρήσθω νῦν ἡμῖν ὡς ἀληθῆ λέγει.' ἔστιν οὖν ἡ σύμπασα λέξις (ῥητέον γὰρ καὶ πάλιν αὐτήν, ὅτι λίαν μεμελάνωται) τοιαύτη· ἐπὶ μὲν τῶν ἄλλων κατηγοριῶν τῶν παρὰ τὴν οὐσίαν ἔχει καὶ ἄλλην τινὰ ἐπιστασίαν καὶ ἀπορίαν, πῶς πολλὰ ποσὰ καὶ πολλὰ ποιὰ εἶναι δυνατὸν λέγειν, διὰ τὸ μὴ χωριστὰ εἶναι τῶν ὑποκειμένων· τῷ γὰρ λόγῳ τῷ πολλὰς καὶ γίνεσθαι καὶ εἶναι οὐσίας ἐκ τοῦ ἑνὸς καὶ τοῦ ἀνίσου λέγοντι συγκεχωρήσθω νῦν ἡμῖν ὡς ἀληθῆ λέγει. ἀλλὰ τὸ μὲν τῆς λέξεως οἶμαι τοιοῦτον. εἴη δ' ἂν καὶ τὸ λεγόμενον τοιοῦτον. τῷ μὲν λόγῳ τῷ γεννῶντι καὶ ποιοῦντι τὰς οὐσίας πολλὰς συγχωρήσειεν ἴσως ἄν τις, ἐπὶ δὲ τῶν συμβεβηκότων ἀπορήσειεν ἄν, πῶς οὐκ ὄντα τῶν ὑποκειμένων χωριστὰ μηδὲ ἔχοντα ὕλην, ἥτις δυνάμει οὖσα τὰ συμβεβηκότα κατὰ τὴν αὐτῆς μεταβολὴν τὰ συμβεβηκότα πολλὰ τοιαῦτα ποιήσει, ὅμως πολλά εἰσιν. εἰ μὲν γὰρ εἶχον ὕλην, δυνατὸν λέγειν ὅτι ἐκ τῆς ὕλης τῆς μὴ οὔσης μὲν δυναμένης δὲ γενέσθαι χρῶμα γέγονε χρῶμα, ὁμοίως καὶ ἐπὶ ποσοῦ καὶ ἐπὶ τῶν ἄλλων, νῦν δὲ τούτου μὴ ὄντος ἄπορον πῶς πολλά ἐστι τὰ συμβεβηκότα. ταύτην δὲ λύων οὕτως τὴν ἀπορίαν λέγει καίτοι δεῖ γε ὕλην τινὰ εἶναι ἑκάστῳ γένει, τουτέστιν ἀνάγκη δὲ λέγειν ὅτι καὶ τὰ συμ|βεβηκότα ὕλην ἔχει, 790 ἐξ ἧς δυνάμει οὔσης τὰ συμβεβηκότα γίνεται καὶ πολλά ἐστι, πλήν, φησίν, οὐ χωριστὴν τῶν οὐσιῶν. οὔτε γὰρ ἡ ὕλη τῶν χρωμάτων (ἔστι δὲ

---

1 ἐζήτει] sic etiam Metaph. AᵇT, ἐζητεῖτο Metaph. vulg. 11 et 21 παρὰ A: περὶ L 14 καὶ εἶναι Bonitz, cf. 17 et 23: καὶ ἓν libri 19 ἡμῖν L: om. A λέγει A: λέγειν L 29. 30 τὰ συμβεβηκότα A: om. L 34 οὕτως L: οὕτος A 35 δὲ A: δεῖ L 36 καὶ A: τε καὶ L

ἡ ἐπιφάνεια τοῦ διαφανοῦς· αὕτη γὰρ ὁτὲ μὲν λευκὴ ὁτὲ δὲ μέλαινα ὑπὸ τοῦ κινοῦντος γίνεται, ὡς ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν δείκνυται), οὔτε οὖν ἡ τῶν χρωμάτων ὕλη χωριστὴ τῶν οὐσιῶν ἐστιν οὔτε ἡ τῶν χυμῶν (ἔστι δὲ ἡ τοῦ ὕδατος ὑγρότης· αὕτη γὰρ μιγνυμένη μετὰ τοῦ ξηροῦ, ὡς καὶ τοῦτο ἐν τῷ Περὶ αἰσθήσεως δείκνυται, καὶ συμπεττομένη ὑπὸ τοῦ θερμοῦ τοὺς χυμοὺς ἀπογεννᾷ) οὔτε ἄλλη τις τῶν συμβεβηκότων ὕλη χωριστὴ τῶν οὐσιῶν. συγχωρήσας οὖν τῷ λέγοντι λόγῳ πολλὰς τὰς οὐσίας διὰ τὸ ἐκ τοῦ ἀνίσου γίνεσθαι, καὶ εἰπὼν ὅτι περὶ δὲ τῶν συμβεβηκότων ἀπορήσειεν ἄν τις πῶς πολλά, καὶ λύσας τὴν ἀπορίαν, λέγει ὅτι ἐπὶ δὲ τῶν τόδε τι ἔχει τινὰ λόγον, δυνάμει λέγων ὅτι ἐπὶ μὲν τῶν συμβεβηκότων οὐδεμία τοῦ λοιποῦ ἀπορία πῶς πολλά, ἐπὶ δὲ τῶν τόδε τι ἤτοι ἐπὶ τῶν οὐσιῶν ἔχει τινὰ λόγον καὶ ἀπορίαν πῶς πολλαὶ αἱ οὐσίαι· οὐ γὰρ ὑγιὴς ἡ τοῦ Πλάτωνος λύσις τὸ ἄνισον αἰτιωμένου. ἀπορίαν οὖν ἔχει πῶς πολλὰ τὸ τόδε τι καὶ ἡ οὐσία ἐστίν, εἰ μὴ θήσομεν εἶναι καὶ τὸ τόδε τι εἶδός τι καὶ φύσιν τινά, δηλονότι ὕλην τοιαύτην, ἤτοι δυνάμει οὖσαν τὸ εἶδος. ἄπορον οὖν οὕτως καὶ ἄλυτον πῶς πολλαὶ αἱ οὐσίαι, εἰ μή τις ὁμολογήσειεν ὡς ἔστι καὶ εἴδη καὶ ὕλη δυνάμει οὖσα τὰ εἴδη. εἰ δέ τις ὁμολογήσειεν ὡς ἔστι τὸ τόδε τι οἷον εἶδος καὶ φύσις τις τοιαύτη, ἤτοι ὕλη δυνάμει οὖσα τὰ εἴδη, οὐδεμία ἀπορία· ἡ γὰρ ὕλη δυνάμει οὖσα τὰ εἴδη ἀλλοιουμένη πως καὶ δεχομένη ταῦτα παρέχει ταῖς οὐσίαις τὸ εἶναι πολλαῖς. τὸ δὲ αὕτη δέ ἐστιν ἐκεῖθεν μᾶλλον ἡ ἀπορία οὕτως ἐπῆκται ὡς εἰ ἔλεγεν 'ἡ ζητοῦσα ἀπορία διὰ τίνα αἰτίαν πολλαί εἰσιν ἐνεργείᾳ οὐσίαι ἐκεῖθεν γέγονε. πόθεν; ἐκ τοῦ μὴ λέγειν ὕλην καὶ εἶδος, ἀλλ' ἓν καὶ ἄνισον'. ἢ οὖν οὕτως ὡς εἴρηται ἀκουστέον τοῦ ἐπὶ μὲν τῶν ἄλλων κατηγοριῶν ἔχει τινὰ ἀπορίαν καὶ τὸ συνεχὲς τούτῳ, ἢ μεριστέον εἰς δύο ἀπορίας καὶ ῥητέον 'ἐπὶ μὲν οὖν τῶν συμβεβηκότων ἔχει τινὰ ἀπορίαν πῶς πολλὰ ποιὰ καὶ πολλὰ ποσὰ εἶναι ἐνδέχεται λέγειν· ἀπορήσειε δ' ἄν τις τοῦτο διὰ τί; διὰ τὸ μὴ ἔχειν ὕλην, ἥτις δυνάμει οὖσα τὰ συμβεβηκότα πολλὰ εἶναι ταῦτα ποιήσει. ἄλλην δὲ ἀπορίαν πάλιν ἀπορήσειέ τις περὶ αὐτῶν, καὶ ταύτην διὰ τί; διότι μὴ χωριστὰ ὄντα τῶν οὐσιῶν συμβαίνει τὸ ὑποκείμενον αὐτοῖς καὶ ἕν τι γίνεσθαι καὶ πολλά· εἰ γὰρ ἄλλο ἡ οὐσία καὶ ἄλλο τὸ ποσὸν καὶ ἄλλο τὸ ποιόν, ἔστι δὲ ὁ Σωκράτης καὶ οὐσία καὶ λευκὸς καὶ δίπηχυς, φέρε εἰπεῖν, ἔσται καὶ εἷς καὶ πολλά'. τούτων δὴ τῶν δύο ἀποριῶν τῆς μὲν προτέρας ἀπορίας λύσιν ἐπακτέον τὸ καίτοι δεῖ γέ τινα ὕλην εἶναι ἑκάστῳ γένει, τῆς δὲ δευτέρας τῆς λεγούσης ὅτι ὁ Σωκράτης καὶ | εἷς ἐστι καὶ πολλά, τὴν λύσιν ἔχεις, ὦ φιλότης, ἐν τῷ Α τῆς 791
Φυσικῆς ἀκροάσεως· ἐκεῖ γὰρ ὅτε τὸν Παρμενίδην καὶ τὸν Μέλισσον

---

2 ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν] c. 3 5 ἐν τῷ Περὶ αἰσθήσεως] c. 4
7 post οὐσιῶν add. ἐστί L 18 εἰ δέ τις—εἴδη (19) om. L 27 ἀπορίαν L: ἀπόκρισιν A 28 δ' LM: om. A 32 ἄλλο ἡ A: ἄλλη ἡ L 36 ὁ L: om. A 37. 38 ἐν τῷ A τῆς Φυσικῆς ἀκροάσεως] c. 2. 3 38 καὶ τὸν L: τὸν om. A

ἤλεγχεν, εἴρηκεν ὡς οὐδὲν κωλύει τὸ αὐτὸ καὶ ἓν τῷ μὲν ὑποκειμένῳ ἓν εἶναι, τῷ λόγῳ δὲ πολλά.

p. 1089ᵇ32 Ἀλλὰ μὴν καὶ εἰ μὴ ταὐτόν ἐστι τὸ τόδε καὶ ποσόν, οὐ λέγεται πῶς καὶ διὰ τί πολλὰ τὰ ὄντα.

Τὸ τόδε, ὡς πολλάκις εἴρηται, ἀντὶ οὐσίας τῷ Ἀριστοτέλει λαμβάνεται. τοῦ Πλάτωνος δὲ τὰς ἰδέας, ἃς καὶ οὐσίας καλεῖ, καὶ μᾶλλον οὐσίας, ἀριθμοὺς λέγοντος, τῶν δὲ ἀριθμῶν ποσῶν ὄντων, καὶ διὰ τούτου συναγομένου τοῦ τὰς οὐσίας εἶναι ποσά (εἰ γὰρ αἱ ἰδέαι ἤτοι αἱ οὐσίαι ἀριθμοί, οἱ δὲ ἀριθμοὶ ποσά, δῆλον τὸ συμπέρασμα), ἐρωτᾷ ὁ δαιμόνιος Ἀριστοτέλης, πότερον διαφέρει ἡ οὐσία τοῦ ποσοῦ ἢ ἡ αὐτή ἐστι τῷ ποσῷ. εἰ μὲν οὖν μή ἐστιν ἡ οὐσία ἡ αὐτὴ τῷ ποσῷ ἀλλ' ἑτέρα καὶ διάφορος, οὐ λέγεται οὐδὲ ἐζήτηται αὐτοῖς πῶς πολλαὶ αἱ οὐσίαι (ταύτας γὰρ εἶπεν ὄντα), ἀλλὰ τοῦτο ἐζήτηται πῶς πολλὰ ποσά. εἰ γὰρ ζητοῦσι πῶς πολλὰ ὑπέστη ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος τὸ πλῆθος τὸ ἐν τοῖς ἀριθμοῖς, οἱ δὲ ἀριθμοὶ ποσά, τὸ δὲ ποσὸν ἕτερον τῆς οὐσίας, οὐδὲν ἄλλο ζητοῦσιν ἢ πῶς ὑπέστη ποσὰ πολλά, πῶς δὲ πολλαὶ οὐσίαι οὐδαμῶς. εἰ δέ ἐστιν ἡ οὐσία ἡ αὐτὴ τῷ ποσῷ καὶ ἀδιάφορος, ζητεῖται μὲν καὶ λέγεται πῶς πολλαὶ αἱ οὐσίαι, ὑπομένει δὲ πολλὰς ὁ τοῦτο λέγων ἐναντιώσεις. πρῶτον μὲν γὰρ ἔσται ἡ οὐσία συμβεβηκός· εἰ γὰρ ἡ οὐσία ἡ αὐτὴ τῷ ποσῷ, τὸ δὲ ποσὸν συμβεβηκός, ἡ οὐσία ἄρα συμβεβηκός. ἔπειτα ὡς μὲν οὐσία ἔσται ὑποκείμενον, ὡς δὲ ποσὸν καὶ συμβεβηκὸς ἐν ὑποκειμένῳ. καὶ ὅλως ἐναντιοῦται τοῖς ἐναργέσιν. εἰπὼν δὲ πᾶς ἀριθμὸς ποσόν, καὶ ἡ μονὰς ἐφιστάνει καλῶς λέγων, εἰ μὴ ἄρα ἡ μονὰς οὐ ποσόν, διότι μέτρον ἀριθμοῦ καὶ διότι κατὰ ποσὸν ἀδιαίρετος, ἀλλ' ὅ γε ἀριθμὸς ἐξ ἀνάγκης ποσόν ἐστιν.

p. 1090ᵃ2 Ἐπιστήσειε δ' ἄν τις τὴν σκέψιν καὶ περὶ τῶν ἀριθμῶν, πόθεν δεῖ λαβεῖν τὴν πίστιν ὡς εἰσίν.

Πρὸς τὸν τὸν μαθηματικὸν ἀριθμὸν τοῦ αἰσθητοῦ χωρίζοντα καὶ ἰδίαν οὐσίαν αὐτῷ παρεχόμενον ἀποτείνεται λέγων, πόθεν ἄν τις καὶ ἐκ ποίας ἀνάγκης πιστεύσειεν ὥς εἰσιν οἱ μαθηματικοὶ ἀριθμοὶ χωριστοὶ καὶ καθ' αὑτούς. οἱ μὲν γὰρ τιθέμενοι τὰς ἰδέας καὶ ὕπαρξιν διδόντες τοῖς εἰδητικοῖς ἀριθμοῖς ἐρωτώμενοι τίνος ἕνεκεν καὶ διὰ ποίαν ἀνάγκην εἰσὶν αἱ ἰδέαι ἀποκρίνονται ὅτι διὰ τὸ παρέχειν τινὰ αἰτίαν τοῖς οὖσιν, ἤτοι διότι αἰτιαί εἰσι τοῖς αἰσθητοῖς τοῦ εἶναι. εἰ γὰρ δι' ἐκείνας τὰ ἐνταῦθά εἰσιν, ἐξ ἀνάγκης δέ εἰσιν οὐρανὸς καὶ ἄνθρωποι καὶ οὐκ ἐνδέχεταί ποτε ταῦτα μὴ εἶναι, ἐξ ἀνάγκης ἄρα εἰσὶ καὶ ἰδέαι δι' ἃς τὸ εἶναι αὐτοῖς

---

3 καὶ τὸ ποσόν Metaph. 9 ἐρωτᾷ ὁ A: post ἐρωτᾷ add. οὖν L 11 ἑτέρα L: ἕτερος A 20. 21 ἡ οὐσία—συμβεβηκός A: om. L 22 ἐναντιοῦνται Syr. 34 ἐκείνας L: ἐκεῖνα A 35 δέ εἰσιν L: δέ om. A

ἐστιν· εἴτε δὲ ὡς ποιητικαὶ αἴτιαί εἰσι τοῦ τὰ ἐνταῦθα εἶναι, εἴτε ὡς τελικαί, εἴτε | οἷον δή ποτε τρόπον, νῦν ἑατέον, καὶ ἔστω ὅτι αἱ ἰδέαι 792
εἰσὶν αἴτιαι τοῦ εἶναι ἀνθρώπους καὶ ἵππους καὶ ὅλως τὰ αἰσθητά. ἐκεῖνοι μὲν οὖν οἱ τὸν εἰδητικὸν ἀριθμὸν πρεσβεύοντες λέγουσί τινα αἰτίαν τῆς τῶν ἰδεῶν ὑπάρξεως. τῷ δὲ μὴ οἰομένῳ μηδὲ λέγοντι εἰδητικοὺς εἶναι ἀριθμοὺς διὰ τὸ ὁρᾶν τὰς ἑπομένας δυσχερείας καὶ ἐναντιώσεις τοῖς ταύτας τιθεμένοις πάνυ πολλὰς οὔσας, καὶ ἐπὶ τούτῳ εἰδητικοὺς μὲν ἀριθμοὺς μὴ ποιοῦντι, ποιοῦντι δὲ τὸν μαθηματικὸν καὶ οὐσίαν αὐτῷ διδόντι, τῷ τοιούτῳ πόθεν χρὴ πιστεῦσαι καὶ συμφῆσαι ὡς ἔστι τοιοῦτος ἀριθμός, χωριστὸς δηλονότι καὶ καθ' αὑτόν; καὶ τό τε μαθηματικὸν ὅλως δὲ τί τοῖς ἐνταῦθα χρησιμεύει; οὐδενὸς γὰρ τῶν ἐνταῦθα αἴτιός ἐστι τοῦ εἶναι. καὶ τοῦτο οὔτε αὐτὸς ὁ τοῦτον ἀνυμνῶν καὶ πρεσβεύων λέγει οὔτε φαίνεται. μήποτε δὲ διότι εἰσὶ θεωρήματα ἀριθμητικά, ἀνάγκη εἶναι καὶ τὸν ἀριθμὸν καθ' αὑτὸν καὶ χωριστόν, ἵν' ἐκείνῳ ταῦθ' ὑπάρξῃ. ἤ, φησί, τὰ θεωρήματα τῶν ἀριθμητικῶν πάνθ' ὑπάρξει καὶ κατὰ τῶν αἰσθητῶν, ἐξ ἀφαιρέσεως δὲ τὸ εἶναι ἐχόντων, καθάπερ ἐλέχθη ἐν τῷ M· εἰ δὴ δύναται πάντα τὰ ἀριθμητικὰ δείκνυσθαι κατὰ τῶν ἐξ ἀφαιρέσεως ἀριθμῶν, οὐ πιθανὸν οὐδ' ἀληθές ἐστι λέγειν ὡς διὰ τὰ θεωρήματα χωρίζειν αὐτοὺς δεῖ καὶ ὕπαρξιν διδόναι.

Ταῦτα εἰπὼν πάλιν ἐπαναποδίζει καί φησιν οἱ μὲν οὖν τιθέμενοι καὶ εἶναι λέγοντες τὰς ἰδέας, ὧν ὁ κορυφαῖος ὁ Πλάτων ἐστί, καὶ ἀριθμοὺς αὐτὰς καλοῦντες ἐν τῷ ποιεῖν ἔκθεσιν, ἤτοι ἓν ἕκαστον τῶν αἰσθητῶν παράγειν, οἷον Πλάτωνα Σωκράτην Ἀλκιβιάδην Δίωνα, καὶ λέγειν ὅτι ὁ ἄνθρωπος ὁ αὐτός ἐστι τῷ Σωκράτει ἢ ἕτερος, εἶτα ἐπάγειν ὅτι εἰ ὁ αὐτὸς ἦν, οὐκ ἂν ὑπῆρχε καὶ ἐν τῷ Πλάτωνι· ἕτερος ἄρα Σωκράτους, ὁμοίως δὲ διὰ τὴν αὐτὴν αἰτίαν καὶ Πλάτωνα καὶ Ἀλκιβιάδην καὶ πάντων τῶν ἀτόμων· εἰ δὲ ταῦτα, ἔστιν ἄρα ἕν τι παρὰ τοὺς πολλοὺς ἀνθρώπους καὶ τοῦτό ἐστιν ὁ αὐτοάνθρωπος αὐτὸς καθ' αὑτόν· ὁμοίως καὶ ἐπὶ ἵππων τοῦτο συνάγειν καὶ βοῶν καὶ τῶν ἄλλων ἁπάντων· οὗτοι μὲν οὖν ἐν τῷ ταῦτα ποιεῖν πειρῶνται τρόπον τινὰ λέγειν, διὰ τί ἐστι ἕν τι παρὰ τοὺς πολλοὺς ἀνθρώπους καὶ ἵππους καὶ τὰ ἄλλα πάντα. ἀλλ' ἐπεί, φησίν, οὔτε ἀναγκαῖα τὰ λεγόμενα ὑπ' αὐτῶν οὔτε δυνατά, οὐδὲ τὸν εἰδητικὸν ἀριθμὸν διά γε ταῦτα δεῖ λέγειν ὡς ἔστιν. ἀλλ' οὗτοι μὲν οὕτως. οἱ δὲ Πυθαγόρειοι διὰ τὸ ὁρᾶν πολλὰ πάθη τῶν ἀριθμῶν ὑπάρχοντα ἐν τοῖς αἰσθητοῖς (εἰσὶ γὰρ καὶ περιττὰ σώματα καὶ ἄρτια, ἐπίτριτά τε καὶ ἡμιό|λια, καὶ ἄλλα 793
πάμπολλα πάθη τῶν ἀριθμῶν ἐν τούτοις θεωρεῖται), διὰ οὖν τὸ ὁρᾶν ταῦτα, εἶναι μὲν τὰ αἰσθητά (ταῦτα γὰρ εἶπε νῦν ὄντα) ἀριθμοὺς ἐποί-

---

3 αἴτιαι LM: αἴτια A 10 καὶ τό τε μαθηματικὸν corrupta videntur 12 τοῦτον L: τοῦτο A 15 ὑπάρξῃ LM: ὑπάρξει A 16 καὶ κατὰ Bonitz: καὶ τὰ libri ἐχόντων τὸ εἶναι L 18 κατὰ τῶν — ἀριθμῶν A: κατὰ τὸν — ἀριθμὸν L 24 ὁ ἄνθρωπος L: ὁ om. A 26. 27 exspectes Πλάτωνος καὶ Ἀλκιβιάδου 27 ταῦτα A: τοιοῦτον L 28 καθ' αὑτόν A: κατ' αὐτούς L

ησαν, οὐ χωριστοὺς δέ, ἤτοι οὐκ ἐχώρισαν τοὺς ἀριθμοὺς ἀπὸ τῶν αἰσθητῶν, ἀλλὰ μάλιστα ταῦτα ἐξ ἀριθμῶν πεποιήκασιν, ὡς καὶ πρότερον εἴρηται. ἐρωτώμενοι δὲ καὶ διὰ τί τὰ ὄντα ἐξ ἀριθμῶν, ἔλεγον ὅτι διὰ τὸ τὰ πάθη τῶν ἀριθμῶν, οἷον τὸ ἐπίτριτον τὸ ἡμιόλιον τὰ ὅμοια, ὑπάρχειν τῇ ἁρμονίᾳ, λέγων ἁρμονίαν τὰς ὑποκειμένας τῇ ἁρμονίᾳ χορδάς. οἱ γὰρ τοιοίδε λόγοι, οὓς πρὸς ἀλλήλας ἔχουσιν αἱ χορδαί, τὸ τοιόνδε μέλος ἀποτελοῦσι. διὰ οὖν τὸ τὰ τοιαῦτα πάθη ὑπάρχειν ἐν τῇ ἁρμονίᾳ καὶ ἐν οὐρανῷ καὶ ἐν ἄλλοις πολλοῖς, εἰσὶ καὶ αἱ χορδαὶ καὶ ὁ οὐρανὸς καὶ τὰ ἄλλα πάντα ἐξ ἀριθμῶν. εἰ γὰρ μὴ ἦσαν ἐξ ἀριθμῶν, πῶς τὰ πάθη αὐτῶν ἐν αὐτοῖς ἂν εἴησαν; οὗτοι μὲν οὖν, οἵ τε περὶ Πλάτωνα καὶ Πυθαγόραν, οὕτω τε τοὺς ἀριθμοὺς ἐποίουν καὶ τοιαῦτα περὶ αὐτῶν ἐφθέγγοντο. τοῖς δὲ τὸν μαθηματικὸν ἀριθμὸν τιθεμένοις οὐδὲν τοιοῦτον, ὁποῖον ὁ Πλάτων καὶ οἱ Πυθαγόρειοι ἔλεγον, ἐνδέχεται λέγειν, διὰ τὸ μηδενὸς τῶν αἰσθητῶν σωμάτων λέγειν τοὺς ἀριθμούς, μόνον δὲ τοῦτο ἔλεγον, ὡς εἰ μὴ ἔστιν ὁ μαθηματικὸς ἀριθμὸς καὶ καθ' αὑτόν, οὐκ ἂν εἴη ἡ ἀριθμητικὴ ἐπιστήμη. ἡμεῖς δέ, φησί, καθὰ καὶ πρότερον εἴπομεν, φαμὲν ὅτι καὶ χωριστῶν μὴ ὄντων τῶν ἀριθμῶν ἔσται ἀριθμητικὴ ἐπιστήμη. ἄλλως τε δέ, εἰ ἦν κεχωρισμένα τὰ μαθηματικά, οὐκ ἂν τὰ τούτων πάθη ἐν τοῖς αἰσθητοῖς εἴησαν· ἀδύνατον γὰρ τοῦ πράγματος μὴ ὄντος εἶναι τὰ πάθη αὐτοῦ. ὥστε εἰ τὰ μαθηματικὰ πάθη ἐν τοῖς αἰσθητοῖς ἐστι, καὶ αὐτὰ δηλονότι, ἀλλὰ δυνάμει καὶ ἐξ ἀφαιρέσεως τὸ εἶναι ἔχοντα. εἰπὼν δὲ ὅτι εἰ ἦσαν χωριστὰ τὰ μαθηματικά, οὐκ ἂν τὰ πάθη αὐτῶν ἐν τοῖς σώμασιν ἦν, λέγει ὅτι οἱ Πυθαγόρειοι ἐν τοῖς σώμασιν αὐτὰ εἶναι λέγοντες, ἔνοχοι μὲν οὐκ εἰσι τῇ λεγούσῃ ἀπορίᾳ πῶς τὰ πάθη αὐτῶν ἐν τοῖς σώμασίν εἰσι· καθὸ δὲ ποιοῦσι τὰ φυσικὰ ἐξ ἀριθμῶν μὴ ἐχόντων βάρος μηδὲ κουφότητα, τῶν φυσικῶν σωμάτων, εἰ καὶ μὴ πάντων, ἐχόντων βάρος καὶ κουφότητα, ἐοίκασι περὶ ἄλλου οὐρανοῦ καὶ κόσμου λέγειν καὶ σωμάτων ἄλλων ἀλλ' οὐ περὶ τῶν αἰσθητῶν. τῶν δὲ χωριζόντων τὸν ἀριθμὸν διὰ τὸ τὰ ἀξιώματα καὶ ὅλως τὰς καθόλου προτάσεις μηδὲ εἶναι ἐπὶ τοῖς αἰσθητοῖς, τούτων δὴ τοῦτο σαίνει τὴν ψυχὴν καὶ εἶναι χωριστοὺς ἀριθμοὺς καὶ χωριστὰ μαθηματικὰ λέγειν ἀναπείθει. οὐδεμία δὲ ἀνάγκη διὰ τὸ ἀληθῆ εἶναι τὰ λεγόμενα περὶ τῶν ἀξιωμάτων καὶ τῶν καθόλου προτάσεων, λέγεσθαι καὶ περὶ αὐτῶν ὡς οὐκ ἐν τοῖς αἰσθητοῖς εἰσιν, ἀλλ' ἐν ψιλῇ ἐπινοίᾳ τὸ εἶναι ἔχει. οὐδεμία οὖν ἀνάγκη διὰ ταῦτα χωριστοὺς ποιεῖν | ἀριθμούς. εἰ οὖν, φησί, διὰ τὸ τὰ καθόλου μὴ εἶναι ἐν τοῖς 794
αἰσθητοῖς, χωρίζουσι τοὺς ἀριθμοὺς καὶ τὰ μεγέθη, ὁ ἡμέτερος λόγος ὁ τούτοις ἐναντιούμενος τἀναντία ἐρεῖ· καὶ ἐπάγει λέγων διὰ τί οὐδαμῶς ἐν τοῖς αἰσθητοῖς ὑπαρχόντων τῶν ἀριθμῶν τὰ πάθη αὐτῶν ἐν αὐτοῖς ἐστιν; εἰ γὰρ διὰ τὸ τὰ καθόλου μὴ ὑπάρχειν ἐν τοῖς

---

6 ἀλλήλας A: ἀλλήλους L 7 τοιόνδε A: τοιοῦτον L 8 καὶ ἐν ἄλλοις L: τὸ ἐν ἄλλοις A Bonitz 17 εἴπομεν A: ἔφημεν L 19 εἴησαν] ἦσαν coni. Bonitz 29 ἄλλων L: om. A 34 λέγεσθαι M: λέγεται AL 35 ἔχει A: ἔχουσιν L

αἰσθητοῖς χωρίζειν δεῖ τοὺς ἀριθμούς, εἰ τὰ πάθη τῶν ἀριθμῶν ἐν τούτοις ἐστίν, οὐ χωριστέον.

p. 1090b5 Εἰσὶ δέ τινες, οἳ ἐκ τοῦ πέρατα καὶ ἔσχατα τὴν στιγμὴν γραμμῆς ταύτην δὲ ἐπιπέδου.

Εἰσί τινες, φησίν, οἳ τὰ πέρατα τῆς γραμμῆς καὶ τοῦ ἐπιπέδου καὶ τοῦ σώματος οἴονται τοιαύτας φύσεις εἶναι, τουτέστιν οὐσίας καὶ εἴδη χωριστὰ καὶ καθ' αὑτά. καὶ αἰτιᾶται αὐτοὺς λέγων ὅτι πέρατα μὲν τὰ σημεῖα τῆς γραμμῆς καὶ αὕτη τοῦ ἐπιπέδου καὶ τοῦτο τοῦ σώματός εἰσιν, οὐσίαι δὲ οὔτε εἰσὶν οὔτε πολλῷ πλέον χωρισταὶ οὐσίαι. εἰ γὰρ τῆς γραμμῆς πέρας οὐσία καὶ ἰδέα, ἔσται καὶ τὸ τῆς βαδίσεως καὶ ὅλως κινήσεως πέρας τόδε τι καὶ οὐσία καὶ ἰδέα. ἀλλ' ἄτοπον, ὁπότε μηδὲ τὴν κίνησιν οὐσίαν δυνάμεθα λέγειν. ὅμως, φησίν, εἰ καὶ δοίημεν οὐσίας εἶναι τὰς στιγμὰς καὶ γραμμὰς καὶ ἐπίπεδα, τῶνδε τῶν αἰσθητῶν καὶ ἐν τούτοις ἔσονται, ἀλλ' οὐ καθ' αὑτά· ἐπὶ τούτων γὰρ ὁ λόγος εἴρηκε, τουτέστιν ἐπὶ τούτων γὰρ τῶν ἐπιπέδων καὶ γραμμῶν ὁ λόγος εἴρηκέ τε καὶ ἔδειξε. διὰ τί οὖν χωριστά ἐστιν; ἤτοι οὐκ ἔστι χωριστά· ἢ τὸ 'διὰ τί οὖν χωριστά ἐστιν;' ἀντὶ τοῦ πῶς χωριστά ἐστιν, ἔδειξεν ὁ λόγος· ἔδειξε δὲ ὅτι τῇ ἐπινοίᾳ.

p. 1090b13 Ἔτι δὲ ἐπιζητήσειεν ἄν τις μὴ λίαν εὐχερὴς ὤν.

Τὸ μὲν εὐχερὴς εἴληπται ἀντὶ τοῦ ἀργὸς τὴν διάνοιαν καὶ δυσκίνητος. τὸ δὲ ἀπορούμενον πρὸς τοὺς τὴν μαθηματικὴν μόνην οὐσίαν πρεσβεύοντας τοιοῦτόν ἐστιν. ὄντων τῶν ἀριθμῶν παρ' αὐτοῖς καὶ μεγεθῶν καὶ ψυχῆς καὶ σωμάτων, ζητήσειεν ἄν τις τί συμβάλλεται ἀλλήλοις· τοῦτο δὲ ταὐτόν ἐστι τῷ πῶς οὐ γίνεται τὰ δεύτερα ἐκ τῶν προτέρων, οἷον τὰ μεγέθη ἐκ τῶν ἀριθμῶν, ἀλλὰ καὶ ἀριθμῶν μὴ ὄντων τὰ μεγέθη καὶ ἔστι καὶ γίνεται, κἂν ταῦτά τις ἀνέλῃ, ψυχή ἐστι καὶ σώματα. οὐκ ἔοικε δὲ τὰ φυσικὰ καὶ ὅλως ἡ φύσις ἐπεισοδιώδης εἶναι ἐκ τῶν φαινομένων. ἐπεισοδιώδη δὲ λέγεται τὰ μὴ συνεχῆ μηδὲ συντελοῦντα θάτερα θατέροις εἰς τὸ εἶναι. εἰ δὲ μὴ ὄντων ἀριθμῶν καὶ εἶναί τε καὶ γίνεσθαι τὰ μεγέθη ἤτοι τὰ ἐπίπεδα δύνανται, ἐπεισοδιώδεις ἂν εἶεν οἱ ἀριθμοὶ καὶ οὐδὲν ἂν συμβάλλοιντο τοῖς ἐπιπέδοις εἰς τὸ εἶναι· εἰ δὲ τοῦτο, οὐκ ἂν εἶεν τὰ φυσικὰ ὡς ἐκ προτέρων αἰτίων τῶν ἀριθμῶν, δευτέρων δὲ καὶ προσεχεστέρων τῶν μεγεθῶν καὶ ἐπιπέδων. εἰ γὰρ οἱ ἀριθμοὶ ἀνάλογον ἦσαν τῇ ἀνειδέῳ ὕλῃ, τὰ ἐπίπεδα ἀνάλογον πάλιν | πυρὶ ἀέρι ὕδατι καὶ γῇ, ὥσπερ ἐπὶ τούτων εἴ τις ἀνέλῃ τὴν ὕλην καὶ τὸ εἶδος εὐθὺς ἀναιρεῖ καὶ τὸ πῦρ ἢ καὶ τὸν ἀέρα καὶ τὰ λοιπά, οὕτω καὶ ἐπ' ἐκείνων ἀναγκαῖον ἦν συμβαίνειν, καὶ ἀναιρουμένων τῶν ἀριθμῶν ἀναιρεῖσθαι καὶ τὰ ἐπίπεδα· νῦν δὲ καὶ

795

3 πέρατα εἶναι καὶ Metaph. 10. 11 ἔσται — καὶ ἰδέα A: om. L 12 μηδὲ A: οὐδὲ L 16 et 17 ἐστιν] sic etiam Metaph. E: ἔσται Metaph. vulg. 16 ἤτοι οὐκ L: post ἤτοι add. ὅτι A 22 τῶν om. Syr. 24 δεύτερα ἀεὶ ἐκ Syr. 26 σώματα e Syriano scripsi: cf. Usener ad Syr. p. 933b17 33 ἀνιδέῳ A

τούτων μὴ ὄντων τὰ μεγέθη καὶ ἔστι καὶ γίνεται. εἰ οὖν τὰ φυσικὰ οὐ φαίνεται ἐπεισοδιώδη, ἤτοι οὐ φαίνεται μὴ τὸ πρότερον τὸ ὕστερον συναναιροῦν, οἱ δὲ ἀριθμοὶ τὰ ἐπίπεδα οὐ συναναιροῦσι, φανερὸν ὅτι τὰ φυσικὰ οὐκ ἐξ ἀριθμῶν καὶ ἐπιπέδων ἐστίν. οὐκ ἔοικεν οὖν, φησίν, οὐδὲ φαίνεται ὅτι ἡ φύσις καὶ τὰ φύσει συνεστῶτα ἐπεισοδιώδη ἐστὶ καὶ ἠλλοτριωμένα καὶ μηδεμίαν συνέχειαν ἔχοντα θάτερον πρὸς θάτερον, ὥσπερ οἱ ἀριθμοὶ πρὸς τὰ ἐπίπεδα. τίνα γὰρ ἂν συνέχειαν ἔχοιεν, ὁπότε καὶ χωρὶς αὐτῶν εἶναί τε καὶ γίνεσθαι τὰ ἐπίπεδα δύνανται; τὸ δὲ ὥσπερ μοχθηρὰ τραγῳδία πρόσκειται διὰ τὸ πολλοὺς τῶν μὴ ἀρίστων τραγῳδῶν μεταξὺ τῆς τραγῳδίας παρεμβάλλειν πρόσωπά τε καὶ ὑποκριτὰς καὶ ἔπη ὁμοίως καὶ μηδεμίαν συνέχειαν μηδὲ οἰκειότητα ἔχοντα πρὸς τὰ προαχθέντα τε καὶ προλεχθέντα. εἰ γάρ τις τὸν Αἴαντα παρεισάξας ἐν τῷ μεταξὺ καιρῷ, καθ' ὃν ἀπέσφαττεν ἑαυτόν, εἰσήγαγε τὴν Ἑκάβην θρηνοῦσαν τὴν Τροίαν, τίνα ἂν τοῦτο συνέχειαν εἶχεν ἢ οἰκειότητα πρὸς τὰ πρότερα καὶ ὕστερα, ὥσπερ ὅτε ὁ Μενέλαος εἰσάγεται μὴ ἐῶν τὸν Τεῦκρον θάψαι τὸ τοῦ Αἴαντος πτῶμα; ὅπερ οὖν ἐν τῇ μοχθηρᾷ τραγῳδίᾳ γίνεται, τοῦτο ἂν καὶ ἐπὶ τοῖς φύσει συνέπιπτεν, εἰ ἦν τι ἐξ ἀριθμῶν καὶ ἐπιπέδων. ἀλλὰ τοῖς μὲν τοὺς ἀριθμοὺς μόνους τιθεμένοις ἐπάγεται τὸ ἀναιρουμένων τῶν πρώτων μὴ ἀναιρεῖσθαι τὰ δεύτερα καὶ ὅλως ἐπεισοδιώδη τὴν φύσιν εἶναι. οἱ δὲ τοὺς εἰδητικοὺς ἀριθμοὺς τιθέμενοι τοῦτο μὲν ἐκφεύγουσι διὰ τὸ ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος ποιεῖν τὸν εἰδητικὸν ἀριθμόν, ἐκ δὲ τούτου καὶ τῆς ὕλης, ἑτέρας οὔσης παρὰ τὴν ἀόριστον δυάδα (ἄλλη γὰρ κατ' αὐτοὺς δυὰς ἡ γεννητικὴ τῶν ἀριθμῶν καὶ ἄλλη ἡ τῶν μεγεθῶν), ἐκ δὲ τούτου καὶ τῆς ὕλης ποιεῖν τὰ μεγέθη καὶ τὰ ἐπίπεδα, ἐκφεύγουσι τὸ ποιεῖν ἐπεισοδιώδη τὴν φύσιν· ὅμως, φησί, ταῦτα τὰ μεγέθη τὰ προσεχῶς ἐκ τῆς ὕλης καὶ τῶν ἀριθμῶν γινόμενα πότερον ἰδέαι εἰσὶν ἢ οὔ, καὶ ἆρα συμβάλλονταί τι εἰς τὸ εἶναι τοῖς οὖσι; καί φησιν ὅτι ὥσπερ οὐδὲ τὰ μαθηματικά, οὕτως οὐδὲ ταῦτα. εἰ δέ τις βούλεται λέγειν ὅτι διὰ τὰ δεικνύμενα θεωρήματα ἔστιν ὁ αὐτοκύκλος καὶ ἡ αὐτοπυραμὶς καὶ ὁ αὐτοκύβος, ψεύσεται· οὐδὲ γὰρ θεώρημα ἢ ὅλως ἀπόδειξις τῶν τοιούτων ἐστίν, ἀλλὰ πᾶν θεώρημα καὶ πᾶσα ἀπόδειξις τῶν μαθηματικῶν μεγεθῶν καὶ δυνάμει ὄντων ἐστίν· ὥστε εἴ τις βούλοιτο λέγειν ὅτι αἱ ἀποδείξεις τοῦ αὐτοκύκλου καὶ αὐτοτριγώνου καὶ τῶν ὁμοίων εἰσίν, οὗτος ἀναιρεῖ τὰ μαθηματικὰ μεγέθη καὶ ἰδίας δόξας τιθέναι βούλεται. οὐκ 796 ἔστιν οὖν χαλεπὸν ὁποιασοῦν δόξας τιθέμενον μακρηγορεῖν τε καὶ συνείρειν πολλά, ὅπερ οὗτοι πεπόνθασιν· ἰδέας γὰρ δοξάσαντες προσγλίχονται ταῖς ἰδέαις τὰ μαθηματικά, τουτέστι σὺν ἡδονῇ προστιθέασι τὰ μαθηματικὰ ταῖς ἰδέαις καὶ ἰδέας αὐτὰ ποιοῦσιν, αὐτοκύκλον λέγοντες καὶ αὐτοτρίγωνον· διὸ καὶ διαμαρτάνουσιν.

---

6 πρὸς θάτερον A: om. L 11 ἔχοντα A: ἔχειν L 15 ὁ Μενέλαος κτλ.] cf. Sophocl. Aiac. 1047 sqq. 18 "post τοὺς adde μαθηματικοὺς" Bonitz 24 καὶ τὰ—μεγέθη (25) L: om. A 30 θεώρημα A: θεωρήματα L 32 δυνάμει A: δυνάμεων L 34 μαθηματικὰ A: θεωρηματικὰ L 39 διαμαρτάνουσιν A: διαμαρτάνοντες L

Οἱ δὲ πρῶτοι, φησίν (αἰνίττεται δὲ τὸν Πλάτωνα), δύο ποιήσαντες τοὺς ἀριθμούς, τόν τε εἰδητικὸν καὶ τὸν μαθηματικόν, καὶ μεταξὺ τοῦ εἰδητικοῦ καὶ τοῦ αἰσθητοῦ τάξαντες τὸν μαθηματικόν, οὔτε εἰρήκασιν οὔτε ἔχοιεν ἂν εἰπεῖν πῶς καὶ ἐκ τίνος ἔσται ὁ μαθη-
5 ματικὸς ἀριθμός. εἰ μὲν γὰρ ἐκ τοῦ μεγάλου καὶ μικροῦ καὶ τοῦ ἑνὸς 10
λέγει αὐτὸν εἶναι, ὁ αὐτὸς ἔσται τῷ εἰδητικῷ. ἐκ δέ του ἄλλου μικροῦ καὶ μεγάλου καὶ τῶν ἀριθμῶν τὰ μεγέθη ποιεῖ· ὃ γὰρ πρὸ ὀλίγου εἶπεν ὕλην, ὅτε ἔλεγε "ποιοῦσι γὰρ τὰ μεγέθη ἐκ τῆς ὕλης καὶ τοῦ ἀριθμοῦ" (τὰ μὲν γὰρ μήκη ἐκ τῆς αὐτοδυάδος καὶ τῆς ὕλης, ὁμοίως καὶ τὰ ἐπί-
10 πεδα ἐκ τῆς αὐτοτριάδος καὶ τῆς ὕλης), ὃ οὖν ἐκεῖσε ἔλεγεν ὕλην, ἄλλο
μικρὸν καὶ μέγα ἐκάλεσεν. εἰ οὖν μήτε ἐκ τοῦ μεγάλου καὶ μικροῦ, ταὐ- 15
τὸν δὲ εἰπεῖν τῆς ἀορίστου δυάδος, δυνατὸν εἶναι τὸν μαθηματικὸν ἀριθμόν (ὁ αὐτὸς γὰρ ἂν ἦν τῷ εἰδητικῷ), μήτε ἔκ του ἄλλου μικροῦ καὶ μεγάλου, ἃ δὴ καὶ αὐτὰ ἀόριστον ἐκάλουν δυάδα (ἐξ αὐτῶν γὰρ τὰ μεγέθη ποιεῖ),
15 λείπεται ἄλλο μέγα καὶ μικρὸν λέγειν. εἰ δὲ τοῦτο, πλείω ἔσται τὰ
στοιχεῖα, αὐτά φημι τὰ μεγάλα καὶ μικρά. ἀλλὰ μὴν ἀνάγκη ὅσα ὁλικά, 20
τοσαῦτα εἶναι καὶ τὰ εἰδικά· ὅπερ οὐ βούλονται. εἰ δέ ἐστιν ἓν τὸ ἀρχικὸν καὶ εἰδικὸν ἕν, κοινὸν ἔσται καὶ μερισθήσεται ἐπί τε τοῦ μεγάλου καὶ μικροῦ, ἐξ οὗ ποιοῦσι τοὺς ἀριθμούς, καὶ ἐπὶ τοῦ ἄλλου μεγάλου καὶ
20 μικροῦ, ἐξ οὗ τὰ μεγέθη, καὶ ἐπὶ τοῦ λοιποῦ καὶ τρίτου, ἐξ οὗ ἔσονται
οἱ μαθηματικοὶ ἀριθμοί. καὶ πῶς οἷόν τε τὸ ἓν τῷ ἀριθμῷ ἐν πλείοσιν εὑρίσκεσθαι; ζητήσειε δ' ἄν τις πῶς οἷόν τε τὸ αὐτοὲν τρία εἶναι, εἴπερ 25
τὸν μὲν εἰδητικὸν ἀριθμὸν ἐκ τοῦ μεγάλου καὶ μικροῦ καὶ τοῦ αὐτοενὸς ποιοῦσι, τὰ δὲ μεγέθη ἐκ μεγάλου καὶ μικροῦ καὶ ἀριθμοῦ. ἢ ῥητέον
25 ὅτι τρία μὲν οὐκ ἔσται αὐτοέν, ἀλλ' ἢ δύο ἢ ἓν διῃρημένον εἰς δύο· εἰ
γὰρ κατὰ Πλάτωνα πᾶς ἀριθμὸς ἐκ μονάδος καὶ ἀορίστου ὑφίσταται δυάδος, εἰ μὲν καὶ ὁ μαθηματικὸς ἀριθμὸς ἐξ αὐτῆς τῆς μονάδος καὶ τῆς ἀορίστου δυάδος ἐστίν, ἐξ ὧν ὁ εἰδητικὸς ἀριθμός, ὁ αὐτὸς ἔσται τῷ 30
εἰδητικῷ· εἰ δὲ ἐξ ἄλλης δυάδος, πότερον καὶ ἐξ ἄλλου ἑνὸς ἑτέρου
30 ὄντος παρὰ τὸ ἀρχικὸν ἓν ἢ ἐξ αὐτοῦ τοῦ ἀρχικοῦ ἑνός; εἰ μὲν γὰρ ἐξ ἄλλου, ἔσονται δύο ἀρχικὰ ἕν, ὅπερ οὐ βούλονται· εἰ δὲ ἐξ αὐτοῦ τοῦ αὐτοενός, πῶς δυνατὸν | ἓν ὂν τῷ ἀριθμῷ εἶναι καὶ ἐν ταύτῃ τῇ δυάδι 797
καὶ ἐν ἐκείνῃ; φανερὸν ἄρα ὅτι οὔτε ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος δυνατὸν γενέσθαι τὸν μαθηματικὸν ἀριθμόν, ἵνα μὴ ὁ αὐτὸς τῷ
35 εἰδητικῷ φανῇ, οὔτε ἐξ ἄλλων· ἀριθμὸν γὰρ κατὰ Πλάτωνα ἀδύνατον
ἑτέρως ὑποστῆναι ἢ ἐκ μονάδος καὶ τῆς ἀορίστου δυάδος. τούτου γάρ 5
ἐστι δηλωτικὸν τὸ καὶ ἅμα τὸν ἀριθμὸν γενέσθαι ἄλλως ἢ ἐξ ἑνὸς καὶ δυάδος ἀορίστου ἀδύνατον.

---

6 του A: τοῦ L 13 ἔκ του A: ἐκ τοῦ L 15 ἔσται A: ἔσονται L 17 τὰ A: om. L εἰδικά L: εἰδητικά A 18 τε A: om. L 21 τῷ L: τὸ τῷ A Bonitz ἐν L: ἓν A: ἓν ἐν Bonitz 23 αὐτοενὸς L: αὐτοὲν A 25 ἔσται τὸ αὐτοέν coni. Bonitz 26 καὶ ἀορίστου—μονάδος (27) A: om. L 34 δυνατὸν—δυάδος (36) A: om. L 38 ἀορίστου L: om. A

Ταῦτα εἰπὼν ἐπάγει ταῦτα δὴ πάντα ἄλογα καὶ μάχεται αὐτὰ ἑαυτοῖς καὶ τοῖς εὐλόγοις. τὸ δὲ καὶ ἔοικεν ἐν αὐτοῖς εἶναι ὁ Σιμωνίδου μακρὸς λόγος σαφὲς ἔσται προειποῦσι τίς ἐστιν ὁ Σιμωνίδου λόγος. ὁ Σιμωνίδης ἐν τοῖς λόγοις, οὓς Ἀτάκτους ἐπιγράφει, μιμεῖται καὶ λέγει οὓς εἰκός ἐστι λόγους λέγειν δούλους ἐπταικότας πρὸς δεσπότας ἐξετάζοντας αὐτοὺς τίνος ἕνεκα ταῦτα ἐπταίκασι; καὶ ποιεῖ αὐτοὺς ἀπολογουμένους λέγειν πάνυ μακρὰ καὶ πολλά, οὐδὲν δὲ ὑγιὲς ἢ πιθανόν, ἀλλὰ πᾶν τὸ ἐπιφερόμενον ἐναντίον τῷ προφρασθέντι· τοιοῦτον γὰρ ὡς εἰκὸς τὸ βάρβαρον καὶ παιδείας ἄμοιρον. τοῦτο δὴ λέγει πάσχειν καὶ τοὺς τοὺς ἀριθμοὺς τιθεμένους, λέγειν μὲν μακρὰ καὶ πολλὰ πρὸς τὴν τῶν ἀριθμῶν σύστασιν, πάντα δὲ ψευδῆ καὶ ἀπίθανα καὶ αὐτὰ ἑαυτοῖς ἐναντιούμενα καὶ ἀντιφθεγγόμενα. εἰπὼν δὲ τὸ ἔοικε τὰ ὑπ' αὐτῶν λεγόμενα τῷ τοῦ Σιμωνίδου μακρῷ λόγῳ, ἑρμηνεύσων τίς ἐστιν ὁ μακρὸς λόγος ἐπάγει γίνεται γὰρ ὁ μακρὸς λόγος ὥσπερ ὁ τῶν δούλων καὶ τὰ ἑξῆς. καὶ δῆλον ὡς ψευδῆ τὰ ὑπ' αὐτῶν λεγόμενα ἐκ τοῦ πάνυ μὲν πολλὰ λέγειν τε καὶ ἐπινοεῖσθαι, μὴ δύνασθαι δὲ αὐτὰ συστῆσαι. εἰ δ' ἦν ἀληθῆ, διὰ βραχέων ἂν ταῦτα δεδείχασι. κατὰ γὰρ τὸν τραγῳδὸν "ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ." εἶτα καὶ πάνυ χαριέντως αὐτοὺς ἐπισκώπτει λέγων καὶ αὐτὰ τὸ μέγα καὶ μικρόν, ἃ στοιχεῖα τῶν ἀριθμῶν τίθενται, βοῶσι, καὶ μικροῦ καὶ ἐπ' Ἄρειον πάγον αὐτοὺς προκαλεῖται διὰ τὸ βιάζεσθαι ὑπ' αὐτῶν ἀπογεννῆσαι τοὺς ἀριθμούς. τοῦτο ποιῆσαι μὴ δυνάμενα. ἐπειδὴ δὲ τὴν ἀόριστον δυάδα μέγα καὶ μικρὸν ἐκάλουν, ἡ δὲ ἀόριστος δυὰς κατ' αὐτοὺς μόνον τὸν ἀρτιάκις ἄρτιον ὑφίστησι, λέγει ὅτι εἰ καὶ δοίημεν τοὺς ἀριθμοὺς ἐκ τοῦ μεγάλου εἶναι καὶ μικροῦ, μόνος ὁ ἀφ' ἑνὸς διπλασιαζόμενος ἤτοι ὁ ἀρτιάκις ἄρτιος ἐξ αὐτῶν ἔσται, ἄλλος δὲ οὐδὲ εἷς· λεγέτωσαν οὖν πόθεν ἡ τῶν ἀρτιοπερίσσων καὶ τῶν λοιπῶν γένεσις.

p. 1091ᵃ12 Ἄτοπον δὲ καὶ τὸ γένεσιν ποιεῖν ἀιδίων ὄντων.

Τῶν τὰς ἰδέας τιθεμένων ἅμα τε ἀιδίους αὐτὰς λεγόντων καὶ γεννώντων ἐκ τοῦ ἑνὸς καὶ τῆς δυάδος, ἄτοπον, φησί, μᾶλλον δὲ ἀδύνατον γένεσιν ποιεῖν τῶν ἀιδίων. ἀίδιον γάρ ἐστιν ὃ ἀδύνατον εἰπεῖν ὡς ἦν ποτε ὅτε οὐκ ἦν καὶ ἔσται ὁμοίως ὅτε οὐκ ἔσται, τὸ δὲ γε|γονὸς ἦν ὅτε οὐκ 798 ἦν. εἰ δὲ τοῦτο ἀληθές, ψεῦδος καὶ ἀδύνατον τὸ ἀιδίους τε ἅμα τὰς ἰδέας λέγειν καὶ ποιεῖν αὐτῶν γένεσιν· τοῦτο γὰρ ταὐτόν ἐστι τῷ ἅμα ἀγενήτους καὶ γενητὰς αὐτὰς λέγειν, ἀγενήτους μὲν ὡς ἀιδίους, γενητὰς δὲ ὡς ἐκ στοιχείων οὔσας τοῦ ἑνὸς καὶ τῆς δυάδος. ταῦτ' εἰπὼν λέγει ὅτι

---

3 Σιμωνίδου (ante λόγος) LM: Σιμωνίδης A 4 Ἀτάκτους] cf. Schneidewin Mus. Rhen. VII p. 460 sqq. 13 ἑρμηνεύσων A: ἑρμηνεύων L 15 δῆλον ALM: δηλοῖ Bonitz 16 αὐτὰ L: ταῦτα A 17 δεδείχασι A: δεδοίχασι L ἁπλοῦς κτλ.] Eurip. Phoen. 469 23 ὅτι A: om. L 28 ὄντων L: om. A 29 ἀιδίους LM: ἀίδια A 35 αὐτὰς L: om. A

περὶ μὲν τῶν Πυθαγορείων οὐ δεῖ διστάζειν εἴτε γενητά φασι τὰ ὄντα εἴτε μή· φανερῶς γὰρ λέγουσιν ὅτι τοῦ ἑνὸς συσταθέντος εἴτε ἐξ ἐπιπέδων εἴτε ἐκ χρωμάτων εἴτε ἐκ σπέρματος εἴτε ἐξ ἄλλου τινός (ἀποροῦσι γὰρ καὶ οὗτοι λέγειν ἐκ τίνος συνέστη τὸ ἕν. καὶ διὰ τοῦτο ὁτὲ μὲν ἐκ χρώματος καὶ ἐπιπέδου γενέσθαι φασὶ τὸ ἕν, ὁτὲ δὲ ἐξ ἄλλου τινός), φανερῶς δὴ λέγουσιν. ὅτι τοῦ ἑνὸς συσταθέντος ἐκ τῶν τοῦ ἀπείρου τοῦ ὡς ὑλικοῦ αἰτίου αὐτοῖς ὑποκειμένου μερῶν τὸ ἔγγιστα καὶ πλησιάζον τῷ ἑνὶ εἵλκετο καὶ ἐπεραίνετο καὶ εἰδοποιεῖτο ὑπὸ τοῦ ἑνός· τὸ ἓν γὰρ εἶπε πέρας. ἀρχὴν γὰρ εἰδικὴν λέγοντες τὸ ἕν, ὑλικὴν δὲ τὸν ἀριθμόν, ὃν ἄπειρον ἐκάλουν διὰ τὴν ἴσως ἐπ' ἄπειρον αὐτοῦ αὔξησιν, ἔφασκον ὅτι τῶν τοῦ ἀριθμοῦ ἤτοι ἀπείρου μερῶν τὸ ἐγγίσαν καὶ πρῶτον πλησιάσαν τῷ ἑνί, ἐκεῖνο καὶ πρῶτον εἱλκύσθη ὑπ' αὐτοῦ καὶ εἰδοποιήθη, εἶτα τὸ δευτέρως πλησιάσαν, καὶ τρίτον τὸ τρίτως, καὶ ἐφεξῆς. εἰπὼν οὖν ὅτι σαφῶς οἱ Πυθαγόρειοι γένεσιν ποιοῦσι τῶν ὄντων, λέγει ὅτι ἐπειδὴ οὗτοι ἐκ τοῦ ἑνὸς καὶ ἀπείρου κοσμοποιοῦσι καὶ φυσικῶν καὶ αἰσθητῶν πραγμάτων γένεσιν ἐκ τοῦ ἀπείρου καὶ τοῦ ἑνὸς κατασκευάζουσιν, ἡ δὲ παροῦσα σκέψις οὐ περὶ φυσικῶν ἡμῖν ἐστιν ἀλλὰ περὶ τῶν ἀκινήτων καὶ νοητῶν, ἀφετέον αὐτοὺς νῦν. δίκαιον γὰρ φυσικῶς καὶ περὶ φυσικῶν λέγοντας ἐν ταῖς φυσικαῖς πραγματείαις τὰ ὑπ' αὐτῶν λεγόμενα ἐξετάζειν· τούτου γάρ ἐστι δηλωτικὸν τὸ δίκαιον γὰρ αὐτοὺς ἐξετάζειν τοὺς περὶ φύσεως. ἔστι δὲ τὸ τῆς λέξεως ἐλλιπές· εἴη δ' ἂν τὸ πλῆρες 'δίκαιον γὰρ αὐτοὺς ἐξετάζειν τοὺς περὶ φύσεως, ἀλλ' οὐ τοὺς περὶ τῶν θείων καὶ ἀκινήτων διαλεγομένους· τοῖς γὰρ περὶ τῶν ἀκινήτων τι λέγουσι τὴν τῶν τοιούτων ἀριθμῶν ἤτοι τῶν εἰδητικῶν καὶ ἀκινήτων προσήκει γένεσιν ἐπισκέπτεσθαι, εἰ ἀληθής ἐστιν.

Εἰπὼν οὖν ὅτι τῶν εἰδητικῶν ἀριθμῶν τὴν γένεσιν ἐπισκεπτέον λέγει ὅτι τοῦ μὲν περιττοῦ γένεσιν οὔ φασιν οὐδὲ γεγονέναι λέγουσιν αὐτὸν ἀλλὰ μόνον τὸν ἄρτιον. γεννῶσι δέ τινες αὐτῶν τὸν ἄρτιον ἐξ ἀνίσων, τοῦ μεγάλου καὶ μικροῦ δηλονότι, ἐξισασθέντων ὑπὸ τοῦ ἑνός, ὡς καὶ ἐν τῷ M εἴρηται. ὥστε προϋπῆρχέ τε καὶ προτέρα τῶν ἰδεῶν ἦν ἡ ἀνισότης. εἰ γὰρ ἐξ ἀνισότητος γεγόνασι, πᾶν δὲ τὸ ἔκ τινος ὕστερον τοῦ ἀφ' οὗ ἐστι, δῆλον ὡς πρεσβυτέρα τῶν | ἰδεῶν ἡ ἀνισότης. ἀδύνατον 799
γὰρ λέγειν ὡς ἀεὶ ἰσασμένα ἦσαν. εἰ γὰρ ἦσαν ἀεὶ ἰσασμένα, οὐκ ἂν ἦσαν ἄνισοι πρότερον, τουτέστιν οὐκ ἂν ὑπὸ τοῦ ἑνὸς ἰσάσθησαν. ὥστε ἐκ τοῦ ἀνίσου γεγονυίας πρῶτον μὲν συμβαίνει τὴν στέρησιν ἤτοι τὴν ἀνισότητα προτέραν εἶναι τῶν εἰδῶν καὶ ἕξεων, εἶτα μὴ εἶναι ἀιδίους. ἐπεὶ δὲ ὁ Ξενοκράτης ὑπεραπολογούμενος τοῦ Πλάτωνος, ὡς καὶ ἐν τῷ A τῆς Περὶ οὐρανοῦ εἴρηται, ἔλεγεν ὅτι διδασκαλίας χάριν καὶ τοῦ γνῶναι,

---

1 φασι LM: φησι A 12. 13 τῷ ἑνὶ—πλησιάσαν LM: om. A 14 ἐπειδὴ L: ἐπεὶ δὲ A 20 τοὺς] τι Metaph. 25 ἀληθής LM: ἀληθές A 27 φασιν A: φαμεν L 29 ὑπὸ L: ἀπὸ A 30 ἐν τῷ M] c. 8 33 ἰσασμένα (ante ἦσαν) Bonitz: ἰσασμένως AL ἰσασμένα alterum A: ἰσασμέναι L 35 γεγονυίας A: γεγονότος L 36 προτέραν L: πρότερον A 37. 38 ἐν τῷ A τῆς Περὶ οὐρανοῦ] c. 10 p. 279ᵇ32 sqq. 38 διδασκαλίας LM: διδασκάλου A

πῶς, εἰ γεγόνασιν αἱ ἰδέαι, δυνατὸν ἦν αὐτὰς γενέσθαι, ὑπετίθετό τε καὶ ἔλεγεν ὡς ἐκ τοῦ μεγάλου καὶ μικροῦ ὑπὸ τοῦ ἑνὸς ἰσασθέντων ἐγένοντο ἄν, εἰ δυνατὸν αὐτὰς ἦν γενέσθαι· ἐπειδὴ οὖν ταῦθ' ὁ Ξενοκράτης ἔλεγεν, ὁ δὲ Ἀριστοτέλης ἔδειξεν ὅτι ἀνάγκη προϋπάρχειν τὴν ἀνισότητα, ἐπάγει ὥστε φανερὸν ὅτι οὐ τοῦ θεωρῆσαι οὐδὲ διδασκαλίας χάριν τὴν τῶν εἰδητικῶν ἀριθμῶν γένεσιν ποιοῦσιν, ἀλλ' ὡς πεπιστευκότες ὅτι γεγόνασι ταῦτα περὶ αὐτῶν ἀποφαίνονται.

p. 1091a29 Ἔχει δ' ἀπορίαν καὶ εὐπορήσαντι ἐπιτίμησιν πῶς ἔχει πρὸς τὸ ἀγαθὸν καὶ τὸ καλὸν τὰ στοιχεῖα.

Ἀπορήσειεν ἄν, φησί, τὶς περὶ τῶν στοιχείων καὶ αἰτίων ἀφ' ὧν αἱ ἰδέαι, πῶς ἔχουσι πρὸς τὸ ἀγαθὸν καὶ τὸ καλόν, ἆρα δὴ ἔστι τι τῶν στοιχείων οἷον βουλόμεθα λέγειν τὸ ἀγαθὸν καὶ τὸ ἄριστον ἢ οὔ, τουτέστιν ἆρα τὸ μέγα καὶ τὸ μικρὸν καὶ τὸ ἓν ἀγαθά εἰσι καὶ ἄριστα καὶ ταὐτόν ἐστι τῷ ἀγαθῷ καὶ ἀρίστῳ τὸ ἕν, ἢ ὑστερογενῆ εἰσι καὶ δεύτερα τὸ ἀγαθὸν καὶ τὸ ἄριστον, πρότερα δὲ τὸ ἓν καὶ ἡ δυὰς καὶ οἱ εἰδητικοὶ ἀριθμοί. καὶ ἐρωτήσας ἀποκρίνεται λέγων ὅτι παρὰ τῶν νῦν θεολόγων, εἰσὶ γὰρ τούτων τινὲς οἵ φασιν ὅτι τὸ ἀγαθὸν καὶ ἄριστον οὔκ εἰσι πρότερα τῶν ἀρχῶν καὶ τῶν ἐκ τῶν ἀρχῶν γεγονότων, ἀλλὰ κατὰ τὸ προελθεῖν καὶ συστῆναι τὴν τῶν ὄντων φύσιν τότε γεγόνασί τε καὶ ἐφάνησαν τὸ ἀγαθὸν καὶ ἄριστον. ἠναγκάσθησαν δέ, φησίν, ὕστερα λέγειν τὸ ἀγαθὸν καὶ ἄριστον τῆς τῶν ὄντων φύσεως διὰ τὸ εὐλαβηθῆναι τὰ ἐπακολουθήσαντα ἀληθῶς δυσχερῆ τοῖς τὸ ἓν ἀρχὴν ἅμα καὶ ἀγαθὸν εἰποῦσιν. ἰδόντες γὰρ αὐτοὺς πολλὰ ἄτοπα καὶ δυσχερῆ ὑπομείναντας ἐκ τοῦ τὸ ἓν ἀρχὴν λέγειν, ἀπέστησαν τοῦ πρεσβύτερον καὶ πρότερον λέγειν τὸ ἀγαθὸν καὶ ἄριστον τῶν ἀρχῶν. καίτοι, φησίν, οὐ διὰ τὸ τῷ ἀρχικῷ ἑνὶ τὸ εὖ ἀποδιδόναι καὶ ἀγαθὸν αὐτὸ λέγειν ἐπηκολούθησεν αὐτοῖς τὰ δυσχερῆ, ἀλλὰ διὰ τὸ τὸ ἓν ᾗ ἓν ἀρχὴν λέγειν καὶ ἀρχὴν ὡς στοιχεῖον καὶ συγκατατεταγμένον τοῖς ἀριθμοῖς. ὥστε εἰ μὲν διὰ τὸ τὸ ἓν ἀγαθὸν λέγειν εἵπετο αὐτοῖς τὰ ἀδύνατα, τότ' ἦν εἰκὸς αὐτοὺς θορυβεῖσθαι χωρίζειν τε τὸ ἀγαθὸν τοῦ ἑνὸς καὶ ὕστερον ἀποφαίνεσθαι· ἐπεὶ δὲ οὐ διὰ τοῦτο, ἀλλὰ διὰ τὸ ἀρχὴν τὸ ἓν ᾗ ἓν ποιεῖν, οὐδὲ εἷς ἦν | φόβος, ἵνα διά γε τοῦτο ὕστερον αὐτὸ τῶν ὄντων ποιήσωσιν. ἀλλ' ἡ 800 μὲν τῶν λεγομένων διάνοια αὕτη. ἐν δὲ τῇ λέξει τῇ ἔχει δὲ ἀπορίαν τὸ ἐπαχθὲν τὸ καὶ εὐπορήσαντι ἐπιτίμησιν τοιοῦτόν ἐστιν· ἔχει δ'

5 οὐδὲ L: καὶ τῆς A 8 εὐπορήσαντι A: ἀπορήσαντι L 12 λέγειν αὐτὸ τὸ Metaph. 17 et 20 καὶ ἄριστον L cf. p. 821,6 sqq.: καὶ τὸ ἄριστον A 17. 18 οὔκ εἰσι A: οὐ L 18 κατὰ A: μετὰ LM 19 προελθεῖν Bonitz: προσελθεῖν ALM 22. 23 τοῖς τὸ — δυσχερῆ A: om. L 27 διὰ τὸ τὸ L: alterum τὸ om. A 28 καὶ L: om. A 28. 29 τὸ τὸ ἓν Bonitz: alterum τὸ om. libri 32 ὕστερον L: τὸ ὕστερον A

ἀπορίαν, κἂν εὐπορήσῃ τις εἰπεῖν τι καὶ ἐνστῆναι πρὸς τὴν ἀπορίαν, εὐθὺς ἐπιτιμηθήσεται· οὐδὲν γὰρ ἂν ὑγιὲς εἴπῃ.

p. 1091ᵇ4 Οἱ δὲ ποιηταὶ οἱ ἀρχαῖοι ταύτῃ ὁμοίως, οἳ βασιλεύειν καὶ ἄρχειν φασὶ τοὺς πρώτους.

Εἰπὼν ὅτι τινὲς τῶν νῦν θεολόγων διαρρήδην ἀνακηρύττουσιν ὅτι τὸ ἀγαθὸν καὶ ἄριστον ὕστερόν ἐστι τῆς τῶν ὄντων φύσεως, ἐπιφέρει ὅτι παραπλησίως τούτοις περὶ τοῦ ἀγαθοῦ καὶ ἀρίστου λέγουσι καὶ οἱ ἀρχαῖοι ποιηταί. αἰνίττεται δὲ τὸν Ὀρφέα· καὶ οὗτος γάρ φησιν ὅτι τὸ ἀγαθὸν καὶ ἄριστον ὕστερόν ἐστι τῶν ἄλλων. ἐπεὶ γὰρ τὸ βασιλεῦον καὶ κρατοῦν τῆς τῶν ἁπάντων φύσεώς ἐστι τὸ ἀγαθὸν καὶ ἄριστον, ὁ δὲ Ζεὺς βασιλεύει καὶ κρατεῖ, ὁ Ζεὺς ἄρ' ἐστὶ τὸ ἀγαθὸν καὶ ἄριστον. καὶ ἐπεὶ πρῶτον μὲν κατ' Ὀρφέα τὸ Χάος γέγονεν, εἶθ' ὁ Ὠκεανός, τρίτον Νύξ, τέταρτον ὁ Οὐρανός, εἶτ' ἀθανάτων βασιλεὺς θεῶν ὁ Ζεύς, δῆλον ὅτι καὶ οὗτος τὸν Δία, ταὐτὸν δ' εἰπεῖν τὸ ἀγαθὸν καὶ ἄριστον, ὕστερον νομίζει καὶ τοῦ Χάους καὶ τοῦ Ὠκεανοῦ καὶ τῆς Νυκτὸς καὶ τοῦ Οὐρανοῦ, ἤτοι τοῦ κόσμου. ἀλλ' οὗτοι μέν, φησίν, οἱ ποιηταὶ διὰ τὸ μεταβάλλειν καὶ ἄλλοτε ἄλλους ποιεῖν τοὺς ἄρχοντας τῶν ὄντων (πρῶτον μὲν γὰρ "βασίλευσε περίκλυτος Ἠρικαπαῖος," φησὶν ἡ ποίησις, μεθ' ὃν Νὺξ "σκῆπτρον ἔχουσ' ἐν χερσὶν ἀριπρεπὲς Ἠρικαπαίου," μεθ' ἣν Οὐρανός, "ὃς πρῶτος βασίλευσε θεῶν μετὰ μητέρα Νύκτα"), οὗτοι δὴ διὰ τὸ τοὺς ἄρχοντας μεταβάλλειν τὸ ἀγαθὸν καὶ ἄριστον ὕστερον ποιοῦσιν. οἱ δὲ μεμιγμένοι αὐτῶν (λέγει δὲ τοὺς μὴ πάντα μυθικῶς καὶ ἀναποδείκτως, ὥσπερ οἱ ποιηταί, λέγοντας, ἀλλ' ἔστιν ὅτε καὶ ἐφ' ἃ ἀποδείξεσι χρωμένους), οὗτοι δὴ οὖν οἱ μεμιγμένοι, ὥσπερ Φερεκύδης ὁ Πυθαγόρου καθηγεμών, τὸ ἀγαθὸν καὶ τὸ ἄριστον λέγουσιν εἶναι τὴν τῶν πάντων αἰτίαν καὶ ἀρχήν, ὁμοίως καὶ οἱ Μάγοι, καὶ οὐχ ὕστερον αὐτὸ ποιοῦσιν ὡς οἱ προειρημένοι. οὕτω καὶ Ἐμπεδοκλῆς ὁ Πυθαγόρειος καὶ Ἀναξαγόρας τὸ ἀγαθὸν καὶ ἄριστον πρεσβύτατον τῶν ἄλλων ἁπάντων ἀποφαίνονται, ὁ μὲν Ἐμπεδοκλῆς τὴν φιλίαν ἀγαθὸν καὶ ἀρχὴν εἰπών (ταύτην γὰρ ὁ Ἀριστοτέλης εἶπε στοιχεῖον, καταχρησάμενος τῇ λέξει), ὁ δὲ Ἀναξαγόρας τὸν νοῦν. ἀλλὰ τούτων, ὡς εἴρηται, ὁ μὲν τὴν φιλίαν φησὶν ἀγαθὸν ὁ δὲ τὸν νοῦν. τῶν δὲ τὰς ἀκινήτους οὐσίας λεγόντων, λέγων ἀκινήτους οὐσίας τοὺς εἰδητικοὺς ἀριθμούς, τούτων οἱ μέν, ὥσπερ ὁ Πλάτων καὶ Βροτῖνος ὁ Πυθαγόρειος, φασὶν ὅτι τὸ ἀγαθὸν αὐτὸ τὸ ἕν ἐστι καὶ οὐσίω-

---

1 εὐπορήσῃ A: ἀπορήσῃ L 2 εἴποι coni. Bonitz 3 οἳ] sic etiam Metaph. libri duo: ᾗ Metaph. vulg. 4 ante τοὺς addendum οὐ 9 ἐπεὶ A: ἐπειδὴ L 13 ὁ Ζεύς A: ὁ om. L 18 βασίλευσε—Νύκτα (20) cf. Syr. p. 935ᵃ23 sqq. Orphica Abelii fr. 78,2 87. 96 Ἠρικαπαῖος et Ηρικαπαίου libri: Ἠρικεπαῖος et 19 Ἠρικεπαίου Brandis 22 post λέγει δὲ add. μυθικῶς libri 24 μεμιγμένοι A: μιμησάμενοι L 25 τῶν πάντων A: τῶν om. L 32 οὐσίας A: οὔσας L 33 οἱ μέν A: ὁ μέν L

ται ἐν τῷ ἓν εἶναι, ὡς πολλάκις εἴρηται. εἰπὼν δὲ τὸ οἱ μὲν οὐκ ἀπέδωκε τὸ οἱ δέ.

p. 1091b15 Ἡ μὲν οὖν ἀπορία αὕτη ποτέρως δεῖ λέγειν. 801

Εἰπὼν ὅτι ἀπορήσειεν ἄν τις ποτέρως δεῖ λέγειν περὶ τῶν ἀρχῶν καὶ στοιχείων πῶς ἔχουσι πρὸς τὸ ἀγαθὸν καὶ ἄριστον, πότερον ταὐτόν ἐστι τὸ ἓν τῷ ἀγαθῷ, ὁμοίως καὶ ἡ ἀόριστος δυάς, ἢ οὔ, εἶτα μεταξὺ θεὶς τὰς ὑπολήψεις ἃς περὶ τοῦ ἀγαθοῦ καὶ τοῦ ἀρίστου εἶχον οἱ κατὰ τὸν αὐτὸν αὐτῷ χρόνον ὄντες καὶ οἱ πρὸ αὐτοῦ, ἐπάνεισιν ἐπὶ τὸ προκείμενον λέγων ἡ μὲν οὖν ἀπορία ἐστὶ ποτέρως δεῖ λέγειν περὶ τῶν ἀρχῶν, ἆρά γε ἀγαθαὶ καὶ ἄρισταί εἰσιν ἢ οὔ. καὶ ἀποκρίνεται λέγων θαυμαστὸν εἶναι καὶ παντελῶς ἄλογον, ὡς αὐτὸς ἐν ἄλλοις εἴρηκεν, εἰ τῷ πρώτῳ αἰτίῳ καὶ αὐταρκεστάτῳ, ἀφ' ἑαυτοῦ τε τὸ εἶναι ἔχοντι καὶ οὐκ ἄλλοθεν, μὴ ὑπάρχει πρῶτον καὶ προηγουμένως καὶ εἴπερ ἄλλο τι τὸ αὔταρκες καὶ ἡ σωτηρία ὡς ἀγαθόν. ἄλογον οὖν ὡς ἀληθῶς λέγειν ὅτι τῷ πρώτῳ αἰτίῳ ἡ αὐτάρκεια καὶ ἡ σωτηρία οὐχ ὡς ἀγαθῷ ὑπάρχουσιν αὐτῷ οὐδὲ σύμφυτόν ἐστιν αὐτῷ τὸ ἀγαθόν. οὐδὲ γὰρ δι' ἄλλο τι θέμις ἐστὶν ὑπολαβεῖν ἄφθαρτον τὸ πρῶτον αἴτιον ἢ διότι εὖ ἔχει, ἤτοι διότι ἀγαθόν ἐστι· δι' αὐτὸ δὲ τοῦτο καὶ αὔταρκές ἐστιν. οὐδὲν γὰρ μὴ ἀγαθὸν αὔταρκες. ὥστε τὸ μὲν λέγειν τὴν ἀρχὴν τὸ ἀγαθὸν καὶ ἄριστον εὔλογον καὶ ἀληθές ἐστι· τὸ μέντοι λέγειν ταύτην τὴν φύσιν, ἤτοι τὴν αὐταρκεστάτην καὶ ἀρίστην, τὸ ἀρχικὸν ἓν εἶναι, ἢ εἰ μὴ τοῦτο, στοιχεῖον, τουτέστιν ἢ εἰ μὴ ἀρχικὸν ἓν λέγοιεν τὴν αὐταρκεστάτην φύσιν, ἀλλὰ φήσαιεν ὅτι ἡ αὐταρκεστάτη φύσις τὸ στοιχεῖόν ἐστι τῶν εἰδητικῶν ἀριθμῶν, ὅπερ ἐστὶ τὸ μέγα καὶ τὸ μικρόν· εἴτε οὖν τὴν τοιαύτην φύσιν τὸ ἀρχικὸν ἓν εἴποιεν, εἴτε τὴν δυάδα, ἀδύνατα ἐροῦσι καὶ πολλὴ αὐτοῖς ἕπεται ἡ δυσχέρεια· ἣν δυσχέρειαν ἔνιοι φεύγοντες, οἱ τὸ ἓν ὁμολογοῦντες ἀρχὴν καὶ πρῶτον στοιχεῖον εἶναι, ἀλλὰ τοῦ ἀριθμοῦ τοῦ μαθηματικοῦ, ἀπειρήκασι καὶ ἀφείλοντο ἀπὸ τοῦ τοιούτου ἑνὸς τὸ ἀγαθόν. τὸ δὲ ἅπασαι γὰρ αἱ μονάδες γίνονται ὅπερ ἀγαθόν τι συνεχές ἐστι τῷ τὸ μέντοι ταύτην εἶναι τὸ ἓν ἢ τὸ στοιχεῖον τῶν ἀριθμῶν ἀδύνατον. εἰ γὰρ τὸ ἄριστον καὶ ἀγαθὸν τὸ ἕν ἐστιν ἢ τὸ στοιχεῖον ἢ ἡ ἀόριστος δυάς, εἰσὶ δὲ ἐξ αὐτῶν αἱ τῶν εἰδητικῶν ἀριθμῶν μονάδες, ἔσονται πᾶσαι αἱ τοιαῦται μονάδες ὅπερ ἀγαθὰ καὶ ὅπερ ἄριστα καὶ πολλή τις εὐπορία τῶν ἀγαθῶν καὶ ἀρίστων. ἀλλ' ἓν τὸ ἄριστον καὶ οὐ πολλά. ἔτι εἰ τὰ εἴδη ἀριθμοί, οἱ δὲ ἀριθμοὶ μονάδες, αὗται δὲ ὅπερ ἀγαθόν, τὰ εἴδη ἄρα ὅπερ ἀγαθόν.

---

8 αὐτῷ L: om. A 10 ἢ οὔ A: αὗται L 11 παντελῶς ἄλογον A: παντεύλογον L ἐν ἄλλοις] cf. Λ 7 13 ὑπάρχει A: ὑπάρχειν L 15 ἀγαθῷ Bonitz: ἀγαθὰ ALM 22 τουτέστιν ἢ A: ἢ om. L

p. 1091b30 Ταῦτά τε δὴ συμβαίνει ἄτοπα καὶ τὸ ἐναντίον στοιχεῖον ἕως τοῦ δῆλον ὅτι αἱ ἀρχαὶ οὐκ ὀρθῶς ἀποδίδονται οὐδὲ αἱ πρῶται οὐσίαι.

Εἰ τὸ ἓν ἀγαθὸν κατ' αὐτούς, ἀγαθοειδῆ καὶ τὰ εἴδη· εἰ δὲ τοῦτο, τίνων χρὴ τὰς ἰδέας ὑποτίθεσθαι; εἴτε γὰρ τῶν τῇδε ἀγαθῶν μόνων, οἷον τῶν ἀρετῶν, οὔτε οὐσιῶν ἔσονται [οὐσίαι]. ὡς βούλονται, οὔτε οὐσίαι αἱ 802 ἰδέαι, εἴπερ συνώνυμα ταῖς ἰδέαις τὰ κατ' αὐτὰς ὑφεστηκότα· εἴτε τῶν οὐσιῶν, ἔσονται πᾶσαι αἱ τῇδε οὐσίαι ἀγαθαί. ἐπειδὴ κατὰ τὰς ἰδέας ὑπέστησαν ἀγαθὰς οὔσας. καὶ πρὸς τούτοις εἰ τὸ ἓν ἀγαθόν, τὸ μὴ ἕν. ὃ εἴτε δυάδα εἴτε ἄνισον εἴτε πλῆθος χρὴ καλεῖν, ἔσται κακόν, ὥν' ἐξ ἐναντίων, ἑνὸς μὲν τοῦ ἀγαθοῦ, μὴ ἑνὸς δὲ τοῦ κακοῦ, ἡ γένεσις ἢ τῶν εἰδῶν. ὃ συνεωρακὼς Σπεύσιππος (λέγω δὴ τὸ εἰ τὸ ἓν ἀγαθόν, ἀνάγκη τὸ μὴ ἓν τὸ ὑλικὸν κακὸν εἶναι) ἀπέφυγε καὶ προσάπτειν οὐκ ἠθέλησε τὸ ἀγαθὸν τῷ ἑνί. ἄλλοι δὲ τὴν τοῦ κακοῦ φύσιν τὸ ἄνισόν φασιν, ὥστε συμβαίνει ἐκ τούτων πάσας τὰς ἰδέας καὶ πάντα τὰ ὄντα μετέχειν τοῦ κακοῦ, εἴπερ ἐξ αὐτοῦ καὶ τοῦ ἀγαθοῦ εἰσι. πλὴν τῆς ἑτέρας τῶν ἀρχῶν, ἥτις ἐστὶ τὸ ἕν· ὥσπερ καὶ Ἐμπεδοκλῆς λέγει· καὶ οὗτος γὰρ φησιν ὡς πάντα μετέχει τοῦ νείκους πλὴν τῆς φιλίας. καὶ ἐπεὶ πρῶτον μὲν κατ' αὐτοὺς αἱ ἰδέαι γίνονται ἐκ τοῦ ἑνὸς καὶ τοῦ μὴ ἑνός. εἶτα ἐκ τῶν ἰδεῶν τὰ μεγέθη, αὐτοτρίγωνον, αὐτοτετράγωνον, τὰ ὅμοια, ἀκρατότερον μεθέξουσι τοῦ κακοῦ οἱ ἀριθμοὶ ἤπερ τὰ μεγέθη· οἱ μὲν γὰρ ἀριθμοὶ προσεχῶς ἐκ τοῦ κακοῦ γεγόνασι, τὰ δὲ μεγέθη διὰ μέσων τῶν ἀριθμῶν. ταῦτά τε δὴ συμβαίνει καὶ προσέτι χώραν τε εἶναι τὸ κακὸν τοῦ ἀγαθοῦ (ἡ γὰρ ὕλη, ὡς αὐτοί φασι, χώρα τοῦ εἴδους), καὶ ἐρᾶν καὶ ὀρέγεσθαι τὸ κακὸν τοῦ ἀγαθοῦ, καίπερ ὄντος ἑαυτοῦ λύμης καὶ φθορᾶς. εἰ δὲ καὶ ὑλικὸν εἴη τοῦτο, τὸ κακὸν ἔσται δυνάμει βέλτιστον καὶ ἀγαθόν, ὥσπερ καὶ τὸ δυνάμει πῦρ, ὅπερ ἐστὶν ἡ ὕλη, δυνάμει ἐστὶ τὸ ἐνεργείᾳ πῦρ. ταῦτα δὴ πάντα συμβαίνει, καὶ τὸ μὲν τῶν ἀτόπων συμβαίνει ὅτι πᾶσαν ἀρχὴν στοιχεῖον ποιοῦσι. ποῖον δὲ ἄτοπον ἕπεται τῷ πᾶσαν ἀρχὴν στοιχεῖον ποιοῦντι; τὸ πάντα εἶναι ἀγαθά, εἰ τὸ ἀγαθὸν ὡς στοιχεῖον ἀρχή. ἄλλο δὲ ἕπεται τὸ ἀκράτου μετέχειν τοῦ κακοῦ, ὅτι τὰς πρώτας οὐσίας εἰρήκασιν ἀριθμοὺς εἶναι. τέσσαρα οὖν ἄτοπα ἕπεται ταῖς τέσσαρσιν ὑποθέσεσιν. ἓν μὲν τὸ πάντα εἶναι ἀγαθὰ καὶ κακὰ πλὴν ἑνός. ἄλλο τὸ εἶναι τὸ κακὸν ἀρχήν, ἄλλο τὸ εἶναι τὴν

---

1 ἄτοπα L: πάντα AM 5 ὑποτίθεσθαι LM: ἀποτίθεσθαι A 6 οὐσίαι del. Bonitz: cf. Syr. p. 936a15 12 εἰδῶν] πραγμάτων Syr. ὁ Σκεύσιππος L 24 φασι] cf. Plat. Tim. p. 52A 28. 29 ἀτόπων A: ἀγαθῶν L 29 στοιχεῖον A: τὸ στοιχεῖον LM 30 ἀγαθά LM: ἀγαθόν A 31 post στοιχεῖον ἀρχή pauca exciderunt: Syr. pergit τὸ δὲ ὅτι τἀναντία ἀρχάς, τὸ εἶναι καὶ τὸ κακὸν ἀρχήν· τὸ δὲ ὅτι τὸ ἓν ἀρχήν, οὐκέτι γάρ, φησίν, ἔσται ἀγαθόν, εἴπερ ἕν· τὸ δὲ ὅτι τὰς πρώτας οὐσίας ἀριθμοὺς εἰρήκασιν εἶναι, τὸ ἀκράτου μετέχειν τοῦ κακοῦ τοὺς ἀριθμούς ἀκράτου e Syriano Bonitz: ἀκράτως libri

ἀρχὴν μὴ ἀγαθόν, τέταρτον τὸ μετέχειν τοὺς ἀριθμοὺς ἀκράτου τοῦ κακοῦ.

Ταῦτα εἰπὼν συμπεραίνεται λέγων εἰ οὖν καὶ τὸ μὴ τιθέναι τὸ ἀγαθὸν ἐν ταῖς ἀρχαῖς μηδὲ λέγειν αὐτὰς ἀγαθὸν ἀδύνατον καὶ τὸ τιθέναι ἀδυνατώτερον, δῆλον ὅτι αἱ ἀρχαὶ οὐκ ὀρθῶς ἀποδίδονται οὐδὲ αἱ πρῶται οὐσίαι καλῶς ἀριθμοὶ λέγονται. εἰ γὰρ ἦσαν καὶ ὑπάρξεως μετεῖχον, ἀγαθαὶ ἂν ἦσαν ἢ κα|καί, νῦν δὲ οὐδέτερον αὐταῖς 803 ἐνδέχεται ὑπάρχειν· ὅλως ἄρα οὐκ εἰσι. πᾶν γὰρ ὂν ἢ ἀγαθὸν ἢ οὐκ ἀγαθόν.

p. 1092a11 Οὐκ ὀρθῶς δὲ εἴ τις ἀπεικάζει τὰς τῶν ὅλων ἀρχὰς τῇ τῶν ζῴων καὶ φυτῶν.

Ἠσάν τινες οἵτινες ἐπεὶ ἑώρων ὅτι τὰ ζῷα καὶ φυτὰ ἐξ ἀορίστων (καὶ τί σημαίνει τὸ ἀόριστον ἐπήγαγε σαφηνίζων ἀτελῶν δέ) ἐπεὶ οὖν ἑώρων ὅτι ἐξ ἀτελῶν τῶν καταμηνίων καὶ σπερμάτων ἐπὶ τὰ τελειότερα ἄγεται, ὑπελάμβανον ὅτι καὶ αἱ τῶν ὅλων ἀρχαὶ ἀτελέστεραί εἰσι τῶν ἐξ αὐτῶν· διὸ καὶ τὸ ἓν τὴν τῶν ὅλων ἀρχὴν οὐκ ἤθελον λέγειν ὄν. ὑπολαμβάνοντες γὰρ ὅτι οὐδὲν ἀτελὲς ὄν ἐστιν, ἀλλὰ πᾶν ὂν τέλειον, τὸ δὲ ἓν οὐ τέλειον, ἀπεφαίνοντο ὡς οὐδὲ ὄν ἐστιν· εἰ γὰρ ἦν ὄν, ἦν ἂν καὶ τέλειον. πρὸς οὓς λέγει ὅτι οὐδὲ ἐνταῦθα ἡ γένεσις ἁπλῶς ἐξ ἀτελοῦς ἐπὶ τὸ τέλειον ἄγει, οἷον ἐκ σπέρματος ἐπὶ τὸ ζῷον, ἀλλὰ καὶ τὸ ἀτελὲς ἐκ τοῦ τελείου ὑφίστησιν· ἄνθρωπος γὰρ πρὸ σπέρματος καὶ αἴτιος τοῦ σπέρματος, καὶ ἁπλῶς τὸ ἐντελεχείᾳ πρὸ τοῦ δυνάμει. ὥστε οὐ χρὴ λέγειν ὅτι διὰ τὸ τὰ ἐνταῦθα ἐξ ἀτελῶν εἶναι λεκτέον καὶ τὸ ἓν ἅμα μὲν ἀρχὴν τῶν ὄντων ἅμα δὲ ἀνούσιον κατὰ τὸ χεῖρον τῆς οὐσίας.

p. 1092a17 Ἄτοπον δὲ καὶ τὸ τόπον ἅμα μὲν τοῖς στερεοῖς καὶ τοῖς μαθηματικοῖς ποιῆσαι.

Τοῦ Πλάτωνος εἰπόντος ὅτι ἐκ τοῦ ἑνὸς καὶ τῆς δυάδος γεγόνασιν αἱ ἰδέαι, ἐκ δὲ τῶν ἰδεῶν τὰ μαθηματικὰ μεγέθη, ἅμα δὲ καὶ ἐν τῷ αὐτῷ νῦν ἢ χρόνῳ ἐν ᾧ τὰ μαθηματικὰ γέγονε μεγέθη, καὶ ὁ τόπος αὐτῶν, ἐν ᾧ εἰσιν, ὑπέστη, λέγει ὅτι ἄτοπον τὸν μὲν τόπον ἅμα τοῖς μεγέθεσι ποιεῖν, τίς δέ ἐστι μὴ λέγειν. εἶτα καὶ ἐνίσταται λέγων μὴ εἶναι τὰ μαθηματικὰ ἐν τόπῳ. ὁ μὲν γὰρ τόπος, φησίν, ἑνὸς ἑκάστου ἴδιος, διὸ χωριστὰ τὰ ἐνταῦθα τῷ τόπῳ, τὰ δὲ μαθηματικὰ οὐ ποῦ· τὰ μαθηματικὰ ἄρα οὐκ ἐν τόπῳ. ἐπεὶ δὲ τὸ ἔκ τινος πολλαχῶς λέγεται, λέγει ὅτι ἔδει τοὺς λέγοντας τὰ ὄντα ἐκ στοιχείων εἶναι, ὁμοίως δὲ καὶ τοὺς εἰδητικοὺς ἀριθμούς (τούτους γὰρ εἶπε τῶν ὄντων τὰ πρῶτα), διελο-

---

4 ταῖς ἀρχαῖς] deficit comment. in codicibus LM 10 οὐκ ὀρθῶς δ' ὑπολαμβάνει οὐδ' εἴ τις παρεικάζει Metaph. 21 ἄνθρωπος e Syriano Bonitz: ἀνάγκη A 23 ἀτελῶν scripsi: ἁπλῶν A 31 τίς] τί Metaph.

μένους ὁσαχῶς τὸ ἔκ τινος λέγεται (τοῦτο γὰρ εἶπεν ἄλλο ἐξ ἄλλου), λέγειν κατὰ τίνα τῶν τοῦ ἔκ τινος τρόπων ὁ εἰδητικὸς ἀριθμὸς ἐκ τῶν ἀρχῶν ἐστι. πότερον οὖν, φησί, μίξει ἤτοι κράσει; ἆρα οὖν κραθεισῶν τῶν ἀρχῶν ἐξ αὐτῶν εἰσιν οἱ ἀριθμοί; ἀλλ' οὐ πᾶν δύναται μίγνυσθαι, καὶ πολλῷ μᾶλλον τὸ ἓν μετὰ τῆς δυάδος, τό τε γινόμενον ἐκ τῶν κραθέν- 30
των ἕτερόν ἐστι τῶν τὸ κρᾶμα ἀποτελεσάντων. ἀλλὰ κἂν δοίημεν ὅτι κρᾶμα γέγονεν ἐκ τοῦ ἑνὸς καὶ τῆς δυάδος, ἔφθαρται τὸ ἕν (τὰ γὰρ κεραννύμενα τοῦτο πάσχει), καὶ οὐκ ἔσται τὸ ἓν χωριστὸν καὶ καθ' αὑτὸ καὶ ἑτέρα τις φύσις παρὰ τὸ κρᾶμα τὸ ἐξ αὐτοῦ καὶ τῆς δυάδος γεγονός, ὅπερ οὗτοι βούλονται· λίαν γὰρ ἀσπάζονται τὴν τοῦ ἑνὸς ἀφθαρσίαν. ὥστε δῆλον ὅτι μίξει καὶ κράσει οὐ δύνανται οἱ ἀριθμοὶ ἐκ τῶν στοιχείων εἶναι. ἀλλὰ πότερον, φησί, συνθέσει τῶν στοιχείων εἰσὶ τὰ εἴδη, ὥσπερ ἡ συλλαβή; | ἀλλὰ τὰ συγκείμενα ἀνάγκη κεῖσθαί που, καὶ 804
χωρὶς ὁ νοῶν νοήσει τὸ ἓν καὶ χωρὶς τὸ πλῆθος. ἐπὶ μὲν γὰρ τοῦ μελικράτου οὐ δυνάμεθα χωρὶς νοεῖν τὸ μέλι καὶ χωρὶς τὸ ὕδωρ· κρᾶμα γὰρ γέγονε καὶ οὐδέτερον αὐτῶν ἐστιν οἷον πρὸ τῆς μίξεως· ἐπὶ δὲ τῶν συγκειμένων ἐπειδὴ τὰ αὐτά εἰσιν οἷα ἦν πρὸ τῆς συνθέσεως, ἀνάγκη χωρὶς νοεῖν τὸ ἓν καὶ χωρὶς τὸ πλῆθος, καὶ ἔσται ὁ ἀριθμὸς μονὰς καὶ πλῆθος ἢ τὸ ἓν καὶ ἄνισον. εἰ δὲ τοῦτο, ἐπεὶ καὶ ἔκ τινος γεγονὸς ἔστι μὲν ὡς ἀπὸ ἐνυπαρχόντων τῶν ἀφ' ὧν γέγονεν ὡς ὁ χαλκός (ἐνυπάρχει γὰρ τῷ ἀνδριάντι), ἔστι δὲ ὡς ἀπὸ μὴ ἐνυπαρχόντων (τὸ γὰρ σπέρμα, ἀφ' οὗ τὸ ζῷον γέγονεν, ἔφθαρται καὶ οὐκ ἐνυπάρχει αὐτῷ). κατὰ τίνα δὴ τούτων τῶν δύο τρόπων ὁ ἀριθμὸς συνθέσει τῇ τῶν στοιχείων γέγονε; τὸ μὲν οὖν ὡς ἐνυπαρχόντων τῶν στοιχείων ἐξ αὐτῶν γεγενῆσθαι λέγειν τὸν ἀριθμὸν ψεῦδος· ταῦτα γὰρ οὕτω γίνεται ὧν ἐστι γένεσις, τουτέστιν ἅπερ τεχνητά ἐστι· γένεσιν γὰρ νῦν τὴν τέχνην ἐκάλεσεν· ἐπὶ γὰρ τῶν τεχνητῶν ἐνυπάρχει ἐν [γὰρ] αὐτοῖς τὰ ἐξ ὧν εἰσιν, ἐπὶ μὲν τῆς οἰκίας οἱ λίθοι καὶ τὰ ξύλα, ἀνδριάντος ὁ χαλκὸς καὶ ἐπὶ τῶν ὁμοίων. αἱ δὲ ἰδέαι οὐ τεχνηταί. ἀλλὰ πότερον ὡς ἀπὸ σπέρματος: ὃ ἴσον ἐστὶ τῷ ἀλλὰ πότερον ὡς ἀπὸ μὴ ἐνυπαρχόντων τῶν ὡς ἀρχῶν αἱ ἰδέαι γεγόνασιν: ἀλλ' οὐχ οἷόν τέ τι, φησί, τοῦ ἀδιαιρέτου ἀπελθεῖν. ὃ δὲ λέγει δυνάμει τοιοῦτόν ἐστιν· τὸ μὲν σπέρμα φθείρεται καὶ οὐκ ἔστι, τὸ δὲ ἀδιαίρετον, τουτέστι τὸ ἀρχικὸν ἕν, οὐχ οἷόν τέ ἐστι κατ' αὐτοὺς φθαρῆναι, οὐδὲ ὅλως αὐτοί φασιν οἷόν τε ἐπινοῆσαι ὡς ἀπέρχεταί τι τῆς ⟨τοῦ⟩ ἑνὸς φύσεως ἢ τροπή τις περὶ αὐτὸ γίνεται. εἰ οὖν τὸ σπέρμα φθείρεται καὶ οὐκ ἔστι, τὸ δὲ ἓν κατ' αὐτοὺς ἄφθαρτον καὶ ἄτρεπτον, δῆλον ὅτι οὐδὲ κατὰ τὸν τρόπον τοῦτον δυνατὸν τοὺς ἀριθμοὺς ἐκ τῶν ἀρχῶν γεννᾶν. ἀλλὰ μήποτε ὥσπερ ἡμεῖς ἐκ τῆς στερήσεως τῆς τῷ εἴδει ἐναντίας φαμὲν γίνεσθαι τὰ πράγματα μὴ ὑπομενούσης, οὕτω χρὴ νοεῖν καὶ τὴν τῶν ἀριθμῶν γένεσιν. ἀλλ' ὅσα, φησίν, ἐξ ἐναν-

16 μίξεως Bonitz: λέξεως A 27 γὰρ del. Bonitz; sed legendum videtur c. F ἐνυπάρχει ἐνεργείᾳ αὐτὰ τὰ ἐξ ὧν 28. 29 fort. ἐπὶ δὲ ἀνδριάντος ὁ χαλκός, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως 35 τοῦ cum Bonitzio addidi

τίων γίνεται, καὶ ἐξ ὑποκειμένου τινὸς τρίτου γίνεται, ὡς ἐν τῷ Α δέδεικται τῆς Φυσικῆς ἀκροάσεως. ἐπεὶ οὖν τῷ ἑνὶ οἱ μὲν τὸ πλῆθος λέγουσιν εἶναι ἐναντίον, οἱ δὲ τὸ ἄνισον, ὡς ἴσῳ τῷ ἑνὶ χρώμενοι, δῆλον ὡς ἐξ ἐναντίων ἂν εἴη ὁ ἀριθμός. εἰ δὲ τοῦτο, δεῖ ἄρα εἶναί τι ὑποκεί-
5 μενον, ἐξ οὗ ὑπομένοντος καὶ θατέρου τοῦ ἑνὸς γίνεσθαι ἢ εἶναι τὸν ἀριθ- 30
μόν· οὐ γὰρ δὴ τὸ ἄνισον ἢ τὸ πλῆθος τῷ ἑνὶ ὑποκείσεται· ἐναντίον γάρ ἐστιν αὐτοῖς τοῦτο, ὡς αὐτοί φασιν, οὐδὲν δὲ ἐναντίον ὑπόκειται τῷ ἐναντίῳ αὐτοῦ· φθαρτικὰ γὰρ ἀλλήλων. ἔτι, φησί, διὰ τί τὰ μὲν ζῷα καὶ τὰ λοιπὰ πάντα, ὅσα ἐξ ἐναντίων γέγονε, φθείρεται, αἱ δὲ ἰδέαι ἐξ ἐναντίων
10 οὖσαι οὐ φθαρήσονται; εἰπὼν δὲ ὅσα ἐξ ἐναντίων ἐπήγαγεν ἢ οἷς ἐναν- 35
τία. οὐ γὰρ μόνον τὰ ἐξ ἐναντίων φθείρεται, ἀλλὰ καὶ τὸ θερμὸν καὶ λευκόν, οἷς ἐναν|τία εἰσὶ τῷ μὲν τὸ ψυχρὸν τῷ δὲ τῷ λευκῷ τὸ μέλαν. 805
ἐπεὶ δὲ πᾶσαν τὴν ἐναντιότητα, αὐτό φημι τὸ ἓν καὶ μὴ ἕν, εἰς τὴν τῶν ἰδεῶν σύστασιν οἱ ταύτας τιθέμενοι κατηναλῶσθαι ἔλεγον καὶ μηδὲν κατα-
15 λελεῖφθαι, ἔμελλε δέ τις λέγειν ὅτι εἰ μέν τι λελειμμένον τῆς ἐναντιότη- 5
τος ἐκτὸς ὂν τῶν ἰδεῶν, τότε εἰκὸς ἦν λέγειν ὅτι τὸ καταλειφθὲν μαχή-
σεται μετὰ τοῦ συνόντος ταῖς ἰδέαις καὶ φθερεῖ αὐτάς· ἐπεὶ δὲ οὐδὲν παραλέλειπται, τί ἂν εἴη τὸ δυνησόμενον αὐτὰς φθεῖραι; ἐπεὶ οὖν ἐμελλέ τις ταῦτα λέγειν, προσέθηκε τὸ κἂν ἐκ παντὸς εἴη τοῦ ἐναντίου τὰ
20 εἴδη καὶ μηδὲν ἀπελείφθη, φθαρήσεται· ὡς γὰρ τὸ νεῖκος κατ' Ἐμπεδο- 10
κλέα, ὅταν κατισχύσῃ τῆς φιλίας καὶ ὑπεισέλθῃ τὸν σφαῖρον, φθείρει αὐτόν, οὕτω καὶ τὰ ταῖς ἰδέαις ἐναντία τὸ ἓν καὶ οὐχ ἓν πρὸς ἄλληλα μαχόμενα φθεροῦσιν αὐτάς. μνησθεὶς δὲ τῆς τοῦ Ἐμπεδοκλέους δόξης, ὥσπερ καὶ αὕτη τὸ μῖγμα (λέγων μῖγμα τὸν σφαῖρον) φθείρει ὑπὸ τοῦ
25 νείκους, ἐπάγει καίτοι γε οὐκ ἔδει· οὐ γάρ ἐστιν ἐναντίον τῷ μίγματι τὸ νεῖκος. ὅμως εἰ τὸ νεῖκος, καίτοι μὴ ὂν ἐναντίον τῷ σφαίρῳ, ὅμως ὑπεισιὸν αὐτὸν φθείρει, πολλῷ μᾶλλον τὰ ἐναντία συνόντα ταῖς ἰδέαις 15
φθεροῦσιν αὐτάς.

p. 1092b 8 Οὐδὲν δὲ διώρισται οὐδὲ ὁποτέρως οἱ ἀριθμοὶ αἴτιοι
30 τῶν οὐσιῶν.

Τὸ λεγόμενον τοιοῦτον. πῶς οἱ εἰδητικοὶ ἀριθμοὶ αἴτιοί εἰσι τῶν τῇδε οὐσιῶν οὐδὲν λέγουσι. μήποτε οὖν, ὥσπερ αἱ στιγμαὶ ὅροι οὖσαι τῶν γραμμῶν ὁρίζουσιν αὐτάς, οὕτω δυνατὸν λέγειν ὅτι καὶ τὰ εἴδη ὡς πέρατα τῶν τῇδε οὐσιῶν ὁρίζουσιν αὐτάς, καὶ οὕτως αἴτια τούτων εἰσί, 20
35 καθάπερ καὶ ὁ Πυθαγόρειος Εὔρυτος ἔλεγε τοῦδε μὲν τοῦ φυτοῦ τόνδε τὸν ἀριθμὸν ὅρον εἶναι, καὶ ἄλλον μὲν ἵππου καὶ ἄλλον ἀνθρώπου, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. καὶ οὐ μόνον ἁπλῶς οὕτως ὁ Εὔρυτος ἔλεγεν ὅτι οἱ ἀριθμοὶ ὅροι εἰσὶ τῶν φυτῶν καὶ ἀνθρώπων καὶ βοῶν, ἀλλὰ καὶ ὥσπερ

---

1. 2 ἐν τῷ Α τῆς Φυσικῆς ἀκροάσεως] c. 7 22 "post ἰδέαις fort. addendum ὑποκείμενα ὄντα" Bonitz

ὁ ἀριθμητικός. ὅταν τὸν ἐννέα ἀριθμὸν τετράγωνον ὄντα καταγράφῃ, πρῶτον μὲν τρεῖς μονάδας κατ' εὐθεῖαν γράφει γραμμήν, εἶτα ἄλλας τρεῖς κατὰ παράλληλον καὶ αὐτὰς τῇ προτέρᾳ γραμμῇ, εἶτ' ἂν ἄλλας πάλιν τρεῖς κατὰ παράλληλον γραμμὴν τῇ δευτέρᾳ γραμμῇ, καὶ οὕτως ἀποτελεῖ παράλληλον σχῆμα, ὥσπερ ὑπόκειται, καὶ ἐπὶ τοῦ τρία τριγώνου ὄντος ὁμοίως πρῶτον μὲν γράφει μίαν μονάδα, εἶτα ὑπὸ ταύτην ἑτέρας δύο, καὶ οὕτως ἐξομοιοῖ τὸν τρία τῷ τριγώνῳ σχήματι, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· ὥσπερ οὖν ὁ ἀριθμητικός, οὕτως καὶ ὁ Εὔρυτος, ἐπειδὴ ἔφασκε τοὺς ἀριθμοὺς ὅρους εἶναι τῶν πραγμάτων. κείσθω λόγου χάριν ὅρος τοῦ ἀνθρώπου ὁ διακοσιαπεντήκοντα ἀριθμός, ὁ δὲ τξ' τοῦ φυτοῦ· τοῦτο θεὶς ἐλάμβανε ψηφῖδας διακοσίας πεντήκοντα, τὰς μὲν πρασίνας τὰς δὲ μελαίνας, ἄλλας δὲ ἐρυθρὰς καὶ ὅλως παντοδαποῖς χρώμασι κεχρωσμένας· εἶτα περιχρίων τὸν τοῖχον ἀσβέστῳ καὶ σκιαγραφῶν ἄνθρωπον | καὶ φυτὸν 806 οὕτως ἐπήγνυ τάσδε μὲν τὰς ψηφῖδας ἐν τῇ τοῦ προσώπου σκιαγραφίᾳ, τὰς δὲ ἐν τῇ τῶν χειρῶν, ἄλλας δὲ ἐν ἄλλοις, καὶ ἀπετέλει τὴν τοῦ μιμουμένου ἀνθρώπου διὰ ψηφίδων ἰσαρίθμων ταῖς μονάσιν, ἃς ὁρίζειν ἔφασκε τὸν ἄνθρωπον. τοῦτο ποιῶν ἔλεγεν ὅτι ὥσπερ ὅδε ὁ γεγραμμένος ἄνθρωπος ἐκ τῶν διακοσίων πεντήκοντα φέρε εἰπεῖν ἐστι ψηφίδων, οὕτως καὶ ὁ ἀληθὴς ἄνθρωπος ἐκ τοσούτων ὁρίζεται μονάδων. παραπλήσιον τούτῳ καὶ ἐπὶ τῶν τξ' ἐποίει, καὶ τὰς μὲν ἀνήλισκεν εἰς φύλλων τὰς δὲ εἰς κλάδων ἄλλας εἰς ῥιζῶν ἐκπλήρωσιν. καὶ ταῦτα ἅπερ ἐπὶ τοῦ ἀνθρώπου ἔλεγε, ταῦτα καὶ περὶ φυτοῦ καὶ τῶν ἄλλων, καὶ ὅλως ὅπερ νῦν οἱ γραφεῖς ποιοῦσι καὶ διὰ χρωμάτων ποικίλα καὶ παντοδαπὰ γράφουσι ζῷα, τοῦτο ἐκεῖνος διὰ τῶν κεχρωσμένων ψηφίδων ἐποίει, ἀφωμοίου τε καὶ εἰς σχῆμα συνετίθει τόνδε μὲν τὸν τῶν ψηφίδων ἀριθμὸν ἀνθρώπου, ἄλλον δὲ ἵππου, καὶ τοὺς ἄλλους εἰς ἄλλα εἴδη ζῴων καὶ φυτῶν. πότερον οὖν, φησίν, οὕτως εἰσὶν οἱ ἀριθμοὶ αἴτιοι τῶν τῇδε οὐσιῶν, ὥσπερ Εὔρυτος ἔλεγεν, ἢ ὅτι ὁ λόγος ἡ συμφωνία τῶν ἀριθμῶν, τουτέστιν ἢ ὅτι εἰ ὁ λόγος, καθ' ὃν γίνεται τὰ φυτὰ καὶ τὰ ζῷα, συμφωνία ἐστίν, ἡ δὲ συμφωνία κατ' ἀριθμοῦ σχέσιν, οἱ δὲ ἀριθμοὶ εἴδη, διὰ τοῦτο ἀνάγκη λέγειν ὅτι τὰ εἴδη αἴτιά εἰσι τῶν φυτῶν καὶ τῶν ἄλλων οὐσιῶν; ἀλλὰ κἂν τῶν οὐσιῶν αἰτίους τοὺς εἰδητικοὺς ἀριθμοὺς συγχωρήσωμεν, καίτοι μὴ ὂν ἀληθές, ἀλλὰ τά γε πάθη καὶ τὰ συμβεβηκότα πῶς φήσουσι γενέσθαι ἐκ τῶν ἀριθμῶν; οὕτως οὖν ἐρωτήσας τε περὶ τοῦ ἀριθμοῦ, ἐπειδὴ ἕκαστον τῶν ὄντων κατὰ τὸ οἰκεῖον εἶδος τοῦθ' ὅπερ ἐστὶ λέγεταί τε καὶ ἔστιν ἀλλ' οὐχὶ κατὰ τὴν ὕλην, δείκνυσιν ὅτι ἡ ἑκάστου οὐσία καὶ τὸ ἑκάστου εἶδος οὐκ ἔστιν ἀριθμός, τοῦτο δὲ ταὐτόν ἐστι τῷ μὴ εἶναι τοὺς ἀριθμοὺς ὅρους τῶν οὐσιῶν. λέγει δὴ ὅτι δὲ οὐχ οἱ ἀριθμοὶ οὐσίαι οὐδὲ αἴτιοι τῆς ἑκάστου μορφῆς καὶ φύσεως δῆλον. εἰ γὰρ ἡ ἑκάστου οὐσία καὶ τὸ εἶναι ὁ λόγος καὶ τὸ εἶδος αὐτοῦ ἐστιν, ὁ δὲ ἀριθμός, ἂν ὅλως συμβάληταί τι τοῖς πράγμασι, τὸ ποσόν ἐστι τῆς ἑκάστου ὕλης (ὁ γὰρ

---

5 παράλληλον] immo τετράγωνον 12 δὲ add. Brandis κεχρωμένας A

τέσσαρα ἀριθμὸς τὸ ποσὸν αὐτὸ καὶ τὸ μέτρον ἐστὶ πυρὸς γῆς ὕδατος ἀέρος, τῶν στοιχείων τῶν σωματικῶν), εἰ δὴ ἕκαστον κατὰ τὸ οἰκεῖον εἶδος λέγεταί τε καὶ ἔστιν, ὁ δ' ἀριθμὸς εἶδος μὲν τῶν πραγμάτων οὐκ ἔστιν, οὔτε μὴν ὕλη, ἀλλὰ τὸ ποσὸν καὶ τὸ μέτρον τῆς ὕλης, ψεῦδος ὅτι
5 οἱ ἀριθμοὶ αἴτιοί εἰσι τῆς ἑκάστου μορφῆς ἢ μορφαὶ αὐτῶν. ὅτι δὲ οἱ 30
ἀριθμοὶ τὸ ποσὸν καὶ μέτρον εἰσὶ τῆς ὕλης τῶν πραγμάτων, ἀλλ' οὐχὶ μορφαὶ αὐτῶν, ἀποχρῆται τοῖς Ἐμπεδοκλεῖ περὶ συστάσεως ὀστῶν ῥηθεῖσι· "τὰς δύο τῶν ὀκτὼ μοιρέων λάχε Νήστιδος αἴγλης, τέσσαρα δ' Ἡφαίστοιο, τὰ δ' ὀστέα λεύκ' ἐγένοντο." τοῦτο γὰρ παραξέει διὰ τοῦ ὁ δ' ἀριθ-
10 μὸς ὕλη, οἷον σαρκὸς ⟨ἢ⟩ ὀστοῦ ἀριθμὸς οὐσία οὕτως· τρία πυρός, 35
γῆς δύο. καὶ χρὴ στίζειν τελείαν εἰς | τὸ οὕτως, εἶτα ἐπάγειν τρία 807
πυρός, γῆς δύο. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ὁ δὲ ἀριθμὸς καὶ τὸ ποσὸν τῆς ὑλικῆς οὐσίας τοῦ ὀστοῦ τῷ Ἐμπεδοκλεῖ οὕτως ἐλαμβάνετο, τρία μὲν τοῦ πυρός, δύο δὲ τῆς γῆς· εἴρηται δὲ ἐν τοῖς Περὶ ψυχῆς ὅπως ταῦτα
15 Ἐμπεδοκλῆς ἐλάμβανεν. ἐπεὶ δὲ τρία μὲν πυρός, δύο δὲ γῆς, ἐπάγει καὶ 5
ἀεὶ πᾶς ἀριθμὸς ἢ πύρινός ἐστι ἢ γήινος, τουτέστιν ἢ πυρῶν ἐστιν ἢ γαιῶν, ἢ μοναδικὸς καὶ ἀσώματος. οὔτε δὲ ὁ μοναδικός ἐστιν ἤτοι ὁ μαθηματικὸς οὐσία τῶν πραγμάτων, οὔτε ὁ τῶν πυρῶν καὶ γαιῶν, ἀλλὰ τὸ πῦρ καὶ ἡ γῆ ὕλη μὲν καὶ οὐκ εἶδος τῶν πραγμάτων, ὁ δ' ἀριθμὸς αὐ-
20 τῶν καὶ τὸ μέτρον οὐδέτερον τούτων ἐστίν, ἀλλὰ γίνεται ἡ ἑκάστου οὐσία κατὰ τὴν τοσοῦδε πρὸς τοσόνδε μῖξιν. ἄλλο γάρ τι γίνεται ὅταν ἐστὶν ἓξ 10
μὲν πυρός, πέντε ἀέρος, τέτταρα ὕδατος, δύο δὲ γῆς, καὶ ἄλλο ὅταν ἓξ γῆς, τρία πυρὸς, δύο ἀέρος, πέντε ὕδατος, καὶ ὅλως ἄλλα κατ' ἄλλων μῖξιν. τοῦτο δὲ οὐκ ἔστιν ἀριθμὸς ἤτοι αὗται αἱ μονάδες αἱ ἀσώματοι καὶ
25 μαθηματικαί, ἀλλὰ λόγος τις σωματικῶν ἀριθμῶν ἤτοι ἀναλογία τις ἀριθμοῦ σωμάτων. καὶ ἐπίστησον ὡς εἰ τὰ ἁπλᾶ σώματα μὴ ἔστι τὰ τῶν 15
πραγμάτων εἴδη, ἀλλὰ τὸ ἐκ τοῦ λόγου τῆς τοιᾶσδε κράσεως ἀποτελούμενον, σχολῇ ἂν εἴη τὸν ἀριθμὸν καὶ τὸ μέτρον τῶν ἁπλῶν σωμάτων εἶναι τὰ τῶν πραγμάτων εἴδη.

30 Ταῦτα εἰπὼν συμπεραίνεται λέγων οὔτε οὖν τοῦ ποιῆσαι αἴτιος ὁ ἀριθμός, τουτέστιν οὔθ' ὡς τὸ σπέρμα ποιητικὴν ἔχει δύναμιν, κἄν τε ὁ μοναδικὸς καὶ μαθηματικὸς εἴη κἄν τε ὁ σωματικός, οὔθ' ὡς ὕλη 20
(ὕλη γὰρ τὰ σώματα, ὧν ὁ ἀριθμὸς ποσόν ἐστι καὶ μέτρον, οὐ τὸ μετροῦν ἀλλὰ τὸ μετρούμενον), οὔτε μὴν ὡς εἶδός ἐστιν ἐν τοῖς αἰσθητοῖς, οὔτε
35 ὡς τὸ οὗ ἕνεκα ἤτοι ὡς τὸ τελικόν.

---

3 μὲν Brandis Bonitz: μὴ τὸ A 4 μὴν Brandis Bonitz: μὲν A 8 τὰς δύο κτλ.] Empedocl. fragm. ed. Mullach v. 212 sq. μοιρέων] μοιράων A 9 παραξέει Brandis: παραξε᾽εἰ A: παραξύει Horkel: ᾐνίξατο coni. Bonitz τοῦ ὁ δ᾽ Brandis Bonitz: τοῦ δ᾽ ὁ A 10 ἢ addidi 14 ἐν τοῖς Περὶ ψυχῆς] A 5 18 post οὐσία add. τὴν A γαιῶν Brandis: γεῶν A 19 ὁ δ᾽ ἀριθμὸς scripsi: οὐδ᾽ ἀριθμὸς A 21 τοσοῦδε Brandis Bonitz: τοσόνδε A τοσόνδε coni. Bonitz: τόδε A 23 ἄλλων] ἄλλην coni. Bonitz 24 οὐκ ἔστιν] sic etiam Metaph. codd. EGᵇ: οὐκέτι Metaph. vulg. 32 ὡς ὕλη Syr. coni. Bonitz: ὡς ὕλης A

p. 1092b26 Ἀπορήσειε δ' ἄν τις καὶ τί τὸ εὖ ἐστι τὸ ἀπὸ τῶν ἀριθμῶν τῷ ἐν ἀριθμῷ εἶναι τὴν μῖξιν ἢ ἐν εὐλογίστῳ ἢ ἐν περιττῷ.

Εὐλόγιστον ἀριθμόν φησι τὸν ἄρτιον ὡς εὐδιαίρετον ἐν τοῖς λογισμοῖς καὶ ταῖς διανομαῖς. καὶ ἐπεί τινες τῶν Πυθαγορείων λέγειν οὐκ ὤκνουν ὅτι τὸ εὖ καὶ τὸ ἀγαθὸν ἀπὸ τῶν ἀριθμῶν ἑκάστῳ τῶν ἐνταῦθα περιγίνεται, ἐπειδὰν ἡ μῖξις τῶν μιγνυμένων ἐν ἀριθμῷ ἀρτίῳ ἢ περιττῷ γένηται, καὶ μάλιστα ἐὰν τελείως καὶ ὁμοίως καὶ κατὰ πολλαπλασιασμὸν γένηται, οἷον τρὶς τρία, ἀλλὰ μὴ τρία καὶ τρία (εἰ γὰρ κατὰ ἀριθμόν, φασί, τὸ μελίκρατον περιττὸν γένηται, ὡς εἶναι ἐν τῇ μίξει φέρε εἰπεῖν δύο μὲν λίτρας μέλιτος μίαν δὲ ὕδατος, ἢ κατὰ ἄρτιον, ὡς δύο μὲν μέλιτος καὶ δύο ὕδατος, ἢ κατὰ τετράγωνον, ἵν' ὦσι τρία μέλιτος, τρία ὕδατος, | τρία 808 κρόκου, εἰ οὖν κατά τινα, φασί, τῶν τοιούτων ἀριθμῶν τὸ μελίκρατον γένηται, ἀγαθὸν τὸ τοιοῦτόν ἐστιν ἑκάστῳ τῶν χρωμένων αὐτῷ, εἰ δὲ μὴ οὕτως, οὐ κἀγαθόν)· ἐπεὶ οὖν οὗτοι ταῦτ' ἔλεγον, λέγει ἀπορήσειεν ἄν τις πῶς τὸ εὖ, ἤτοι πῶς ἀγαθὸν καὶ ὠφελιμώτατον τὸ μελίκρατον τοῖς χρωμένοις γίνεσθαί φασιν. εἰ κατ' ἀριθμοὺς εὐλογίστους καὶ ἀρτίους ἡ κρᾶσις γένηται. καὶ μάλιστα ἐὰν τρὶς τρία ᾖ κεκραμένον· νῦν γὰρ ὁρῶμεν, οὐδέν ἐστιν ὑγιεινότερον καὶ ὠφελιμώτερον, ἂν ᾖ τρὶς τρία καὶ ἐπικρατῇ ἡ τοῦ μέλιτος φύσις, ἀλλὰ μᾶλλον ὠφελήσειεν, ἐὰν ὑδαρὴς ᾖ καὶ οὐχ ὡρισμένη λόγῳ. ὡς οὖν ἐπὶ τοῦ μελικράτου, οὕτω καὶ ἐπὶ τῶν φυσικῶν σωμάτων ῥητέον ψεῦδος εἶναι τὸ λέγειν τὴν γένεσιν αὐτῶν εἶναι ὡς ὁ Ἐμπεδοκλῆς, κἂν ἄλλος τις Πυθαγόρειος οὕτω λέγῃ, βούλεται. ὁ γὰρ Ἐμπεδοκλῆς φησι τὰ ὀστᾶ καὶ τὸ εὖ αὐτοῖς γίνεσθαι, ὅταν ἡ μῖξις τῶν στοιχείων οὕτωσὶ γένηται ὥστε ἔχειν τὸ πῦρ πρὸς τὴν γῆν λόγον ὃν ἄρτιος ἀριθμὸς πρὸς ἄρτιον, τουτέστιν ὃν ὁ δ' πρὸς τὸν β', καὶ τὸ εὖ τῶν ὀστῶν ἐστι τὸ ἔχειν τὸ ἐν αὐτοῖς πῦρ καὶ τὴν γῆν, ὃν ἄρτιος ἀριθμὸς πρὸς ἄρτιον. ὅπερ ψεῦδος· μᾶλλον γὰρ ἂν γενήσονται ὀστᾶ καὶ τὸ εὖ ἕξουσιν, ὅταν ἐν οὐδενὶ λόγῳ ὑφ' ἡμῶν ὁρισθέντι ἡ τῶν στοιχείων μῖξις γένηται. καὶ οὐ τοῦτό φησιν ὁ δαιμόνιος Ἀριστοτέλης ὅτι οὐκ ἐν λόγῳ τινὶ ἡ μῖξις γίνεται, ἀλλ' ὅτι οὐ λόγῳ οἵους οὗτοι λέγουσιν, ἀλλὰ λόγῳ μὲν ἡμῖν ἀδήλῳ, τῷ θεῷ δὲ καὶ τῇ φύσει γνωρίμῳ, διὰ τὸ μηδὲν μάτην μηδ' ἀλόγως ὑπ' αὐτῶν γίνεσθαι. ἀλλ' ἡ μὲν τῶν λεγομένων διάνοια εἴρηται, τὰ δὲ κατὰ τὴν λέξιν οὕτως. ἀπορήσειε δ' ἄν τις καὶ τί τὸ εὖ ἐστι τὸ ἀπὸ τῶν ἀριθμῶν, τουτέστι τί ποτέ ἐστι τὸ ἑπόμενον τοῖς πράγμασιν εὖ τῷ ἐν ἀριθμῷ εἶναι τὴν μῖξιν, ἤτοι ὅταν

---

2 τῷ] τὸ Metaph. 8 τελείως καὶ ὁμοίως Syr. cf. p. 830,2: τέλειον καὶ ὅμοιον A 9 οἷον — γένηται (10) om. A[1] 13 τινα Bonitz: τι γὰρ A 18 κρᾶσις Brandis Bonitz: κρίσις A post ὁρῶμεν addendum ὡς censet Bonitz coll. p. 830,5 28 γενήσονται Brandis Bonitz: γενήσωνται A 31 ὅτι Brandis: om. A 32 γνωρίμῳ Brandis Bonitz: γνώριμον A 35. 36 ἑπόμενον Brandis Bonitz: ἐγόμενον A 36 τῷ ἐν Bonitz: ἐν τῷ A

ἡ μῖξις ἐν ἀριθμῷ γένηται περισσῷ ἢ ἀρτίῳ. εἶτα προσυπακουστέον τοῦ καὶ μάλιστα ἐὰν τελείως καὶ ὁμοίως καὶ ἐν πολλαπλασίονι ἀναλογίᾳ, ὡς οὗτοι βούλονται, ἡ μῖξις γένηται, καὶ οὕτως ἐπακτέον, ὡς ἀνασκευαστικὸν τοῦ μὴ τὸ εὖ ἀπὸ τῶν ἀριθμῶν τοῖς πράγμασι γίνεσθαι, ὅταν ἐν πολλαπλασίονι ἀναλογίᾳ ἡ μῖξις γένηται· νῦν γὰρ ὁρῶμεν ὡς οὐδὲν ὑγιεινότερον τρὶς τρία ἂν ᾖ τὸ μελίκρατον κεκραμένον, ἀλλὰ μᾶλλον ὠφελήσειεν ὕδαρὲς ὂν ἤπερ ἐν ἀριθμῷ ἄκρατον ὄν. τὸ δὲ ἄκρατον πρόσκειται, διότι ὅταν ἐν ἀριθμῷ γένηται ἡ τοῦ μέλιτος καὶ ὕδατος μῖξις, ἀκρατέστερον καὶ ἀμιγέστερόν ἐστι τὸ μέλι καὶ μᾶλλον φυλάττον τὴν οἰκείαν φύσιν, ὅταν δὲ ὑδαρές, κεκράτηται ὑπὸ τοῦ ὕδατος, καὶ διὰ τοῦτο οὐδὲ ἐν ἀριθμῷ ὡρισμένῳ ἐστὶν ἡ τούτων μῖξις· ὥστε τὸ 809 ἄκρατον ἀντὶ τοῦ ἀκρατέστερον εἴρηται.

p. 1092b30 Ἔτι οἱ λόγοι ἐν προσθέσει ἀριθμῶν εἰσιν οἱ τῶν μίξεων.

Τὸ εὖ ἐκ τῶν ἀριθμῶν ἕπεσθαι τοῖς πράγμασιν, ὡς εἴρηται, λέγοντες, ὅταν τὰ στοιχεῖα κατ' ἀριθμοὺς μιχθῇ, καὶ μάλιστα ὅταν ἐν πολλαπλασιασμῷ, δείκνυσιν ὅτι ὅλως ἡ τῶν στοιχείων μῖξις ἐν πολλαπλασιασμῷ οὐ γίνεται. οἱ λόγοι γάρ, φησίν, τῆς τῶν στοιχείων μίξεως προσθέσει ἢ κατὰ σύνθεσιν ἀριθμῶν εἰσιν. ἀλλ' οὐκ ἐν ἀριθμοῖς, τουτέστιν ἐν πολλαπλασιασμοῖς. πολλαπλασιασμὸς γάρ ἐστι τὸ τρὶς τρία ἢ τρὶς δύο· ἐπὶ δὲ τῆς τῶν στοιχείων μίξεως οὐχ οὕτω φαμέν. ἀλλὰ γίνεσθαι λέγομεν ὀστᾶ, ὅταν τὸ πῦρ πρὸς τὴν γῆν ἔχῃ ὡς ὁ τέσσαρα πρὸς τὸν δύο. ἄλλο οὖν τὸ λέγειν ὅτι τετράκις δύο, καὶ ἄλλο τὸ ὡς τέσσαρα πρὸς δύο. ἐκεῖ μὲν γὰρ λέγομεν ὅτι ταδὶ τὰ πράγματα τετράκις δύο εἰσί, τουτέστιν ὀκτώ εἰσι ταῦτα, ἐνταῦθα δὲ ὅτι, ὡς ἄλλο πρὸς ἄλλο, οὕτως ἄλλο πρὸς ἄλλο. εἰπὼν δὲ ὅτι ἐν τῇ τῶν στοιχείων μίξει συντίθενται μᾶλλον οἱ ἀριθμοί, ἀλλ' οὐ πολλαπλασιάζονται, τὴν αἰτίαν δι' ἣν οὐ πολλαπλασιάζονται λέγει· τὸ γὰρ αὐτό, φησί, δεῖ γένος εἶναι ἐν ταῖς πολλαπλασιάσεσιν. ὃ δὲ λέγει δυνάμει τοιοῦτόν ἐστιν· ἐπεὶ γὰρ ἐν τοῖς πολλαπλασιασμοῖς ἡ μία πλευρὰ καὶ ὁ εἷς ἀριθμὸς μετρεῖ τὸν ὅλον ἀριθμόν, τὸν μθ' ὁ ζ' καὶ τὸν ξδ' ὁ η', τὸν ιβ' ὁ γ' ἢ ὁ δ', εἰ ἦν καὶ τὸ τοῦ ἀνθρώπου σῶμα, ἐφ' οὗ αβγ', ἀπὸ πολλαπλασιασμοῦ γεγονός, ἔδει αὐτὸ τῷ α' μετρεῖσθαι καὶ εἶναι τῷ α' ὁμοειδῆ τὰ β' καὶ γ', ὥσπερ καὶ ὁ ζ' ὁ τὸν μθ' μετρῶν ὁμοειδής ἐστι ταῖς λοιπαῖς ἓξ ἑπτάσιν. ἀλλὰ κἂν ἵππου σῶμα ἦν, ἐφ' οὗ δεζ', ἔδει καὶ αὐτὸ τῷ δ' μετρεῖσθαι. ἀλλ' ἀδύνατον· ἀνάγκη γὰρ καὶ πῦρ καὶ γῆν καὶ τὰ ἄλλα στοιχεῖα εἰς σύστασιν τούτων παραλαμβάνεσθαι, ταῦτα δὲ ἑνὶ καὶ τῷ αὐτῷ μετρεῖσθαι οὐ δύνανται. τὰ γὰρ ὑφ'

---

2 ἀναλογίᾳ Brandis Bonitz: ἀναλόγως A 18 προσθέσει ἢ Brandis Bonitz: προσθέσεως A 20 τρὶς δύο Brandis Bonitz: τρία δύο A 21 γίνεσθαι Brandis Bonitz: γενέσθαι A 22 τέσσαρα Bonitz: δύο A 31 η' Brandis Bonitz: ς A 33 τῷ α' ὁμοειδῆ τὰ Brandis: τὸ α' ὁμοειδῆ τῷ A

ἑνὸς μετρούμενα ὁμοειδῆ ἀλλήλοις τε καὶ τῷ μετροῦντι· οἱ γὰρ δέκα ἵπποι τῷ ἑνὶ ἵππῳ καὶ οἱ μθ' ὁμοίως τῷ ἑνὶ ἢ τῇ μιᾷ ἑπτάδι. τὸ δὲ οὐκοῦν ἔσται πυρὸς δὶς πέντε τρὶς ἑπτὰ οὕτως ἐπῆκται ὡς εἰ ἔλεγεν, ἡ μὲν γῆ καὶ τὸ πῦρ καὶ τὸ ὕδωρ ἑνὶ καὶ τῷ αὐτῷ μετρεῖσθαι οὐ δύνανται· ἀνομοειδῆ γὰρ εἰσιν· εἰ δὲ ἦσαν δέκα πυρὰ ἢ κ' καὶ εἷς ἀέρες, ἐμετρήθησαν ἂν τῷ αὐτῷ καὶ ἑνί, τὰ μὲν πυρὰ τῷ β' ἢ τῷ ε' (δὶς γὰρ πέντε ἢ πεντάκις δύο δέκα). οἱ δὲ ἀέρες τοῖς τρισὶν ἀέρσι ἢ τοῖς ζ'· τρὶς γὰρ ἑπτὰ ἢ ἑπτάκις τρεῖς κα'. ὁμοίως καὶ εἰ ὕδατος ἦσαν. τῷ ὕδατι ἂν ἐμετρήθησαν. καὶ ἡ μὲν τῶν λεγομένων οἶμαι διάνοια αὕτη· ἐν δὲ τῇ λέξει τὸ τὸ γὰρ αὐτὸ γένος δεῖ εἶναι ἐν ταῖς πολλαπλασιάσεσιν ἴσον ἐστὶ τῷ ἓν γὰρ γένος ἤτοι ἓν τῷ ὑποκειμένῳ ἤτοι ὁμοειδὲς δεῖ εἶναι τὸ μετροῦν τοῖς μετρουμένοις ἐν ταῖς πολλαπλασιάσεσιν.

Ταῦτα εἰπὼν ἐπιφέρει εἰ δ' ἀνάγκη πάντα ἀριθμοῦ κοινωνεῖν, τουτέστιν εἰ πάντα τὰ πράγματα κοινωνεῖ ἀριθμοῦ, καὶ πᾶς ἀριθμὸς ἐν τοῖς πράγμασίν ἐστιν, ἀνάγκη πολλὰ πράγματα τῷ αὐτῷ ἀριθμῷ χρῆσθαι καὶ πολλοὺς ἀριθμοὺς τοῦ αὐτοῦ καὶ ἑνὸς εἶναι· εἰ δὲ τοῦτο, τὰ διαφέροντα κατ' εἶδος τοῖς αὐτοῖς ἀριθμοῖς κοσμηθήσεται, καὶ ἔσται ὁ ἵππος ὁ αὐτὸς τῷ ἀνθρώπῳ, καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἔσται ὁ ἄνθρωπος καὶ βοῦς καὶ ἵππος. πῶς δὲ τοῦτο συμβαίνει, δῆλον ἔσται ὧδε. ἐπεὶ γὰρ πάντα ἀριθμὸν [□× Δ× κύβον] ἐντὸς δεκάδος περικλείουσι (τὸν γὰρ ια' καὶ ιβ' καὶ ιγ' ἀνάκαμψιν καὶ ἐπισύνθεσιν τοῦ ἑνὸς τῶν δύο τῶν ὁμοίων τῇ δεκάδι), συμβαίνει εἰ κατὰ τὴν δυάδα ὁ λέων κεκόσμηται καὶ ἔστι, κατὰ δὲ τὴν τριάδα ὁ ἵππος, κατὰ τὴν τετράδα ὁ βοῦς, τὴν πεντάδα ὁ σῦς, τὴν δὲ ἑξάδα ὁ κύων, τὴν ἑπτάδα ὁ ταῦρος, τὴν ὀκτάδα ὁ κριός, τὴν ἐννεάδα ὁ λύκος, τὴν δεκάδα ὁ ἐλέφας, — εἰ δὴ ταῦτα κατ' αὐτοὺς κεκόσμηται, συμβαίνει τὴν περιστερὰν καὶ κορώνην καὶ ἔλαφον καὶ τὰ λοιπά, μᾶλλον δὲ ἀνάγκη κατά τινα καὶ αὐτὰ τῶν ἐντὸς τῆς δεκάδος εἶναι ἀριθμῶν· ὥστε εἴπερ ἔσται ἡ περιστερὰ κατὰ τὸν τρία, κατὰ τὸν αὐτὸν δέ ἐστι καὶ ὁ ἵππος, ἔσται ἡ περιστερὰ ἡ αὐτὴ τῷ ἵππῳ, ὅπερ ἀδύνατον. καὶ ἐπεὶ ὁ μὲν λέων κατὰ τὴν δυάδα ἐστὶ καὶ ὁ ἵππος κατὰ τὴν τριάδα καὶ ὁ βοῦς κατὰ τὴν τετράδα, ὁ δὲ σῦς κατὰ τὴν πεντάδα, ἔσται ὁ σῦς καὶ λέων καὶ ἵππος ⟨καὶ⟩ βοῦς. εἰπὼν δὲ ὅτι ἀνάγκη πολλὰ συμβαίνειν τὰ αὐτὰ καὶ ἀριθμὸν τὸν αὐτόν, οἷον τὸν τρία ἤτοι τὸν ἵππον, καὶ τῷδε καὶ ἐν ἄλλῳ [ἀριθμῷ], οἷον συῖ καὶ βοῖ εὑρίσκεσθαι, ἐρωτᾷ ἆρ' οὖν τοῦτο αἴτιον, ἤτοι ἆρ' οὖν τὸ κοινωνεῖν πάντα ἀριθμοῦ αἴτιόν ἐστι τοῦ εἶναι τὰ πράγματα καὶ ὡς ἀληθῶς κατὰ ἀριθμὸν κεκόσμηται, ἢ ἄδηλον; καὶ τοῦτο ἐρωτήσας, ὅπερ διὰ τοῦ ἀνάγκη πολλὰ συμβαίνειν τὰ αὐτά, καὶ ἀριθμὸν τὸν αὐτὸν τῷδε καὶ ἄλλῳ ἠνίξατο, σαφῶς ἐκτίθεται λέγων οἷον ἔστι τις τῶν τοῦ ἡλίου φορῶν καὶ σελήνης ἀριθμὸς

---

5 κ' καὶ εἷς e F recepi: κ' καὶ ιγ' A: κα' coni. Bonitz 5 et 7 ἀέρες Brandis Bonitz: ἄρρες A 9 λέξει τὸ Bonitz: λέξει τῇ A 10 εἶναι] deficit comment. in codice A 14 κοινωνεῖ Syr.: ἐκοινώνει Brandis Bonitz 21 post ἀνάκαμψιν fort. addendum φασιν ὁμοίων] fort. τριῶν 32 καὶ addendum censet Bonitz 33 καὶ ἐν τῷδε coni. Bonitz

καὶ ἑκάστου βίου τῶν ζῴων καὶ ἡλικίας· τί οὖν κωλύει, μᾶλλον 30
δ' ἀναγκαῖον, ὡς αὐτοί φασιν, ἐνίους τούτων τετραγώνους εἶναι,
ἄλλους δὲ κύβους καὶ ἴσους· ὥστε εἰ πάντα ἀριθμοῦ κοινωνεῖ, ἐνδέχεται,
εἰ δεῖ τὸ ἀναγκαῖον ἐνδεχόμενον λέγειν, ὑπὸ τὸν αὐτὸν ἀριθμὸν πί-
5 πτειν πλείονα καὶ διαφέροντα, ὥστε εἴ τισιν ὁ αὐτὸς ἀριθμὸς
συμβέβηκεν, ὁμοειδῆ ἂν εἴη ἀλλήλοις κατὰ τὸν αὐτὸν ἀριθμὸν ὄντα.
εἰ δέ τις ἐνιστάμενος λέγοι ὅτι καὶ ὁ ἵππος λόγου χάριν καὶ ὁ βοῦς κατὰ 35
τὸν κύβον ἔσονται, ἀλλ' ὁ μὲν κατὰ τὸν ὀκτὼ ὁ δὲ κατὰ τὸν κζ', καὶ
οὐκ ἔσονται οἱ αὐτοί, ἐπεὶ μὴ ὁ ὀκτὼ ὁ αὐτός ἐστι | τῷ κζ', εἰ οὖν 811
10 τις τοῦτο λέγει, γινωσκέτω ὅτι οἱ κύβοι καθὸ κύβοι οὐδὲν διαφέρουσιν,
ὥσπερ οὐδὲ τὸ παιδίον καὶ ὁ γίγας καθὸ ἄνθρωποι, ἀλλὰ μόνον κατὰ τὸ
μεῖζον καὶ ἔλαττον, καὶ τὰ ὑπὸ τοὺς κύβους κατὰ μὲν τὸ εἶδος οὐκ ἂν
διαφέροιεν, ἀλλ' εἴπερ ἄρα, κατὰ τὸ μέγεθος.

p. 1093a13 Ἀλλὰ διὰ τί αἴτια ταῦτα; τὰ ἑπτὰ μὴν φωνήεντα, 5
15 ἑπτὰ δὲ χορδαὶ ἡ ἁρμονία.

Τὸ λεγόμενον οὕτως ἐπῆκται ὡς εἰ ἔλεγεν 'ἀλλ' ἴδωμεν αὐτῶν τὰς
κατασκευάς, δι' ἃς αἴτια λέγουσι ταῦτα (ταῦτα λέγων τοὺς ἀριθμούς)
τῶν πραγμάτων'. τὴν ἑπτάδα γάρ φασιν ἐπαινοῦντες ὡς δι' αὐτὴν ἑπτὰ
μέν εἰσι φωνήεντα, δι' ὧν ἡ ἐγγράμματος ἀποτελεῖται φωνή, ἑπτὰ δὲ
20 φθόγγοι τῆς διὰ πασῶν καὶ ἁρμονίαι τοσαῦται (καίτοι δόξειεν ἂν πέντε ἢ 10
ἓξ εἶναι ἄχρι τῆς δὶς διὰ πασῶν)· ἔτι δὲ τὰς Πλειάδας ἑπτά, ἐν ἑπτὰ δὲ
ἔτεσι τοὺς ἐκ γενετῆς ὀδόντας βάλλει ἤτοι ῥίπτει καὶ ἄλλους ἐκφύει τὰ
ζῷα, οἷς ἐπιφωνεῖ πάνυ ἐλεγκτικῶς τὸ ἔνιά γε, ἔνια δ' οὔ. πολλὰ
γὰρ τῶν ζῴων οὐκ ἐν ἑπτὰ ἔτεσι τοὺς ὀδόντας βάλλει, ὡς ἐν τῇ Περὶ
25 ζῴων ἱστορίᾳ εἴρηται. ἀλλὰ καὶ διὰ τὸν ἑπτά φασιν ἀριθμὸν γενέσθαι 15
τοὺς ἐν Θήβαις ὑπὸ Ἐτεοκλέους ἑπτὰ στρατηγούς. θεὶς οὖν ταῦτα δείκνυσιν
ὡς οὐδὲν τούτων διὰ τὸν ἑπτὰ ἀριθμὸν γίνεται. οὔτε γὰρ διὰ τὸν ἑπτὰ
οἱ ἑπτὰ στρατηγοὶ ἦσαν, οὔτε αἱ Πλειάδες ὁμοίως ἑπτά, ἀλλ' ἐπειδὴ αἱ
μὲν Θῆβαι ἑπτάπυλοι ἦσαν, ἐν ἑκάστῃ δὲ πύλῃ ὁπλίτας παρέστησεν ὁ
30 Πολυνείκης κατεάξαι αὐτὰς ἢ κατακαῦσαι. ἐπὶ τούτῳ ἀντιπαραταττόμενος 20
ἔνδοθεν ὁ Ἐτεοκλῆς πεποίηκε στρατηγούς, καὶ ἱκανοὺς στρατιώτας δοὺς
αὐτοῖς ἐπέστησεν αὐτοὺς ἐν ἑκάστῃ τῶν πυλῶν· εἰ δὲ πεντάπυλος ἦν,
πέντε ἂν καὶ οἱ στρατηγοὶ ἐγένοντο. τὴν δὲ Πλειάδα ἡμεῖς μὲν οὕτως
ἀριθμοῦμεν καὶ δι' ἑπτὰ ἀστέρων καταστερίζομεν, τὴν δὲ ἄρκτον διὰ
35 δώδεκα, οἱ δὲ Χαλδαῖοι προστιθέασι καὶ ἄλλους ἀστέρας καὶ τῇ Πλειάδι
καὶ τῇ ἄρκτῳ· ὥστε εἰ διὰ τὸν ἑπτὰ ἦν ἡ Πλειὰς ἐξ ἑπτὰ ἀστέρων, διὰ 25
τὸν δώδεκα ἡ ἄρκτος ἐκ δώδεκα, πάντες ἂν ὡς οἱ Ἕλληνες συνέταττον

14 τὰ—μὴν] ἑπτὰ μὲν Metaph. 15 ἡ ἁρμονία] sic etiam Metaph. cod. E, sed cf. 20: ἢ ἁρμονίαι Metaph. vulg. 23 γε e Syriano Bonitz: δὲ Brandis 24. 25 ἐν τῇ Περὶ ζῴων ἱστορίᾳ] B 1. 2 p. 501b1 sqq. 25 φασιν coni. Bonitz: φησιν Brandis
31 "ante πεποίηκε adde ἑπτά" Bonitz

αὐτάς, ἀλλ' οὐχὶ οἱ Ἕλληνες οὕτω, Χαλδαῖοι δὲ καὶ Βαβυλώνιοι τὴν τῶν καταστερισμῶν θέσιν ἐποίουν ἄλλως. πρὸς τούτοις καὶ τὰ διπλᾶ σύμφωνα ζ ξ ψ τρία φασὶν εἶναι διότι καὶ αἱ συμφωνίαι τρεῖς, καὶ ἀνάγειν αὐτῶν ἕκαστον εἰς ἑκάστην τῶν συμφωνιῶν πειρῶνται, τὸ μὲν ζ εἰς τὴν διὰ τεσσάρων, τὸ δὲ ξ εἰς τὴν διὰ πέντε, τὸ δὲ ψ εἰς τὴν διὰ πασῶν. τοῦτο εἰπὼν ἐπιφέρει ὅτι δὲ μυρία ἂν εἴη τοιαῦτα, οὐθὲν μέλει, τουτέστιν ὅτι δὲ μυρία ἂν συμβαίη διπλᾶ εἶναι ἐξ ὧν λέγουσιν, οὐθὲν αὐτοῖς μέλει. πῶς δὲ καὶ ἄλλα πάμπολλα συμβαίνει διπλᾶ γίνεσθαι ἐξ ὧν φασι, τὴν αἰτίαν ἐπάγει λέγων τὸ γάρ γ καὶ ρ εἴη ἂν ἓν σημεῖον. εἰ γὰρ διότι αἱ συμφωνίαι τρεῖς, διὰ τοῦτο καὶ τὰ διπλᾶ, ὡς αὐτοί φασι, τρία ἐστίν, ἐπειδὴ πέντε ἢ ἕξ εἰσιν οἱ φθόγγοι ἄχρι τῆς διὰ πασῶν, ἔσονται καὶ τὰ διπλᾶ ἕξ· εἰ δὲ | τοῦτο, συμβήσεται καὶ τὸ γ καὶ ρ ἓν εἶναι στοιχεῖον, 812 ἀλλὰ καὶ τὸ λ καὶ ν καὶ τὰ λοιπὰ ὁμοίως. ἀντὶ δὲ τοῦ εἰπεῖν ὅτι συμβαίνει τὸ γ καὶ ρ ἓν εἶναι στοιχεῖον, εἶπεν ὅτι ἓν σημεῖον, διότι ἓν ἕκαστον γράμμα σημεῖόν ἐστί τινων μονάδων· τὸ μὲν γὰρ β δύο μονάδων, τὸ δὲ γ τριῶν, τὸ ζ ἑπτά, τὸ ξ ἑξήκοντα καὶ τὰ λοιπὰ ὁμοίως· ὥστε κἂν διπλοῦν γένηται στοιχεῖον ἐκ τοῦ γ καὶ ρ, σημεῖον ἂν ἦν καὶ ἐκεῖνο τινῶν μονάδων. ταῦτα εἰπὼν λέγει αὐτὸς τὴν αἰτίαν καθ' ἣν συνέβη τρία μόνα εἶναι τὰ διπλᾶ καὶ οὐ πλείω, λέγων εἰ δὲ ὅτι διπλάσιον τῶν ἄλλων ἕκαστον, ἄλλο δ' οὔ, ἤτοι εἰ δὲ εἰκός ἐστι λέγειν ὅτι διὰ τοῦτό εἰσι τρία τὰ διπλᾶ, ὅτι ἕκαστον διπλάσιόν ἐστι τῶν ἄλλων (τὸ γὰρ ζ διπλάσιόν ἐστι τοῦ δ ἢ τοῦ σ καὶ τὸ ξ τοῦ σ ἢ τοῦ κ, καὶ τὸ ψ ὁμοίως τοῦ π ἢ τοῦ σ), — εἰ οὖν διὰ τοῦτό εἰσι τρία, ὅτι διπλάσιόν ἐστιν ἕκαστον ἑνὸς ὁποιουοῦν τῶν συνιστώντων αὐτό, τοῦτο ἂν αἴτιον τοῦ εἶναι τρία τὰ διπλᾶ καὶ ἄλλο οὐθέν. καὶ τὴν αἰτίαν ἐπάγει δι' ἣν ἐκ τοῦ διπλασίονα εἶναι τὰ διπλᾶ ὁποιουοῦν τῶν ἁπλῶν τρία εἰσί, λέγων αἴτιον δὲ τοῦ τρία εἶναι τὰ διπλᾶ ἐκ τοῦ διπλασίονα εἶναι τῶν ἄλλων, ὅτι τριῶν ὄντων ἐν τῷ στόματι τόπων, καθ' οὓς τὸ σ ἐπιφέρεται ἄλλου προηγουμένως ἐκφωνουμένου· ἐν γὰρ τῷ ψέγω ῥήματι προηγουμένως τῷ π ἐκφωνουμένῳ ἐπιφέρεται τὸ σ ἓν σύμφωνον· καὶ διὰ τοῦτο τρία εἰσὶ σύμφωνα, ἀλλ' οὐχ ὅτι τρεῖς αἱ συμφωνίαι. τρεῖς οὖν, ὡς εἴρηται, ἐν ὅλῳ τῷ στόματι, καθ' οὓς πληγῶν τινων γινομένων τὰ σύμφωνα ἐξηχεῖται, ὅ τε ἐκτὸς τῶν ὀδόντων καὶ ὁ λεγόμενος οὐρανίσκος καὶ αὐτοὶ οἱ ὀδόντες· τῆς γὰρ γλώσσης ἢ μέρει τινὶ τοῦ οὐρανίσκου προσπιπτούσης ἢ πελαζούσης ἢ τοῖς ὀδοῦσιν, ἢ τῶν χειλέων ἀλλήλοις προσπιπτόντων ἢ πελαζόντων, ἡ τῶν συμφώνων ἀποτελεῖται ἀπήχησις. καὶ ἐν τοῖς ῥηθεῖσι τρισὶ τόποις, ὅταν μὴ αὐτοῦ τοῦ σ προηγουμένως τὸν ψόφον ἐκφέρωμεν, οὐ πλεονάκις ἢ ἅπαξ ἐν ἑκάστῳ τῶν τόπων σ ἐξακούεται, ἀλλ' ἐν μὲν μέσῳ τῷ οὐρανῷ ἅπαξ μέρος γινόμενον τοῦ ξ, ἐν δὲ τοῖς ὀδοῦσιν ἅπαξ τοῦ ζ, καὶ ἐν τοῖς χείλεσιν ὡσαύτως σὺν τῷ π τὸ ψ συμπληροῦν. διὰ οὖν τοῦτο τρία τὰ διπλᾶ, ἀλλ' οὐχ ὅτι αἱ συμφωνίαι τρεῖς. εἰ γὰρ διὰ τὸ τὰς συμφωνίας

28 τὸ σ] sic Metaph. quoque unus codex τῷ σ Metaph. vulg. 31 post εἴρηται addendum τόποι 36 ἐν coni. Bonitz: οὖν Brandis

τρεῖς εἶναι εἰσὶ τὰ διπλᾶ τρία, ἐπειδὴ ἐκ τῶν πρώτων συμφωνιῶν, τῆς διὰ τεσσάρων, τῆς διὰ πέντε, τῆς διὰ πασῶν, συντεθεισῶν συμφωνίαι ἄλλαι γίνον- 30
ται, ἥ τε δὶς διὰ πασῶν καὶ αἱ λοιπαί, ἔδει καὶ ἐκ τῆς τῶν διπλῶν τοῦ τε ζ καὶ ξ ἄλλο τι γίνεσθαι στοιχεῖον· ἀλλ' οὐ γίνεται. οὐκ ἄρα ταῦτα ἐκεί-
5 νοις ὅμοια, οὐδὲ μὴν δι' ἐκείνας τοσαῦτα. ἀλλὰ καὶ Ἀρχῖνος ταύτῃ τῇ ἀποδόσει ἐχρῆτο, ὡς Θεόφραστος ἱστορεῖ· ἔλεγε γὰρ Ἀρχῖνος ἢ ἔξω τι παρὰ τὴν μύσιν τῶν χειλέων ἐκφωνεῖσθαι, ὥσπερ τὸ π, καὶ διὰ τοῦτο τὸ 35
ψ πρὸς τῷ ἄκρῳ γεννᾶσθαι τῆς γλώττης ὡς ἐκ τοῦ π καὶ σ συγκείμενον, ἢ τῷ πλάτει τῆς γλώττης παρὰ τοὺς ὀδόντας, ὥσπερ τὸ δ, | καὶ διὰ 813
10 τοῦτο τὸ ζ κατὰ ταύτην γεννᾶσθαι τὴν χώραν, ἢ τῷ κυρτῷ πιεζομένῳ ἐκ τοῦ ἐσχάτου, ὥσπερ τὸ κ, ὅθεν τὸ ξ προϊέναι.

p. 1093a26 Ὅμοιοι δὴ καὶ οὗτοι τοῖς ἀρχαίοις Ὁμηρικοῖς.

Τῶν ἐξηγουμένων τὸν Ὅμηρόν τινες τὸ ἀκόλουθον πρὸς ἑαυτοὺς μὴ σώζοντες ἐπὶ γλίσχρας καὶ καταγελάστους ὑπονοίας καταφέρονται. ἀλλὰ 5
15 πρὸ τῆς τῶν λεγομένων σαφηνείας ῥητέον ὀλίγα τινὰ πάνυ συντελοῦντα πρὸς τὴν τῶν ὑπ' αὐτοῦ λεγομένων διάρθρωσιν. οἱ τὸν Ὅμηρον ἐξηγούμενοι ἔπος κυρίως ἐκάλουν τὸν ἀπὸ δακτύλων μόνων συγκείμενον στίχον καὶ τὸν τελευταῖον ἔχοντα πόδα τροχαῖον, τὸν δὲ ἀπὸ δακτύλων καὶ σπον- 10
δείων ὄντα ἔπος λέγειν οὐκ ἠξίουν. πᾶς δὲ τοιοῦτος στίχος ὁ ἀπὸ δακ-
20 τύλων πάντων καὶ ἑνὸς τοῦ τελευταίου ποδὸς τροχαίου συγκείμενος δέκα καὶ ἑπτὰ ἐξ ἀνάγκης συλλαβὰς ἔχων εὑρίσκεται· ἐπεὶ γὰρ πᾶς στίχος ἴαμβός τε καὶ ἡρῳϊκὸς ἑξάπους ἐστίν, ἕκαστος δὲ τῶν δακτύλων ἐκ τριῶν σύγκειται συλλαβῶν, ὁ δὲ τροχαῖος ἐκ δύο, οἱ μὲν πέντε δάκτυλοι τὰς πέντε καὶ δέκα συλλαβὰς ἀπογεννῶσιν, ὁ δὲ τροχαῖος τὰς δύο· ὥστε ἐξ
25 ἀνάγκης ἐστὶν ἐξ ἑπτακαίδεκα συλλαβῶν τὸ ἔπος, ἀπὸ μὲν τέ τῶν τοὺς 15
πέντε συνιστώντων δακτύλους καὶ δύο τῶν τὸν τροχαῖον. τούτων οὕτως ἐχόντων οἱ τὸν Ὅμηρον γελοίως ἐξηγούμενοι ψυχρευόμενοί φασιν ὅτι ἐπεὶ μεταξὺ τῶν δύο χορδῶν, ὧν ἡ μείζων πρὸς τὴν ἐλάττονα λόγον ἔχει ὃν ὁ ιβ' πρὸς τὸν ς'. εἰσὶ δύο μέσαι ἔχουσαι πρὸς ἀλλήλας ὃν ὁ θ'
30 πρὸς τὸν η', ἐκ δὲ τοῦ θ' καὶ η' ἀποτελεῖται ὁ ιζ', διὰ τοῦτο καὶ τὸ 20
ἔπος ἐκ δέκα καὶ ἑπτὰ σύγκειται συλλαβῶν, ἰσάριθμον ὂν τὸ ἔπος τούτοις τῷ τε θ' καὶ τῷ η'. ἀλλὰ βαίνεταί τε καὶ ἵσταται τὸ ἔπος καὶ τὸ εἶναι ἔχει ἐν μὲν τῷ δεξιῷ (λέγων δεξιὸν τὸ ἀπὸ τῆς ἀρχῆς ἕως τοῦ μέσου, ἀριστερὸν δὲ τὸ ἀπὸ μέσου ἕως τοῦ τελευταίου ποδὸς τοῦ τροχαίου) βαί-
35 νεται δὴ ἐν μὲν τῷ δεξιῷ ἤτοι τῷ ἡμίσει τοῦ στίχου τῷ ἀπὸ τῆς ἀρχῆς ἕως τοῦ μέσου ἐν ἐννέα συλλαβαῖς, τῷ δ' ἀριστερῷ, τουτέστι τῷ λοιπῷ 25
ἡμίσει τῷ ἀπὸ τοῦ μέσου ἕως τοῦ τέλους, ἐν ὀκτώ. γελοῖον δὴ ὡς

---

5 Ἀρχῖνος] cf. Usener mus. Rhen. XXV p. 590 sq. 6 ἢ coni. Bonitz: μὴ Brandis
14 ὑπονοίας Syr.: ἐπινοίας Brandis Bonitz 28 τὴν scripsi: τὸν Brandis Bonitz
29. 30 μέσαι—τὸν η'] μέσαι πρὸς τοὺς ἄκρους ἀποτελοῦσαι τὸν αὐτὸν λόγον, ὁ η' καὶ ὁ θ' F
33 ἐν μὲν scripsi: μὲν ἐν Brandis Bonitz

ἀληθῶς τὸ λέγειν ὅτι διὰ τὸ μεταξὺ τῶν δύο ἄκρων χορδῶν δύο μέσας εἶναι, τὸ ἔπος σύγκειται ἐκ δέκα ἑπτὰ συλλαβῶν· εἰ γὰρ ἀριθμοῖς χρῆται τὰ μέτρα, ὥσπερ οὖν καὶ χρῆται, ἀλλ' οὐ κατὰ ταύτην τελεῖται τὴν μέθοδον. γελοῖον δὲ καὶ τὰ τρυπήματα τοῦ αὐλοῦ, ᾧ οἱ αὐληταὶ χρῶνται, διὰ τὰ γράμματα εἴκοσι καὶ τέσσαρα ποιεῖν, ἢ προσαρμόζειν τὰ κδ' στοιχεῖα τῇ ὁλότητι τοῦ κόσμου. βόμβυκα δὲ λέγει τὸ μέγιστον καὶ πρῶτον ἐν τῷ αὐλῷ τρύπημα, ἀφ' οὗ καὶ ὁ μέγιστος καὶ ὁ βαρύτατος ἦχος ἀποτελεῖται, ὀξυτάτην δὲ τὸ ἐλάχιστον ἔσχατον, αὐτό φημι τὸ κδ', ἀφ' οὗ ὀξύτατος ἀποτελεῖται φθόγγος. * * ἀντὶ τοῦ ἥτινι τῶν κδ' στοιχείων ὁλότητι ἡ τοῦ οὐρανοῦ ὁλότης προσαρμόζεται. εἰπὼν δὲ ταῦτα, λέγει ὁρᾶν δὲ δεῖ μὴ τοιαῦτα οὐδεὶς ἂν ἀπορήσειεν. ὃ ἴσον ἐστὶ τῷ ἐπειδὴ τὰ ἀίδια τέτακται καὶ ἀεὶ ὡσαύτως ἔχει, πολλὴ ἐπ' αὐτῶν εὐπορία τοῖς θεωρήμασι χρῆσθαι τῶν ἀριθμῶν, ὅπου γε καὶ ἐπὶ τῶν ἄλλοτε ἄλλως διακειμένων | (ταῦτα γὰρ εἶπε φθαρτά) ἔστι πολλὰ τοιαῦτα ἐπινοεῖν· τίς 814 γὰρ ἂν ἀπορήσειεν λέγειν ὅτι ὁ καρκίνος ἐκ τοσῶνδε ἀστέρων ἐστί, διότι καὶ ὁ ἀριθμὸς καθ' ὅν ἐστι τοιόσδε ἐστίν; ἢ ὅτι ὁ κόσμος ἴσος ἐστὶ τοῖς κδ' στοιχείοις, ὅτι τὰ μὲν ζῴδια ιβ' ἐστιν, αἱ σφαῖραι δὲ ὀκτώ, τὰ δὲ στοιχεῖα δ', ἢ ὅτι οἱ τὸν στέφανον ἀποπληροῦντες ἀστέρες τόσοι εἰσὶ διὰ τὸ καὶ τόνδ' εἶναι ἀριθμὸν τοσόνδε καὶ τοιόνδε εἶναι. ἀλλὰ καὶ οἱ ὁδόντες τῶν ἀνθρώπων τόσοι διὰ τὸν ἀριθμόν.

p. 1093b7 Ἀλλ' αἱ ἐν τοῖς ἀριθμοῖς φύσεις αἱ ἐπαινούμεναι καὶ τὰ τούτοις ἐναντία καὶ ὅλως τὰ ἐν τοῖς μαθήμασι.

Φύσεις ⟨ἐπαινουμένας⟩ ἀριθμοῦ λέγει τὰ ὑπὸ τὴν ἀμείνονα συστοιχίαν τοῦ ἀριθμοῦ· δύο γὰρ συστοιχίας, ὡς πολλάκις εἴρηται, ἐποίουν, τὴν μὲν τῶν ἀγαθῶν, ὑφ' ἣν ἔταττον τὸ ἕν, τὸ φῶς, τὸ περιττόν, τὰ ὅμοια, ἄλλην δὲ τοῦ κακοῦ, ὑφ' ἣν τὸ πλῆθος, τὸ ἄρτιον, τὰ ὅμοια. ἦν δὲ ἂν σαφεστέρα ἡ λέξις, εἰ ἀντὶ τοῦ ἀλλ' αἱ ἐν τοῖς ἀριθμοῖς φύσεις ἐπαινούμεναι εἶχεν 'ἔτι' αἱ ἐν τοῖς ἀριθμοῖς φύσεις ἐπαινούμεναι καὶ τὰ τούτοις ἐναντία (καὶ εἴρηται τίνα ταῦτα), ὡς λέγουσιν οἱ τοὺς ἀριθμοὺς τιθέμενοι καὶ αἴτια ποιοῦντες τὰ ἐν τοῖς μαθήμασι τῶν φυσικῶν, ἔοικε διαφεύγειν καὶ μὴ δύνασθαι κατ' οὐδένα τρόπον τῶν περὶ τὰς ἀρχὰς * * οὔτε γὰρ ὡς ποιητικὰ οὔτε ὡς τελικὰ οὔτε ὡς ὑλικὰ ἢ εἰδικὰ αἴτια κατ' οὐδένα τρόπον εἶναι δύνανται τῶν φυσικῶν. ἀλλ' αἴτια μὲν τῶν τῇδε εἶναι ⟨οὐ⟩ δύνανται· ὡς μέντοι ποιοῦσι, καὶ καθ' ὃν τρόπον τὰ πράγματα τάττουσιν, ἔνεστι τὸ εὖ καὶ ἐν σχήμασι καὶ ἐν χρώμασι καὶ ἐν ἀριθμοῖς καὶ ἐν

9 lacunam indicavi: addendum tale quid τὸ δὲ ἧς ὁ ἀριθμὸς ἴσος 14 τοιαῦτα ex Syriano addidi 23 ἐπαινουμένας addidi e F 31 lacunam indicavi: fort. addendum διωρισμένων αἴτια εἶναι 32 ὑλικὰ Bonitz: τελικὰ Brandis 33 οὐ e F addidi 34 μέντοι scripsi c. F: μὲν Brandis Bonitz 35 εὖ e Syriano scripsi: ἓν Brandis Bonitz

ἑκάστοις καὶ ἐν τῇ φύσει ὁμοίως, καὶ τὰ ἀντικείμενα τούτοις. καί εἰσι τῆς συστοιχίας ταύτης, λέγω δὴ τοῦ καλοῦ, τὸ περιττόν, τὸ εὐθύ, τὸ ἰσάκις ἴσον, ὥσπερ καὶ τῆς τοῦ κακοῦ τὸ ἄρτιον, τὸ μὴ εὐθύ, τὰ ὅμοια· καὶ αἱ δυνάμεις ἐνίων ἀριθμῶν, οἷον τετραγώνων, τριγώνων, ἑξαγώνων, κύβων, τῶν ὁμοίων, ἔνεισιν ἐν τοῖς σχήμασι καὶ τοῖς ἄλλοις (οὐ μὴν ἡ ἀμείνων συστοιχία τοῦ ἀριθμοῦ)· ἅμα γὰρ αἱ ὧραι τέτταρες καὶ ὁ ἀριθμὸς ὁ δ', ὁμοίως καὶ τὰ ἄλλα, ὅσα συνάγουσιν ἐκ τῶν ἀριθμητικῶν θεωρημάτων, πάντα ταύτην ἔχει τὴν δύναμιν, τουτέστιν ἅμα τοῖς πράγμασι καὶ αὐτά εἰσιν, ἀλλ' οὐ ταῦτα αἴτια καὶ πρότερα τῶν πραγμάτων, τά τε πάθη τῶν ἀριθμῶν καὶ οἱ ἀριθμοί. καί εἰσιν οἰκεῖα ταῦτα πάντα καὶ ἓν τῷ ἀνάλογον. ἀλλὰ πῶς ταῦτα οἰκεῖα; ἤ, φησί, καὶ ὥσπερ τὸ εὐθὺ οἰκεῖόν ἐστι τοῦ μήκους, οὕτω τοῦ πλάτους τὸ ὁμαλόν, καὶ ἔστιν ἓν τὸ εὐθὺ καὶ τὸ ὁμαλὸν τῷ ἀνάλογον· ὡς γὰρ τὸ εὐθὺ ἐν μήκει, οὕτως ἐν πλάτει τὸ ὁμαλὸν καὶ ἐν ἀριθμῷ ἴσως τὸ περιττὸν καὶ ἐν χρώματι τὸ λευκόν. τὰ μὲν οὖν λεγόμενα ταῦτα· τὴν δὲ λέξιν ὑπερβατῶς ἀναγνωστέον οὕτω κατ' οὐδένα γὰρ τρόπον τῶν διωρισμένων περὶ τὰς ἀρχὰς οὐδὲν αὐτῶν αἴτιόν ἐστιν· ἅμα γὰρ αἱ ὧραι καὶ ὁ ἀριθμὸς τοιοσδὶ καὶ τὰ ἑξῆς· τὰ δ' ἄλλα μεταξὺ παρεμβέβληται. |

p. 1093ᵇ21 Ἔτι οὐχ οἱ ἐν τοῖς εἴδεσιν ἀριθμοὶ αἴτιοι τῶν ἁρμονικῶν καὶ τῶν τοιούτων. 815

Τοῦτο εἰς τοὺς εἰδητικοὺς ἀριθμοὺς μόνους ἀπέρριπται, οὓς φασιν ἀσυμβλήτους ἔχειν μονάδας, καὶ διὰ τοῦτο διαφορὰν δείκνυσθαι καὶ ἐπὶ τῶν ἴσων. ἡ γὰρ αὐτοτριάς, φασίν, οὐκ ἔστιν ὅπερ τὸ τρίτον μέρος τῆς αὐτοεννεάδος, οὐδὲ τὸ ἥμισυ τῆς αὐτοεξάδος. εἰ τοίνυν τοιοῦτοί εἰσιν οἱ εἰδητικοὶ ἀριθμοί, οὐκ ἂν εἶεν αἴτιοι τῶν ἁρμονιῶν· ἐν γὰρ ταῖς συμφωνίαις οἵ τε ὁμόφωνοι φθόγγοι ἴσοι εἰσί, καὶ ἡ νήτη διπλασία τῆς ὑπάτης ἐπιτέταται, καὶ ὅλως ὁ δ' τοῦ ὀκτὼ ἥμισυς καὶ τοῦ τρία ἐπίτριτος, ὡς ἂν ἀδιαφόρων οὐσῶν τῶν ἐν αὐτοῖς μονάδων. συλλογίζεται οὖν οὕτως. οἱ εἰδητικοὶ ἀριθμοὶ διαφόρους ἔχουσι μονάδας· οἱ συνιστάντες τὰς ἁρμονίας ἀριθμοὶ οὐκ ἔχουσι διαφόρους μονάδας· οὐκ ἄρα οἱ εἰδητικοὶ ἀριθμοὶ συνιστᾶσι τὰς ἁρμονίας· ὥστε εἴ τις αὐτοὺς διὰ τοῦτο εἶναι λέγει, ψευδῶς λέγει.

Ταῦτα εἰπὼν συμπεραίνεται τὸν σύμπαντα λόγον λέγων τὰ μὲν οὖν συμβαίνοντα τοῖς εἰδητικοὺς ἀριθμοὺς ποιοῦσι καὶ τοῖς χωριστὰ τὰ μαθηματικὰ τιθεμένοις καὶ αἴτια τῶν φυσικῶν λέγουσι τὰ ῥηθέντα ἐστί,

1 fort. τὸ ἀντικείμενον τούτῳ (vel quod habet Syrianus τὸ ἀντ. τῷ εὖ) 3 ἰσάκις ἴσον] sic etiam Metaph. GᵇIᵇ: ἴσον Metaph. vulg. 13 τῷ ἀνάλογον] sic Metaph. E Iᵇ: τὸ ἀ. Metaph. vulg. 23 δεικνύναι Syr.

καὶ ἔτι πλείω τούτων συναχθείη, τὰ περὶ τῶν εἰδῶν γραφέντα αὐτῷ δύο βιβλία, ἄλλα ὄντα παρὰ τὸ M καὶ N, καὶ ἐκτὸς τῆς Μετὰ τὰ φυσικὰ συντάξεως. καὶ ἔοικε, φησί, τεκμήριον καὶ πίστις ἱκανὴ εἶναι τοῦ μὴ εἶναι χωριστὰ τὰ μαθηματικὰ τῶν αἰσθητῶν μηδὲ πολλῷ μᾶλλον
5 αἴτια τῶν τῇδε τὸ πολλὰ κακοπαθεῖν αὐτοὺς περὶ τὴν γένεσιν 20
αὐτῶν καὶ τὸ κατασκευάσαι ὥς εἰσι, μὴ δυνηθῆναι δὲ τοῦτο ποιῆσαι. μηδὲ συνείρειν καὶ ἀκολουθεῖν καὶ αἰτίας ἀποδιδόναι ἐφ' ἑκάστου τῶν ἀπορουμένων καὶ ἐπαγομένων αὐτοῖς, μηδὲ λύειν τὰς ἐπαγομένας αὐτοῖς ἐνστάσεις πρὸς ἃ ἂν εἴπωσι ὑπὲρ τῶν εἰδῶν καὶ τῶν ἄλλων ἁπάντων.
10 Ὧδε μὲν οὖν τέλος ἔσχεν αὐτό τε τὸ N καὶ ἡ σύμπασα τῶν Μετὰ τὰ φυσικὰ σύνταξις καὶ αἱ εἰς αὐτὸ σχολαί. 25

1 fort. scribendum c. F συναχθείη. αἰνίττεται δὲ διὰ τούτου τὰ περὶ τῶν εἰδῶν

# I N D I C E S

# I INDEX VERBORUM

Verba asterisco notata in lexicis desiderantur


ἀβαθής 735,35
ἀβαρής 36,27
ἀβασανίστως 48,13
ἀβίαστος 706,37
ἄβρωτος 305,27
ἀγαθοδοσία 707,19
ἀγαθοειδής 823,4
ἀγαθοποιός 63,9
ἀγαθός. ὁ ἀγαθός 420,19. 21. 24 · τὸ ἀγαθόν, τὰ ἀγαθά 1,6. 7. 14,9. 14 15,4. 5. 16. 17 22,15. 19 33,2. 3. 24 47,18 63, 3 sqq. 130,17 160,8. 9. 13 175,12. 13 181,36. 38 182,9 sqq. 244,18 336,16. 19 347,21. 24 348,6 352,2 360,23 361,12 400,25 401,23. 26 481,10 635,17. 21. 25 sqq. 695,34 sqq. 718,2. 7 739,22 sqq. 772,11. 12 ὄντως ἀγαθόν opp. φαινόμενον 352,5 — ἀγαθὸν θεωρητικόν opp. πρακτέον 183,9. 10 — ἀγαθὰ καθ' αὑτά dist. ἑκάστῳ ἀγαθά 466,4 sqq. τὸ κυριώτατον ἀγαθόν 160,12 — τὸ ἀγαθὸν καὶ τὸ ἄριστον (τοῦ παντός) 715,5 sqq. 820,11 sqq.
ἀγαθότης 695,37
ἀγαθύνειν 707,14 709,36
ἀγαπητός 723,22. 23
ἀγγεῖον 421,5. 27 550,3. 32. 34 582,32. 35 629,7
ἀγένητος 23,20 31,12 158,11 181,32. 35. 36 212,17 213,16 214,26 251,34. 35 547,9 687,29. 30 720,9 818,35
ἀγέννητος 213,27 304,31 558,2 719,9 771,15 sqq. 807,14
ἄγευστος 55,1
ἀγλευκής 750,32
ἀγνοεῖν 15,25 sqq. 19,5 146,7 173,19 195,36 200,20 252,28 268,22 269,4 304,13 444,21 466,16 511,26 531,1 533,31 558,4 599,31 600,2. 3 715,17
ἄγνοια 15,27 sqq. 16,12 19,13 303,5 334, 12 530,23. 25 599,26. 28 601,9. 11 719,36. 37
ἄγνωστος 76,13. 14. 23. 25 134,8 163,20. 21 164,14. 16 165,1 15. 16 167,9. 13 465,33. 34 466,1 509,38. 39 531,19. 20 575,23
ἀγορά 451,37 537,11
ἄγραφος 792,26
ἄγροικος. ἀγροικότερον ἀποφαίνεσθαι 44, 12
ἀγχίνοια 501,28 520,19 690,3
ἀγχίνους 538,28
ἀγωγὴ ἡ τῶν λεγομένων 665,11
ἀγών 258,30 303,6 326,5
ἀγώνιος 399,20
ἀγωνιστικός 310,4. 5
ἀδάμας 390,25
ἄδεια 606,17
ἀδιαίρετος 56,13 127,18 208,8 sqq. 227, 11 228,2. 4 230,12 232,11 355,2. 3. 7. 13. 32 363,28 364,21 sqq. 369,30 370, 1 540,1. 3 555,7. 8 598,4. 13 604,13. 28 609,1 sqq. 726,22 sqq. 738,38 739, 1 sqq. 780,29 781,1 sqq. 782,14 sqq. 812,24 ἀδιαίρετος κατὰ τὸ ποσόν, τὸ εἶδος 208,10. 11 354,30 sqq. 365,12 sqq. 368, 33 sqq.

ἀδιάλειπτος 150,26 308,27
ἀδιανόητος 562,3 628,6
ἀδιάρθρωτος 26,24 — ἀδιαρθρώτως 61,4 135,7. 9
ἀδιάστατος 72,33 504,21 515,28
ἀδιάφορος 114,22 115,13 117,7. 9 296,2 364,20 521,29 599,16 616,4 617,17 743,28 748,8. 15 749,4. 6 755,9. 26 757,12 760,5. 12 sqq. 761,15 sqq. 812, 17 — ἀδιαφόρως 301,10
ἀδιεξίτητος 152,22 396,18
ἀδικία Pythag. i. q. πεντάς 74,8 75,25
ἄδικος 644,26 sqq.
ἀδιορίστως 42,8 511,10 578,26
ἀδολεσχεῖν 521,36
ἀδολεσχία 478,3. 14. 15
ἀδρός 372,27
ἀδυναμία 390,1. 22 406,20 568,21. 23 sqq. 622,9. 11 ἀδυναμία ποσαχῶς λέγεται 392, 31 sqq.
ἀδύνατος 393,8. 9 sqq. 484,28 574,13 sqq. εἰς ἀδύνατον ἀγαγεῖν τὸν λόγον 271,19 δι᾽ ἀδυνάτου δεικνύναι 665,2. 3 ἀδύνατον ποσαχῶς λέγεται 394,9 sqq.
ἀεικίνητος 343,4. 5
ἀέρινος 583,16. 24
ἀετός 365,23 366,4
ἀήρ 31,25 35,14 sqq. 45,17 47,23 61,22 115,11 116,35 122,18 149,32 150,5 153,28 154,4. 5. 20 178,7 180,2 223,13 224,12 364,35 384,9. 10. 22 sqq. 426,6 448,12 504,37 sqq. 557,2. 3 591,33 597,34 sqq. 612,15 767,13 795,20 803, 10 804,8 815,34 ἀέρες 831,5. 7
ἀήττητος 75,33
ἀθανασία 219,2
ἀθάνατος 219,4 628,13
ἄθεος 27,2 462,30 670,27
ἄθετος 12,1 368,35 441,26 728,6 776, 10. 11
ἀθλητής 412,22
ἀθροίζειν 139,15 193,9
ἄθροισμα 426,22
ἀθρόως 232,7. 8
ἀθυμεῖν 307,22
αἰγόκερως (τὸ ἄστρον) 592,1 692,24
ἀίδιος, τὸ ἀίδιον 31,10 52,12. 21 76,12. 25 79,7 80,13. 14 90,13 sqq. 91,2. 3. 10 94,15. 19 96,7 102,14 103,6. 8. 11 107, 26 108,5. 7 145,10. 11. 20 147,11. 13 148,2. 5. 26 sqq. 158,9. 11. 22 159,9 197,7. 13. 16 sqq. 212,10. 20 sqq. 213, 3 sqq. 214,12. 28. 29 215,7. 16. 24. 27 224,30 233,8 246,1 310,28 343,7 361, 4. 7. 24 375,33 388,22 438,34 sqq. 445, 34. 36. 38 446,10 sqq. 591,17 sqq. 592, 9 sqq. 593,3 sqq. 595,19 670,30. 32 685,33 686,2 sqq. 687,35 sqq. 688,1 sqq. 689,12 sqq. 701,17. 29 sqq. 803,27 804, 29 sqq. — ἀιδίως 77,27 688,7 709,3. 7
ἀιδιότης 148,25. 26
αἰθήρ 343,7
αἷμα 461,14. 15
αἰνιγματωδῶς 520,13. 14 596,30
αἰνίττεσθαι 485,22 525,37 605,22 630,34 638,20. 21 670,17 683,23 690,11. 14 717,20 745,30 760,35 787,8 804,25 821,8
αἵρεσις 671,6
αἱρετός, τὸ αἱρετόν 10,13 13,21 sqq. 299, 16 300,1 447,8. 10. 29 αἱρετὰ δι᾽ ἑαυτά 2,5. 9. 12 αἱρ. καθ᾽ αὑτὸ καὶ δι᾽ αὑτό 695,19. 20
αἰσθάνεσθαι 3,8 306,16. 27 307,9. 31. 32 312,7. 8 322,20 390,10 535,31 sqq. 571,36. 37
αἴσθημα 315,36 656,27
αἴσθησις (αἰσθήσεις) 1,10 sqq. 2,23 sqq. 3,2 sqq. 4,5 sqq. 8,12 11,11 132,2 133, 29. 30 134,1. 2 142,20. 23 145,2 198, 26 sqq. 212,8 244,33 245,2. 6. 7 305,29 306,6 sqq. 311,28. 31 sqq. 312,1 sqq. 313,20 sqq. 314,1. 7. 11 sqq. 315,6 sqq. 316,2 sqq. 322,19. 22 325,1 386,29 406,28. 37 407,2. 9 sqq. 441,15. 17. 20 sqq. 507,31. 33. 34 571,29. 32. 37 656, 27 694,34. 36 713,7 729,16. 17 ἡ ὁρατικὴ αἴσθησις 1,13. 15 κατὰ τὴν αἴσθησιν opp. κατὰ λόγον καὶ ἀλήθειαν 45,4 οὐκ ἔστι ταὐτὸν αἴσθησις καὶ φαντασία 311,36 312,1 sqq.
αἰσθητήριον 312,2 433,5 654,20. 22
αἰσθητικός 197,20 οὐσία ἔμψυχος αἰσθητική (i. e. ζῷον) 161,9 163,1. 2 477,9 αἰσθητικὴ ψυχή 375,12 δύναμις 417,12 γνῶσις 10,6 ἡ αἰσθητικὴ ὑποβάθρα 697,32 τὸ αἰσθητικόν 524,28 sqq.
αἰσθητός. αἱ αἰσθηταὶ οὐσίαι 54,26 113,19 175,19. 27. 28 176,7. 14. 16 191,16 193, 11. 15 196,2. 4. 15 sqq. 197,35 233,4. 16. 18. 29 364,28 669,4. 18. 19 671,23 sqq. αἰσθητὴ φύσις 308,15 τὰ αἰσθητὰ

εἴδη 113,3 τὰ αἰσθητά 4,8 5,1 49,22 50,9. 13 sqq, 51,3. 4. 6. 11 52,11. 14 55,4 sqq. 59,18. 25. 26 62,12 72,5. 17 73,20 79,17 81,28 83,9 91,20. 29 106,3 121,1 133,28 sqq. 142,22 168,20 180, 29 196,7. 9 197,6 sqq. 199,2. 5 sqq. 212,11. 16. 19 sqq. 217,22. 23 230,22 sqq. 315,31. 33 316,13 sqq. 345,33 364, 21 sqq. 365,5 386,31 407,1 sqq. 444, 38. 39 445,2 462,28 sqq. 463,5. 9 515, 13. 16 sqq. 536,33. 34 694,35 713,7 724,33. 38 725,2. 3 sqq. 726,11 740,25 sqq. 744,27 sqq. 767,7. 21. 22 782,33 783,3. 31 786,7. 11 sqq. 812,34 813,3. 38 837,4 τὰ ἴδια αἰσθητά 311,28 313. 20. 31. 32

αἰτία, αἴτιον 134,17 sqq. 135,3 sqq. 137, 7. 11 138,18 sqq. 180,36 181,1 sqq. 544,10. 11 πρῶτον αἴτιον (i. e. θεός) 446,26. 27 565,6 685,27 694,14 695, 19 696,1. 27 697,1 701,1 822,12. 17 (i. e. τὸ ἀγαθόν) 15,5 τὰ πρῶτα αἴτια 13, 24. 29 15,12 19,24 sqq. 246,9 362,8 ἀκρότατα αἴτια 239,27. 34 ἀίδια 147,7 αἱ πρῶται καὶ καθόλου αἰτίαι 10,21 — αἰτία ὑλική (αἴτιον ὑλ.) vel κατὰ τὴν ὕλην 23,15. 16 24,7 29,6. 10 31,18 34,1 45, 9. 25 46,17 54,9. 10 58,28 59,12 61, 26 134,22 149,29 158,7 159,5. 15. 28 179,16 187,10 348,33 349,17 351,5 353,20 456,23 558,14. 19 718,11 835, 32 — εἰδικὴ vel ἡ κατὰ τὸ εἶδος, ὡς εἶδος 20,9. 10 21,5. 6. 20 58,28. 29 59, 10. 11 135,2 150,10. 11 160,30 179,14 185,3. 19. 20 186,19. 20 349,4 415,23. 24 541,5 547,34 558,21. 22 677,34. 37 718,7 720,23 808,31 — εἰδητικαὶ αἰτίαι 124,9 — ποιητικὴ 22,7. 8 29,1. 3. 6 sqq. 30,14 31,18 32,1. 2. 16 34,1 sqq. 35,6. 7 41,23 59,28 60,18. 19 61,29 64,25 96,15 121,1. 4. 12. 25 134,23 135,2 150,1. 3 165,25. 27 178,18 179,17 181, 33. 36 186,7 sqq. 349,29 353,19 389,3 415,25. 26 456,25 487,22. 27 489,21 541,1 sqq. 677,29. 31 806,14 coni. κινητική 33,9 64,29 456,23 αἴτια κινητικὰ τῶν σφαιρῶν 700,35. 36 701,3 sqq. — τελικὴ vel κατὰ τὸ τέλος, ὡς τέλος 14,9 22,8. 15 62,6. 7. 8 150,7 159,29 160,2 sqq. 182,4. 8 sqq. 186,19 187,2 350,5. 8. 11 415,16 456,23 708,19. 23 τὸ ὡς ἀγαθὸν αἴτιον 63,19 — ἡ τοῦ εὖ καὶ ἡ τοῦ κακῶς αἰτία 60,13 sqq. — αἴτιον ποσαχῶς λέγεται 348,27 sqq. — τὰ κατὰ συμβεβηκὸς αἴτια 240,8 sqq. 352,25 sqq. 353,31. 32 354,8 454,33 αἴτια τῶν κατὰ συμβεβηκὸς ὄντων 453,12 sqq. — οὐκ ἐπ᾽ ἄπειρον τὰ αἴτια οὔτε κατ᾽ εὐθυωρίαν οὔτε κατ᾽ εἶδος 149,24 150,18 sqq. 153, 3 sqq. 155,7. 8. 11 158,4 sqq. 160,26. 27 165,30. 31 166,1 sqq. — τὰ ἐμά, τὰ σά αἴτια 684,26

αἰτιᾶσθαι 808,12. 20 811,13. 14

αἰτιατός. τὰ αἰτιατά 73,16 74,6 147,8 150,34 151,1 153,7 353,8 sqq. 354,14 585,10 τὰ πρῶτα αἰτιατά 353,26 πρῶτον, ἔσχατον αἰτιατόν 665,35 sqq.

αἰών 699,23. 24 714,23

αἰώνιος 699,25

ἀκαμπής 364,5

ἀκατάληπτος 307,26 308,16 695,39

ἀκαταληψία 309,1

ἀκατάλληλος 141,6 663,14 — ἀκαταλληλότερον ἔχειν 342,23

ἀκινησία 62,18 559,4. 5. 8 769,4

ἀκίνητος 30,6. 8 sqq. 31,1 52,12 72,1 96, 15 98,21 100,20 123,9 180,21 181,32 sqq. 182,4. 8. sqq. 198,11. 12. 16 212, 10 217,24 233,8 311,5. 6 343,4. 9 362, 5 405,27 514,36 635,21. 31 661,5. 9. 10 686,28. 30. 31 687,31. 32 688,16 700,14 701,2. 4. 15 728,32. 33. 36. 37 729,11 821,30. 31 τὰ ἀκίνητα (i. e. μαθηματικά) 399,22 400,6 sqq. 401,5 sqq. 445,22 sqq. 446,1 sqq. 601,17 740,2. 3 794,23 — ἀκινήτως 442,34 600,26

ἀκοή 313,35 381,30 509,27 609,28

ἀκοινώνητος 777,27

ἀκόλαστος 437,16

ἀκολουθεῖν 68,20. 21 91,4 133,26. 30 141,27 198,26 207,36 211,6 212,26 213,6 214,13 225,5 235,25. 26 247,10 281,34 291,12 292,18. 19 302,19. 21 306,32 499,27 sqq. 536,11 547,1 sqq. 570,19 sqq. 574,6. 8 755,6. 7. 21 777, 26

ἀκολουθία 32,4 40,25 101,30 215,29 218,14 675,1 761,24. 25 ἡ τοῦ λόγου 460,5 606,20 677,18 ἀκολουθία τις ἡρμοσμένη opp. λογισμός καὶ νόησις 104,9

ἀκόλουθος 46,25 70,8 89,7 90,23 143, 23 176,12 186,20. 27 188,32. 34 194,

11 212,21 216,14 231,22 250,32 251,5 295,30 296,34 351,3 433,19 439,6 790,24 τὸ ἀκόλουθον 55,2 151,22 — ἀκολούθως 17,20 72,7 117,22 137,10 146,2 149,20. 21 207,5 209,8 344,24 392,31 606,21 633,25 666,36 670,11 720,5 731,21 761,21
ἄκοσμος 773,29
ἀκούσιος 328,1 360,29
ἀκουστός. τὰ ἀκουστά 198,24 sqq. 509,27
ἀκρατής 437,16
ἄκρατος 823,31 824,1 830,7 sqq. ἀκρ. (coni. ἀμικτος) ἑτερότης 241,18 ἄκρατος λόγος 301,14 — ἀκράτως 301,10 ἀκρατότερον 823,20. 21
ἀκρίβεια 12,17. 18 168,8. 9. 19 441,34 737,29 ἡ ἀκρίβεια (coni. διάρθρωσις) ἡ κατὰ τὰς φαντασίας 3,14
ἀκριβής 167,25 168,10. 15 169,9. 16. 17 184,18 470,28. 31 472,31. 34 734.32 737,23. 27 ἀκριβεστάτη τῶν ἐπιστημῶν 11,13 sqq. ἀκριβὴς ἀπόδειξις 737,4. 6 ἀκριβέστεραι ἀρχαί 441,6 sqq. — ἀκριβῶς 135,9 168,4 565,13
ἀκριβολογεῖν 479,15 ἀκριβολογεῖσθαι 168,6 461,19
ἀκριβολογία 168,4 169,4. 5 sqq. 320,27
ἀκρίς 535,35
ἀκρόασις 167,7 170,8
ἀκροατής 167,5. 24 621,15
ἄκρος. ἄκρα ἐπιστήμη 696,33 ἀκρόταται ἀρχαί (αἰτίαι) 239,13. 27. 34 240,7. 24 τὰ ἄκρα (τῆς ἀντιφάσεως) 1,23 329,15. 32 330,5. 8. 13 331,14. 28. 34 332,12 335,10. 11 τὰ ἄκρα i. e. οἱ κατηγορούμενοι ὅροι 480,27 sqq. ἄκρα (ἀναλογίας) 729,24 — ἄκρον ἐπιστήμης 600,36 — ἄκρως 167,6 168,6
ἀκρωτήριον 427,33. 36 428,5
ἀκτίς 631,10 738,4 sqq.
ἀλέα 451,23
ἀλήθεια 138,18. 21. 26 sqq. 139,2 sqq. 142,8. 24 144,17 145,1. 4. 6 sqq. 146,9 147,3 sqq. 148,2. 6. 16 174,1 223,8. 17. 19 317,7 597,27. 28 ἡ ἐν λόγῳ καὶ συνέσει ἀλήθεια 7,15 ἡ κατὰ τὰς φαντασίας ἀλήθεια 305,21. 22 — ἡ φίλη ἀλήθεια 724,12 ἡ ἀλήθεια βοᾷ 730,19
ἀληθεύειν 7,15. 16 69,9 89,2 sqq. 282 31. 32 296,6 sqq. 302,6 sqq. 311,36 314,11. 16. 18 328,26 sqq. 329,1 sqq. 331,13. 21 339,7 sqq. 431,23 597,24. 26 598,8. 14 sqq. 599,13. 20. 34 647,13 sqq. 649,31. 35 650,1. 3. 4. 21 sqq. ἀληθεύεσθαι 49,10. 12 80,18. 21. 22 83,1 253,6 sqq. 274,22 276,16. 18. 22 281,11. 12 283,26. 27 285,9 296,1 472,35 617,30 655,26. 27 658,1 sqq.
ἀληθής 138,20 139,2 sqq. 305,4 sqq. 306,5 sqq. 307,7 sqq. 308,7 sqq. 309,2 311,3 sqq. 313,4 sqq. 314,8 sqq. 316,1 sqq. 318,18 sqq. 319,1 sqq. 320,6 sqq. 321,4. 12 sqq. 322,5 sqq. 328,3 336,2 sqq. 337,1 sqq. 338,3 sqq. 339,1 sqq. 340,1 sqq. 394,14 sqq. 431,7 sqq. all. — τὸ ἀληθές 146,4. 16 sqq. 147,7 sqq. 148,1 sqq. 149,1 sqq. 456,30 sqq. 457,1 sqq. 598,1 sqq. 599,3. 8. 14. 25 sqq. 600,39 601,2 651,12 sqq. 652,1 sqq. 658,23 sqq. all. ἀληθὲς τί ἐστιν 328,21. 22 330,23. 32 335,33. 34 τὸ ὄντως ἀληθές 146,1 τὸ ἀίδιον ἀληθές 139,5 τὸ ὡς ἀληθὲς ὄν (καὶ ὡς ψεῦδος μὴ ὄν) 456,30 sqq.
ἀληθινός 301,12
ἄληπτος. τὸ ἄληπτον (τῆς ὕλης) 690,12
ἀλίσκεσθαι 784,28
ἀλληλοτυπεῖν 36,22
ἀλληλοτυπία 36,24
ἀλλοιοῦν 213,35 306,8. 25. 26 379,38. 39 380,1. 9 389,30 400,20 418,17. 24. 28 455,8 492,29 495,22 496,22 546,36 656,23 676,28 677,8 731,31 732,17. 18 789,1. 2 811,20
ἀλλοίωσις 24,3 sqq. 153,20 154,24 306,7. 33 308,37 351,9. 12 400,26 401,8. 9. 10 418,20. 23. 25 496,25. 27 546,33 547,11 sqq. 672,13 788,36. 37
ἀλλοιωτός 223,5 358,11
ἄλλος. τὸ ἄλλο (καὶ τὸ ἕτερον) πῶς ἔχει πρὸς τὸ ταὐτόν 616,34 sqq. ἄλλο dist. ἕτερον 798,33 sqq.
ἀλλοτριοῦν 641,32 642,8 721,16 816,5. 6
ἀλλοφρονεῖν 307,10
ἀλόγιστος 654,16
ἄλογος 207,34 216,1 486,3 522,37 523,5 524,6 546,9 651,29 743,3 coni. ἄτοπος 292,9 τὸ ἄλογον 92,13 sqq. 111,21 112,2 sqq. 381,22 382,9. 21 ἄλογοι δυνάμεις 103,38 576,34 sqq. 577,1. 5 ἄλογοι ψυχαί 445,11 577,1 641,3 ἄλογα ζῷα 660,17 682,4 — ἀλόγως 104,4 576,34 829,33

ἀλουργός 617,19 618,27 627,26
ἄλυτος 778,34. 35
ἀμαθία 156,20
ἁμαρτάνειν 775,13. 15 783,30
ἁμάρτημα 595,18. 20 676,3 778,25
ἁμαρτία 766,13 801,14
ἀμβλύς. ἀμβλεῖα γωνία 645,31 773,3 sqq. 778,11
ἀμβλυωπία 381,31
ἀμβροσία 218,31. 32 219,3
ἀμεγέθης 227,12. 30. 31 737,29. 30 747,9 767,2 sqq.
ἀμέθεκτος 637,12 638,20
ἀμεθόδως 50,7
ἀμείβειν τόπον 442,33. 34 546,36
ἀμερής 247,22 486,21. 22 515,28 609,3. 8 610,27 627,13. 14 700,2 706,22 709, 35 714,11. 14. 15 746,1. 2 747,9 757, 18. 19 763,26. 27 775,30 781,31 782, 11 τὰ ἀμερῆ 36,26 228,23 — ἀμερῶς νοεῖν 714,25
ἀμέριστος 472,21. 22
ἄμεσος. ἄμεσοι προτάσεις 7,17 11,17. 18. 24 130,16 163,5 188,31 189,28 290, 2. 4 sqq. 346,28. 30. 32 356,31 361,24 ἄμεσα ἐναντία 257,31 332,6 τὸ ἄμεσον 177,20 258,23 — ἀμέσως 162,19 sqq. 290,15 361,26
ἀμετάβλητος 24,5 180,24 311,5 359,7. 8 361,4. 5 601,23
ἀμετακινήτως 652,23
ἀμετάπειστος 361,1. 10
ἀμέτοχος 644,12
ἀμήτωρ 39,8
ἀμήχανος 503,25 771,31
ἀμιγής 69,13. 19 699,7 830,9
ἄμικτος 68,17 69,11 241,18 380,30 594, 24. 31. 32. 35
ἀμιξία 35,27
ἀμοιρεῖν 562,29 688,17. 19. 28 689,7. 19 719,35 722,4 794,12 804,31
ἄμοιρος 686,24. 27 687,20 689,4 818,9
ἄμουσος 623,15. 16. 20 sqq.
ἄμπελος 358,34 674,16. 27
ἀμυδρός 157,16 — ἀμυδρῶς 34,4 135,4 673,20 ἀμυδρότερον 452,26
ἀμφισβητεῖν 132,16 133,4. 5 272,34 273,29
ἀμφισβήτησις 115,16 132,15 133,1 297, 10. 11 309,5 315,1
ἀμφορεύς 461,7 518,36 557,20
ἀνάβασις 247,23 366,32 377,26 ἡ ἀνάβασις τοῦ Νείλου 199,4. 5
ἀνάγειν εἰς (ὑπό, ἐπί) τι 20,10 21,12 38,8 41,18. 34 42,5 56,15. 16 117,25. 28 119,18 124,8 sqq. 125,4 126,20 134,10 181,19. 21 205,2 224,8 250,18 253,37 254,5. 14. 17 256,6 271,6. 9 352,12. 13 464,25 512,34 536,27. 28 548,9 549,13 555,34 624,23. 25. 26 625,37
ἀναγινώσκειν 433,15. 22. 23 500,34 563,6 572,22 653,19 736,19 754,2 786,4 788,26 791,3 801,37 805,23
ἀναγκαῖος. ἀναγκαῖον ποσαχῶς λέγεται 360, 19 sqq. cf. 664,16
ἀνάγκη 361,1. 23 sqq. ἐξ ἀνάγκης εἶναι 454,7 sqq. 592,16 664,15. 26 665,15 666,1 opp. ὡς ἐπὶ τὸ πολὺ εἶναι 451,5 sqq. 452,1 sqq.
ἀνάγνωσις 433,20
ἀναγράφειν τετράγωνον ἀπὸ γραμμῆς 185, 33. 35
ἀναγωγὴ ἐπί τι 254,14 356,24 555,33 643,6 695,26
ἀναθυμίασις ἡ ξηρά 548,30 ἡ ὑγρά 675, 13 ἡ ἀπὸ τοῦ ὑγροῦ 24,26
ἀναιρεῖν 30,3 sqq. 85,19 sqq. 87,4 88,1 97,25 109,23 123,13. 14 131,4. 13 160, 16. 24 163,5 sqq. 166,5,6 196,11 197, 21 199,29. 30 217,11. 12. 24 271,11 272, 22 sqq. 274,25 sqq. 275,4. 10 sqq. 277, 15 278,4. 5. 9 sqq. 285,11. 13 sqq. 286, 1. 8 288,11 sqq. 315,19 sqq. 340,22. 27. 33 372,10 373,27 374,12 sqq. 449,28 531,4 sqq. 572,22. 24 648,7. 9 sqq. 649, 4 sqq. 661,29 sqq. 746,14 754,1. 8 783,12 784,17 787,17. 24 815,26. 35. 37
ἀναίρεσις 252,29 271,10 280,36. 37 281,7 325,37 333,30 571,10 αἱ στερητικαὶ ἀναιρέσεις 419,24 sqq. ἀναίρεσις δόγματος 78,24
ἀναιρετικός 212,1 243,12 253,5 293,13. 23. 30 296,8. 19. 20 297,13 298,22 315, 13 320,24 333,28 340,24. 28 341,1. 2 361,3 409,15 618,32 τὸ ἀναιρετικόν 253,22. 23
